ΠΡΟΙΑΣ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ
GRVER_00640
31345

251 α.
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

THEOPHANIS

CHRONOGRAPHIA

RECENSVIT

CAROLUS DE BOOR.

VOLVMEN I

TEXTVM GRAECVM CONTINENS

OPVS AB ACADEMIA REGIA BAVARICA PRAEMIO ZOGRAPHICO ORNATVM

LIPSIAE

IN AEDIBVS B. G. TEVBNERI

MDCCCLXXXIII

1893

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤ. & ΕΘΝΙΚ. ΚΕΝΤΡ. ΒΙΒΛΙΟΘΗΚΗ
ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Δ Ω Ρ Ε Α
ΝΙΚ. ΔΙΑΜΑΝΤΟΠΟΥΛΟΥ
1977

990

Αριθμ. εἰσαγ. 31345
Ἔτος 1977

LIPSIAE: TYPIS B. G. TEUBNERI.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

THEODORO MOMMSEN

S.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

PRAEFATIO

De recensenda Theophanis chronographia dissertationem pleniorem secundo huius editionis volumini inseram, sequeturque libellus, quo de scriptoribus, et iis quorum auctoritatem secutus est Theophanes, et iis, qui ex eo hauserunt disputabitur. Interim sufficit paucis quae sit ratio huius editionis docere. Primum disseram de viris doctis, qui adhuc in Theophane elaborarunt, deinde de codicibus manu scriptis, tum de reliquis emendandi eius subsidiis.

Atque primus edidit chronographiam Iacobus Goar Parisiis a. Chr. 1655, quem vere indicat Dindorfius (Praef. ad Georgium Syncellum ed. Bonn. Tom. I p. VII) fuisse mediocri doctrina, artis criticae facultate nulla, neglegentia incredibili. Codicem potissimum secutus est Paris. Reg. 1711 saec. XI inferioris notae, cuius scriptura obscura et compendiosa editore egebat diligentissimo atque artis palaeographicae peritissimo. Praeter hunc suppeditabant ei Peyrezianus (nunc Paris. Reg. Suppl. 327) et Barberinus II, 54, uterque saec. XVI. Ex parte tantum collatorum codicum Vaticanorum 154. 155. 979 et Vaticani Palatini 395 lectiones habuit in margine illius Barberini exscriptas. Hae cum non essent seorsim enotatae, diligentissime erant distinguendae; verum Goarus, ut erat neglegentia summa, minime distinxit itaque saepissime codices falso notavit, ut quanti quisque faciendus sit quaeque inter eos ratio intercedat dignosci prorsus nequeat. Hunc apparatum Classenus, cum editionem Bonnensem paravit, confidenter secutus est, unum ipse primus adhibuit codicem Coislinianum 133 saec. XIII. Cuius lectiones cum Const. Schina et Maur. Pinderus enotabant, non modo non integrum librum conferebant, sed ne animadvertebant quidem sexcentis locis correctum esse secunda manu locosque fere quales exhibuerat corrector repraesentabant. Novam viam ingressus est Tafelius, cum primus utilissime adhibuit interpretationem Latinam Anastasii Bibliothecarii atque historicos Byzantinos, qui e Theophane hauserunt; in libris manu scriptis aestimandis reperiendisve nihil profecit, nisi quod excussit recentissimi aevi Monacensem Graec. 391. Specimen huius editionis exstat in actis quae vocantur Sitzungsberichte der Kaiserl. Akademie der Wissenschaften zu Wien, Philos.-Hist. Classe. Vol. IX p. 1 sqq.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Quae cum ita essent, cum plane deesse unde certa emendatio proficisceretur intellexissem, constitui notos iam fontes ipse denuo adire, circumspicere novos, ut recensio utiliter fieret. Suppetebant autem libri manu scripti hi:

Paris. Reg. 1710 saec. X, initio et in fine mutilus. In hoc extat chronographiae textus multifariam mutatus; differt autem a vulgari, in priore praecipue libri parte, similiter atque Malalas, qualis continetur codice Barocciano, ab iis quae Constantinus Porphyrogennetus ex integro Malala excerpsit. Librarius multa omisit vel in breve coëgit, sermonem multis locis mutavit, paene nihil addidit. Desunt cum alia tum quae Theophanes cuiusque anni initio de imperatorum Romanorum, regum Persarum, principum Arabum, patriarcharum seriebus indicat, nisi quod iis locis, quibus ille omnium istorum nomina numerosque annorum, per quos regnaverunt, tradit, librarius annorum a mundi origine et incarnatione Christi numeros repetit. Caute igitur adhibendus est hic liber, cum quas solus habeat lectiones haud raro bonas maximam partem non ex archetypo quodam reliquis meliore descriptas sed a librario inventas et verisimiles potius quam veras esse appareat. Ubi eius, qui Theophanis narrationem mutavit, verba, non ipsius Theophanis codex exhibet, lectiones libri annotare neglexi, ne apparatus frustra ampliaretur. Ex hoc cum integrior exstaret transscriptus est Parisinus Regius 1709, saec. XVI; hinc quae illi desunt addidi.

Saeculi XI sunt Vaticanus 155, qui deficit p. 461, 10, et Paris. Regius 1711; saeculi XII Vaticanus 154 lacunosus, qui continet tantum res usque ad imperii Iustinianei initia gestas, et Vaticanus 978, quem referunt paginae a 62, 29 usque ad 468, 28. Saeculi XIII est Coislinianus 133. In hoc quae lector quidam temere multa correxit, cum a libro aliquo manu scripto nequaquam repeti possint, fere consulto neglexi. Fieri igitur non poterit, quin a Classeno recentiorem manum referente meae lectiones non raro discrepent. Saeculo XV et XVI scripti sunt Barberini II, 54 et V, 49 (huius superest unus quaternio paginas 1—17, 16 continens), Vaticanus 979, Vaticanus Palatinus 395, Urbinas 87, Vallicellanus F 35, Parisinus Regius Suppl. 327 (antea Peyrezianus), Monacensis Graec. 391, Taurinensis XXVII b. V, 7, Scorialensis Φ — III — 17. Barberinus II, 54 ex Vaticano 155 transscriptus est; quae in hoc deerant accessisse puto ex Vaticano 979 vel Vatic. Palatino 395. Magni aestimandus est quaternio Barb. V, 49. Recentiores reliquos, postquam erant hic illic collati, adeo inter se consentire intellexi, ut omnium enotare lectiones supersederem; excussi eos, quorum mihi facilis copia facta est, Vatic. Palatinum 395 et Monacensem Graec. 391.

Adhibui igitur, ut iam operam meam uno conspectu illustrem, codicum editoris Bonnensis Vaticanum 154 = b, Vaticanum 155 = c,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Vat. Palatinum 395 = e, Coislinianum 133 = A, eosque denuo collatos. Hos aeque atque ille indicavi, nisi quod codici A, ne duo litterarum genera exstarent, notam f indidi. Adhibui praeter illos codices Parisinum 1711, quo editio Parisina nititur, hunc quoque denuo collatum et, quem ex parte tantum usurpaverat Tafelius, Monacensem Graec. 395. Primus in rem meam converti Parisinos Regios 1709 et 1710, Vaticanum 978, quaternionem Barber. V, 49.

Maximi ad verba Theophanis restituenda momenti est Latina interpretatio ab Anastasio Bibliothecario sexaginta vel septuaginta annis post illius operam confecta. Quam tamen non minus coactus fui denuo tractare, cum prorsus neglecta diu iacuisset. In altero huius editionis volumine paene nova repraesentabitur. Nolim igitur quemquam mirari, quod Anastasii verba, qualia in adnotatione critica a me transscripta sunt, a libris impressis haud raro recedant.

Sequitur ut disceptandum sit, quae intercedat inter codices ratio. Optimum autem esse iudico Vaticanum 154, non, ut adhuc credebatur, Coislinianum 133. Ille tametsi non caret locis vitiosis planeve corruptis, non modo ceteris multum praestat, sed etiam vacat mendis exemplarium, qualia Georgius Monachus et Anastasius Bibliothecarius sexaginta fere annis post Theophanem adhibebant. A libro igitur repetendus est vivo Theophane vel paullo post eius mortem confecto. Ab hoc nullus prope abest nisi quaternio Barberinus V, 49. Uterque ubi deficit, ad Anastasium sine dubio confugiendum est. Prudentis nimirum existimatoris esse in verbis alicuius scriptoris restituendis uti interpretatione non est quod moneam.

Qui supersunt codices a libro originem trahunt valde corrupto. Dignoscuntur in his classes tres, quarum una continet Parisinum Reg. 1710 et Vaticanum 155, altera Paris. Reg. 1711 et Vaticanum 978, tertia Coislinianum 133 et recentiores omnes, Coisliniano multo magis depravatos. Ex tribus generibus nullum utique praefero. Apparet autem in libri archetypi margine et inter lineas eius multa fuisse adnotata partim genuina, partim coniectando effecta. Harum rerum in tertii generis libros non multum irrepsit, ut interpolationibus illi quidem vacent, verum etiam multis careant lectionibus genuinis. Contra est in reliquis codicibus. Non igitur mirum, quod hi multa recte servant, multa habent interpolata vel temere mutata. Accedit quod codex secundae classis archetypus iterum a lectore quodam correctus est, ut huic classi minime confidendum sit; in sola hac si quod occurrit raro probabile. Est igitur inter trium classium lectiones prudenter eligendum ita, ut, si qua Anastasii versione nititur, ubique fere recipienda sit, ubi Anastasii versio nullius momenti est ad rem diiudicandam, primae et tertiae classis lectiones communes ipsa plerumque Theophanis verba repraesentare censendae sint.

Sequentium saeculorum chronographos, qui ex Theophane hause-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

runt, non multum expediebat adhibuisse. Qui quidem partim non ipsa illius verba referunt, veluti Zonaras, partim tractatione critica ipsi quoque egent. Ubicumque inspexi occurrebat textus non minus corruptus quam qualis plerisque libris manu scriptis continetur. Excipio locos quos citat Constantinus Porphyrogennetus in libro de administrando imperio ad codicem referendos Vaticano hic illic meliorem. Forsitan illi, ut Theophanis propinquo, ipsius schedae praesto fuerint.

Eo mihi contigit felicius, ut ex iis scriptoribus, quos adhibuit Theophanes, ipse ad textus emendationem nonnihil conferre possem. Singulis locis unde fluxisse viderentur adnotavi, ubi non liquebat, si qui scriptor indidem hausisse videbatur unde Theophanes; neutrum ubi fieri poterat scriptorum ab illo adhibitorum fontes. Veluti quae usque ad mortem Theodosii II imperatoris narrantur maximam partem referenda sunt ad historias ecclesiasticas Socratis, Sozomeni et Theodoreti. Quamquam neutra usus est ipsa, sed historia tripartita Theodori Lectoris in epitomen redacta, unde ad verbum excerptae sunt *ἐκλογαὶ ἀπὸ τῆς ἐκκλησιαστικῆς ἱστορίας* in Crameri Anecdotis Parisinis Vol. II p. 87 sqq. editae aliaque fragmenta inedita codicis Barocciani 142 [Exc. Bar. a me in margine textus Theophanei designatae]. Quae huc pertinent in margine adscripsi. Eandem epitomen adhibuerunt Georgius Monachus, Iulius Polydeuces, Leo Grammaticus, Nicephorus Callistus, idque ita ut verbo plerumque exprimerent. Ubi igitur *ἐκλογαὶ* illae et Excerpta Barocciana deficiebant, hos scriptores citavi. Ipsorum Socratis, Sozomeni et Theodoreti locos adscripsi eos tantum, ubi non similia atque Theophanes proferebant Georgius reliquique illi, vel ubi apparebat eos non ex epitoma illa hausisse sed ex Theophane ipso.

Restat ut gratias agam quantas possum maximas viris doctissimis, quorum demum auctoritate ac beneficio fieri potuit, ut hoc opus et inciperetur et inceptum persolveretur. Prae ceteris honoris causa nomino academiam regiam Borussicam, quae, antequam numquid possem esset periclitata, pecuniam, ut diversas adirem bibliothecas, benignissime subministravit. In quo Theodori Mommseni potissimum ope me adiutum grato animo profiteor. Deinde si quid profeci magna ex parte acceptum refero bibliothecarum, imprimis Parisinae, Vaticanae, Monacensis praefectis, viris clarissimis. Magnas denique gratias ago academiae regiae Bavaricae sociis, quorum benevolentia, cum opus meum praemio ornavit, effecit, ut in publicum proferre illud auderem.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΘΕΟΦΑΝΟΥΣ ΧΡΟΝΟΓΡΑΦΙΑ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

INDEX SIGLORVM

a. Codex Barberinus V, 49.
b. Codex Vaticanus 154.
c. Codex Vaticanus 155.
d. Codex Paris. Reg. 1710.
δ. Codex Paris. Reg. 1709.
e. Codex Vatic. Palatin. 395.
f. Codex Coislinianus 133.
g. Codex Paris. Reg. 1711.
h. Codex Vaticanus 978.
m. Codex Monacensis Graec. 391.
x. Codicum c et d consensum significat.
y. Codicum e et f et m consensum significat.
z. Codicum g et h consensum significat.
A. Anastasii Bibliothecarii versio latina.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΘΕΟΦΑΝΟΥΣ

3 B
1 P

ΑΜΑΡΤΩΛΟΥ ΜΟΝΑΧΟΥ ΚΑΙ ΗΓΟΥΜΕΝΟΥ
ΤΟΥ ΑΓΡΟΥ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

ΧΡΟΝΟΓΡΑΦΙΑ ΕΤΩΝ ΦΚΗ′

ΑΡΧΟΜΕΝΗ ΑΠΟ ΠΡΩΤΟΥ ΕΤΟΥΣ ΔΙΟΚΛΗΤΙΑΝΟΥ ΕΩΣ ΔΕΥΤΕΡΟΥ ΕΤΟΥΣ ΜΙΧΑΗΛ ΚΑΙ ΘΕΟΦΥΛΑΚΤΟΥ ΥΙΟΥ ΑΥΤΟΥ· ΤΟΥΤ' ΕΣΤΙΝ ΑΠΟ ΤΟΥ ϚΨΟΖ′ ΕΤΟΥΣ ΤΟΥ ΚΟΣΜΟΥ ΕΩΣ ΕΤΟΥΣ ϚΣΤΕ′ ΚΑΤΑ ΤΟΥΣ ΑΛΕΞΑΝΔΡΕΙΣ, ΚΑΤΑ ΔΕ ΡΩΜΑΙΟΥΣ ϚΣΤΚΑ′.

Ὁ μὲν μακαριώτατος ἀββᾶς Γεώργιος, ὁ καὶ σύγκελλος γεγονὼς Ταρασίου, τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, ἑλλόγιμος ἀνὴρ καὶ πολυμαθέστατος ὑπάρχων πολλούς τε χρονογράφους καὶ ἱστοριογράφους ἀναγνοὺς καὶ ἀκριβῶς τούτους διερευνησάμενος, σύντομον χρονογραφίαν ἀπὸ Ἀδὰμ μέχρι Διοκλητιανοῦ, τοῦ βασιλέως Ῥωμαίων καὶ διώκτου τῶν Χριστιανῶν, ἀκριβῶς συνεγράψατο, τούς τε χρόνους ἐν πολλῇ ἐξετάσει ἀκριβολογησάμενος καὶ τὰς τούτων διαφωνίας συμβιβάσας καὶ ἐπιδιορθωσάμενος καὶ συστήσας ὡς οὐδεὶς ἄλλος τῶν πρὸ αὐτοῦ, τάς τε τῶν ἀρχαίων βασιλέων παντὸς ἔθνους πολιτείας τε καὶ τοὺς χρόνους ἀναγραψάμενος καὶ κατὰ τὸ ἐφικτὸν αὐτῷ τοὺς ἀρχιερεῖς τῶν μεγάλων καὶ οἰκουμενικῶν θρόνων, Ῥώμης τε, φημί, καὶ Κωνσταντινουπόλεως, Ἀλεξανδρείας τε καὶ Ἀντιοχείας καὶ Ἱεροσολύμων, τούς τε ὀρθοδόξως τὴν ἐκκλησίαν ποιμάναντας καὶ τοὺς ἐν αἱρέσει λῃστρικῶς ἅρξαντας καὶ τοὺς τούτων χρόνους ἀκριβῶς ἐνέταξεν. ἐπεὶ δὲ τὸ τέλος τοῦ βίου τοῦτον κατέλαβε καὶ εἰς πέρας ἀγαγεῖν τὸν ἑαυτοῦ σκοπὸν οὐκ ἴσχυσεν, ἀλλά, καθὼς προέφημεν, μέχρι Διοκλητιανοῦ συγγραψάμενος τὸν τῇδε βίον κατέλιπε καὶ πρὸς κύριον ἐξεδήμησεν ἐν ὀρθοδόξῳ πίστει,

4 B
2 P

---

1 *Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοφάνους ἡγουμένου perperam vulg. e coni. Goari.* — 2 *μοναχοῦ om.* m. — *καὶ om.* y. — 3 *Ἀγροῦ*] *ἁγίου* ab. — 5 *Διοκλ. ἕως δευτέρου ἔτους om.* b. — 6 *Θεοφίλου υἱοῦ* abcg. — *τοῦτ' ἔστιν ἀπὸ τοῦ om.* c. — 7 ϚΣΤΕ′ *ἔτους* b *ἔτους* ϚΕΤΕ′ f *ἔτους* ϚΣΤΚΑ′ cg. — 8 ϚΣΤΚ′ f. — 9 *μακάριος* acf. — *καὶ om.* g. — 12 *διεξερευνησάμενος vulg.* — 14 *Ῥωμαίων add. ex* abc *om.* gy. — 19 *αὐτό* y. — 23 *χρόνων* b. — *A verbis ἐπεὶ δὲ τὸ τέλος inc. cod. Par.* 1709 (*δ*). — *τοῦτον om.* f. — 26 *κατέλυσε* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμῖν, ὡς γνησίοις φίλοις, τήν τε βίβλον ἣν συνέταξε καταλέλοιπε
5 B καὶ ἀφορμὰς παρέσχε τὰ ἐλλείποντα ἀναπληρῶσαι. ἡμεῖς δὲ τὴν
ἑαυτῶν ἀμαθίαν οὐκ ἀγνοοῦντες καὶ τὸ στενὸν τοῦ λόγου παρητού-
μεθα τοῦτο ποιῆσαι, ὡς ὑπὲρ ἡμᾶς τὴν ἐγχείρησιν οὖσαν. αὐτὸς
3 P δὲ πολλὰ παρακαλέσας ἡμᾶς μὴ ὀκνῆσαι καὶ ἀτέλεστον καταλιπεῖν 5
τὸ ἔργον ἐβιάσατο ἐπὶ τοῦτο ἐλθεῖν. διὸ καὶ ἀναγκασθέντες διὰ
τὴν τούτου ὑπακοήν, εἰς τὰ ὑπὲρ ἡμᾶς ἐγχειρήσαντες κόπον οὐ τὸν
τυχόντα κατεβαλόμεθα. πολλὰς γὰρ βίβλους καὶ ἡμεῖς ἐκζητήσαντες
κατὰ τὸ δυνατὸν ἡμῖν καὶ ἐρευνήσαντες τόδε τὸ χρονογραφεῖον ἀπὸ
Διοκλητιανοῦ μέχρι τῆς βασιλείας Μιχαὴλ καὶ Θεοφυλάκτου, τοῦ 10
υἱοῦ αὐτοῦ, τάς τε βασιλείας καὶ τοὺς πατριάρχας καὶ τὰς τούτων
πράξεις σὺν τοῖς χρόνοις κατὰ τὸ δυνατὸν ἡμῖν ἀκριβῶς συνεγραψά-
μεθα, οὐδὲν ἀφ' ἑαυτῶν συντάξαντες, ἀλλ' ἐκ τῶν ἀρχαίων ἱστοριο-
γράφων τε καὶ λογογράφων ἀναλεξάμενοι ἐν τοῖς ἰδίοις τόποις τε-
τάχαμεν ἑκάστου χρόνου τὰς πράξεις, ἀσυγχύτως κατατάττοντες· ἵνα 15
εἰδέναι ἔχωσιν οἱ ἀναγινώσκοντες ἐν ποίῳ χρόνῳ ἑκάστου βασιλέως ποία
πρᾶξις γέγονεν, εἴτε πολεμική, εἴτε ἐκκλησιαστική, εἴτε πολιτική, εἴτε
6 B δημώδης, εἴτε τις ἑτέρα. οὐ γὰρ μικρὰν ὠφέλειαν, ὡς οἶμαι, καρποῦται
τῶν ἀρχαίων τὰς πράξεις ἀναγινώσκων. εἴ τις δέ τι ἐν τούτῳ τῷ ὁ
πονήματι ἡμῶν ὀνησιφόρον εὕροι, τὴν πρέπουσαν τῷ θεῷ εὐχαριστίαν 20
ἀποδώσῃ καὶ ἡμῖν τοῖς ἀμαθέσι καὶ ἁμαρτωλοῖς διὰ τὸν κύριον
ὑπερεύξηται· καὶ εἴ τι ἐλλεῖπον εὕροι, τῇ ἀμαθίᾳ ἡμῶν τοῦτο λο-
γίσηται καὶ τῇ ἀργίᾳ τοῦ χαμερποῦς νοὸς ἡμῶν· καὶ συγγνώσεται
ἡμῖν διὰ τὸν κύριον. φίλον γὰρ θεῷ τὸ κατὰ δύναμιν.

---

1 ἀτελῆ καταλέλοιπεν *vulg.* — *A verbo* καταλέλοιπε *initium cod. Par.* 1710 (d). — 3 ἀμάθιαν b ἀμαθείαν gm. — 5 παρακαλέσας ἡμᾶς πολλά g. — ἀτελέστατον c. — 8 κατεβαλλόμεθα gm. — 9 τόδε τὸ] τὸ δὲ abf. — χρονογραφεῖον c χρονογράφειον g χρονογράφιον abdy. — 10 Θεοφίλου τοῦ υἱοῦ ag Θεοφίλου υἱοῦ b Θεοφυλάκτου υἱοῦ d Θεοφύλοῦ του τοῦ υἱοῦ c *m. corr.* — 12 ἀκριβῶς *om.* dy. — 15 ἑκάστου τε χρ. b. — 17 εἴτε ἐκκλ. εἴτε πολιτική *om.* em. — 20 πονήματι *om.* a. — 21 ἀποδώσει abcg. ἀποδόσει m. — 22 λογήσηται by λογίσοιτο d. — 24 τῷ θεῷ g. — τέλος τοῦ προοιμίου *add.* a.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κοινῶς κατὰ ταὐτὸν ἐβασίλευον Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἐρκούλιος· Τούτων τέκνα·

Μαξιμιανοῦ

Μαξέντιος ὁ τυραννήσας Ῥώμην.	*Θεοδώραν ἔγημε Κωνσταντῖνος* (sic), *ὁ τοῦ μεγάλου Κωνσταντίνου πατήρ, τοῦ τεκόντος αὐτὸν ἐξ Ἑλένης τῆς πρώτης αὐτοῦ γυναικός.*	*Φαῦστα, γαμετὴ τοῦ μεγάλου Κωνσταντίνου.*

Τούτων ἀποθεμένων τὴν βασιλείαν οἱ ὑπ' αὐτῶν γενόμενοι καίσαρες κατὰ ταὐτὸν ἄμφω ἐβασίλευσαν Μαξιμιανὸς Γαλλέριος, γαμβρὸς Διοκλητιανοῦ ἐπὶ θυγατρὶ Βαλερίᾳ, καὶ Κωνστάντιος· ὅστις γήμας

Θεοδώραν, θυγατέρα τοῦ Ἐρκουλίου γεννᾷ·		*ἐκ δὲ Ἑλένης τῆς θεοφιλοῦς γεννᾷ·*
Κωνστάντιον, πατέρα Γάλλου καὶ Ἰουλιανοῦ τοῦ ἀποστάτου.	*Ἀναβαλλιανόν. Κωνσταντίαν, γαμετὴν Λικινίου.*	*τὸν μέγαν Κωνσταντῖνον. Οὗτος δὲ ἐκ Φαύστας, θυγατρὸς Ἐρκουλίου, γεννᾷ·*
	Κρίσπον. Κωνστάντιον. Κωνσταντῖνον. Κώνσταντα.	*Ἑλένην, γαμετὴν Ἰουλιανοῦ τοῦ ἀποστάτου.*

Haec genealogia in solis ab *extat.* — 1 *κατὰ ταὐτὸν mg.* a *κατ' αὐτῶν* ab. — *Ἐρκούλλιος* b. — 10 *ἀπ' αὐτῶν* a. — 12 *inter γήμας et* 13 *Θεοδώραν litura intercedit in* b; *item v.* 13 *ἐκ δὲ* b *in lit.* — *Ἐρκουλλίου* b. *item v.* 17. — 15 *Σημ. ὅτι Κωνσταντῖνος* (sic) *ὁ πατὴρ τοῦ μεγάλου Κωνσταντίνου* (*Κωνστ. om.* a) *καὶ αὐτὸς Κωνστάντιος* (sic) *δύο ἀδελφὰς ἔγημαν, Θυγατέρας Μαξιμιανοῦ τοῦ Ἐρκουλίου* (*Ἐρκουλλίου* b) *marg.* ab. *Item verba Δαλμάτιος, ἐξ οὗ Δαλμάτιος ὁ νεώτερος, quae in codicibus in ipsam genealogiam irrepserunt, e scholio ad Ἀναβαλλιανὸν adscripto nata esse videntur.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

7 B
4 P

ΧΡΟΝΟΓΡΑΦΙΑ

ΑΠΟ ΔΙΟΚΛΗΤΙΑΝΟΥ ΕΩΣ ΜΙΧΑΗΛ ΚΑΙ ΘΕΟΦΥΛΑΚΤΟΥ ΤΩΝ ΒΑΣΙΛΕΩΝ.

286 A. M. 5777

Κόσμου ἔτη ,εψοζ΄. *Τῆς θείας σαρκώσεως* ἔτη σοζ΄. *Ῥωμαίων βασιλεὺς Διοκλητιανὸς* ἔτη κ΄. α΄. *Περσῶν βασιλεὺς Οὐαρράχης* ἔτη ιζ΄. ιε΄.

Ῥώμης ἐπίσκοπος κθ΄ *Γάϊος* ἔτη ιε΄. ζ΄. *Ἱεροσολύμων* ἐπίσκοπος κη΄ *Ὑμέναιος* ἔτη κδ΄. ιγ΄. *Ἀλεξανδρείας* ἐπίσκοπος ις΄ *Θεωνᾶς* ἔτη ιθ΄. ια΄. *Ἀντιοχείας* ἐπίσκοπος ιθ΄ *Τύραννος* ἔτη ιγ΄. β΄.

287 A. M. 5778 β΄. ις΄. η΄. ιδ΄. ιβ΄. γ΄.

288 A. M. 5779 γ΄. ιζ΄. θ΄. ιε΄. ιγ΄. δ΄.

289 A. M. 5780. 8 B *Περσῶν βασιλεὺς Οὐαραράνης ἔτος α΄.* δ΄. α΄. ι΄. ις΄. ιδ΄. ε΄.

Τούτῳ τῷ ἔτει Διοκλητιανὸς Μαξιμιανὸν τὸν Ἡρκούλιον κοινωνὸν ἀνέδειξε τῆς αὐτοῦ βασιλείας τῷ τετάρτῳ αὐτοῦ χρόνῳ.

290 A. M. 5781 *Περσῶν βασιλεὺς ζ΄ Ναρσῆς ἔτη η΄.* ε΄. α΄. ια΄. ιζ΄. ιε΄. ς΄.

291 A. M. 5782 ς΄. β΄. ιβ΄. ιη΄. ις΄. ζ΄.

Euseb. Chron. ‖ *Τούτῳ τῷ ἔτει Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἡρκούλιος Ὀβούσιριν καὶ Κόπτον, πόλεις ἐν Θήβαις τῆς Αἰγύπτου, εἰς ἔδαφος κατέσκαψαν ἀποστατησάσας τῆς Ῥωμαίων ἀρχῆς.* ‖

292 A. M. 5783 ζ΄. γ΄. ιγ΄. ιθ΄. ιζ΄. η΄.

293 A. M. 5784 η΄. δ΄. ιδ΄. κ΄. ιη΄. θ΄.

294 A. M. 5785 θ΄. ε΄. ιε΄. κα΄. ιθ΄. ι΄.

Versus 1—3 *om.* em. — 3 *Θεοφίλου* ab *Θεοφυλοῦ τοῦ* c *m* 2 *mut. c Θεοφυλάκτου.* — *τῶν βασιλέων*] βασιλέως c ββ f. *υἱοῦ αὐτοῦ βασιλέων* g. — 6^4 *Οὐαραράχης* c *Οὐαράχης* f *Ὀναράχης* em *Ἀραρενχής* g. — 10^1 *κθ΄ om.* cgy. — 10^2 *κη΄ om.* cy. *λη΄?*. — 10^3 *ις΄ om.* gy. — 10^4 *ιθ΄ om.* gy. — 11^2 *Ὑμένεος* abcy *Ὑμένος* g. — 11^3 *Θεονᾶς* bg. — 12^1 *ἔτη ις΄* ab. — 16 *om.* f. — *Οὐαράρης* g. — 18 *Μαξιμῖνον* cy. — *Ἐρκούλλιον* b *ubique fere et* a *haud raro.* — 20 *Νάρσης* b. — 23 *Μαξιμιανὸς καὶ Διοκλητιανὸς ὁ Ἐρκ.* g. — 24 *Ὀβούσιριν* fgx *Ὀβούσιριν* a *Ὀβουσίριν* b *Βούσιριν* em. — *Κόπον* a *Κόπτων* dgy. — 25 *κατέσκαψεν* dgy. — *ἀποστατησάσας* ac *ἀποστατήσας* bdgy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

‖ *Τούτῳ τῷ ἔτει Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἐρκούλιος καίσαρας ἐποίησαν Κωνστάντιον καὶ Μαξιμιανὸν Γαλλέριον. καὶ ὁ μὲν Διοκλητιανὸς δέδωκε τὴν ἑαυτοῦ θυγατέρα πρὸς γάμον τῷ Γαλλερίῳ, ὁ δὲ Ἐρκούλιος Μαξιμιανὸς Θεοδώραν, τὴν ἑαυτοῦ θυγατέρα, τῷ Κωνσταντίῳ συνέζευξεν, καίτοι γε ἑκατέρων γαμετὰς ἐχόντων, ἃς ἀπώσαντο διὰ τὴν πρὸς τοὺς βασιλεῖς στοργήν.* ‖ cf. Eutrop. IX, 22

Ῥώμης ἐπίσκοπος Μαρκελλῖνος ἔτη β΄. A. M. 5786
Ἀλεξανδρείας ἐπίσκοπος Πέτρος ὁ μάρτυς ἔτη ια΄. 5 P
ι΄. ς΄. α΄. κβ΄. α΄. ια΄.

‖ *Τούτῳ τῷ ἔτει Ἀλεξάνδρεια σὺν τῇ Αἰγύπτῳ εἰς ἀποστασίαν ὑπὸ Ἀχιλλέως ἀχθεῖσαι οὐκ ἀντέσχον τῇ Ῥωμαίων προσβολῇ, καθ' ἣν πλεῖστοι ἀνῃρέθησαν, δίκην δεδωκότων τῶν τῆς ἀποστασίας αἰτίων.* ‖ Euseb. Chron. 9 B

ια΄. ξ΄. β΄. κγ΄. β΄. ιβ΄. A. M. 5787

‖ *Τούτῳ τῷ ἔτει Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἐρκούλιος διωγμὸν μέγαν καὶ φρικωδέστατον κατὰ Χριστιανῶν ἤγειραν καὶ πολλὰς μυριάδας μάρτυρας ἐποίησαν, παντοίας βασάνους ἐπινοοῦντες καὶ πολλὰ κακὰ ἐργαζόμενοι. περὶ ὧν τις ἐπερχόμενος τὴν η΄ βίβλον τῆς ἐκκλησιαστικῆς ἱστορίας Εὐσεβίου τοῦ Παμφίλου εἴσεται.* ‖ Exc. Barocc. Cramer II, 90

Κόσμου ἔτη ,ερπη΄.	Τῆς θείας σαρκώσεως ἔτη σπη΄.	Ῥωμαίων βασιλεὺς Διοκλητιανὸς ἔτη κ΄. ιβ΄.	Περσῶν βασιλεὺς ζ΄ Ναρσῆς ἔτη η΄. η΄.	Ῥώμης ἐπίσκοπος λ΄ Εὐσέβιος ἔτος α΄. α΄.	A. M. 5788
	Ἱεροσολύμων ἐπίσκοπος κη΄ Ἰούδας ἔτη κδ΄. κδ΄.	Ἀλεξανδρείας ἐπίσκοπος ιζ΄ Πέτρος ἔτη ια΄. γ΄.	Ἀντιοχείας ἐπίσκοπος ιθ΄ Τύραννος ἔτη ιγ΄. ιγ΄.		

‖ *Τούτῳ τῷ ἔτει νεωτερισμοῦ γεγονότος ἐν Γαλλίαις ὑπὸ Ἀμάνδου καὶ Αἰλιανοῦ Μαξιμιανὸς ὁ Ἐρκούλιος διαβὰς καθεῖλεν* Eutrop. IX, 20

---

2 *Γαλέριον ubique fere* b. — 3 *τῇ ἑαυτοῦ θυγατρί* g. — 4 *τὴν ἑαυτοῦ θυγ. Θεοδ.* dgy. — 5. *ἐχόντων om.* a. — 6 *πρός*] *εἰς* g. — 7 *Μαρκελλῖνος* ab *Μάρκελλος* cgyA — 8 *ὁ om.* g. — *ἱερομάρτυς* gy. — 11 *Ἀχιλέως* b. — *οὐκ ἀντέσχον* ab *οὐ κατέσχον* gxy. — 16 *κατὰ τῶν Χρ.* em. — *ἤγειραν* ab Exc. Bar. *ἀνήγειραν* gxy. — 17 *μαρτύρων* g. — 18 *τις om.* abcg. — *τὴν η΄ βίβλον coni.* Combefis *τὴν ὀκτάβιβλον codd.* — 19 *ἱστορ. τῆς Εὐσεβ.* def. — *τοῦ om.* f. — *ἴσεται codd.* — *Post ἴσεται* d *add.: τότε καὶ ὁ ἅγιος Εὐστράτιος, ὁ ἀπὸ τῆς Ἀρυνακινῶν ὁρμώμενος πόλεως ἅμα τῷ ἁγίῳ Αὐξεντίῳ καὶ τρισὶν ἑτέροις, Μαρδαρίῳ, φημί, καὶ Ὀρέστῃ σὺν Εὐγενίῳ ἐμαρτύρησεν.* — 21[4] *ξ΄ om.* ac (cf. not. ad. vers. 23[4]) *post Ναρσῆς inserunt* by. — 21[5] *λ΄ om.* cgy. — 22[4] *Νάρσης* b. — 23[4]—24[4] *ἔτη ξ΄. εη΄* ac. — 26[1] *κη΄ om.* cy *λη΄?*. — 26[2] *ιζ΄ om.* acgy. — 26[3] *ιθ΄ om.* acf. — 27[1] *Ὑμένεος* cgy *Οἰμένεος* b *Ὑμένιος* a. — 27[2] *Πέτρος ὁ μάρτυς* ac. — 28[1]—29[1] *ἔτη κδ΄. κ΄.* ac *ἔτη κη΄. κ΄.* y *ἔτη κη΄. κδ΄.* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Eutrop. IX, 22 αὐτούς. ‖ ἀλλὰ καὶ Κράσος ἀντῆρε καὶ Βρεττανίαν κατέσχεν, καὶ οἱ πέντε Γεντιανοὶ τὴν Ἀφρικήν, καὶ Ἀχιλλεὺς τὴν Αἴγυπτον. ἀλλὰ Κράσον μὲν ἐπὶ τρισὶν ἔτεσι τὴν Βρεττανίαν κατασχόντα Ἀσκληπιόδο-
Eutrop. IX, 23 τος ὁ ἔπαρχος ἀνεῖλεν. ‖ ἐν δὲ ταῖς Γαλλίαις ἀγχίστροφος ἐκ παραδόξου γέγονε Κωνσταντίῳ τῷ καίσαρι τύχη· ἐν ὥραις γὰρ ἓξ τῆς αὐτῆς ἡμέρας καὶ ἡττώμενος ὤφθη καὶ νικῶν ἀπεδείχθη. ἄρτι μὲν γὰρ ἐπικλύσαντες οἱ Ἀλαμάνοι τῷ Κωνσταντίου στρατῷ ἄχρι καὶ εἰς τὰ τείχη κατεδίωξαν, αὐτὸς δὲ ἠκολούθει τελευταῖος φεύγοντι
10 B τῷ στρατῷ. ἐπειδὴ δὲ κεκλεισμένων τῶν πυλῶν οὐδὲ ἔσω τοῦ τείχους ἠδυνήθη εἰσελθεῖν, χεῖρας ἐξέτεινον οἱ πολέμιοι πρὸς τὸ συλλαβεῖν αὐτόν· σχοίνους δὲ καθέντες ἀπὸ τοῦ τείχους ἀνείλκυσαν αὐτόν. ἔσω δὲ γενόμενος καὶ τὸν στρατὸν παραθαρσύνας, ἐπεξελθὼν τοῖς Ἀλαμάνοις νίκην ἔσχε λαμπράν, ὥστε ἑξακισχιλίους πεσεῖν. Μαξιμιανὸς δὲ ὁ Ἑρκούλιος τῶν πέντε Γεντιανῶν ἐν τῇ Ἀφρικῇ ἐκράτησεν.
6 P
Exc. Barocc. Διοκλητιανὸς δὲ ἐν Ἀλεξανδρείᾳ τὸν Ἀχιλλέα καθεῖλεν. ‖ συνῆν δὲ αὐτῷ καὶ Κωνσταντῖνος, ὁ υἱὸς Κωνσταντίου, κομιδῆ νέος ὑπάρχων, ἀριστεύων ἐν τοῖς πολέμοις. ὃν ὁρῶν Διοκλητιανὸς φθόνῳ κινηθεὶς δόλῳ ἀνελεῖν ἐσπούδαζεν. θεὸς δὲ τοῦτον παραδόξως διέσωσε καὶ τῷ πατρὶ ἀπέδωκεν. ‖

A. M. 5789 Περσῶν βασιλεὺς Ὁρμίσδας ἔτη ϛ'.
Ῥώμης ἐπίσκοπος Μιλτιάδης ἔτη δ'.
Ἱεροσολύμων ἐπίσκοπος κθ' Ζάβδας ἔτη ι'.
ιγ'. α'. α'. α'. γ'. ιδ'.

Euseb. Chron. ‖ Τούτῳ τῷ ἔτει Οὐετήριος στρατοπεδάρχης τοὺς ἐν στρατείᾳ Χριστιανοὺς ἤλαυνε μετρίως, ἔκτοτε τοῦ κατὰ πάντων ὑποτύφοντος διωγμοῦ. ‖

A. M. 5790 Ἀντιοχείας ἐπίσκοπος κ' Βιτάλιος ἔτη ϛ'.
ιδ'. β'. β. β'. δ'. α'.

A. M. 5791 ιε'. γ'. γ'. γ'. ε'. β'.

A. M. 5792 ιϛ'. δ'. δ'. δ'. ϛ'. γ'.

A. M. 5793 Ῥώμης ἐπίσκοπος λβ' Σίλβεστρος ἔτη κη'.
ιζ'. ε'. α'. ε'. ζ'. δ'.

---

1 *Κράσος*] Carausius Eutrop. — *Βρετανίαν* bd *Βριττανίαν* gy *item v.* 3. 2 *Γεντιάνοι* b *Γεττιανοὶ* g. — *Ἀχιλεύς* bm. — *ἀλλὰ καὶ Κρᾶσον* c. — 4 *ὕπαρχος* c. — 5 *τῷ add.* ab *om.* gxy. — 7 *ἐπιβλύσαντες* a *et ut vid.* b. — *Ἀλαμάνοι* ab Eutrop. *Ἀλανοὶ* gxy. — 8 *κατεδίωξεν* dy. — *δὲ om.* em. — 10 *ἐξέτειvον* ab *ἐξέτειναν* gxy. — 11 *σχοίνους* ac *σχοίνοις* b *σχοινίοις* dgy. — *ὑπὸ* y. — 12 *παραθαρρύνας* g. — 13 *Ἀλαμάνοις* ab *Ἀλανοῖς* gxy. — *ἑξακισχιλίους*] sexaginta milia Eutrop. — 14 *ὁ om.* b. — *πέντε Γεττιανῶν* g *ἐγεντιανῶν* b. — 15 *Ἀχιλέα* b. — 16 *καὶ om.* em. — 19 *ἀποδέδωκεν* b. — 20 *Ὁρμίσδας codd. praeter* f. — 21 *Μιλιστιάδης* b *Μελτιάδης* g. — 22 *κθ' Ζάβδας ἔτη ι'.* — 27 *ἐπίσκοπος κ' om.* g. — *κθ'*] *κβ'* c *γα'* f *om.* em *λθ'*?. — *Βάσδας* m. — 24 *Οὐετέριος* dem. — *στρατίᾳ* cfm. — 25 *ὑποστύφοντος* d *ὑποστύφωντος* em *ὑποτυφῶντος* f. — *De numeris ann.* 5790—93 *mirum quantum corruptis in codd. egi in dissert. de codd. Theoph.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τούτῳ τῷ ἔτει Μαξιμιανὸς Γαλλέριος κατὰ Νάρσεως, τοῦ τῶν 11 B
Περσῶν βασιλέως τὸ τηνικαῦτα τὴν Συρίαν καταδραμόντος καὶ
ληϊζομένου, ἀπεστάλη ὑπὸ Διοκλητιανοῦ. ‖ καὶ συμβαλὼν αὐτῷ κατὰ Eutrop. IX, 24
τὴν πρώτην μάχην ἡττᾶται περὶ Καλλίνικον καὶ Κάρρας. ἐπανιὼν
δὲ ἐκ τῆς φυγῆς ὑπήντησε Διοκλητιανῷ ἐπ' ὀχήματος φερομένῳ. ὁ δὲ
τὸν καίσαρα μετὰ τοῦ ἰδίου σχήματος οὐ προσδεξάμενος ἀφῆκεν
ἐπὶ πλεῖστον τρέχειν καὶ προηγεῖσθαι τοῦ ὀχήματος. ‖ μετὰ δὲ ταῦτα Eutrop. IX, 25
συναχθείσης δυνάμεως πολλῆς πάλιν Μαξιμιανὸς ὁ Γαλλέριος καῖσαρ
ἐπὶ τὸν Νάρσεως πόλεμον ἐκπέμπεται χρησάμενος δεξιᾷ τύχῃ, τολ-
μήσας καὶ πράξας ἃ μηδεὶς ἕτερος. τόν τε γὰρ Νάρσεα μέχρι τῆς
ἐνδοτέρας Περσίδος ἐδίωξε καὶ κατέσφαξε πᾶν τὸ στρατόπεδον καὶ
τὰς τούτου γυναῖκας καὶ παῖδας καὶ ἀδελφὰς παρέλαβε καὶ πάντα
ὅσα ἐκεῖνος ἐπεφέρετο, χρημάτων θησαυροὺς καὶ τοὺς ἐν Πέρσαις
λαμπρούς, μεθ' ὧν ἐπανελθόντα Διοκλητιανὸς ἐν Μεσοποταμίᾳ διάγων
ἀσμένως ἐδέξατο τιμήσας. καὶ ἰδίᾳ ἕκαστος καὶ κοινῇ πάντες οὗτοι
πρὸς πολλοὺς τῶν βαρβάρων πολεμήσαντες πάντα κατώρθωσαν. ‖
ἀρθεὶς δὲ ὑπὸ τῆς τῶν πραγμάτων εὐροίας Διοκλητιανὸς προσκυνεῖ- Eutrop. IX, 26
σθαι ὑπὸ τῶν συγκλητικῶν, καὶ οὐ προσαγορεύεσθαι κατὰ τὸ πρότερον 12 B 7 P
σχῆμα ἀπήτησεν. ἐκαλλώπισε δὲ καὶ τὰς βασιλικὰς ἐσθῆτας καὶ τὸ
ὑπόδημα χρυσίῳ καὶ μαργαρίταις καὶ λίθοις τιμίοις. ‖ Κωνσταντίνου Alex. Mon. col. 4049 sqq. Migne
δέ, τοῦ υἱοῦ Κωνσταντίου, ἐν τῇ ἀνατολῇ καὶ Παλαιστίνῃ διάγοντος
καὶ τὰ Χριστιανῶν φρονοῦντος, ὁρῶν τοῦτον ὁ Γαλλέριος Μαξιμιανὸς
συνέσει ψυχῆς καὶ σώματος ῥώμῃ καὶ τῇ περὶ τὴν παίδευσιν εὐφυίᾳ
προκόπτοντα μαντευσάμενός τε τοῦτον καταλυτὴν ἔσεσθαι τῆς τυ-
ραννίδος καὶ τῶν δογμάτων αὐτοῦ, δόλῳ θανατῶσαι τοῦτον ἐσκέψατο.
θεία δὲ προμηθείᾳ τὸν δόλον μαθών, ὡς Δαβίδ, φυγῇ τὴν σωτηρίαν
πορίζεται καὶ πρὸς τὸν ἴδιον πατέρα διασώζεται, πολλὰ σὺν αὐτῷ
τῷ Χριστῷ εὐχαριστῶν τῷ σώσαντι αὐτόν. ‖

ιη'. ς'. β'. ς'. η'. ε'. A. M. 5794

‖ *Τούτῳ τῷ ἔτει Θεοτέκνῳ γόητι πειθόμενος ὁ Γαλλέριος Μαξι-* Exc. Barocc.
μιανὸς ἐν τῷ θύειν τοῖς δαίμοσι καὶ λαμβάνειν χρησμούς, ὑποδὺς τῷ
ἄντρῳ ὁ Θεότεκνος χρησμόν, κατὰ Χριστιανῶν ἐγεῖραι διωγμόν, τούτῳ
δέδωκεν. ‖ τὰ δὲ ὑπομνήματα τοῦ σωτῆρος ἐπλάσατο καὶ πανταχόσε Exc. Barocc.
ἐφ' ὕβρει ἀπέστειλε καὶ τοῖς γραμματοδιδασκάλοις τοὺς παῖδας δι-

---

2 τὸ c τῷ abdgy τοῦ *vulg.* — 4 *μάχην*] ἧτταν ab. — 5 *Διοκλητιανῷ* ac *Διοκλητιανός* bdgy. — 8 *καίσαρ* abfgx. — 9 *Νάρσεως—χρησάμενος om.* y. — *Ναρσέως* bd. — *χρησόμενος* Classen. — *τείχη* bc. — 10 *Ναρσέα* ab *Ναρσεα* (*sine acc.*) c *Ναρσέον* dem *Ναρσέων* f. — 11 *καὶ κατέσφ. δὲ πᾶν* ab. — *τὸ om.* dgy. — 12 *παρέλαβε καὶ* ab *cf.* Eutrop. *καὶ παρέλαβε* gxy. — 13 *ὑπεφέρετο* ab. — 16 *πάντα* abc *πολλὰ* dgy. — 19 *καὶ τὰς βασιλικὰς ἐσθῆτας add. ex* ab Eutrop. *om.* gxy. — 25 *καὶ om.* f. — 26 *φυγῇ*] *φεύγει καὶ* g. — 27 *πολλὰς* b. — 30 *πειθόμενος γόητι* dem. — *ὁ om.* em. — 33 *πανταχόσ* b.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

13 B δάσκειν προσέταξεν, ὡς διαγελᾶσθαι τὸ καθ' ἡμᾶς μυστήριον παρασκευάζων. ‖

304 A. M. 5795 Περσῶν βασιλεὺς Θ' Σαβώρης ἔτη ο'.
ιθ'. α'. γ'. ζ'. θ'. ς'.

Τούτῳ τῷ ἔτει προστάγματα βασιλικὰ ἐδόθη, τὰς ἐκκλησίας τοῦ Χριστοῦ ἐδαφίζεσθαι καὶ τὰς θείας βίβλους κατακαίεσθαι, ἱερεῖς δὲ καὶ πάντας Χριστιανοὺς βασάνοις παραδίδοσθαι καὶ θύειν εἰδώλοις ἀναγκάζεσθαι. καὶ ἦν οὗτος ὁ διωγμὸς πάντων φρικωδέστατος ἀναριθμήτους μάρτυρας ἀποτελέσας.

305 A. M. 5796 κ'. β'. δ'. η'. ι'.
Alex. Mon. col. 4049 B. ‖ Τούτῳ τῷ ἔτει Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἐρκούλιος ἐξ ἀπονοίας τὴν βασιλείαν ἀπέθεντο ἰδιωτικὸν ἀναλαβόμενοι σχῆμα. ‖
Eutrop. IX, 27 καὶ Διοκλητιανὸς μὲν κατὰ Σάλωνα τῆς Δελματίας τὴν ἑαυτοῦ πόλιν ἰδιωτεύων βιοῖ, Ἐρκούλιος δὲ Μαξιμιανὸς ἐν Λυκαονίᾳ, πρότερον τὴν ἐπινίκιον ἐν Ῥώμῃ ἐπιτελέσαντες πομπήν, ἐν ᾗ προεπόμπευον
8 P μὲν Ναρσέου τῶν ὀχημάτων τὸ πλῆθος καὶ αἱ τούτου γυναῖκες καὶ παῖδες καὶ ἀδελφαί· μετὰ ταῦτα δὲ ἀναχωρήσαντες διῆγον
Eutrop. X, 1 ἐφ' ἑαυτῶν, ‖ καταστήσαντες ἀντ' αὐτῶν βασιλεύειν τῆς μὲν ἑῴας Γαλλέριον Μαξιμιανόν, τῶν δὲ ἑσπερίων μερῶν Κωνστάντιον, ὃς ὀλίγῳ μέρει τῆς ἀρχῆς ἀρκούμενος λίαν ἦν ἥμερος καὶ ἀγαθὸς τὸν
14 B τρόπον, καὶ οὐδὲν αὐτῷ πρὸς τὸ ταμιεῖον ἐσπουδάζετο· μᾶλλον γὰρ τοὺς ὑπηκόους θησαυροὺς ἔχειν ἐβούλετο. καὶ τοσοῦτον ἦν ἐγκρατὴς περὶ χρημάτων κτῆσιν, ὥστε καὶ πανδήμους ἐπιτελεῖν ἑορτὰς καὶ πολλοὺς τῶν φίλων συμποσίοις τιμῶν ἠγαπᾶτο πάνυ παρὰ τῶν Γάλλων τῷ πικρῷ Διοκλητιανοῦ καὶ τῷ φονικῷ Μαξιμιανοῦ τοῦ Ἐρκουλίου συγκρινόντων, ὧν ἀπηλλάγησαν δι' αὐτοῦ. ‖ οὗτος τελευτᾷ ἐν Βρεττανίαις βασιλεύσας ἔτη ια', ἀναγορεύσας ἀντ' αὐτοῦ βασιλέα Κωνσταντῖνον τὸν πρωτότοκον υἱὸν αὐτοῦ ζῶν ἔτι ἐπ' ὄψεσι παντὸς τοῦ λαοῦ, περιόντων καὶ τῶν λοιπῶν αὐτοῦ παίδων τῶν ὁμοπατρίων Κωνσταντίνου, Κωνσταντίου, φημί, καὶ Ἀναβαλλιανοῦ, τοῦ καὶ Δαλματίου,

---

1 καθ' ἡμῶν aby *et sec. m.* c. — παρεσκεύαζεν y. — 3 *Π. βασ.* Σαβώρης Θ'. ἔτη Θ'. c. — Σαπώρης ab. — 6 Θείους g. — 8 φρικωδέστερος ab. — *Ante v.* 10 ab *add.* Ῥώμης ἐπίσκοπος λα'. — 10 *Numerum episcopi Antioch. omisi cum codicibus.* — 12 ἐξ ἀνοίας g. — 14 δὲ *om.* y. — ὁ Μαξ. gxy. — Λυκαονίᾳ] Lucaniam Eutrop. Λευκανίᾳ? — 15 ἐπιτελέσας egm τελέσαντες d. — 16 Ναρσέου abdy Νάρσεως cg. Narsei Eutrop. — αἱ *om.* ab. — 19 δὲ *om.* ab. — 21 ταμεῖον fg. — γὰρ ab δὲ gxy. — 23 ἐπιτελῶν *scripsisse Theophanem et post.* τιμῶν *intercidisse quaedam suspicor coll. Eutrop.* — 25 τῶν πικρῶν (τῷ πικρῷ y) *Δ.* καὶ τῶν φονικῶν *M.* τοῦ Ἐ. συγκρίνοντες aby τὸ πικρὸν *Δ.* καὶ τὸ φονικὸν *M.* τοῦ Ἐ. συγκρινόντων cg τὸ πικρὸν καὶ φονικὸν *Δ.* καὶ *M.* συγκρίνοντες d. — 26 Βρετανίαις b Βριττανίαις em. — 28 αὐτοῦ υἱὸν cf. — ἔτι] ἐπὶ em *om.* f. — 30 Ἀναβαλλιανοῦ ab Ἀναβαλλίνου dg Ἀναβαλίνου y Ἀναβαλίου c *Anaballeno Δ.* — Δελματίου f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γεννηθέντων ἐκ Θεοδώρας, θυγατρὸς Ἐρκουλίου. ‖ ὁ γὰρ Κωνστάν- Hieron. Chron.
τῖνος ἐξ Ἑλένης ἦν, τῆς προτέρας γυναικὸς Κωνσταντίου. ὁ δὲ
Κωνστάντιος, ὁ τούτων πατήρ, θυγατρίδης ἦν Κλαυδίου τοῦ βασιλέως,
Γαλλέριος δὲ γαμβρὸς Διοκλητιανοῦ ἐπὶ θυγατρὶ Βαλερίᾳ. ‖ τότε Eutrop. X, 2
Γαλλέριος Μαξιμιανὸς ἐπὶ Ἰταλίαν ἐλθὼν ἐχειροτόνησε καίσαρας δύο·
καὶ ἐπέστησε Μαξιμιανὸν μέν, τὸν ἴδιον υἱόν, κατὰ τὴν ἑῴαν, Σευῆρον
δὲ κατὰ τὴν Ἰταλίαν. οἱ δὲ ἐν Ῥώμῃ στρατιῶται ἀνηγόρευσαν Μαξέν- 15 B
τιον, τὸν υἱὸν Μαξιμιανοῦ τοῦ Ἐρκουλίου, βασιλέα. ὅθεν ὁ Ἐρκού-
λιος εἰς ἐπιθυμίαν πάλιν τῆς βασιλείας ἀρθεὶς ‖ ἐπεχείρησε μὲν Eutrop. X, 3
ἀποδῦσαι τὸν ἴδιον υἱὸν Μαξέντιον, ἐπεχείρησε δὲ δόλῳ τὸν γαμβρὸν
Κωνστάντιον ἀνελεῖν. ἀλλὰ τῆς μὲν πρὸς τὸν υἱὸν ἐπιχειρήσεως
ὑπὸ τῶν στρατιωτῶν ἀπηλάθη, ἐν δὲ τῇ κατὰ τὸν γαμβρὸν ὑπὸ Φαύστης
τῆς θυγατρὸς καταμηνυθεὶς ἀναιρεῖται κακῶς πράξας. ‖ Εὐσέβιος δὲ Exc. Barocc. Cramer II, 9
ὁ Καισαρεύς φησιν, ὅτι Διοκλητιανὸς παράφρων γενόμενος καὶ σὺν
τῷ Ἐρκουλίῳ τὴν βασιλείαν ἀποθέμενος ἰδιωτικὸν βίον ἀνέλαβεν.
καὶ ὁ μὲν ἀγχόνῃ τὸν βίον μετήλλαξεν, Διοκλητιανὸς δὲ νόσῳ μακρᾷ
δαπανώμενος ἐμαράνθη. ‖ Γελάσιος δὲ ὁ Καισαρείας τῆς αὐτῆς ἐπίσκο- Cramer II, 91
πός φησιν, ὅτι μεταμεληθέντες καὶ πάλιν βασιλεῦσαι θελήσαντες ψήφῳ
κοινῇ τῆς συγκλήτου ἀναιροῦνται. ‖ τούτων οὖν ἐκ μέσου γενομένων,
καὶ τοῦ χριστιανόφρονος Κωνσταντίου τελευτήσαντος, τὴν βασιλείαν,
ὡς προέφην, κατέσχον Κωνσταντῖνος Σεβαστὸς καὶ Μαξιμιανὸς ὁ
Γαλλέριος.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	A. M. 5797. 9 P 306
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς Θ′	
,εψϡζ′.	ἔτη σϡζ′.	Κωνσταντῖνος	Σαβώρης	
		ἔτη λβ′	ἔτη ο′	
		α′.	γ′.	
Ῥώμης	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας	
ἐπίσκοπος λβ′	ἐπίσκοπος λ′	ἐπίσκοπος ιζ′	ἐπίσκοπος	
Σίλβεστρος	Ζάβδας	Πέτρος ὁ μάρτυς	Φιλόγονος	
ἔτη κή′	ἔτη ι′	ἔτη ια′	ἔτη ε′	
ε′.	θ′.	ια′.	α′.	

Τούτῳ τῷ ἔτει Κωνσταντῖνος ὁ θειότατος καὶ χριστιανικώτατος 16 B
Ῥωμαίων ἐβασίλευσεν ἐν Γαλλίαις καὶ Βρεττανίᾳ. κατὰ τὸν αὐτὸν

---

1 *θυγατρός* om. b. — 4 *Διοκλ. ἦν ἐπὶ* gxy. — *Βαλλερίᾳ* acgy. — 5 *Ἰτταλίαν* b *item v.* 7. — 6 *τὸν μὲν ἴδιον υἱὸν Μαξιμῖνον* g *Μαξιμ. τὸν μὲν ἴδιον υἱόν* y. — *Μαξιμιανόν* ab Eutrop. *Μαξιμῖνον* rell. — 8 *ὁ* om. em. — 9 *τῆς βασιλείας πάλιν* b. — 10 *ἐπιχειρῆσαι* g. — *δὲ* om. b. — *δόλῳ καὶ τόν* f. — 12 *ἐν δὲ τῆς* ab *ἐκ δὲ τῆς* cg. — 14 *ὅτι* om. g. — 18 *μεταβληθέντες* c. — 19 *γινομένων* dgy. — 21 *ὡς προεῖπον* c *om.* d. — 21 *ὁ σεβαστός* efgx. — — 24[1] *Θ′* om. cgy. — 29[1] *λβ′*] *λα′* ab *om.* cgy. — 29[2] *λ′* om. cgy. — 29[3] *ιζ′* om. cgy. — 30[2] *Ζαβδὰς* g *Ζαβάδας* a. — 30[3] *Πέτρος ἱερομάρτυς* g. — 30[4] *Φιλογένης* cgy. — 33 *τῷ ἔτει* om. a. — 34 *ἐν Γάλλαις* em *ἐν Γάλαις* g. — *Βρετανίᾳ* b *Βριττανίᾳ* d *Βριττανίαν* em *Βριτανίαν* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν χρόνον τέσσαρες οὗτοι συνεβασίλευον αὐτῷ, Μαξιμιανὸς ὁ Γαλλέριος σὺν δυσὶ καίσαρσι Σευήρῳ καὶ Μαξιμίνῳ, τῷ Γαλλερίου υἱῷ, καὶ Μαξεντίῳ, τῷ υἱῷ τοῦ Ἐρκουλίου, ἐν Ῥώμῃ ὑπὸ τῶν στρατιωτῶν ἀναγορευθέντι βασιλεῖ. οὗτοι ἀλλήλους ὑπερβαλεῖν ἔσπευδον εἰς
Cramer II, 91 τὸν κατὰ Χριστιανῶν διωγμόν. ‖ Μαξέντιος δὲ ὁ τύραννος τὴν Ῥώμην ἀνόμως βασιλεύων πάνδεινα εἰργάσατο κακά, μοιχείας τῶν ἐν τέλει γυναικῶν, φόνους καὶ ἁρπαγὰς καὶ ὅσα τούτοις ὅμοια. κατὰ δὲ τὴν ἀνατολὴν Μαξιμῖνος χείρονα διεπράττετο κακά, δύο κακῶν μεγίστων ἀνατολὴν καὶ δύσιν κληρωσαμένων καὶ τὸν κατὰ Χριστιανῶν πόλεμον
Exc. Barocc. ἀναρριπιζόντων. ‖ τότε καὶ Αἰκίνιον καίσαρα Ῥωμαῖοι ἀνηγόρευσαν χαριζόμενοι Κωνσταντίνῳ γαμβρὸν αὐτοῦ ὄντα εἰς ἀδελφὴν Κωνσταντίαν καὶ ὑποκρινόμενον ψευδῶς τὴν καθ' ἡμᾶς εὐσέβειαν, Σευήρου δηλαδὴ τελευτήσαντος. ‖

cf. Euseb. H. eccl. VIII, 13 Τῷ δ' αὐτῷ ἔτει Πέτρος, ὁ ἐπίσκοπος Ἀλεξανδρείας, ἐν τῇ
17 B φυλακῇ ὑπάρχων προστάγματι Μαξιμιανοῦ τοῦ Γαλλερίου καὶ Μαξιμίνου, τοῦ υἱοῦ αὐτοῦ, τὴν κεφαλὴν ἀποτμηθεὶς ἐνδόξως ἐμαρτύρησεν· ὅστις τὸν Ἄρειον διάκονον ὄντα τῆς αὐτοῦ ἐκκλησίας ἀκοινώνητον ἐποίησεν· ὅστις μετὰ ταῦτα κακοδόξου αἱρέσεως προστάτης γεγονὼς πολλοὺς τῆς εὐσεβείας ἀπέστησεν. πολλοὶ δὲ καὶ ἄλλοι ἐπὶ τούτων τῶν τυράννων τὸν ὑπὲρ Χριστοῦ μαρτυρικὸν στέφανον ἀνεδήσαντο, ὧν εἰσι Φιλέας ἐπίσκοπος Θμούεως τῆς Αἰγύπτου, Πηλεὺς καὶ Νεῖλος ἐπίσκοποι τῆς Αἰγύπτου, Ἄνθιμος ἐπίσκοπος Νικομηδείας, Τυραννίων ἐπίσκοπος Τύρου, Σιλουανὸς ἐπίσκοπος Ἐμέσης, καὶ Σιλουανὸς ἐπίσκοπος Γάζης, Λουκιανὸς πρεσβύτερος Ἀντιοχείας, Ζηνόβιος πρεσβύτερος Σιδῶνος, Πάμφιλος πρεσβύτερος Καισαρείας, καὶ ἄλλοι
Al. Mon. 4049 D. ἀναρίθμητοι. ‖ οὗτος ὁ Γαλλέριος Μαξιμιανὸς γυναικομανέστατος ἦν τοσοῦτον, ὥστε τοὺς ὑπ' αὐτὸν τελοῦντας μελετᾷν, ποῦ κρύψωσι

---

2 *Σεβήρῳ* a *Σευίρῳ* c. — 4 *ὑπερβαλεῖν* ac *ὑπερβαλλεῖν* g *ὑπερβάλαι* bdy. — 5 *κατὰ τῶν Χρ.* gxy. — *τῇ Ῥώμῃ* gxy. — 6 *κακά.* — 7 *φόνους καί* *om.* dy. — 8 *Μαξιμιανός* c. — *διαπράττετο* b. — 9 *χειρωσαμένων* c. — *κατά* *om.* g. — *κατὰ τῶν Χρ.* x. — *πόλεμον* Cram. *πόλεμον διωγμόν* gy *πόλεμον καὶ διωγμόν* x *διωγμόν* ab. — 10 *ριπιζόντων* b. — *Λικίννιον* cem. — *Ῥωμαίων* dy. — 11 *γαμβῷ* — *ὄντι* — *καὶ ὑποκρινόμενον* gy *γαμβρῷ* — *ὄντι* — *καὶ ὑποκρινομένῳ* c. — 14 *τῷ αὐτῷ ἔτει* bem *τῷ αὐτῷ δὲ ἔτει* d *τούτῳ τῷ ἔτει* f. — *ὁ Ἀλεξανδρείας ἐπίσκοπος* g *ὁ Ἀλεξανδρείας* (*om. ἐπίσκ.*) dy. — *τῇ* *om.* gxy. — 17 *διάκονον*] *πρεσβύτερον* d. — 18 *ὅστις γεγονὼς κακοδόξου αἱρέσεως προστάτης* g. — *μετὰ ταῦτα* *om.* cg. — *γεγονὼς* *om.* y. — *Ἀχιλᾶς Ἄρειον ἐδέξατο παραλόγως χειροτονῆσαι πρεσβύτερον καὶ τοῦ ἐν Ἀλεξανδρείᾳ διδασκαλίου καθηγήτορα mg.* ab. — 20 *ἀνεδύσαντο* b. — 21 *Φιλαίας* dy *Φίλαιος* ab. — *Θμουέως* abxy *Θμούεος* g. — Peleus A. *Πηδεὺς codd. cf.* Euseb. hist. eccl. VIII, 13. — 22 *Ἄνθημος* f. Anthemus A. — 23 *ἐπίσκοπος Τύρου Σιλουανὸς* *om.* d. — *Αἰμέσης* xy. — 24 *Λουκιανὸς πρεσβ. Ἀντ.* *om.* dy. — 27 *ὑπ' αὐτῶν* begy. — *κρύψουσι* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰς ἰδίας γαμετάς, ἐκτετηκὼς καὶ τῇ τῶν πλάνων δαιμόνων ἀπάτῃ, ὡς μὴ ἀνέχεσθαί τινος γεύσασθαι ἄνευ μαντείας. οὗτος πανωλεθρίαν Χριστιανῶν γενέσθαι προσέταξεν, οὐ τοσοῦτον διὰ τὴν ἑαυτοῦ ἀσέβειαν, ὅσον διὰ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων αὐτῶν. ‖ τοῦτον οὖν Al. Mon. 4052 B. 10 P.
θεία δίκη μετῆλθε διὰ τὴν ἄμετρον ἀκολασίαν καὶ τὴν περὶ τοὺς 18 B
Χριστιανοὺς ἀνύποιστον κάκωσιν. χαλεπὸν γὰρ ἕλκος κατὰ τὸ τῆς ἀκολασίας αὐτοῦ μόριον ἐκφυὲν κρεῖττον πάσης ἀνθρωπίνης βοηθείας ἐτύγχανεν, νομῆς καταλαβούσης καὶ σκωλήκων φθορᾶς τοὺς τόπους. ἦν γὰρ καὶ πολύσαρκος. οὗτος ὑπολαβών, ὡς ἄρα διὰ τοὺς ἀδίκους φόνους πέπληκται, προστάγματα κατὰ παντὸς τόπου ὑπὲρ Χριστιανῶν ἔγραψε πᾶν κελεύων καταθυμίως πράττειν καὶ ὑπὲρ αὐτοῦ εὔχεσθαι. οὗ γεγονότος, εὐθέως τοῦ χαλεπωτάτου πάθους τῇ εὐχῇ τῶν Χριστιανῶν θεραπευθέντος παρ' ἐλπίδα, μήπω δὲ τοῦ τραύματος καλῶς συνουλώσαντος, μειζόνως ἐμαίνετο τῶν ἀθεμίτων ἐχόμενος πράξεων. ἀλλ' εὐθὺς πάλιν πόλεμοι καὶ ἐπαναστάσεις, λιμοί τε καὶ λοιμοὶ καὶ αὐχμοὶ ἀθρόοι ἐπέσκηπτον, ὡς μὴ ἀρκεῖν θάψαι τοὺς ζῶντας τοὺς τεθνεῶτας· κεραυνοί τε καὶ φόβητρα ἐξαπεστέλλετο, ὡς ἕκαστον ἑαυτοῦ μόνου φροντίζειν, καὶ τὰ πολλὰ τῶν προσταγμάτων ἄπρακτα διαμένειν. ‖

Ἱεροσολύμων ἐπίσκοπος Ἑρμῶν ἔτη θ'. A. M. 5798 **307**
Ἀλεξανδρείας ἐπίσκοπος Ἀχιλλᾶς ἔτος α'.
β'. δ'. ς'. α'. α'. β'.
Ἀλεξανδρείας ἐπίσκοπος ιθ' Ἀλέξανδρος ἔτη κγ'. A. M. 5799 - **308** 19 B
γ'. ε'. ξ'. β'. α'. γ'.
δ'. ς'. ηʹ. γ'. β'. δ'. A. M. 5800 - **309.**
ε'. ξ'. θ'. δ'. γ'. ε'. A. M. 5801 - **310.**
Ἀντιοχείας ἐπίσκοπος Παυλῖνος ἔτη ε'. A. M. 5802 - **311.**
ς'. ηʹ. ιʹ. ε'. δ'. α'

‖ Τούτῳ τῷ ἔτει Κωνσταντῖνος ὁ θειότατος εἰς τὴν κατὰ Exc. Barocc.
τῶν τυράννων διανέστη κατάλυσιν. ‖ Μαξέντιος δὲ ὁ δυσσεβὴς ναυσὶ Al. Mon. col. 4059 C.
γεφυρώσας τὸν παραρρέοντα τῇ Ῥώμῃ ποταμὸν παρετάξατο κατὰ τοῦ μεγάλου Κωνσταντίνου. ὁ δὲ μέγας Κωνσταντῖνος ἐδεδίει τὰς Μαξεν-

---

1 πλάνων abc Al. Mon. πολλῶν dgy. — 3 αὐτοῦ xy. — 4 διὰ om. egm. — αὐτοῖς gxy. — τοῦτον scr. e conj. τούτῳ abgx τοῦτο y. — 5 ἐπῆλθε gxy. — 6 τὸ om. y. — 7 κρείττω abdgy. — ἀνθρωπίνης om. a. — 9 οὗτος γὰρ ὑπολ. gy οὗτος οὖν ὑπολ. d. — 10 φόνους] τόπους c. — κατὰ πάντα τόπον Goar. — ὑπὲρ τῶν Χρ. g. — 11 πᾶν ab πάντα cegm πάντας df. — 12 τῇ εὐχῇ τῶν Χρ. om. g. — 13 θεραπευθέντος] ἠλευθερώθη c. — μηδέπω gy. — 14 πράξεων ἐχόμενος gxy. — 15 πόλεμος καὶ ἐπανάστασις g πολεμικαὶ ἐπαναστάσεις m. — 16 τοὺς ante ζῶντας om. y. — 17 τοὺς τεθνεῶτας οἱ ζῶντες g. — 18 μόνον gxy. — προσταγμάτων ab Al. Mon. πραγμάτων gxy. — *De numeris annorum* 5798—5802 *cf. dissert. de codd. Theoph.* — Τούτῳ τῷ ἔτει Μητροφάνης ἐπίσκοπος τοῦ Βυζαντίου ἐχειροτονήθη *mg.* ab. — 30 δὲ om. b. — 31 τῇ Ῥώμῃ ab τῇ πόλει Ῥώμῃ efgxA τῇ πόλει m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τίου γοητείας βρέφη ἀνατεμόντος διὰ μαντείας ἀθεμίτους. ἐν πολλῇ δὲ ἀγωνίᾳ ὄντι ὤφθη αὐτῷ ἐν ὥρᾳ ἕκτῃ τῆς ἡμέρας ὁ τίμιος σταυρὸς
11 P ἐκ φωτὸς κατεσκευασμένος, ἔχων ἐπιγραφήν· "ἐν τούτῳ νίκα". ἐπιστὰς δὲ αὐτῷ ὁ κύριος εἶπεν αὐτῷ ἐν ὁράματι τῆς νυκτός· "χρῆσαι τῷ δειχθέντι σοι, καὶ νίκα." τότε σταυρὸν σχεδιάσας χρυσοῦν, ὃς ἔστι μέχρι τῆς σήμερον, ἐκέλευσε προάγειν αὐτὸν ἐν τῷ πολέμῳ. καὶ συμβολῆς γενομένης ἡττήθησαν οἱ περὶ τὸν Μαξέντιον, ὧν οἱ πλείους ἀνῃροῦντο. Μαξέντιος δὲ σὺν τοῖς λοιποῖς φεύγων, τῆς γεφύρας θείᾳ δυνάμει διαρραγείσης, ἐν τῷ ποταμῷ καταποντίζεται, ὡς πάλαι Φαραὼ πανστρατί, ὥστε τὸν ποταμὸν πληρωθῆναι ἵππων σὺν ἀναβάταις πεπνιγμένοις. οἱ δὲ πολῖται τῆς Ῥώμης, ὡς αἰτησά-
20 B μενοι αὐτὸν διαναστῆναι εἰς τὴν βοήθειαν αὐτῶν, λυτρωθέντες τῆς τοῦ πονηροῦ Μαξεντίου τυραννίδος, τὴν πόλιν στεφανώσαντες εἰσεδέξαντο μετὰ χαρᾶς τὸν νικητὴν Κωνσταντῖνον σὺν τῷ νικοποιῷ σταυρῷ σωτῆρα αὐτὸν ἀνευφημοῦντες. ‖

312. A. M. 5803

Κόσμου	*Τῆς*	*Ῥωμαίων*	*Περσῶν*
ἔτη	*θείας*	*βασιλεὺς*	*βασιλεὺς Θ΄*
,εωγ΄.	*σαρκώσεως*	*Κωνσταντῖνος*	*Σαβώρης*
	ἔτη τγ΄.	*ἔτη λβ΄.*	*ἔτη ο΄.*
		ζ΄.	*θ΄.*
Ῥώμης	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκ. λβ΄	*ἐπίσκ. λα΄*	*ἐπίσκ. ιθ΄*	*ἐπίσκ. κβ΄*
Σίλβεστρος	*Ἑρμῶν*	*Ἀλέξανδρος*	*Παυλῖνος*
ἔτη κή΄.	*ἔτη θ΄.*	*ἔτη κγ΄.*	*ἔτη ε΄.*
ια΄.	*ς΄.*	*ε΄.*	*β΄.*

Alex. Mon. col. 4056 A. ‖ *Τούτῳ τῷ ἔτει κρατήσας τὴν Ῥώμην Κωνσταντῖνος ὁ θεοσυνέργητος πρὸ πάντων τὰ λείψανα τῶν ἁγίων μαρτύρων ἐκέλευσε συλλεγέντα ὁσίᾳ ταφῇ παραδοθῆναι. καὶ ἦσαν οἱ Ῥωμαῖοι ἄγοντες ἐπινίκιον ἑορτήν, γεραίροντες τὸν κύριον καὶ τὸν ζωοποιὸν σταυρὸν ἐπὶ ἑπτὰ ἡμέρας καὶ Κωνσταντῖνον τὸν νικητὴν μεγαλύνοντες.* ‖

313. A. M. 5804 *η΄. ι΄. ιβ΄. ζ΄. ς΄. γ΄.*

314 A. M. 5805 *Θ΄. ια΄. ιγ΄. η΄. ζ΄. δ΄.*

Τούτῳ τῷ ἔτει Μαξιμῖνος, ὁ υἱὸς Γαλλερίου, ἐπιπηδήσας καὶ ἑαυτῷ τὴν βασιλείαν ἐπιτρέψας αἰσχρῶς καταλύει τὸν βίον ἐν Κιλικίᾳ.

Alex. Mon. col. 4056 B. *ἀκούσας δὲ Μαξιμιανὸς ὁ Γαλλέριος, ὁ τούτου πατήρ, ὅτι Μαξέντιος, ὁ*

---

1 *ἀνατεμόντος scr. e. conj.* ἀνατέμνοντος x *ἀνατέμνων ὡς* g *ἀνατεμόντα* aby. — 3 *κατασκευασμένος* gy. — 5 *τὸ δειχθέντι* em *τὸ δειχθέν* f. — 6 *ὅ ἐστι μέχρι τὴν σήμ.* g. — *αὐτῷ* defg *αὐτοῦ* c. — 10 *τῷ Φαραώ* f. — *τὸν ποτ. πληρωθῆναι* a *πληρωθῆναι τὸν ποτ.* gxy *πληρωθῆναι om.* b. — 11 *ἀναβάτοις* c. — 15 *σωτῆρα om.* dy. — 17⁴.18⁴ *βασ. Σαβώρης Θ΄* b *Θ΄ om.* agy. — 22¹ *λβ΄ om.* agy. — 22² *λα΄ om.* gy *μα΄?* — 22³ *ιθ΄ om.* g. — 22⁴ *κβ΄ om.* g. — 28 *παραδοθέντα* ab. — 29 *καὶ τὸν ζωοποιὸν σταυρὸν om.* c. — 30 *ἐπὶ ἡμέρας ἑπτά* g. — 33 *Μαξιμιανὸς* g. — 35 *ὁ ante Γαλλ. om.* g. — *ὁ post. Μαξ. om.* ab.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

υἱὸς Ἐρκουλίου, ἐν Ῥώμῃ ὑπὸ Κωνσταντίνου τῇ δυνάμει τοῦ σταυροῦ κατεπτώθη, φοβηθεὶς τὸν κατὰ τῶν Χριστιανῶν ἀνῆκε διωγμόν. ‖

ί. ιβ΄. ιδ΄. θ΄. η΄. ε΄. A. M. 5806-315.

‖ Τούτῳ τῷ ἔτει Κωνσταντῖνος ὁ θειότατος σὺν Λικινίῳ καίσαρι ζήλῳ θεοῦ φερόμενος ἐπεστράτευσε κατὰ Μαξιμιανοῦ τοῦ Γαλλερίου τὴν ἑῴαν διέποντος· κἀκεῖνος ἀντιστρατευσάμενος ἀμέτρῳ πλήθει συνέβαλεν αὐτοῖς, πεποιθὼς ὡς ὁ Μαξέντιος μαντεύμασι δαιμόνων καὶ γοητικαῖς μαγγανείαις. τοῦ δὲ ζωοποιοῦ σταυροῦ προάγοντος τῷ μεγάλῳ Κωνσταντίνῳ, ἅμα τῇ προσβολῇ τραπεὶς ὁ τύραννος σὺν τῷ πλήθει κατασφαττομένῳ, τὴν βασιλικὴν ἐσθῆτα ἀπέθετο καὶ στρατιωτικὸν περιθέμενος σχῆμα μετ' ὀλίγων εὐνουστάτων τε διαδρὰς ἀπὸ κώμης εἰς κώμην ᾤχετο, καὶ τοὺς ἱερεῖς τῶν εἰδώλων καὶ μάντεις ἀθροίσας καὶ τοὺς διαβεβοημένους ἐπὶ μαγείᾳ καὶ προφήτας αὐτοῦ ὡς ἀπατεῶνας κατέσφαξεν. ‖

Al. Mon. col. 4056 B. 21 B 12 P

Ἱεροσολύμων ἐπίσκοπος λβ΄ Μακάριος ἔτη κ΄. A. M. 5807-316.
Ἀντιοχείας ἐπίσκοπος κγ΄ Εὐστάθιος ἔτη ιη΄.

ια΄. ιγ΄. ιε΄. α΄. θ΄. α΄.

‖ Τούτῳ τῷ ἔτει μέλλοντα τὸν εὐσεβέστατον Κωνταντῖνον ξῶντα χειροῦσθαι τὸν Γαλλέριον Μαξιμιανὸν προλαβοῦσα θεία ὀργὴ κατέλαβε τοῦτον. φλὸξ γὰρ ἐκ βάθους τῶν σπλάγχνων καὶ μυελῶν αὐτῷ ἀναφθεῖσα μετ' ὀδύνης ἀνυποίστου πρηνῆ κατὰ τοῦ ἐδάφους ἀσθμαίνοντα διέθετο, ὡς ἀμφότερα τὰ ὄμματα αὐτοῦ ἐκπηδῆσαι καὶ τυφλὸν καταλιπεῖν τὸν ἀνόσιον, αἱ δὲ σάρκες αὐτοῦ συσσαπεῖσαι τῇ ἀμέτρῳ ἐκκαύσει τῶν ὀστῶν ἀπέπιπτον. οὕτω κατασαπεὶς ἀπέρρηξε τὴν θεομάχον ψυχήν. ‖

Al. Mon. col. 4056 D.

ιβ΄. ιδ΄. ιϛ΄. β΄. ί. β΄. A. M. 5808-317.

‖ Τούτῳ τῷ ἔτει Λικινίῳ συμμαχήσαντι τῷ θείῳ Κωνσταντίνῳ καὶ ὑποκρινομένῳ δολερῶς τὸν Χριστιανισμὸν ἀφορίσας μοῖραν τῆς Ῥωμαίων γῆς ἀπένειμεν, ἀναγορεύσας αὐτὸν βασιλέα, ἀπαιτήσας αὐτὸν συνθήκας μηδὲν κατὰ Χριστιανῶν πράττειν. ἐντεῦθεν ὁ τῶν τυράννων καθ' ἡμῶν χάριτι Χριστοῦ πέπαυται διωγμός. ‖

22 B Al. Mon. col. 4057 A.

---

2 κατεπιώθη a κατεπτοήθη g. — 5 *Λικιννίῳ* em. — 6 ἀπεστράτευσε f. — *Μαξιμίνου* degm (g *m.* 2 *ut vid.*). — 8 ὡς ὁ *Μαξέντιος* ab ὁ *Μαξιμιανὸς* cgy *om.* dA. — *μαντεῦσι* c. — 9 καὶ *γόητι* καὶ *μαγγ.* b. — 13 ἀπὸ *κώμην* gy. — 14 καὶ *ante τοὺς om.* gxy. — *τοὺς om.* em. — *ἐπὶ μαγείας* y *ἐπὶ μαγείαις* cg *ἐπὶ μαντείαις* d. — *vv.* 16. 17 *om.* em. — 16 *λβ΄ om.* abcf. *μβ΄*? — 20 *Γαλλερίου* c. — *κατέβαλεν αὐτόν* c. — 21 *ἐκ βάθους* ab Alex. *ἐκ μέσου* gxyA. — 23 *αὐτοῦ τὰ ὄμματα* a. — 25 *καὶ οὕτως* gxy. — *ἀπέρρηξε* g Alexdr. *ἀπέρριψε rell.* — 28 *Λικιννίῳ* em. — 31 *πράττειν κακόν* dgy *κακὸν om.* abcA Alex. — *ὁ om.* a. — 32 *Χριστοῦ* ab *θεοῦ* gxyA. —

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

318. A. M. 5809 ιγ'. ιε'. ιζ'. γ'. ια'. γ'.

319. A. M. 5810

Κόσμου	Τῆς	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	θείας	βασιλεὺς	βασιλεὺς Θ'	ἐπίσκ. λβ'
,εωι'.	σαρκώσεως	Κωνσταντῖνος	Σαβώρης	Σίλβεστρος
	ἔτη τι'.	ἔτη λβ'.	ἔτη ο'.	ἔτη κη'.
		ιδ'.	ις'.	ιη'.

Βυζαντίου	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκ. α'	ἐπίσκ. λβ'	ἐπίσκ. ιθ'	ἐπίσκ. κγ'
Μητροφάνης	Μακάριος	Ἀλέξανδρος	Εὐστάθιος
ἔτη ι'.	ἔτη κ'.	ἔτη κγ'.	ἔτη ιη'.
θ'.	δ'.	ιβ'.	δ'.

Al. Mon. col. 4057 C. ‖ *Τούτῳ τῷ ἔτει ὁ μέγας Κωνσταντῖνος πάσης Ῥωμαίων γῆς μονοκράτωρ γενόμενος πᾶσαν εἰς τὰ θεῖα μετήγαγε τὴν φροντίδα, ἐκκλησίας ἀνεγείρων καὶ φιλοτίμως ταύτας πλουτῶν ἐκ τοῦ δημοσίου λόγου. οὗτος πρῶτον νόμον ἔγραψε τοὺς τῶν εἰδώλων ναοὺς ἀπο-*

Exc. Barocc. *δίδοσθαι τοῖς τῷ Χριστῷ ἀφιερωμένοις* ‖ *(συνενομοθέτει δὲ αὐτῷ καὶ*

Al. Mon. l. l. 13 P *Κρίσπος ὁ υἱὸς αὐτοῦ)· ‖ δεύτερον δὲ Χριστιανοὺς μόνους στρατεύεσθαι ἐθνῶν τε καὶ στρατοπέδων ἄρχειν, τοὺς δὲ ἐπιμένοντας τῇ εἰδωλολατρείᾳ κεφαλικῶς τιμωρεῖσθαι· τρίτον τὰς πασχαλίους δύο ἑβδομάδας ἀπράκτους τελεῖν, τήν τε πρὸ τῆς ἀναστάσεως καὶ τὴν μετ' αὐτήν. τούτων οὕτως ἐχόντων, εἰρήνη βαθεῖα καὶ γαλήνη κατέσχε τὴν οἰκουμένην καὶ ἀγαλλίασις τοὺς πιστούς, προστρεχόντων ὁσημέραι πάντων*

23 B cf. Polydeuc. p. 276 Hardt *τῶν ἐθνῶν τῇ πίστει Χριστοῦ καὶ βαπτιζομένων καὶ τὰ πατρῷα εἴδωλα συνθλαττόντων. ‖ τὸν δὲ πῆχυν τῆς ἀναβάσεως τοῦ κατὰ τὴν*

Exc. Barocc. *Αἴγυπτον ποταμοῦ Νείλου ἐν τῇ ἐκκλησίᾳ ἐνομοθέτησεν ἀναφέρεσθαι, καὶ οὐκ ἐν τῷ Σαραπίῳ, ὡς εἴθιστο τοῖς Ἕλλησιν. ‖ Λικίνιος δὲ πρὸ τοῦ τελείως μανῆναι εἰς Ἀντιόχειαν ἐλθὼν Θεότεκνον γόητα καὶ τοὺς σὺν αὐτῷ μετὰ πολλὰς βασάνους ἀνεῖλεν. ‖*

320. A. M. 5811 ιε'. ιζ'. ιθ'. ί. έ. ιγ'. ε'.

Hieron. Chron. ‖ *Τούτῳ τῷ ἔτει Λικίνιος ἤρξατο κατὰ Χριστιανῶν διωγμὸν κινεῖν. καὶ πρῶτον μὲν τοὺς ἐν τῷ παλατίῳ Χριστιανοὺς ἐδίωξε ‖*

Al. Mon. col. 4057 A. *λήθην λαβὼν τῆς τῶν πρὸ αὐτοῦ τυράννων καθαιρέσεως καὶ τῶν πρὸς τὸν μέγαν Κωνσταντῖνον συνθηκῶν. γυναικομανῶν δὲ καὶ ἀδικῶν*

---

v. 1 *om.* cg. — 3[4] Θ' *om.* acgy. — 3[5] λβ' *om.* agy λγ' c. — 8[1] α' *om.* gy. — 8[2] λβ' *om.* gy λα' bcg. μβ' ? — 8[3] ιθ' *om.* cgy. — 8[4] κγ' *om.* g. — 10[1] ἔτη ιθ' cg. — 11[1] Θ' *om.* c. — 12 *πάσης*] *πατήσας g.* — 13 *τὴν add. ex* ab Al. Mon. *om.* gxy. — 15 *πρῶτον*] *πρὸς τὸν* g. — *ἔγραψεν om.* y. — 16 *τῶν om.* g. — 17 *μόνους om.* f *μόνον* c. — *στρατεύεσθαι aut delendum esse aut στρατευομένων vel ἐν στρατείαις scribendum coniec. Classen. Habet etiam Al. Mon.* — 18 *τε*] *δὲ* g. — 22 *ὁσημέραι et* 23 *τῶν om.* ab *habet etiam Alex.* — 23 *τῇ πίστει Χρ. πάντων τ. ἐθνῶν* c. — *τοῦ Χριστοῦ* g. — 24 *τοῦ*] *τὴν* f. — 25 *ποταμοῦ τοῦ N.* dgy. — 26 *Σαράπιδι* c. — *Λικίννιος* de *item v.* 30. — 27 *μανεῖναι* b *μανεῖσαι* f *μανῆσαι* em. — *ἀνελθὼν* a. — *Θεότεκτον* c. — 28 *ἀνελεῖ* ab.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ φονεύων Χριστιανοὺς οὐκ ἐπαύετο· τούτῳ διὰ γραμμάτων ὁ θεῖος Κωνσταντῖνος κελεύσας ἀποστῆναι τῆς μανίας οὐκ ἔπεισεν. ‖ οὗτος καὶ Βασιλέα, τὸν ἐπίσκοπον Ἀμασείας, ‖ καί, ὥς τινές φασιν, καὶ τοὺς ἁγίους τεσσαράκοντα μάρτυρας καὶ ἄλλους πολλοὺς διὰ βασάνων τελειωθῆναι ἐποίησεν. ‖ Hieron. Chron. Exc. Barocc.

Βυζαντίου ἐπίσκοπος Ἀλέξανδρος ἔτη κγ'. A. M. 5812 - **321**

ις'. ιή'. κ'. α'. ς'. ιδ'. ς'.

‖ Τούτῳ τῷ ἔτει Ἄρειος, ὁ τῆς μανίας ἐπώνυμος, ἐν Ἀλεξανδρείᾳ τὴν ἑαυτοῦ αἵρεσιν ἐπ' ἐκκλησίας ἐφανέρωσε καὶ σχίσμα εἰργάσατο, συνεργοῦντος αὐτῷ τοῦ πονηροῦ μὴ φέροντος βλέπειν τὴν εἰρήνην τῆς ἐκκλησίας. ἐγένετο δὲ καὶ σεισμὸς ἐν Ἀλεξανδρείᾳ λαβρότατος, ὥστε πεσεῖν οἰκίας πολλὰς καὶ λαὸν πολὺν ὀλέσαι. Al. Mon. col. 4060 A. 21 B

A. M. 5813 - **322**

ιζ'. ιθ'. κά'. β'. ζ'. ιέ'. ζ'.

‖ Τούτῳ τῷ ἔτει μαθὼν ὁ μέγας Κωνσταντῖνος τὴν τοῦ Ἀρείου κίνησιν σφόδρα λυπηθεὶς ἔγραψεν Ἀλεξάνδρῳ καὶ Ἀρείῳ κοινὴν ἐπιστολήν, συμβουλεύων καταλῦσαι τὴν πονηρὰν κίνησιν καὶ εἰρηνεῦσαι εἰς ἀλλήλους. ‖ ἀπέστειλε δὲ καὶ Ὅσιον, τὸν ἐπίσκοπον Κουδρούβης, ἐν Ἀλεξανδρείᾳ περὶ Ἀρείου καὶ ἐν τῇ ἀνατολῇ διορθωσόμενον τοὺς ἀνατολικοὺς ἐκ παλαιᾶς συνηθείας Ἰουδαϊκώτερον ἑορτάζοντας τὸ πάσχα. ὑπέστρεψε δὲ ἄπρακτος πρὸς ἀμφότερα. ‖ cf. Sozom. h. eccl. I, 16 14 P cf. Polydeuc. p. 278, 16

‖ Τούτῳ τῷ ἔτει καὶ Κώνσταν, τὸν υἱὸν αὐτοῦ, Κωνσταντῖνος ὁ μέγας προεβάλετο καίσαρα ‖ καὶ ἀπέστειλεν εἰς Γαλλίας. cf. Hier. Chron.

A. M. 5814 - **323**

ιή'. κ'. κβ'. γ'. ή'. ις'. ή'.

Τούτῳ τῷ ἔτει, ὥς φασί τινες, Κωνσταντῖνος ὁ μέγας σὺν Κρίσπῳ, τῷ υἱῷ αὐτοῦ, ἐν Ῥώμῃ ὑπὸ Σιλβέστρου ἐβαπτίσθη, ὡς οἱ κατὰ τὴν πρεσβυτέραν Ῥώμην μέχρι σήμερον τὸν βαπτιστῆρα ἔχουσιν εἰς μαρτυρίαν, ὅτι ὑπὸ Σιλβέστρου ἐν Ῥώμῃ ἐβαπτίσθη μετὰ τὴν ἀναίρεσιν τῶν τυράννων. ‖ οἱ δὲ κατὰ τὴν ἀνατολὴν ἐν Νικομηδείᾳ φασὶν αὐτὸν περὶ τὸν θάνατον ὑπὸ Εὐσεβίου τοῦ Νικομηδέως Ἀρειανοῦ βεβαπτίσθαι· ἔνθα καὶ ἔτυχεν αὐτὸν κοιμηθῆναι. ἀναβαλλόμενος γὰρ ἦν, φασίν, τὸ βάπτισμα, ἐλπίζων ἐν τῷ Ἰορδάνῃ βαπτισθῆναι ποταμῷ. ‖ 25 B Al. Mon. col. 4068 A. cf. Georg. Mon. p. 429, 5

1 θεῖος] μέγας c. — 3 Ἀμασίας codd. corr. in f sec. m. — Ἀμ. καρατομήσας ἔρριψεν εἰς βυθόν d. — 6 ἔτη κγ' om. b. — 9 ἐπ' ἐκκλησίαις ab. — σχῆμα em σχήματα b. — 10 αὐτοῦ c. — τὴν εἰρήνην om. b. — 11 καὶ om. g. — λαμπρότατος f. — 12 λαὸν πολὺν ὀλέσθαι cg λαὸν πρὸς πολὺν ὠλέσαι ef. — vv. 14—23 om. c. — 16 in verb. συμβουλεύων κατα — desinit cod. a. — 17 Κοδρούβης g. — 18 διορθωσόμενον f m. 2. διορθωσάμενον b διορθωσάμενος g διορθωσαμένους y correcturus (διορθωσόμενος) A. — 20 δὲ om. f. — 21 Κωνστάντιον υἱόν? — 22 εἰς Γαλλίους d ἐν Γαλλίᾳ g. — 25 ἐβαπτίσθησαν g. — ὅσοι κατὰ g. quotquot enim in seniori Roma consistunt A. — 28 φασὶν αὐτὸν post Ἀρειανοῦ v. 29 inserit c. — 29 περὶ] κατά c. — 30 αὐτόν om. c. — 31 φησι begy om. d. inquiunt A. — τὸ βάπτισμά φησι gy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐμοὶ δὲ ἀληθέστερον φαίνεται τὸ ὑπὸ Σιλβέστρου ἐν Ῥώμῃ βεβαπτίσθαι αὐτόν, καὶ τὰς ἐπ' ὀνόματι αὐτοῦ φερομένας διατάξεις πρὸς Μιλτιάδην πεπλασμένας εἶναι τοῖς Ἀρειανοῖς, δόξαν ἐντεῦθεν περιποιεῖσθαι σπουδάζουσιν ἑαυτοῖς, ἢ καὶ τὸν πανευσεβῆ βασιλέα κακίζειν ἐθέλουσιν, ἀβάπτιστον δεικνύντες ἐντεῦθεν, ὅπερ ἄτοπόν ἐστι καὶ ψευδές. εἰ γὰρ οὐκ ἦν βεβαπτισμένος ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ, λοιπὸν οὐδὲ μετελάμβανε τῶν θείων μυστηρίων, οὐδὲ συνηύχετο τοῖς ἁγίοις πατράσιν, ὅπερ ἀτοπώτατόν ἐστι καὶ λέγειν καὶ φρονεῖν. ‖ ἄλλοι δὲ Ἀρειανοὶ καὶ Ἕλληνες ὡς νόθον διαβάλλουσι τὸν μέγαν Κωνσταντῖνον· ψεύδονται δὲ καὶ οὗτοι. ‖ ἡ γὰρ γενεαλογία αὐτοῦ βασιλικὴ ὑπῆρχε καὶ πρὸ Διοκλητιανοῦ. ὁ γὰρ πατὴρ αὐτοῦ Κωνστάντιος θυγατρίδης ἦν Κλαυδίου τοῦ βασιλέως καὶ ἐξ Ἑλένης τῆς πρώτης αὐτοῦ γυναικὸς 26 B ἔσχε τὸν μέγαν Κωνσταντῖνον. εἶχε δὲ καὶ ἄλλους υἱοὺς ἐκ Θεοδώρας, τῆς θυγατρὸς Μαξιμιανοῦ τοῦ Ἐρκουλίου, ἀδελφῆς δὲ Μαξεντίου τοῦ κατὰ τὴν Ῥώμην τυραννήσαντος καὶ ἀναιρεθέντος ὑπὸ Κωνσταντίνου περὶ Μουλυΐαν τὴν γέφυραν (ὅτε καὶ τὸ τοῦ σταυροῦ σημεῖον ἐθεάσατο ἐν τῷ οὐρανῷ), καὶ Φαύστας, τῆς γαμετῆς τοῦ μεγάλου Κωνσταντίνου. καὶ μηδεὶς θαυμαζέτω, εἰ πρὸ τοῦ βαπτίσματος ἑλληνίζοντες δύο ἀδελφὰς ἔγημαν ὁ πατὴρ καὶ ὁ υἱός. εἰσὶ δὲ αἱ γενέσεις αὐτῶν οὕτως, [ὡς ὑποτέτακται].

cf. Georg. Mon. p. 381, 18

---

1 ἐμοὶ δὲ τὸ ἀληθὲς φαίνεται ὑπό g. — 2 αὐτοῦ] αὐτῶν g. — Μιλτιάδη g. — 3 πεπλασμένα b. — περιποιῆσαι f. — 4 ἢ] εἰ b οἱ dy. — εὐσεβῆ cf. — 5 δείκνυσι c. — ἐντεῦθεν om. dem. — ἐστι add. ex. b om. gxy. — 6 βαπτισμένος b. — 7 συνήρχετο dy. — ἁγίοις] θείοις c. — 8 ἄτοπον dy. — ἀλλ' οἱ δὲ b ἀλλ' οἱ (om. δὲ) dy. — 10 καὶ γὰρ ἡ γεν. g. — 11 θυγατρίδος b. — 12 καὶ Ἑλένης ἐκ τῆς cgy. — 16 Μουλυΐαν b Μουλβίαν d Μουλαίαν cgy. — 19 ἔγημον cegm ἔγημων f. — 20 ὡς ὑποτέτακται om. b legit etiam A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

27 B
15 P

Κωνστάντιος [ὁ μέγας]
ἐκ Θεοδώρας, θυγατρὸς Ἐρκουλίου, γεννᾷ

Κωνστάντιον,	*Ἀναβαλλιανόν,*	*Κωνσταντίαν,*
πατέρα	*τὸν καὶ Γάλλον Δαλμάτιον,*	*γαμετὴν Λικινίου.*
Γάλλου καὶ	*ἐξ οὗ*	
Ἰουλιανοῦ		
τοῦ παραβάτου.	*Δαλμάτιος ὁ νέος.*	

Ἐκ δὲ Ἑλένης γεννᾷ

Κωνσταντῖνον τὸν μέγαν καὶ μόνον.
Ὁ δὲ μέγας Κωνσταντῖνος
ἐκ Φαύστας, θυγατρὸς Ἐρκουλίου, γεννᾷ
Κρίσπον. Κωνσταντῖνον. Κωνστάντιον. Κώνσταντα. καὶ Ἑλένην,
γαμετὴν Ἰουλιανοῦ
τοῦ παραβάτου.

Κόσμου	*Τῆς*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 5815-**324.**
ἔτη	*θείας*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκ. λβ΄*	28 B
ϡωιε΄.	*σαρκώσεως*	*Κωνσταντῖνος*	*Σαβώρης*	*Σίλβεστρος*	
	ἔτη τιε΄.	*ἔτη λβ΄.*	*ἔτη ο΄.*	*ἔτη κη΄.*	
		ιθ΄.	*κα΄.*	*κγ΄.*	

Βυζαντίου	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκ. β΄	*ἐπίσκ. λβ΄*	*ἐπίσκ. ιθ΄*	*ἐπίσκ. κγ΄*
Ἀλέξανδρος	*Μακάριος*	*Ἀλέξανδρος*	*Εὐστάθιος*
ἔτη κγ΄.	*ἔτη κ΄.*	*ἔτη κγ΄.*	*ἔτη ιη΄.*
δ΄.	*θ΄.*	*ιζ΄.*	*θ΄.*

‖ *Τούτῳ τῷ ἔτει ἰδὼν Κωνσταντῖνος ὁ εὐσεβὴς Λικίνιον μανικώτερον τῷ διωγμῷ χρώμενον καὶ ἐπιβουλὴν κατὰ τοῦ εὐεργέτου* Al. Mon. col. 4057 B. Exc. Barocc.

Genealogiam omittit d. — 1 *Κωνσταντῖνος* g. — *ὁ μέγας om.* b, *habent rell. et* A. — 2 *ἐκ Θυγατρὸς Ἐρκουλλίου Θεοδώρας* b. — 3^1—7^1 *Κωνστάντιον* (*Κωνσταντῖνον* yA) *πατέρα Γάλλου Δαλματίου ἐξ οὗ Δαλμάτιος ὁ νέος Ἰουλιανοῦ τοῦ παραβάτου* (frater *add.* A) cgy A. *Ut in textu* b, *sed Ἰουλιανοῦ τοῦ παραβάτου in lit. pr. m.* — 3^2 *Ἀναβαλιανὸν* g *Ἀνβαλιὰν* e *Ἀννβαλιὰν ut vid.* m. — 4^2 *τὸν καὶ Γάλλον*] *τε καὶ Γάλλον* c *τὸν μέγαν* y. — 4^2 *Δαλμάτιον* — 7^2 *Δαλμάτιος ὁ νέος hic omittunt* cgy. — 4^3 *τοῦ ἀσεβοῦς Λικινίου* g. — 9 *Κ. τὸν μέγα καὶ Θεοφιλῆ βασιλέα καὶ μόνον* g. — 11 *Φαύστης* g. —

12–14 g: *Κρίσπον. Κωνσταντῖνον. Κωνστάντιον καὶ Ἑλένην γαμετὴν Ἰουλ. τ. παρ.*
b: *Κρίσπον. Κωνσταντῖνον. καὶ Ἑλένην. Κωνστάντιον. Κωνσταντῖνον. Κώνσταντα. γαμ. Ἰουλ. τ. παρ.*
c: *Κρίσπον. Κωνσταντινὸν. καὶ Ἑλένην. Κωνστάντιον. Κώνσταν. γαμ. Ἰουλ. τ. π.*
f: *Κρίσπον. Κωνσταντῖνον. Κώνσταν. Κωνστάντιον. καὶ Ἑλένην γαμ. Ἰουλ. τ. παραβ.*
em: *Κρίσπον. Κωνσταντῖνον. Κωνσταντιανὸν. καὶ Ἑλένην γαμ. Ἰουλ. τ. παρ.*
A: Crispum, Constantium, Constantinum, Constantem et Helenam, uxorem Iuliani refugae.

16^5 *λβ΄ om.* gy. — 17^4 *Σαπώρης* b. — 21^1 *β΄ om.* bgy. — 21^2 *λβ΄ om.* gy *μβ?* — 21^3 *ιθ΄ om.* cgy. — 23^2 *ἔτη κθ΄* cy. — 24^2 *θ΄ om.* cgy. — 25 *ὁρῶν* c. — *Λικίννιον*-dem *om.* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μελετῶντα ὁπλίζεται κατ᾽ αὐτοῦ διά τε ξηρᾶς καὶ θαλάσσης· καὶ δὴ πολέμου δημοσίου κροτηθέντος κατὰ τὴν Βιθυνίαν, ξῶν συλλαμβάνεται ἐν Χρυσοπόλει καὶ εἰς τὰς χεῖρας Κωνσταντίνου παραδίδοται. ὁ δὲ τῇ συνήθει φιλανθρωπίᾳ χρησάμενος χαρίζεται αὐτῷ τὴν ζωὴν καὶ εἰς Θεσσαλονίκην τοῦτον ἐκπέμπει φρουρεῖσθαι. μετ᾽ οὐ πολὺ δὲ βαρβάρους μισθωσάμενος νεωτερίζειν ἤμελλεν, εἰ μὴ προγνοὺς τοῦτο ὁ πρᾳότατος Κωνσταντῖνος διὰ ξίφους τοῦτον ἀποτμηθῆναι ἐκέλευσεν· καὶ οὕτω λοιπὸν τελείας ἀπήλαυσε γαλήνης τὰ πράγματα τῆς Χριστιανῶν πολιτείας, τῇ δυνάμει τοῦ ζωοποιοῦ σταυροῦ γεγονότων ἐκποδὼν τῶν τυράννων, καὶ μόνου κρατήσαντος τοῦ θεοσυνεργήτου Κωνσταντίνου τῆς τῶν Ῥωμαίων ἀρχῆς. ‖ καταστήσαντος οὖν τοὺς ἰδίους παῖδας καίσαρας ἀπήλαυσεν εἰρήνης. ἦν δὲ ἀνὴρ τὰ πάντα λαμπρός, δι᾽ ἀνδρείαν ψυχῆς, δι᾽ ὀξύτητα νοός, δι᾽ εὐπαιδευσίαν λόγων, διὰ δικαιοσύνης ὀρθότητα, δι᾽ εὐεργεσίας ἑτοιμότητα, διὰ ἀξιοπρέπειαν ὄψεως, διὰ τὴν ἐν πολέμοις ἀνδρείαν καὶ εὐτυχίαν,
29 B ἐν τοῖς βαρβαρικοῖς μέγας, ἐν τοῖς ἐμφυλίοις ἀήττητος, ἐν τῇ πίστει
16 P στερρὸς καὶ ἀσάλευτος. ‖ ὅθεν καὶ κατὰ πάντων τῶν πολεμίων ὑπ-
cf. Chron. Pasch. p. 526. ηγάγετο τῇ εὐχῇ τὴν νίκην. διὸ καὶ κυριακὰ πρὸς ἐπιστροφὴν τῶν ἐθνῶν κατὰ τόπους εἰς τιμὴν τοῦ θεοῦ πεποίηκεν. ‖

Τῷ δ᾽ αὐτῷ ἔτει καὶ Μαρτῖνος ἐσφάγη τυραννήσας μῆνας τρεῖς. καὶ Λικινιανός, ὁ υἱὸς Λικινίου, καῖσαρ ἀπεδύθη ὑπὸ Κωνσταντίνου.

Τῷ δ᾽ αὐτῷ ἔτει Ναρσῆς, ὁ υἱὸς τοῦ τῶν Περσῶν βασιλέως, κατέδραμε τὴν Μεσοποταμίαν καὶ λαμβάνει πόλιν Ἄμιδαν. τούτῳ Κωνστάντιος ὁ καῖσαρ, Κωνσταντίνου παῖς, πολεμεῖ καὶ πταίσας ὀλίγα τέλος οὕτω τῆς μάχης ἐκράτησεν, ὡς καὶ αὐτὸν ἀνελεῖν τὸν Ναρσῆν.

---

1 τε *add. ex* bd *om.* cgy. — καὶ διὰ θαλ. dem. — θαλάττης cg. — 2 ζῶντα b. — 3 τὰς *om.* g. — 4 τὴν συνήθη φιλανθρωπίαν g. — 5 τοῦτον *om.* dem. — 6 προγνοὺς] γνούς f. — 7 τοῦτον *om.* f. — 8 γαλήνης ἀπήλαυσε g. — ἀπέλαυσε c *item v.* 12. — 10 ἀρχῆς *post* τυράννων *add.* gy ἐκποδὼν γεγονυίας τῆς τῶν τυρ. ἀρχῆς d. — 11 τῶν *om.* g. — καταστήσας c. — 12 ὁ ἀνὴρ εἰς τὰ πάντα f. — 14 δι᾽ εὐεργ. ἑτοιμότητα *om.* b. — 15 εὐψυχίαν c εὐφυΐαν g. — 17 ἀπηγάγετο c. — 18 τῶν ἐθνῶν *om.* b. — 21 Λικιννιανὸς *et* Λικιννίου em. — ὁ *om.* gxy. — ὁ καῖσαρ gxy. — Καίσαρ gy καίσαρα b. — 22 Νάρσης b *sine acc.* c. — Ν. τοῦ τῶν Π. βασ. υἱός g. — 23 Ἀμίδαν b Ἄμηδαν g. — 24 Κωνσταντῖνος f. — Κ. καίσαρ ὁ υἱὸς Κωνστ. πολεμεῖ g. — καίσαρ *codd. praeter* c. — 25 ὀλίγον gxy. — αὐτὸν τὸν νάρσανέλειν c. — 26 Νάρσην b.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 5816 -325.
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*	
,εωις΄.	*ἔτη τις΄.*	*Κωνσταντῖνος*	*Σαβώρης*	*Σίλβεστρος*	
		ἔτη λβ΄.	*ἔτη ο΄.*	*ἔτη κη΄.*	
		κ΄.	*κβ΄.*	*κδ΄.*	

Βυζαντίου	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Ἀλέξανδρος	*Μακάριος*	*Ἀλέξανδρος*	*Εὐστάθιος*
ἔτη κγ΄.	*ἔτη κ΄.*	*ἔτη κγ΄.*	*ἔτη ιή΄.*
ε΄.	*ι΄.*	*ιή΄.*	*ί΄.*

Τούτῳ τῷ ἔτει εἰκοσαετηρὶς τῆς Κωνσταντίνου τοῦ Αὐγούστου βασιλείας ἐτελέσθη. ‖ *καὶ ἐγένετο ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος* Alex. Mon. col. 4060 D.
τῶν τιή πατέρων, ὧν οἱ πολλοὶ θαυματουργοί τε καὶ ἰσάγγελοι ὑπῆρχον, τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῷ σώματι φέροντες ἐκ τῶν
προλαβόντων διωγμῶν. ‖ *ἐν οἷς καὶ Παφνούτιος καὶ Σπυρίδων καὶ* Cr. Anecd II, 91
Μακάριος ‖ *καὶ ὁ Νισιβηνὸς Ἰάκωβος, θαυματουργοὶ καὶ νεκροὺς ἀνα-*
στήσαντες καὶ πολλὰ παράδοξα ποιήσαντες. τῆς δὲ ἁγίας συνόδου ἐν 30 B
Νικαίᾳ τῆς Βιθυνίας γενομένης, ἐξῆρχον αὐτῆς Μακάριος ὁ Ἱεροσολύ-
μων καὶ Ἀλέξανδρος Ἀλεξανδρείας, ὑπὲρ δὲ τοῦ Ῥώμης Βίτων καὶ
Βικέντιος παρῆσαν. τῆς δὲ Ἀντιοχέων ἐκκλησίας χηρευούσης, ἡ
σύνοδος Εὐστάθιον ἐκύρωσεν, τὸν ἐπίσκοπον Βεροίας τῆς Συρίας.
Ἀλέξανδρος δέ, ὁ τοῦ Βυζαντίου, οὐ παρῆν ἐν τῇ συνόδῳ διὰ γῆρας
βαθύτατον καὶ ἀσθένειαν σώματος· πρεσβύτεροι δὲ αὐτοῦ τὸν τό-
πον ἀνεπλήρωσαν. τότε καὶ Παῦλος ὁ Νεοκαισαρείας παρῆν τῇ συνόδῳ
καὶ ἄλλο πλῆθος ἁγίων ἀνδρῶν βίῳ καὶ λόγῳ διαπρεπόντων, περὶ
ὧν μεγάλους ἐπαίνους ἐν τῷ τρίτῳ λόγῳ τῶν εἰς τὸν βασιλέα Εὐσέβιος
ὁ Παμφίλου ἔγραψεν. πᾶσι δὲ τὰ πρὸς χρείαν δαψιλῶς ὁ χριστιανι-
κώτατος βασιλεὺς ἐχορήγει. αὕτη ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος
συνεργίᾳ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος Ἄρειον καθεῖλε καὶ τοὺς
ὁμόφρονας αὐτοῦ, Εὐσέβιον τὸν Νικομηδείας καὶ Θεόγνιν τὸν Νικαίας
καὶ τοὺς περὶ αὐτούς, χωρὶς Εὐσεβίου τοῦ Παμφίλου συνθεμένου
τῇ φωνῇ τοῦ ὁμοουσίου πρὸς τὸ παρόν, καὶ τούτους ἐξορίαις παρ- 17 P
έπεμψεν, ‖ *συμπαρόντος αὐτοῖς καὶ τοῦ πανευφήμου βασιλέως Κων-* Alex. Mon. col. 4061 A.
σταντίνου καὶ συνεργοῦντος ἐν πᾶσι τοῖς κατὰ θεόν, ἄλλους τε ἀντ' 31 B

3[4] *Σαπώρ* b. — 11 *ἡ εἰκοσ.* g. — *εἰκοσαετερὶς* (*εἰκουσαεταιρὶς* g) *codd.* — *τοῦ om.* g. — 16 *ὁ νησιβινὸς* d *ὀνησιβινὸς* em *ὀνισιβίνος* b *ὀνησιβῖνος* f *ὁ νησιβίνος* g *ονησιβινος sine acc. et spir.* c. — *καὶ Ἰάκωβος* y. — 19 *καὶ prius om.* g. — *Βίτων* bf *m. 2 Βίτον* f *m. 1 ut vid. Βῆτος* egmx Vitus A. — 20 *Βηκέντιος* cem. — *στειρευούσης* g. — 21 *Βεροίης* d *Βερύης* g. — 22 *Ἀλέξανδρος* beg *Μητροφάνης* dy. — 23 *δὲ αὖ τοῦτον τόπον* b. — 24 *ἐν τῇ συνόδῳ* dem. — 25 *διαπρεπόντων — λόγῳ om.* em. — 26 *τῶν scr. e.* Socr. I, 8, 4 *τὸν* b *τὸ* f *τῷ* egmx. — 27 *πρὸς τὴν χρείαν* cfg. — 29 *συνεργείᾳ* bdfg. — 30 *αὐτῷ* c. — *καὶ Θ. τὸν Νικαίας add. cx* b *cf.* Socr. Hist. eccl. I, 8, 33 *om.* gxy. — *Θεόγνιον* b. — 31 *περὶ αὐτοῦ* b *περὶ αὐτῶν* f *περὶ αὐτὸν* egmx. — 32 *ἐξορίᾳ* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῶν χειροτονηθῆναι ἐκέλευσε πίστεώς τε ἔκθεσιν ἔγγραφον ἐξήνεγκε
cf. Polydeuc. p. 280, 7 τὴν κατὰ πᾶσαν ἐκκλησίαν ὀρθοδόξων νῦν ἀπαγγελλομένην. ‖ τότε
Ἀρείου τοῦ δυσσεβοῦς παρόντος ἐν τῇ συνόδῳ καὶ κρινομένου, Εὐσέβιος
ὁ Νικομηδείας καὶ Θεόγνις καὶ Μάρις καὶ Νάρκισσος καὶ Θεόφαντος
καὶ Πατρόφιλος ἀντεποιοῦντο Ἀρείου, οἳ συντάξαντες πίστεως λόγον 5
βλάσφημον ἐπέδωκαν τῇ συνόδῳ. τοῦ δὲ διαρρηχθέντος, οἱ πεποιηκότες
τοῦτον ἀντιστραφέντες κατεδίκασαν Ἄρειον χωρὶς Σεκούνδου Πτολε-
αΐδος τῆς Αἰγύπτου καὶ Θεωνᾶ τοῦ Μαρμαρικῆς, ὧν ἐκβληθέντων
σὺν Ἀρείῳ καὶ ἀναθεματισθέντων, τὸ ἅγιον σύμβολον τῆς πίστεως
ὑπηγόρευσαν ‖ ὑπογράψαντες ἅπαντες σὺν τῷ πανευσεβεῖ βασιλεῖ, καὶ 10
εὐφήμησαν, καὶ οὕτω διελύθη ὁ σύλλογος.

Τούτῳ τῷ ἔτει Κρίσπος, ὁ υἱὸς τοῦ βασιλέως, Χριστιανὸς ἐκοι-
μήθη· καὶ τὸ Βυζάντιον ἤρξατο κτίζεσθαι.

Συνέστη οὖν ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος τῇ δωδεκάτῃ
ἰνδικτιῶνι, ἔτει εἰκοστῷ τοῦ μεγάλου Κωνσταντίνου, μηνὶ Μαΐῳ κ'. 15
cf. Polydeuc. p. 280 fin. ἔγραψε δὲ ἐπιστολὴν ἐγκύκλιον ἡ σύνοδος ἐν Ἀλεξανδρείᾳ καὶ Λιβύῃ
καὶ Πενταπόλει, δι' ἧς ἐδήλωσε τὴν ἐκβολὴν Ἀρείου καὶ Σεκούνδου
32 B καὶ Θεωνᾶ· ἐσήμανε δὲ καὶ περὶ Μελετίου, ὥστε ἰδιάζειν ἐν τῇ ἰδίᾳ
πόλει ἡσυχάζοντα, τοὺς δὲ ὑπ' αὐτοῦ χειροτονηθέντας μυστικωτέρᾳ
χειροτονίᾳ βεβαιοῦσθαι. ἔγραψε δὲ καὶ περὶ τοῦ πάσχα μηκέτι μετὰ 20
Ἰουδαίων αὐτὸ ποιεῖν, ἀλλὰ τῷ κατὰ Ἰταλίαν τύπῳ κατὰ τὴν κυριακὴν
μᾶλλον ἡμέραν ἑορτάζοντας. ὁμοίως καὶ ὁ πανευσεβὴς βασιλεὺς ἐπιστο-
λὰς ἔγραψε πανταχοῦ τὰ αὐτὰ κελευούσας καὶ βεβαιούσας τὰ παρὰ
τῆς ἁγίας συνόδου ἐκφωνηθέντα, καὶ Ἄρειον ἅμα τοῖς ὁμόφροσιν
αὐτοῦ ἀποκηρύττων, Πορφυριανούς τε αὐτοὺς ὀνομάζεσθαι, καὶ τὰ 25
συγγράμματα αὐτῶν κατακαίεσθαι, καὶ τοὺς μὴ τοῦτο ποιοῦντας
θανατοῦσθαι· ἐξέθετο δὲ καὶ νόμον βασιλικὸν οὕτω ταῦτα γενέσθαι.
τῆς δὲ ἑορτῆς ἐνστάσης κατ' αὐτὸ τῆς εἰκοσαετηρίδος τῆς αὐτοῦ
βασιλείας, πάντας τοὺς πατέρας εἰς ἑστίασιν προετρέψατο, συγκατα-
κλιθεὶς αὐτοῖς καὶ λαμπρῶς τιμήσας αὐτούς· Παφνουτίου δὲ καὶ 30
τῶν ὁμοίων ὁμολογητῶν τοὺς ἐξορυχθέντας ὀφθαλμοὺς καὶ τὰ πηρω-
θέντα μέλη ἐν τῷ διωγμῷ κατεφίλει, ἁγιασμὸν ἐξ αὐτῶν ποριζόμενος.

2 ὀρθόδοξον c. — 4 Θεόγνης g Θεόγνιος d. — Μάρης g. — Νάρκισος b. — Θέοφαντος codd. A Δημόφαντος Polyd. Μηνόφαντος Theodoret I, 7 Sozom. III, 12; IV, 8. — 5 οἳ] οἷς b. — 7 τοῦτο g. — 8 Θεονᾶ g. — Μαρμαρίκης bf Μαρμαρίτης Polyd. Theodoret. — 10 ἀπηγόρευσαν g. — πανευσεβεῖ b πανσεβασμίῳ xy σεβασμίῳ g augustissimo A. — 15 ἰνδικτιῶνι dem ἰνδικτιόνι c ἰνδ bfg. — 18 Θεονᾶ g Θεῶνα c. — ὡς b om. m. — 19 ὑπ' αὐτῶν g. — 21 Ἰτταλίαν b. — 23 κελεύουσα καὶ βεβαιοῦσα b. — 25 ἀποκηρυττούσας c ἀποκήρυκτον em ἀποκήρυκτον εἶναι d. — 27 γίνεσθαι gxy. — 28 κατατανυτό c. — εἰκοσαετερίδος (-εταιρίδος g) gxy. — 29. 30 εἰς ἑστίασιν προτιμήσας αὐτούς (rell. om.) y. — 30 δὲ] τε f. — 31 τῶν ἁγίων ὁμοίων ὁμολ. g. — πυρωθέντα b. — 32 καταφιλεῖ em. — ἁγιασμένον b.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρήνει δὲ πᾶσι τοῖς ἐπισκόποις εἰρήνην ἄγειν καὶ τῶν κατὰ τοῦ πλησίον λοιδοριῶν ἀπέχεσθαι. τοὺς δὲ λιβέλλους, οὓς κατ' ἀλλήλων τινὲς ἐπιδεδώκασιν, πυρὶ κατέκαυσεν ὅρκῳ βεβαιῶν, ὡς, εἰ ἴδοι ἐπίσκοπον μοιχεύοντα, τῇ πορφυρίδι σκέπειν τοῦτον προθύμως. πολλὰ δὲ πάσαις ταῖς ἐκκλησίαις δωρησάμενος καὶ τοῖς ἄρχουσι τῶν ἐθνῶν τιμᾷν τοὺς ἱερεῖς παρακελευσάμενος χαίροντας ἅπαντας ἐξαπέστειλεν. ‖ τοῦ δὲ βασιλέως ὑπὸ φιλοσόφων Ἑλλήνων ὀνειδισθέντος ἐν Βυζαντίῳ, ὡς οὐ πράττει καλῶς παρὰ τὰ ἔθη τῶν βασιλέων Ῥωμαίων νεωτερίζων τὴν θρησκείαν, ἔδοξε τῷ βασιλεῖ ἕνα τῶν φιλοσόφων Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ τοῦτον πρὸς τὸ διαλεχθῆναι μετ' αὐτοῦ παραπέμψαι. ὁ δὲ Ἀλέξανδρος θεῖος μὲν ἦν ἀνήρ, λόγων δὲ ἄπειρος. εἶπε δὲ τῷ διαλεκτικῷ φιλοσόφῳ γλωσσαλγοῦντι· "ἐπιτάττω σοι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ σιωπᾶν καὶ μὴ φθέγγεσθαι." ἅμα δὲ τῷ λόγῳ ἐφιμώθη καὶ γέγονεν ἄλαλος. ‖ τῷ δὲ ἐπισκόπῳ Ἱεροσολύμων Μακαρίῳ παρόντι ἐν τῇ συνόδῳ προσέταξεν ὁ βασιλεὺς ἐπανιόντι ἐρευνῆσαι τὸν τόπον τῆς ἁγίας ἀναστάσεως καὶ τὸν τοῦ κρανίου Γολγοθὰ καὶ τὸ ξωοποιὸν ξύλον. ‖ τῷ δ' αὐτῷ, ἔτει Ἑλένην, τὴν θεόφρονα αὐτοῦ μητέρα, ἔστεψε καὶ μονήταν ὡς βασιλίδι ἀπένειμεν. ‖ αὕτη δὲ ὑπτασίαν ἑώρακε κελεύουσαν αὐτῇ καταλαβεῖν τὰ Ἱεροσόλυμα καὶ τοὺς ὑπὸ ἀνόμων καταχωσθέντας θείους τόπους εἰς φῶς ἀγαγεῖν. ἡ δὲ τὸν παῖδα Κωνσταντῖνον ἠτήσατο τὰ θεόθεν αὐτῇ κελευσθέντα πληρῶσαι. ὁ δὲ τὴν ὑπακοὴν πεποίηκεν. ‖ θείῳ δὲ νεύματι κινούμενος ὁ εὐσεβὴς Κωνσταντῖνος πόλιν εἰς ἴδιον ὄνομα κτίσαι βουληθεὶς ἐν τῷ πρὸ τοῦ Ἰλίου πεδίῳ ὑπὲρ τὸν Αἴαντος τάφον, οὗ δή φασι τὸν ναύσταθμον ἐσχηκέναι τοὺς ἐπὶ Τροίαν στρατεύσαντας Ἕλληνας, θεὸς κατ' ὄναρ αὐτῷ ἐκέλευσεν ἐν τῷ Βυζαντίῳ κτίσαι τὴν νῦν Κωνσταντινούπολιν· ‖ ἣν καὶ φιλοτίμως δειμάμενος οἴκοις περιφανέσιν, τοὺς ἀπὸ Ῥώμης ἀξιολόγους μετῴκισεν, καὶ ἐξ ἄλλων τόπων κατὰ γένος ἐπιλεξάμενος καὶ οἴκους μεγάλους αὐτοῖς χαρισάμενος οἰκῆσαι τὴν πόλιν πεποίηκεν. ‖ τότε δὴ τὸν ναὸν τῆς ἁγίας Εἰρήνης καὶ τῶν ἀποστόλων καὶ τοῦ ἁγίου Μωκίου καὶ τοῦ ἀρχαγγέλου ἐν

18 P* 33 B Cram. Anecd. II, p. 92 Al. Mon. col. 4061 A. Cramer II, 92 Al. Mon. col. 4061 B. 34 B cf. Polyd. p. 268 Leo Gr. p. 89, 8 cf. Leo Gr. p. 89, 12 Cram. Anecd. II, 92

---

1 ἄγειν *om.* b. — 2 δὲ *om.* b. — 3 ἴδοι g. — 4 τοῦτον] αὐτόν dy. — 7 φιλοσόφων b Cr. σοφῶν rell. — 8 πράττοι cg πράτοι d. — ἔθνη fg. — Ῥωμαίων *om.* c. — νεωτερίζειν dgy. — 9 καὶ ἔδοξε y. — 11 δὲ *om.* b. — 12 ἐν ὀνόματι b Cr. ἐν τῷ ὀνόματι rell. — 13 ἀληθ. ἡμῶν θεοῦ g ἀληθ. θεοῦ ἡμῶν dem. — 14 ἐφημώθη gxy. — 17 Γολγοθᾶ g Γολγοθάν bc. — 18 μόνη τ' ἂν b μονίταν (*sine acc.* c) gxy. — βασιλίδα g. — 19 αὐτή d αὐτῇ b — αὐτήν cem *om.* d. — τὰ Ἱερ. καταλαβεῖν c. — 20 ὑπὸ τῶν ἀνόμων g. — τύπους b. — 22 πεποίηκε θείῳ ν. κιν. ὁ εὐσ. Κωνσταντῖνος, πόλιν g. — 24 πρὸ τοῦ] πρώτο* b. — Ἠλίου bdgy. — 26 θεὸς δὲ κατ' ὄναρ gxy δὲ *om.* b. — 27 καὶ *om.* g. — 28 ἀξιολόγω b. — μετῴκησεν *codd. corr.* Classen. — 29 ἐκλεξάμενος c. — 30 τῆς ἁγίας Σοφίας καὶ τῆς ἁγίας Εἰρήνης gxyA τῆς ἁγίας Σοφίας καὶ *om.* b Cr.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

cf. Polyd. p. 276 τῷ Ἀνάπλῳ ὁ φιλόχριστος βασιλεὺς ᾠκοδόμησεν, ‖ τοὺς δὲ τῶν Ἑλλήνων εἰδωλικοὺς ναοὺς καταλύεσθαι προσέταξε καὶ ἐκκλησίας οἰκοδομεῖσθαι. τότε κατεσκάφη ὁ ἐν Αἰγαῖς Ἀσκληπιοῦ ναὸς καὶ ὁ ἐν Ἀφάκοις τῆς Ἀφροδίτης ‖ καὶ πολλοὶ ἕτεροι. καὶ τὰς τούτων προσ-
cf. Polyd. p. 304 όδους ταῖς ἐκκλησίαις ἐθωρήσατο. ‖ τότε πολλὰ ἔθνη τῷ βαπτίσματι προσῆλθον τοῖς θαύμασι τοῖς γινομένοις ὑπὸ τῶν αἱχμαλώτων τῶν ἐπὶ Γαλιήνου τοῦ βασιλέως αἰχμαλωτισθέντων ἱερέων πρότερον ἐκ τῶν ἐπιδραμόντων τοῖς Ῥωμαίοις Γότθων καὶ Κελτῶν καὶ Γαλατῶν
19 P 35 B τῶν ἑσπερίων. καὶ νῦν δὲ ἐπὶ τοῦ νικητοῦ Κωνσταντίνου πλεῖστα τῶν ἐθνῶν ἐφωτίσθησαν τῷ Χριστῷ προσδραμόντα. Ἰνδοὶ οἱ ἐνδότεροι ἐπίστευσαν τῷ Χριστῷ, Μερωπίου φιλοσόφου Τύρου Αἰδέσιου καὶ Φρουμέντιον τοὺς μαθητὰς αὐτοῦ λαβόντος καὶ εἰσελθόντος ἐκεῖ ἱστορῆσαι τοὺς τόπους καὶ διδάξαντος αὐτοὺς τὸν λόγον τοῦ θεοῦ. πρῶτον ἐπίσκοπον Φρουμέντιον χειροτονεῖ Ἀθανάσιος ἐν αὐτοῖς. ‖
Cram. Anecd. II, 93 ὁμοίως καὶ Ἴβηρες ἐπὶ αὐτοῦ ἐπίστευσαν τὰ ὑπὸ τῆς αἰχμαλώτου γυναικὸς Χριστιανῆς ὁρῶντες γινόμενα θαύματα καὶ τὴν ἐπιπεσοῦσαν ἀχλὺν τῷ βασιλεῖ αὐτῶν κυνηγοῦντι. ταῦτα Ῥουφῖνος ἱστορεῖ παρὰ
cf. Georg. Mon. p. 403, 14 τοῦ αὐτοῦ βασιλέως τῶν Ἰβήρων Βακκουρίου ἀκηκοώς. ‖ ὁμοίως καὶ Ἀρμένιοι τελείως ἐπὶ αὐτοῦ ἐπίστευσαν, διὰ Τηριδάτου βασιλέως αὐ-
cf. Pseudo-Dor. in Chron. Pasch. tom. II, p. 120 B. τῶν καὶ Γρηγορίου ἐπισκόπου αὐτῶν τὴν σωτηρίαν δεξάμενοι. ‖ τότε καὶ Δωρόθεος, ἐπίσκοπος Τύρου, ὁ ἐπὶ Διοκλητιανοῦ πολλὰ κακοπαθήσας καὶ ἐξορίας καὶ βάσανα ὑπομείνας, ἤκμαζεν, πλεῖστα συγγράμματα καταλιπὼν Ῥωμαϊκὰ καὶ Ἑλληνικά, ὡς ἀμφοτέρων γλωσσῶν ἐμπειρότατος καὶ πολυΐστωρ διʼ εὐφυΐαν γενόμενος. οὗτος ἀκριβῶς καὶ περὶ τῶν ἐπισκόπων τοῦ Βυζαντίου καὶ ἄλλων πολλῶν τόπων
36 B διεξῆλθεν. ὁ αὐτὸς ἐπανελθὼν ἐκ τῆς ἐξορίας καὶ ἐν τῇ συνόδῳ εὑρεθείς, καταλαβὼν τὴν ἰδίαν παροικίαν διήρκεσεν ἕως Ἰουλιανοῦ τοῦ παραβάτου. καὶ ἐπειδήπερ οὐ προφανῶς ἀλλὰ κρυπτῶς διὰ τῶν ἀρχόντων ὁ μιαρὸς ἀνὴρ εἰς τοὺς Χριστιανοὺς παροίνει, πάλιν ὁ μακάριος Δωρόθεος κατέλαβε τὴν Ὀδυσσόπολιν, ἔνθα καὶ συσχεθεὶς ὑπὸ τῶν ἀρχόντων Ἰουλιανοῦ καὶ πολλοὺς ὑπομείνας αἰκισμοὺς ἐν βαθυτάτῳ γήρᾳ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν ταῖς βασάνοις ἐναπέθανεν ρζ' ἐτῶν ἤδη τυγχάνων.

---

1 Ἑλλήνων bc Polyd. εἰδώλων dgy. — 3 ἐν Αἰγαῖς] ἐναγῆς dem ἐναγῆς g ἐναγές b. — Ἀσκληπίου bcgy. — 4 προόδους b. — 7 Γαλιηνοῦ g Γαλλιήνου y Γαλλιίνου d Γαλλιηνου sine acc. c. — 9 πλεῖστα μέρη τῶν g. — 10 προσδραμόντων g. — 11 Τυρίου comi. Classen. — Αἰδέσιον cem. — 14 Φρομέντιον g. — 15 τὰ b Cr. om. gxy. — 17 κυνηγοῦντι ἰασαμένης gxy ἰασαμένης om. b Cr. — παρ' αὐτοῦ τοῦ βασ. c. — 18 Κουκουρίου em Καυκκουρίου d — 19 τελείως om. dy. — Τηρηδάτου g. — τοῦ βασιλέως gxy τοῦ om. b. — 23 καὶ Ἑλληνικά om. dy. — 24 καὶ πολυΐστωρ om. c. — 25 τόπων om. f. — 27 ἰδίαν] οἰκείαν c. — ἕως] μέχρι g. — 29 παροίνει om. b. — 32 γήρᾳ c Ps.-Dor. γήραι g γήρει bdy. — 33 ἑκατὸν ἑπτὰ ἤδη τυγχ. ἐτῶν g om. dy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 5817-326.
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*	
ϛωιζ΄.	*ἔτη τιζ΄.*	*Κωνσταντῖνος*	*Σαβώρης*	*Σίλβεστρος*	
		ἔτη λβ΄.	*ἔτη ο΄.*	*ἔτη κη΄.*	
		κα΄.	*κγ΄.*	*κε΄.*	

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Ἀλέξανδρος	*Μακάριος*	*Ἀλέξανδρος*	*Εὐστάθιος*
ἔτη κγ΄.	*ἔτη κ΄.*	*ἔτη κγ΄.*	*ἔτη ιη΄.*
ϛ΄.	*ια΄.*	*ιθ΄.*	*ια΄.*

‖ *Τούτῳ τῷ ἔτει Ἰουδαῖοί τε καὶ Πέρσαι τὸν χριστιανισμὸν* cf. Sozom. II, 9 sqq.
ὁρῶντες ἀκμάζοντα κατὰ τὴν Περσίδα διαβάλλουσι Σαβώρῃ, βασιλεῖ Περσῶν, Συμεῶνα, τὸν ἀρχιεπίσκοπον Κτησιφῶντος, καὶ τὸν Σελευκείας, ὡς φίλους τοῦ βασιλέως Ῥωμαίων καὶ μηνυτὰς τῶν Περσικῶν πραγμάτων· ὥστε διωγμοῦ μεγάλου ἐν Περσίδι κινηθέντος πλεῖστοι τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ κατεκοσμήθησαν, ἐν οἷς καὶ Οὐσθαξάδης, 20 P
παιδαγωγὸς Σαβώρου, καὶ Συμεὼν ὁ ἀρχιεπίσκοπος καὶ πρὸς ἄλλοις πολλοῖς ἑκατὸν κληρικοὶ καὶ ἐπίσκοποι ἐν ἡμέρᾳ μιᾷ ἐμαρτύρησαν καὶ πολλὰ πλήθη ἀναρίθμητα. ἐκ δὲ τῶν πολλῶν τοὺς ἐπισήμους Exc. Bar.
ιη΄ χιλιάδας ἠρίθμησαν μαρτύρων βασάνοις φρικώδεσι καὶ ξέναις τῆς 37 B
φύσεως τελειωθέντας ὑπὸ Σαβώρου τοῦ ἀθεωτάτου. ‖ τότε καὶ Ἀκεψι- cf. Sozom. II, 12 sqq.
μᾶς ἐπίσκοπος καὶ Ἀειθαλᾶς πρεσβύτερος καὶ Τερβουλία, ἡ ἀδελφὴ Συμεὼν τοῦ ἀρχιεπισκόπου, σὺν ἑτέραις πλείσταις ἐμαρτύρησαν.
Κωνσταντῖνος δέ, ὁ θειότατος βασιλεύς, Σαβώρῃ διὰ γραμμάτων Exc. Bar.
παρῄνει φείσασθαι Χριστιανῶν αἰτῶν καὶ παύσασθαι τῆς τοσαύτης ὠμότητος· ἥ τις ἐπιστολὴ θαυμασίως συντέτακται καὶ θειότατα· ἀλλ' οὐκ ἔπεισεν. ‖

‖ *Τῷ δ' αὐτῷ ἔτει Ἑλένην τὴν μακαρίαν μετὰ χρημάτων καὶ* Al. Mon. col. 1061 B.
στρατευμάτων ἀπέστειλεν εἰς τὰ Ἱεροσόλυμα ὁ θεῖος Κωνσταντῖνος πρὸς τὸ ἀναζητῆσαι τὸν ζωοποιὸν τοῦ κυρίου σταυρόν. Μακάριος δέ, ὁ πατριάρχης Ἱεροσολύμων, συναντήσας τῇ βασιλίδι μετὰ τῆς δεούσης τιμῆς τὴν ζήτησιν τοῦ ποθουμένου ξωοποιοῦ ξύλου ἐποιεῖτο σὺν αὐτῇ μεθ' ἡσυχίας καὶ προσευχῶν σπουδαίων καὶ νηστείας.

---

12 *Σαπώρει* b *Σαβώρην* g. — 13 *Περσῶν βασιλεῖ* dg *βασιλεῖ om.* y. — *Συμεών* c. — 14 *Σελευκίας* bf. — *τῶν βασιλέων* g. — 16 *Οὐσθαδοξάδης* b *Οὐσθαξάδης rell.* Heustazades A *Οὐσταζάδης? cf.* Vales. ad Soz. II, 9. — 17 *Σαβωρίου* degm. — 18 *ἕκαστον* y. — 19 *πολλῶν* bc *πόλεων* dgy. — 20 *χιλιάδας ἠριθμήθησαν* f *χιλιάδες ἠριθμήθησαν* dem. — *μυρίους ἑξακισχιλίους* Sozom. — 21 *τελειωθέντες* dem *τελειωθέντων* c. — *Σαβόρου* d *Σαβωρίου* gm. — *Ἀκεψιμάς* c *Ἀκεψημάς* b. — 22 *ὁ ἐπίσκοπος* cy. — *καὶ Ἰωσὴφ πρεσβύτερος καὶ Ἀειθαλᾶς διάκονος* d. — *Ἀειθαλάς* bm. — *Τερβουλία* bc *Τυρβουλία sive Τουρβουλία* g *Περβουλία* dy *Ταρβούλα* Soz. — 23 *πλείσταις*] *πλατείαις* b. — 24 *Σαβώρῃ* c *Σαβωρίῳ rell.* — 28 *καὶ στρατευμάτων add. ex.* b *om.* gxy *καὶ γραμμάτων* Alex. — 29 *τὰ om.* c. — 30 *ζωοποιόν*] *θεῖον* c. — 33 *νηστειῶν* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτων δὲ γενομέων, ἐφάνη συντόμως θεόθεν ὁ τόπος τῷ αὐτῷ Μακαρίῳ δειχθείς, ἐν ᾧ ἵδρυτο τῆς ἀκαθάρτου δαίμονος Ἀφροδίτης
38 B ὁ ναὸς καὶ τὸ ἄγαλμα· ὃν τῇ βασιλικῇ αὐθεντίᾳ χρωμένη συντόμως καθεῖλεν ἡ θεόστεπτος Ἑλένη διὰ πλήθους τεχνιτῶν ἐκ βάθρων κατασκάψασα καὶ τὸν χοῦν ἀπορρίψασα, ὑπὸ Ἀδριανοῦ Αἰλίου πάλαι κτισθέντα πολυτελῶς. αὐτίκα δὲ τὸ ἅγιον μνῆμα καὶ ὁ τόπος τοῦ κρανίου ἀνεδείχθησαν, καὶ πρὸς ἀνατολὴν σύνεγγυς τούτων τρεῖς σταυροὶ κεχωσμένοι· ἐρευνήσαντες δὲ εὗρον καὶ τοὺς ἥλους. ἀμηχανούντων δὲ πάντων, ποῖος ἄρα εἴη ὁ δεσποτικὸς σταυρός, καὶ σφόδρα τῆς μακαρίας Ἑλένης λυπουμένης, ὁ Μακάριος φερώνυμος ἐπίσκοπος διὰ πίστεως ἔλυσε τὸ ζητούμενον. ἀπεγνωσμένῃ γάρ τινι γυναικὶ τῶν ἐμφανῶν καὶ σχεδὸν τεθνηκυίᾳ προσαγαγὼν ἑκάτερον τῶν σταυρῶν τὸν δεσποτικὸν διέγνω. μόνον γὰρ ἤγγισε τῇ ἀσθενούσῃ ἡ σκιὰ αὐτοῦ, καὶ εὐθὺς ἡ ἄπνους καὶ ἀκίνητος θεία δυνάμει παραχρῆμα ἀνεπήδησε δοξάζουσα τὸν θεὸν μεγάλῃ φωνῇ. ἡ δὲ πανευσεβὴς Ἑλένη μετὰ φόβου καὶ πολλῆς χαρᾶς ἀνελομένη τὸ ζωοποιὸν ξύλον μέρος μὲν αὐτοῦ σὺν τοῖς ἥλοις ἤγαγε πρὸς τὸν παῖδα, τὸ δὲ λοιπὸν
21 P εἰς ἀργυροῦν καταθεμένη γλωσσόκομον παρέδωκε τῷ ἐπισκόπῳ Μακαρίῳ εἰς μνημόσυνον ταῖς μετέπειτα γενεαῖς. τότε δὲ καὶ ἐκκλησίας ἐκέλευσε κτισθῆναι ἔν τε τῷ ἁγίῳ μνήματι καὶ ἐν τῷ κρανίῳ καὶ
39 B ἐπ' ὀνόματι τοῦ ἑαυτῆς υἱοῦ, ἔνθα εὑρέθη τὸ ζωοποιὸν ξύλον, καὶ ἐν Βηθλεὲμ καὶ ἐν τῷ ὄρει τῶν ἐλαιῶν· καὶ οὕτως ἐπανῆλθε πρὸς τὸν πανεύφημον Κωνσταντῖνον. ὁ δὲ δεξάμενος αὐτὴν μετὰ χαρᾶς τὴν μὲν τοῦ ζωοποιοῦ ξύλου μοῖραν ἐν χρυσῇ θήκῃ παρέθετο, παραδοὺς τῷ ἐπισκόπῳ εἰς τήρησιν· τῶν δὲ ἥλων τοὺς μὲν εἰς τὴν ἑαυτοῦ περικεφαλαίαν ἐχάλκευσεν, τοὺς δὲ ἀνέμιξε τῷ σαλιβαρίῳ τοῦ ἵππου αὐτοῦ, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· "ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τὸν χαλινὸν τοῦ ἵππου ἅγιον τῷ κυρίῳ παντοκράτορι." ὁ δὲ αὐτὸς πανεύφημος Κωνσταντῖνος ἔγραψε τῷ φερωνύμῳ Μακαρίῳ ἐπισπεύδειν τὴν οἰκοδομήν, καὶ ἄρχοντα τοῦ ἔργου ἀπέστειλε μετὰ δαψιλείας χρημάτων, κελεύσας οὕτω κτισθῆναι τοὺς ἁγίους τόπους, ὡς μὴ εἶναι τοιαύτην καλλονὴν ἐν ὅλῃ τῇ οἰκου-

---

1 γινομένων c. — 4 κατασκάψασα] κατασκάψαι y ἀπορρίψασα c. — 5 Ἑλίνου b. — πάλιν g. — 10 φερωνύμως g. — 11 τινι] τῇ b. — 12 γυναικὶ *om.* f. — ἑκατέρων τῶν σταυρῶν y ἑκατέρων τὸν σταυρόν b ἑκατέρων τῶν σταυρῶν τὰ ξύλα g ἀμφοτέρων τῶν σταυρῶν d ἕκαστον τῶν σταυρῶν Alex. — 13 ἀσθενούσῃ] τεθνηκυίᾳ f. — 14 καὶ *ante* εὐθὺς b *om.* gxy. — ἄπνους] ἀπογνούς b. — 15 μεγάλῃ τῇ φωνῇ fg. — 18 ἀργυροῦν cy ἄργυρον b. — 20 τε *om.* x. — 21 ηὑρέθη fg. — 25 τοὺς] τὴν b. — 27 Zachar. proph. XIV, 20. — 28 ἐπὶ τὸν (τὸ d) χαλινὸν d LXX Alex. Polyd. ἐπὶ τοῦ χαλινοῦ *rell.* — τοῦ *ante* ἵππου *om.* y. — 29 ἔγραψε b ἔγραφε gxy. — 30 τῷ *Μακαρίῳ* φερωνύμῳ g. — τῇ οἰκοδομῇ *codd. correxi ex* Alex. — 31 κελεύουσα em κελεύσιν (σιν *in lit.*) f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένη, γράψας καὶ τοῖς ἡγεμόσι τῆς ἐπαρχίας συνδραμεῖν τοῖς ἔργοις σπουδαίως ἐκ τοῦ δημοσίου λόγου. ἦν δὲ ὁ βασιλεὺς φαιδρῶς ἑορτάζων καὶ εὐχαριστῶν τῷ θεῷ τῷ ποιήσαντι τοιαῦτα ἀγαθὰ ἐν τοῖς χρόνοις αὐτοῦ.

Τῷ δ' αὐτῷ ἔτει καὶ ὁ φερώνυμος Μακάριος, ὁ πατριάρχης Ἱεροσολύμων, ἐκοιμήθη ἐν εἰρήνῃ, καὶ διεδέξατο τὸν θρόνον αὐτοῦ Μάξιμος, πρᾶος ἀνὴρ καὶ ἐπίσημος, πολλὰς βασάνους ὑποστὰς διὰ τὸν θεὸν ἐν τῷ διωγμῷ καὶ τὸν δεξιὸν ὀφθαλμὸν ἀπολέσας. ‖

‖ Κατ' αὐτὸν τὸν καιρὸν καὶ ἡ μακαρία Ἑλένη ἐκοιμήθη ἐν κυρίῳ ἐτῶν π' πολλὰ ἐντειλαμένη τῷ υἱῷ περὶ τῆς εἰς Χριστὸν εὐσεβείας. ‖ ἐτάφη δὲ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν Κωνσταντινουπόλει, ὃν ἔκτισεν ὁ υἱὸς αὐτῆς Κωνσταντῖνος εἰς τὸ θάπτεσθαι τοὺς τελευτῶντας βασιλεῖς Χριστιανούς. ‖ πρώτη δὲ ἐτάφη ἐν αὐτῷ ἡ μακαρία Ἑλένη, μνήμαις φαιδραῖς καὶ πανυχίσι τιμηθεῖσα. ‖ αἱ δὲ ἐν Ἱεροσολύμοις ἱεραὶ παρθένοι, ἃς ἐστιῶσα δι' ἑαυτῆς, ὡς θεράπαινα, ταῖς τραπέζαις διηκόνει ἡ θεόφρων Ἑλένη, διὰ παντὸς θείαις μνήμαις αὐτὴν ἐμακάριζον. ‖ Εὐσεβίῳ δὲ τῷ Παμφίλου βίβλους ἱερὰς κατασκευάσαι ὁ βασιλεὺς προσέταξε λόγῳ τῶν ἐκκλησιῶν Κωνσταντινουπόλεως παρασχὼν αὐτῷ καὶ δημόσια χρήματα. ‖

40 B Al. Mon. col. 4064 C.

Al. Mon. col. 4068 C.

Cram. Anecd. II, 92

cf. Leo Gr. p. 88, 22

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 5818-327.
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*	
ϡωιή.	*ἔτη τιή.*	*Κωνσταντῖνος*	*Σαβώρης*	*Σίλβεστρος*	
		ἔτη λβ'.	*ἔτη ο'.*	*ἔτη κή'.*	
		κβ'.	*κδ'.*	*κς'.*	

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκ. κγ'*
Ἀλέξανδρος	*Μακάριος*	*Ἀλέξανδρος*	*Εὐστάθιος*
ἔτη κγ'.	*ἔτη κ'.*	*ἔτη κγ'.*	*ἔτη ιή'.*
ζ'.	*ιβ'.*	*κ'.*	*ιβ'.*

Τούτῳ τῷ ἔτει Κωνσταντῖνος νικητὴς εὐσεβέστατος κατὰ Γερμανῶν καὶ Σαρματῶν καὶ Γότθων στρατεύσας νίκην ἤρατο κραταιὰν διὰ τῆς 22 P

---

7 καὶ *om.* y. — ὑπέστη g. — 8 ἀπολέσας ὀφθαλμόν dem. — 10 κατὰ τοῦτον τὸν κ. c. — 11 εὐσεβείας] πίστεως f. — 13 ὃν c ὃ gy ὧ bd. — 14 ἐτάφη ἐν αὐτῷ b ἐν αὐτῷ ἐτάφη gxy. — 15 πανυχείσι b πανυχήσι d. — 16 ἃς ἑστιῶσα *scr. e. coni. coll.* Soer. Hist. eccl. I, 17 ἃς ἑστῶσα bc ἃς ἑστώσας f αἷς ἑστῶσα dg αἱστῶσα em. — 18 ἐμμακαρίζων b. — τοῦ Παμφίλου c τῷ Παμφίλῳ f. — 27[4] κδ' b *om. rell.* — 31. 32 Τούτῳ τῷ ἔτει *K.* ὁ εὐσεβὴς τὸν Δανούβην περάσας γέφυραν ἐν αὐτῷ λιθίνην καὶ (κατὰ *m.* 2) Γότθων στρατεύσας c *cf. p.* 28, 19. — 31 *K.* ὁ (ὁ *om.* f) νικητὴς ὁ εὐσεβέστατος y *K.* ὁ εὐσεβέστατος καὶ νικητής d *K.* ὁ μέγας καὶ εὐσεβέστατος g. — Γερμάνων gm. — 32 στρατεύσας τὸν Δανούβην περάσας γέφυραν ἐν αὐτῷ ἔνθα ὁ μέγας Κωνσταντῖνος γέφυραν ἐν τῷ Δανουβίῳ ἔκτισε λιθίνην κατασκευάσας νίκην κ. τ. λ. g. — ἠΰρατο g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ σταυροῦ δυνάμεως, καὶ τούτους ἐρημώσας εἰς ἐσχάτην αὐτοὺς κατήγαγε δουλείαν.

41 B cf. Chron. Pasch. p. 527, 9 et Hieron. Chr. Τῷ δ' αὐτῷ ἔτει καὶ Δρεπάναν ἐπικτίσας εἰς τιμὴν Λουκιανοῦ τοῦ ἐκεῖσε μάρτυρος ὁμώνυμον τῇ μητρὶ αὐτοῦ Ἑλενόπολιν κέκληκεν. ‖ τῷ συμβόλῳ τῆς ἐκτεθείσης ἐν Νικαίᾳ ὑπὸ τῶν πατέρων πίστεως πᾶσαν ὀρθοδοξίαν Εὐσέβιος ὁ Παμφίλου μαρτυρεῖ γράφων τοῖς ἑαυτοῦ πολίταις καὶ ἑρμηνεύων τὰ ῥήματα πρὸς τὴν διάνοιαν. Ἀθανάσιος δὲ ἐν τῇ πρὸς Ἄφρους ἐπιστολῇ μαρτυρεῖ τῷ Παμφίλου ὡς δεξαμένῳ τὴν φωνὴν τοῦ ὁμοουσίου. ὁ δὲ Θεοδώρητός φησιν ὅτι Εὐσέβιος ὁ Παμφίλου σύμφρων τῶν Ἀρειανῶν ὑπῆρχεν, Εὐσεβίου τοῦ Νικομη- Theod. Hist. eccl. I, 21. 22.

Exc. Bar. δείας καὶ τῶν σὺν αὐτῷ, ‖ ὅθεν καὶ τῇ καθαιρέσει τοῦ θείου Εὐσταθίου Ἀντιοχείας συνέδραμεν, μεθ' ὧν καὶ τὸν βασιλέα πείσας δικαίως αὐτὸν καθαιρεῖσθαι ἐν τῷ Ἰλλυρικῷ παρεσκεύασεν αὐτὸν ἐξορισθῆναι. ‖

328. A. M. 5819 κγ'. κε'. κζ'. η'. ιγ'. κα'. ιγ'.

cf. Hieron. Chron. ‖ Τούτῳ τῷ ἔτει ἐν Ἀντιοχείᾳ τὸ ὀκτάγωνον κυριακὸν ἤρξατο οἰκοδομεῖσθαι. ‖

329. A. M. 5820 κδ'. κς'. κη'. θ'. ιδ'. κβ'. ιδ'.

cf. Chron. Pasch. p. 527, 17 ‖ Τούτῳ τῷ ἔτει Κωνσταντῖνος ὁ εὐσεβὴς τὸν Δανοῦβιν περάσας γέφυραν ἐν αὐτῷ λιθίνην πεποίηκε καὶ τοὺς Σκύθας ὑπέταξεν. ‖

330. A. M. 5821 Ῥώμης ἐπίσκοπος λβ' Μάρκος ἔτη β'.
κε'. κζ'. α'. ι'. ιε'. κγ'. ιε'.

42 B Τούτῳ τῷ ἔτει κτίζων Κωνσταντῖνος ὁ εὐσεβὴς τὴν Κωνσταντινούπολιν Ῥώμην νέαν χρηματίζειν ταύτην ἐθέσπισε καὶ σύγκλητον ἔχειν ἐκέλευσεν, στήσας καὶ πορφυροῦν κίονα καὶ ἐπάνω αὐτοῦ ἀνδριάντα ἑαυτοῦ ἀπὸ τοῦ τόπου, οὗ ἤρξατο οἰκοδομεῖν τὴν πόλιν, ἐπὶ τὸ δυτικὸν μέρος τῆς ἐπὶ Ῥώμην ἐξιούσης πύλης, κοσμήσας τὴν πόλιν καὶ κομίσας ἐν αὐτῇ ἀπὸ πάσης ἐπαρχίας καὶ πόλεως, εἴ τι ἔργον ἦν εὐκοσμίας καὶ ἀνδριάντων καὶ χαλκοῦ καὶ μαρμάρου.

331. A. M. 5822 Ἀλεξανδρείας ἐπίσκοπος Ἀθανάσιος ἔτη μς'.
κς'. κη'. β'. ια'. ις'. α'. ις'.

23 P cf. Hier. Chron. ‖ Τούτῳ τῷ ἔτει ἐπέτευνε Κωνσταντῖνος ὁ εὐσεβὴς τὴν κατὰ τῶν εἰδώλων καὶ τῶν ναῶν αὐτῶν κατάλυσιν, καὶ κατὰ τόπους ἠφανίζοντο· καὶ αἱ πρόσοδοι αὐτῶν ταῖς ἐκκλησίαις τοῦ θεοῦ ἀπεδίδοντο. ‖

---

1 τοῦ τιμίου σταυροῦ g. — αὐτοῖς ἦγαγε g. — 3 χρόνῳ cg. — καὶ *om.* dy. — Δρεπάναν b Δρεπανάν fg Δρεπανᾶν dem Δρεπανα *sine acc.* c. — 4 ἐκεῖσε *om.* g. — 7 τὴν *om.* b. — 8 τῷ Παμφίλῳ cgy. — ὡς δεξαμένῳ] εἰσδεξαμένῳ dgy. — 9 ὅτε b. — 11 ὅθεν ἐν τῇ dgy. — 15 κζ' *om.* cgy. — 16 τῷ αὐτῷ ἔτει cg. — 18 κη' *om.* fg. — 19 Δανούβην c Δανούβιν *rell.* — 25 ἐκέλευσεν] ἐθέσπισεν c. — 26 ἑαυτοῦ *om.* dgy. — τοῦ *om.* y. — 27 πόλιν] πύλην g. — καὶ *om.* f. — 28 ἐπ' αὐτῇ dgy. — 34 ἐδίδοντο g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 5823-**333**.
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*	
,εωκγ΄.	*ἔτη τκγ΄.*	*Κωνσταντῖνος*	*Σαβώρης*	*Ἰούλιος*	
		ἔτη λβ΄.	*ἔτη ο΄.*	*ἔτη ιε΄.*	
		κζ΄.	*κθ΄.*	*α΄.*	

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Ἀλέξανδρος	*Μακάριος*	*Ἀθανάσιος*	*Εὐστάθιος*
ἔτη κγ΄.	*ἔτη κ΄.*	*ἔτη μ΄.*	*ἔτη ιή΄.*
ιβ΄.	*ιζ΄.*	*β΄.*	*ιζ΄.*

Τούτῳ τῷ ἔτει ἡ ἐν Νικομηδείᾳ βασιλικὴ πυρὶ θείῳ κατεφλέχθη.

κή΄. λ΄. β΄. ιγ΄. ιή΄. γ΄. ιή΄. A. M. 5824-**333**.

Τούτῳ τῷ ἔτει, μελλούσης τῆς ἑβδόμης ἰνδικτιῶνος ἐπιλαμβά- cf. Hier. Chron.
νεσθαι, λιμὸς ἐγένετο ἐν τῇ ἀνατολῇ ἐπικρατήσας σφοδρότερον, ὥστε
κώμας κατὰ τὸ αὐτὸ ἐν ὄχλῳ πολλῷ συναγομένας ἐπὶ τῆς χώρας
Ἀντιοχέων καὶ τῆς Κύρου ἐπέρχεσθαι κατ᾽ ἀλλήλων καὶ ἁρπάζειν
μὲν ὡς ἐν νυκτὶ ταῖς ἐφόδοις, ἔσχατον δὲ ἐν ἡμέρᾳ ἐπεισιέναι εἰς
τοὺς σιτοβολῶνας καὶ ἐν ταῖς ἀποθήκαις καὶ πάντα πραιδεύοντας 43 B
ἁρπάζειν καὶ ἀναχωρεῖν, γενέσθαι δὲ τὸν μόδιον τοῦ σίτου υ΄ ἀργυ-
ρίων. ὁ δὲ μέγας Κωνσταντῖνος σιτομέτριον ταῖς ἐκκλησίαις κατὰ
πόλιν ἐχαρίσατο εἰς διατροφὴν διηνεκῶς χήραις καὶ ξενοδοχείοις πένησί
τε καὶ τοῖς κληρικοῖς. ἡ δὲ ἐν Ἀντιοχείᾳ ἐκκλησία ἐλάμβανε σίτου
μοδίους τρισμυρίους ἑξακισχιλίους.

Τῷ δ᾽ αὐτῷ ἔτει, σεισμοῦ λαβροτάτου γενομένου ἐν Κύπρῳ,
Σαλαμῖνα πόλις κατέπεσε καὶ ἱκανὴν πληθὺν διέφθειρεν.

Ἀντιοχείας ἐπίσκοπος Εὐλάλιος ἔτη γ΄. A. M. 5825-**334**.

κθ΄. λα΄. γ΄. ιδ΄. ιθ΄. δ΄. α΄.

‖ *Τούτῳ τῷ ἔτει Δαλμάτιος καῖσαρ ἀνηγορεύθη. Καλόκαιρος* cf. Hier. Chron.
δὲ ἐν Κύπρῳ τῇ νήσῳ τυραννήσας οὐκ ἀντέσχε τῇ Ῥωμαίων προσ-
βολῇ· ‖ καὶ ἡττηθεὶς ἅμα τοῖς αἰτίοις ἀνῃρέθη ἐν Ταρσῷ τῆς Κιλικίας 24 P
καυθεὶς ζῶν ὑπὸ Δαλματίου καίσαρος.

‖ *Τῷ δ᾽ αὐτῷ ἔτει καὶ Ἄρειος ἐκ τῆς ἐξορίας ἀνακληθεὶς δι᾽* Exc. Bar.
ἐπιπλάστου δῆθεν μετανοίας καὶ εἰς Ἀλεξάνδρειαν πεμφθεὶς οὐκ
ἐδέχθη ὑπὸ Ἀθανασίου. ‖

λ΄. λβ΄. δ΄. ιε΄· κ΄. ε΄. β΄. A. M. 5826-**335**.

‖ *Τούτῳ τῷ ἔτει Κωνσταντίνου τοῦ εὐσεβεστάτου καὶ νικη-* cf. Chron. Pasch. p. 531, 14
τοῦ ἤχθη τριακονταετηρὶς πάνυ φιλοτίμως. ‖ *καὶ ἐφάνη ἀστὴρ* 44 B

13 *τῆς add. ex* b *om.* gxy. — *ἰνδικτιόνος* c *ἰνδικτίονος* f *ιδ*^{η} b. — 15 *κατὰ*] *ἐπί* cg. — 16 *Κύπρου vulg.* — 17 *εἰσιέναι* c. — 19 *ἁρπάζειν μὲν ὡς ἐν νυκτί* em. — *ἀργυριζείων* em. — 20 *κατὰ π΄λιν ταῖς ἐκκλησίαις* c. — 21 *χήραις καὶ ὀρφανοῖς καὶ ξεν.* g. — *ξενοδοχίοις* bd *ξένοις* g. — 22 *σίτον* c. — 25 *Σαλαμίνα* b *Σαλαμῖνη* ex *Σαλαμήνη* fm *Σαλμίνη* g. — 28 *καίσαρ* bfgm. — *Καλόκερος* cy. — 29 *οὐ κατέσχε* gy. — 32 *δ᾽ om.* b. — 37 *τριακονταετήρης* b *τριακονταετερὶς* (*-εταιρὶς* g) gxy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν Ἀντιοχείᾳ ἐν ἡμέρᾳ ἐν τῷ οὐρανῷ κατὰ τὸ ἀνατολικὸν μέρος καπνίζων σφόδρα ὡς ἀπὸ καμίνου, ἀπὸ ὥρας τρίτης ἕως ὥρας πέμπτης.

Exc. Barocc. *ὁ δὲ Ἄρειος σὺν τῷ Νικομηδείας Εὐσεβίῳ καὶ τοῖς ὁμόφροσιν αὐτοῦ διανέστησαν μεθ' ὅρκων λιβέλλους ὀρθοδοξίας ἐπιδεδωκότες τῷ βασιλεῖ διψῶντι τὴν τῶν διηρημένων ἕνωσιν· καὶ ἔπεισαν αὐτὸν ὅτι ὁμοφρονοῦσι τοῖς ἐν Νικαίᾳ πατράσιν, ψευδόμενοι. τούτοις παραπεισθεὶς ὁ βασιλεὺς ἠγανάκτησε κατὰ Ἀθανασίου, ἐφ' οἷς Ἄρειον καὶ Εὐζώϊον οὐκ ἐδέξατο τοὺς ὑπὸ Ἀλεξάνδρου καθαιρεθέντας, διακόνου ὄντος τότε Εὐζωΐου. εὑρὼν δὲ ἀφορμὴν ὁ Εὐσέβιος καὶ οἱ σὺν αὐτῷ ἠγωνίζοντο κατὰ Ἀθανασίου ὡς προμάχου τῆς ὀρθῆς πίστεως.* ‖

336. A. M. 5827

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*
,εωκξ΄.	*ἔτη τκζ΄.*	*Κωνσταντῖνος*	*Σαβώρης*	*Ἰούλιος*
		ἔτη λβ΄.	*ἔτη ο΄.*	*ἔτη ιε΄.*
		λα΄.	*λγ΄.*	*ε΄.*

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Ἀλέξανδρος	*Μάξιμος*	*Ἀθανάσιος*	*Εὐλάλιος*
ἔτη κγ΄.	*ἔτη ς΄.*	*ἔτη μς΄.*	*ἔτη γ΄.*
ις΄.	*α΄.*	*ς΄.*	*γ΄.*

Exc. Barocc. ‖ *Τούτῳ τῷ ἔτει τὴν ἀγανάκτησιν τοῦ βασιλέως τὴν κατὰ Ἀθανασίου γενομένην διὰ τὸ μὴ δέξασθαι Ἄρειον καὶ Εὐζώϊον μετὰ τὴν ἐπίπλαστον δῆθεν ἐπιστροφὴν οἱ περὶ τὸν Νικομηδείας Εὐσέβιον ἅμα τοῖς Μελιτιανοῖς ὄργανον κακίας εὑρόντες τὰ κατὰ Ἀθανασίου συνεσκεύαζον. καὶ πρῶτον μὲν τὴν χειροτονίαν αὐτοῦ διέβαλλον,*

45 B *καίπερ Ἀπολιναρίου τοῦ Σύρου μεγάλα περὶ τῆς Ἀθανασίου χειροτονίας μαρτυροῦντος· δεύτερον δὲ περὶ τῆς λινῆς ἐσθῆτος, ἣν οἱ ἐχθροὶ ἐπιθεῖναι τὸν ἅγιον ἐσυκοφάντουν· τρίτον περὶ Φιλουμένου, ᾧ χρυσίον πολὺ πέμψαι ἔλεγον ψευδόμενοι εἰς ἐπιβουλὴν τοῦ βασιλέως. μετακαλεσάμενος δὲ ὁ βασιλεὺς Ἀθανάσιον καὶ πάντα ψευδῆ εὑρὼν μετὰ γραμμάτων καὶ τιμῆς πολλῆς εἰς Ἀλεξάνδρειαν τοῦτον*

25 P *ἀπέστειλεν. τῷ δ' αὐτῷ ἔτει καὶ ἡ κατὰ Ἰσχύραν ἐπιβουλὴ Ἀθανασίου ἐτυρεύθη ἐν τῷ Μαρεώτῃ. οὗτος ὁ Ἰσχύρας ἱερέα ἑαυτὸν σχηματίσας περιήει ἱερουργῶν· ὅπερ μαθὼν Ἀθανάσιος τοῦτον ἐκώλυσε*

---

2 ἀπὸ καπνοῦ f. — 4 *λιβέλους* f. — 5 *διψῶντι — ἔπεισαν αὐτὸν add. ex.* bA *δι' αὐτῶν (αὐτόν* c) *reliquis om.* gxy. — *διειρημένων* b. — 8 *οὐ κατεδέξατο* f. — *διακόνου ὄντος τότε scr. e. coni. διακονοῦντος τότε* b *διακόνου τότε ὄντος* gxy. — 18[2] *Μακάριος* y. — 19[2] *ἔτη κγ΄* g. — 22 *γεναμένην* dem. — 24 *Μελιτιανοῖς* d. — 25 *καὶ om.* f. — *αὐτοῦ om.* g. — 26 *περὶ τῆς* b Exc. Bar. *τῆς περί* gxy. — 30 *μετακελευσάμενος* g *μετακαλεσαμένους* em. — 31 *πολλῆς om.* cA. — 32 *ἡ Ἰσχύρα κατὰ Ἀθανασίου ἐπιβουλή* g. — *Ἰσχυράν* b. — 33 *εὑρέθη* m *εὑρέθη* e. — *Ἰσχυράς* b. — 34 *ἱερουργῶν add. ex.* bc *coll.* Exc. Bar. *om.* dgy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ τολμήματος διὰ Μακαρίου πρεσβυτέρου. ὁ δὲ φυγὼν ἦλθε πρὸς Εὐσέβιον τὸν Νικομηδείας, κατηγορῶν Ἀθανασίου ὡς ἱερὰ σκεύη τῷ καιρῷ τῆς μυσταγωγίας ἐκ τοῦ θυσιαστηρίου κατεάξαντος καὶ ἱερὰς βίβλους διὰ Μακαρίου καύσαντος· Ἀρσενίου τε τὴν περιβόητον χεῖρα κατεψεύσαντο πρὸς μαγείας ταύτῃ κεχρῆσθαι τὸν ἅγιον οὕτως ἀναιδῶς διαβάλλοντες. γνοὺς δὲ ὁ βασιλεὺς τὰς κατὰ Ἀθανασίου διαβολὰς Δαλματίῳ πρῶτον τῷ ἰδίῳ ἀνεψιῷ ἐπιτρέπει τὴν ζήτησιν εἰς Ἀντιόχειαν ὄντι. ὕστερον δὲ μεταφέρει τὴν δίκην εἰς Καισάρειαν, 46 B
ἣν ὑπερθέμενος Ἀθανάσιος διὰ τὸν Παμφίλου Εὐσέβιον ἐν Τύρῳ κρίνεται ὑπὸ τῶν ἀντιδίκων τῆς ἀληθείας, Εὐσεβίου, φημί, τοῦ Νικομηδείας ἀπατήσαντος τὸν βασιλέα ἐπιθυμίᾳ δῆθεν τῶν οἰκοδομηθέντων ἁγίων τόπων καὶ τοῦ εὑρεθῆναι εἰς τὸν ἐγκαινισμὸν αὐτῶν. ὃν καὶ μετὰ μεγάλης τιμῆς ἀπέλυσε ‖ κελεύσας λυθῆναι τὰς κατὰ Ἀθανασίου Alex. Mon. col. 4065 B.
διαβολάς, καὶ οὕτω σὺν Ἀθανασίῳ εἰς τὴν ἑορτὴν τῶν ἐγκαινίων γενέσθαι. συνελθόντων οὖν αὐτῶν ἐν Τύρῳ, εὑρέθη καὶ Μάξιμος ὁ Ἱεροσολύμων ἀγνοῶν τὰς κατὰ Ἀθανασίου συσκευάς. εἰσελθὼν δὲ Ἀθανάσιος εἰς τὸ συνέδριον τῶν κακοφρόνων ἀράχνης δίκην τὰς συκοφαντίας τῶν κατηγόρων διέσπασεν, ὥστε αὐτούς, ἐφ' οἷς ὤφθησαν ψευδόμενοι, μανέντας συγχεῖν ἅπαντα καὶ βοᾶν· "ἄρατε τὸν γοητείᾳ πάντας φιμώσαντα." Δαλμάτιος δὲ ὁ καῖσαρ καὶ ἀνεψιὸς τοῦ βασιλέως μετὰ στρατιωτικῆς χειρὸς μόλις Ἀθανάσιον περιέσωσεν ἀναιρεῖσθαι ὑπ' αὐτῶν μέλλοντα. ‖ τότε καὶ Ἀρσένιος κατὰ θεοῦ πρόνοιαν ἐν Exc. Bar.
Τύρῳ παρεγένετο, καὶ τοῦ κατ' αὐτὸν πλάσματος διελεγχθέντος, ἐπὶ τὴν κατὰ Ἰσχύραν συκοφαντίαν οἱ ἐχθροὶ ἐτρέποντο. Ἀθανάσιος δὲ διὰ τὰς ἀφορήτους κατ' αὐτοῦ ἐπιβουλὰς ὑπεχώρησε τῆς Τύρου. πρᾶξιν 47 B
δὲ κατὰ μονομέρειαν συστησάμενοι οἱ Ἀρειανύφρονες καθαιροῦσιν ἀπόντα τὸν Ἀθανάσιον, Ἀρείῳ δὲ καὶ Εὐζωΐῳ συγκοινωνήσαντες εἰς Ἀλεξάνδρειαν τούτους ἐξέπεμψαν· καὶ οὕτως ἀνῆλθον ἡμαγμέναις χερσὶν εἰς τὰ ἐγκαίνια. πάντων δὲ τῶν κακῶν ἦν ἀρχηγὸς ὁ Νικομηδείας
Εὐσέβιος. ‖ λόγος δὲ ἀληθὴς κρατεῖ, ὅτι ὁ μέγας Ἀθανάσιος φυγὼν Alex. Mon. col. 4065 C.
ἐκ Τύρου ἀνῆλθεν εἰς Ἱεροσόλυμα, καὶ ποιήσας εὐχὰς καὶ τῷ ἁγίῳ 26 P
χρίσας μύρῳ καὶ ἁγιάσας τοὺς εὐκτηρίους οἴκους πρὸ τῆς τῶν δυσσε-

---

4 τε *om.* b. — 5 χεῖρα ἀποκόψαι κατεψεύσαντο gxy ἀποκόψαι *om.* b Exc. Bar. — μαγείας Exc. Bar. μαγίας b μαγίαν df. μαγείαν cegm. — ταύτην bgy *om.* d. — 7 διαβουλὰς *pr. m. corr. ex* ἐπιβουλάς b. — 9 ὁ Ἀθανάσιος g. — ἐν Κύρῳ Exc. Bar. *at cf.* Sozom. Hist. eccl. II, 25. — 10 Εὐσεβίου δὲ φημι gy. — 11 ἐπιθυμεῖ g ἐπιθυμηδίᾳ y. — 12 ὃν *add. ex* bd. *om.* cgy. — 16 σκευάς f. — 19 μανέντες g. — ἅπαντα καὶ βοᾶν *om.* em. — τὸν γοητείᾳ πάντας b τὸν γόητα ἅπαντας cgy τὸν γόητα γοητείᾳ—πάντας Alex. — 20 φημώσαντα gxy. — καίσαρ bdfm. — 24 Ἰσχυράν b. — ἐπὶ ἰσχυροτέραν συκοφαντίαν Exc. Bar. — 26 μονομερίαν dgy συμορίαν b. — οἱ *om.* b. — ἀρειόφρονες g. — καθαίρουσιν bcy. — 27 ἀπόντα] ἅπαντες f. — 28 αἱμαγμέναις d. — 30 ἀληθὴς bc ἀληθείας dgy. — 32 δυσσεβῶν b ἀσεβῶν gxy.

Δημόσιε Κεντρική Βιβλιοθήκη Βέροιας

βῶν παρουσίας οὗτος κατέλαβε τὸν βασιλέα καὶ πάντα καθ' ἑαυτὸν
ηγήσατο. ὁ δὲ πανεύφημος Κωνσταντῖνος θαυμάσας τὴν τῶν ἀντιδίκ
αὐτοῦ πονηρίαν, τιμῆς μεγίστης ἀξιώσας αὐτὸν μετὰ γραμμάτων ἀπέλυσ
Exc. Bar. εἰς Ἀλεξάνδρειαν. ‖ μετὰ δὲ τὴν ἐκ τῶν ἐγκαινίων ἐπάνοδον ὁ πάσ
εὐσεβείας ἀλλότριος Νικομηδείας Εὐσέβιος καὶ Θεόγνις καὶ Οὐρσάκ
καὶ Πατρόφιλος καταλαβόντες τὸ Βυζάντιον καὶ τὰς πρώτας κα
Ἀθανασίου διαβολὰς σιωπήσαντες μάρτυρας ψευδεῖς προεβάλοντ
τέσσαρας ἐπισκόπων χειροτονίας ἔχοντας, οἵ τινες μεθ' ὅρκου εἰπ
48 B ἐτόλμησαν, ὅτι ἤκουσαν Ἀθανασίου ἀπειλοῦντος κωλύειν τὴν σιτοπ
πίαν τὴν ἐρχομένην ἐξ Αἰγύπτου εἰς τὸ Βυζάντιον. ὅθεν καὶ κι
σαντες εἰς ὀργὴν τὸν φιλόχριστον βασιλέα παρεσκεύασαν ἐξορίσ
τὸν μέγαν Ἀθανάσιον εἰς Τρίβεριν τῆς Γαλλίας. Ἀθανασίου
ἐξορισθέντος, Ἄρειος πάλιν ἐτάραττε τὴν Αἴγυπτον. γνοὺς δὲ
βασιλεύς, μεταπεμψάμενος αὐτὸν ἠρώτα, εἰ τοῖς ἐν Νικαίᾳ δόγμ
συντίθεται περὶ τοῦ ὁμουσίου· τοῦ δὲ μεθ' ὅρκου εἰπόντος συν
θεσθαι, δόλον τε καὶ νῦν, ὡς ἀεί, ἐργασαμένου· (δύο γὰρ χάρ
συντέθεικεν, ἕνα μὲν ὑπὲρ τοῦ ὁμουσίου, θάτερον δὲ κατ' αὐτ
ὢν καὶ δι' ἑαυτοῦ ἔγραψεν, τὸν πρῶτον δι' ἑτέρου γράψας·) πεί
τοίνυν τὸν βασιλέα ὁμόσας οὕτω πιστεύειν κελεῦσαι δεχθῆναι αὐ
ἐν τῇ καθολικῇ ἐκκλησίᾳ. ὅπερ μαθὼν ὁ θεῖος Ἀλέξανδρος τῷ θ
cf. Gregor. Naz. or. 36 Pom. 36 col. 265 C. Migne προσέκλαυσεν εἰς τὴν καλουμένην Εἰρήνην ἐκκλησίαν· καὶ λό
θᾶττον ἡ θεία δίκη μετῆλθε τὸν Ἄρειον ἐν τόποις ἀξίοις τῶν
γλώσσης ἀμαρευμάτων ἐκκύψασα τοῦ ζῆν ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλο
τῶν σπλάγχνων αὐτῷ κατενεχθέντων ἐν ἀφόδοις, καθ' ἣν ὥρ
ἔμελλε τῶν ἱερῶν ἀναξίως ἐπιβαίνειν περιβόλων. ταῦτα τῷ τριακοσ
49 B πρώτῳ ἔτει γέγονε τοῦ μεγάλου Κωνσταντίνου, τοῦ θείου Ἀλεξάνδ
ἐπισκοποῦντος τὴν Κωνσταντινούπολιν, καὶ οὐχ ὡς φησιν Εὐσέβ
μόνος, ὅτι ὁ Νικομηδείας Εὐσέβιος, ὅτε εἰς τὰ ἐγκαίνια τὰ κ
Ἀθανασίου ἐσκεύαζεν, τὸν Κωνσταντινουπόλεως θρόνον ἐπεῖχεν. το
γὰρ καὶ ἐκ τῆς τῶν χρόνων ὁμάδος δείκνυται ψεῦδος, ἐπείπερ Κ
σταντῖνος τὰ ὅλα ἔτη λβ' ἐβασίλευσεν. ὃς μετὰ τὴν πρώτην δε
ετηρίδα, τῷ δεκάτῳ τρίτῳ αὐτοῦ ἔτει, καταλαβὼν τὸ Βυζάντιον Μητ
φάνην τὸν πρὸ Ἀλεξάνδρου εὗρεν ἐπισκοποῦντα, εἶτα Ἀλέξανδ
27 B ἔτη τρία καὶ εἴκοσιν ἐπισκόπησεν· ὡς εἶναι ἀπὸ τῆς ἀρχῆς τῆς βα

---

1 οὕτως gmx. — πάντα τὰ καθ'. fx. — 4 ἐκ *om.* emx. — 5 Θεόγ
egm Θεόγνιος bdf. — Οὐσάκις b. — 7 προεβάλλοντο dg — προ*εβάλοντο f
9 ἤκουσαν b Exc. Bar. ἠκούσαμεν gxyA. — 10 κινηθέντας b. κινηθέντα?
12 Τίβεριν y Exc. Bar. Τίβερριν g. — 16 ἐργασαμένου b ἐργαζομένου cgy
18 τὸν *om.* f τὸ em. — 23 ἀμαρεγμάτων g ἀμαρυγμάτων d. — ἐκκόψας b
24 αὐτῶν b αὐτοῦ df. — ἀμφόδοις g ἀφαίδροις d. — 28 ὁ *om.* f. — 29 τ
τον y. — 31 δεκαετερίδα (-ετωρίδα g) *codd.* — 32 Μητροφάνη c. — 33
σκόπησεν b ἐπεσκόπησεν cfg ἐπεσκότισεν em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λείας τοῦ μεγάλου Κωνσταντίνου ἕως κοιμήσεως Ἀλεξάνδρου ἔτη λζ', ἅπερ Κωνσταντῖνος οὐκ ἔφθασεν· καὶ οὕτω μὲν ἐκ τῆς χρονικῆς ὁμάδος δείκνυται μὴ ἄρξαι τὸν Εὐσέβιον ἐπὶ Κωνσταντίνου τοῦ θρόνου Κωνσταντινουπόλεως. δείκνυται δὲ καὶ ἐκ τῶν εἰρημένων ἀνωτέρω περὶ Ἀρείου καὶ Ἀθανασίου. ἥ τε γὰρ Ἀθανασίου ἐξορία καὶ ἡ Ἀρείου κατάλυσις μετὰ τὸ τριακοστὸν ἔτος Κωνσταντίνου γέγονε καὶ μετὰ τὰ ἐγκαίνια Ἱεροσολύμων· ὁ δὲ μέγας Ἀλέξανδρος ἔτι περιῆν.

Ἀντιοχείας ἐπίσκοποι κε' Εὐφρόνιος ἔτη η'. A. M. 5828 - 337.

λβ'. λδ'. ς'. ιζ'. β'. ζ'. α'.

‖ Τούτῳ τῷ ἔτει Εὐστάθιος, πρεσβύτερος Κωνσταντινουπόλεως, ἀποστολικὸν βίον ἐπανῃρημένος καὶ εἰς ἄκρον ἀρετῆς ἐληλακώς, διαπρέπων ἐγνωρίζετο, καὶ Ζηνόβιος ἀρχιτέκτων, ὁ τὸ Μαρτύριον ἐν Ἱεροσολύμοις οἰκοδομήσας τῇ Κωνσταντίνου ἐπιταγῇ. ‖ cf. Hieron. Chron. 50 B

Τῷ δ' αὐτῷ ἔτει πολλοὶ τῶν ἐν Πέρσαις Ἀσσυρίων ἐν Μεσοποταμίᾳ ὑπὸ Σαρακηνῶν ἐπιπράσκοντο. ‖ Πέρσαι δὲ ἐδήλωσαν πόλεμον πρὸς Ῥωμαίους· καὶ ἐπιβὰς Κωνσταντῖνος ὁ εὐσεβὴς τῇ Νικομηδέων πόλει κατὰ Περσῶν παραταξάμενος, ἀσθενήσας ἐκοιμήθη ἐν εἰρήνῃ, ὥς τινές φασιν Ἀρειανόφρονες τότε καταξιωθεὶς τοῦ ἁγίου βαπτίσματος ὑπὸ Εὐσεβίου τοῦ Νικομηδείας μετατεθέντος ἐν Κωνσταντινουπόλει· ὅπερ ψευδές ἐστιν, ὡς ἀποδέδεικται· ἐν γὰρ Ῥώμῃ ὑπὸ Σιλβέστρου ἐβαπτίσθη, ὡς προαπεδείξαμεν. ‖ ἔζησε δὲ τὰ ὅλα τῆς ζωῆς αὐτοῦ ἔτη ξε', ‖ βασιλεύσας ἔτη λα' καὶ μῆνας ι'. ‖ γράψας δὲ διαθήκας τοῖς τρισὶν υἱοῖς αὐτοῦ τὴν βασιλείαν κατέλιπεν, Κωνσταντίνῳ, Κώνστα καὶ Κωνσταντίῳ, ‖ εὐσεβῶς καὶ πράως τῇ ἀρχῇ χρησάμενος, πρῶτος βασιλεὺς Χριστιανῶν θεοῦ προνοίᾳ χρηματίσας πολλῶν βαρβάρων ἐκράτησεν ἀπὸ Βρεττανίας ἕως Περσικῆς καὶ τῶν ὁμοφύλων τυράννων, τῷ σημείῳ τοῦ ζωοποιοῦ σταυροῦ τοὺς ἐχθροὺς ὀλέσκων. τὰς δὲ διαθήκας αὐτοῦ Ἀρειανῷ τινι πρεσβυτέρῳ ὑπὸ Κωνσταντίας τῆς ἀδελφῆς αὐτοῦ, κακοφρόνως παρεισαχθέντι παρέθετο, ἐντειλάμενος μηδενὶ ταύτας παρασχεῖν πλὴν Κωνσταντίῳ, τῷ τῆς ἑῴας βασιλεῖ· ἐκέλευσε δὲ Ἀθανάσιον τῆς ἐξορίας ἐπανελθεῖν. Κωνστάντιος δὲ καταλαβὼν ἐκ τῆς ἑῴας τὸ τοῦ πατρὸς σῶμα ἐν τοῖς ἀποστόλοις κατέθετο. cf. Chron. Pasch. p. 532, 7 — cf. p. 17, 24 — Exc. Bar. et Cram. II, 93 — cf. Chron. Pasch. Exc. Bar. et Cram. I, 1. 51 B — Exc. Bar. et Cram. II, 93 — 28 P

2 κζ' c. — 2 οὕτω. — 3 *Εὐσέβιον om.* em. — *τῆς add. ex* b *om.* cfg. — 5 ἥ τε — *κατάλυσις om.* em. — 6 *τὸ om.* g. — 7 *ὁ δὲ μ. Ἀλ. ἔτι περιῆν om.* c. — 16 *Πέρσαις* b. — 18 *παραταξόμενος?* — 19 *φησιν* b. — 20 *τοῦ om.* f. — *ἐν Κ. μετατεθέντος* c. — 21 *ψευδές* b *ψεῦδος* cgy. — 22 *ἔστησε* b. — *τὰ ὅλα ἔτη τῆς* gxy *ἔτη om.* b Exc. Bar. Cram. — 23 *ἔτος λα'* b *ἔτη λβ'* dem. — 24 *Κωνσταντῖνον, Κῶνσταν καὶ Κωνστάντιον* b cf. Cram. p. 93, 28 *Κωνσταντίῳ, Κωνσταντίνῳ, Κώνσταντι* gxy. — 26 *βασ. θεοῦ προν. χρημ. χριστιανῶν* g. — 27 *Βρετανίας* bm. — 28 *ὀλέσκων* b *ὀλέσας* gxy. — 30 *παραθεὶς* b. — 31 *ταῦτα* fgm. — *τῷ om.* dy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ δὲ ἀνόσιος Ἀρειανὸς πρεσβύτερος ἐπιδοὺς Κωνσταντίῳ τὰς διαθήκας πολλῆς ἔτυχε παρρησίας ἐν τοῖς βασιλείοις καὶ αὐτὴν τὴν βασιλίδα ἀρειανίζειν ἔπεισε συνεργὸν ἔχων Εὐσέβιον, τὸν τῶν εὐνούχων πρῶτον, ‖ καὶ Εὐσέβιον τὸν Νικομηδείας καὶ τοὺς ὁμόφρονας αὐτῶν Ἀρειανούς.

338. A. M. 5829

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ϛωκθ΄.	ἔτη τκθ΄.	Κωνστάντιος	Σαβώρης	Ἰούλιος
		ἔτη κδ΄.	ἔτη ο΄.	ἔτη ιε΄.
		α΄.	λε΄.	ζ΄.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἀλέξανδρος	Μάξιμος	Ἀθανάσιος	Εὐφρόνιος
ἔτη κγ΄.	ἔτη ϛ΄.	ἔτη μξ΄.	ἔτη η΄.
ιη΄.	γ΄.	η΄.	β΄.

cf. Chron. Pasch. p. 532, 13

‖ Τούτῳ τῷ ἔτει Κωνσταντίνου τοῦ μεγάλου καὶ ἁγίου ἀναπαυσαμένου, οἱ τρεῖς υἱοὶ ἐκράτησαν τῶν Ῥωμαίων, τῆς μὲν ἑῴας Κωνστάντιος, τῶν δὲ Γαλλιῶν Κώνστας, καὶ Κωνσταντῖνος τῆς Ἰταλίας.

Exc. Bar. Κωνστάντιος δὲ Ἀθανάσιον ἐκ τῆς ἐξορίας ἀνακαλεσάμενος μετὰ γραμμάτων συστατικῶν ἐν Ἀλεξανδρείᾳ ἀπέλυσεν· ὃν μετὰ πολλῆς

cf. Socr. Hist. eccl. II, 21 52 B χαρᾶς ἀπεδέξαντο οἱ Ἀλεξανδρεῖς, καὶ μάλιστα ὁ κλῆρος. ‖ Εὐσέβιος δὲ ὁ τοῦ Παμφίλου ἐν τῷ πρώτῳ λόγῳ κατὰ Μαρκέλλου καὶ ἐν τῷ τρίτῳ σφόδρα κατηγορεῖ τῶν τολμώντων κτίσμα λέγειν τὸν υἱὸν τοῦ θεοῦ· οὗ καὶ τὰς χρήσεις φέρων ὁ Σωκράτης ὑπεραπολογεῖται Εὐσεβίου σπουδάζων δεῖξαι, ὅτι οὐκ ἦν Ἀρειανόφρων. ἡ δὲ ἀλήθεια δείκνυσιν αὐτὸν ἀστατοῦντα τὸν λογισμὸν καὶ ἄλλοτε ἄλλως κατὰ

Exc. Bar. τοὺς καιροὺς φερόμενον. ‖ εὐθὺς δὲ μετὰ τὸν μέγαν Κωνσταντῖνον ἀπέθανεν Ἀκάκιον μαθητὴν καὶ διάδοχον τοῦ θρόνου Καισαρείας ἐάσας, ἐλλόγιμον μὲν ἄνδρα, τὸν καὶ τὰ σύμμικτα συγγραψάμενον, τοῖς δὲ Ἀρειανοῖς λίαν συγκείμενον, δηλονότι τῇ πρὸς τὸν διδάσκαλον ὁμοφροσύνῃ. ‖

cf. Chron. Pasch. p. 533, 18

‖ Τῷ δ' αὐτῷ ἔτει Σαβώρης, ὁ Περσῶν βασιλεύς, ἐπῆλθε τῇ Μεσοποταμίᾳ πορθήσων Νισίβιν, καὶ παρεκάθισεν αὐτὴν ἡμέρας ξγ΄,

---

3 *σύνεργον* b. — *ἔχων om.* b. — *Εὐσέβιον — πρῶτον καί add. ex* bc Exc. Bar. Cr. *om.* dgy. — 4 *τοὺς ὁμόφρ. αὐτῶν Ἀρειανούς* b *τοὺς ὁμ. αὐτοῦ* (*om. Ἀρειανούς*) gxy. — *v.* 6^{3}—10^{5} *Romanam sedem omittit* b. — 9^{3} *ἔτη κα΄* cgy. — 13^{9} *Εὐφρόσυνος* y. — 14^{2} *ἔτη ις΄ codd.* (*ϛ΄ e ις΄ lit. fact. in* b). — 18 *Γαλλίων codd.* — *Ἰτταλίας* b. — 19 *Κωνσταντῖνος* Exc. Bar. *e* Socr. H. e. II, 2. — 20 *ὃν om.* b. — 21 *ἀπεδέξαντο* b *ὑπεδέξαντο* gx *ἐδέξαντο* y. — 24 *ὑπεραπολογεῖται om.* c. — 26 *τῷ λογισμῷ* g. — 28 *ἀπέθανεν Ἀκάκιος, μαθητὴν* y. — 29 *ἐάσας*] *καταλιπών* c. — *ἐάσας Γεώργιον, ἐλλόγιμον* f. — *τὸν om.* f. — 32 *Σαβώρις* b *om.* f. — *τῶν Περσῶν* xy. — 33 *Νίσιβιν* g *Νησιβιν sine acc.* c. — *παρεκάθησεν* cy. — *αὐτήν scripsi e* Chron. Pasch. *coll. p.* 38, 10; 39, 13 *αὐτῇ codd.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ μὴ κατισχύσας λαβεῖν αὐτὴν ἀνεχώρησεν. ‖ Ἰάκωβος δέ, Νισιβηνῶν ἐπίσκοπος, ἐν τῷ τῆς θεοσεβείας ἤθει διαμένων εὐχαῖς τὰ κατὰ γνώμην ῥᾳδίως ἐξήνυσεν· ὅστις καί, τῶν Περσῶν τὴν Νισίβιν ἐλπιζόντων καταστρέψασθαι, διημαρτηκέναι τῆς ἐλπίδος πεποίηκεν. ‖ αὐτίκα γὰρ τῆς μὲν πόλεως ὑπεχώρουν τῷ τῆς εὐχῆς πνεύματι διωκόμενοι, εἰς δὲ τὴν ἑαυτῶν χώραν ἐλθόντες λιμοῦ τε καὶ λοιμοῦ ὑπεδέξαντο μισθὸν τῆς ἀσεβείας, ἥσπερ ἔδρων, ἀντιλαμβάνοντες. ‖ Ἀλμάτιος δὲ ὁ καῖσαρ εὐθὺς μετὰ τὴν τελευτὴν τοῦ μεγάλου Κωνσταντίνου ὑπὸ τῶν στρατιωτῶν ἀνῃρέθη, οὐ κελεύσαντος Κωνσταντίου τὴν σφαγήν, ἀλλὰ μὴ κωλύσαντος. ‖ cf. Hier. Chron. 53 B 29 P cf. Eutrop. X, 9

β'. λς'. η'. ιθ'. δ'. θ'. γ'. A. M. 5830 - 339.

‖ Τῷ δ' αὐτῷ ἔτει τοῦ νέου Ἀλματίου ὑπὸ τῶν στρατιωτῶν ἀναιρεθέντος, ἤμελλεν συναναιρεῖσθαι καὶ Γάλλος καὶ Ἰουλιανός, οἱ Κωνσταντίου, τοῦ ἀδελφοῦ Κωνσταντίνου τοῦ μεγάλου, παῖδες. ἀλλὰ τὸν μὲν Γάλλον νόσος, Ἰουλιανὸν δὲ ἡ νηπιότης διέσωσεν· ὀκταετὴς γὰρ ἦν. ‖ Κωνστάντιος δὲ πρότερον δεχόμενος τὸ ὁμοούσιον ὕστερον μετέθετο κουφότητι γνώμης καὶ ἀπάτῃ τοῦ Ἀρειανοῦ πρεσβυτέρου καὶ Εὐσεβίου, τοῦ τῶν εὐνούχων πρωτεύοντος, καὶ τοῦ Νικομηδείας Εὐσεβίου καὶ τῶν περὶ αὐτούς. ‖ Exc. Bar. Exc. Bar. Exc. Bar. 54 B

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 5831 - 340.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,ϛωλα'.	ἔτη τλα'.	Κωνστάντιος	Σαβώρης	Ἰούλιος	
		ἔτη κδ'.	ἔτη ο'.	ἔτη ιε'.	
		γ'.	λζ'.	θ'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἀλέξανδρος	Μάξιμος	Ἀθανάσιος	Εὐφρόνιος
ἔτη κγ'.	ἔτη ϛ'.	ἔτη μϛ'.	ἔτη η'.
κ'.	ε'.	ι'.	δ'.

‖ Τούτῳ τῷ ἔτει Κωνσταντῖνος, ὁ υἱὸς τοῦ μεγάλου Κωνσταντίνου, ἐπελθὼν τοῖς Κώνσταντος, τοῦ ἰδίου ἀδελφοῦ, μέρεσι καὶ συμβαλὼν πόλεμον ὑπὸ τῶν στρατιωτῶν ἀνῃρέθη. καὶ ἐκράτησε Κώνστας μόνος πάσης τῆς ἑσπερίου γῆς. ‖ Κωνστάντιος δὲ τῆς ἑῴασβασιλεύων Γάλλου καὶ Ἰουλιανὸν παιδευθῆναι παρέδωκεν ἐν χωρίῳ Δεμακέλλῃ cf. Eutrop. X, 9 et Cram. p. 94, 10 Exc. Bar.

1 δὲ *om.* b. — *Νισιβινῶν* bdegm *Νησιβινῶν* c *Νισιβῶν* f. — 2 *εὐχαῖς om.* c. — 3 *Νησίβιν* c *Νίσιβιν* g. — 4 *καταστρέψαντος* em. — 5 *διωκόμενοι πνεύματι* dy. — 8 *καίσαρ* bdy. — 9 *Κωνσταντίνου* y. — 12 *τῷ δ' αὐτῷ ἔτει codd. quare aut lacuna statuenda esse videtur, aut v.* 11 *post v.* 19 *transponendus.* — 13 *ἤμελλον* dm *ἔμελλεν* c. — *καὶ ante Γάλλος add. ex* b *om.* gxy. — 16 *Κωνσταντῖνος* efg. — 23[3] *ἔτη κα'* cfg. — 25[3] *Γρηγόριος super v. Ἀλεξανδρείας ponit* b. — 27[4] *Εὐφρόσυνος* g. — 30 *Κωνστάντιος* bfg. — 32 *ἀνῃρέθη ὑπὸ τῶν στρατιωτῶν* cgy. — *στρατηγῶν? cf.* Eutrop. Cram. — 34 *Δεμακέλλῃ* Exc. Bar. *Δεμακέλλει* cg *Δελμακέλλῃ* b *Δεκακέλλη* df *Δεκακέλλει* em *δὲ Μακέλλῳ e Sozom. coni.* Goar.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καλουμένῳ, πλησίον Καισαρείας Καππαδοκίας ὄντι. οὗτοι οἱ δύο ἀδελφοὶ ἀναγνῶσται γεγόνασι καὶ ἐκκλησίαν κτίσαι τῷ ἁγίῳ μάρτυρι Μάμαντι προεθυμήθησαν. ἐν ᾧ δὲ μέρει κτίζειν Ἰουλιανὸς ἔλαχεν, τοῦτο ἡ γῆ οὐκ ἐδέχετο. ἀποκειράμενος δὲ τὰς τρίχας μοναχικὴν
Cram. Anecd. II, 95 ἄσκησιν ὑπεκρίνατο. ‖ Κωνστάντιος καὶ Κώνστας ἐνομοθέτησαν Ἰουδαῖον μὴ ὠνεῖσθαι δοῦλον, ἐπεὶ ἀφαιρεῖσθαι αὐτὸν εἰς τὸν δημόσιον λόγον· εἰ δὲ καὶ περιτεμεῖν τολμήσοι δοῦλον, ξίφει τιμωρεῖσθαι καὶ δημεύεσθαι. ‖

341. A. M. 5832 δ'. λη'. ι'. κά'. ς'. ια'. ε'.

‖ Τούτῳ τῷ ἔτει Κωνστάντιος Ἄμιδαν οἰκοδομεῖ τειχίσας γεναίως. κτίζει καὶ Κωνσταντίαν, τὴν πρώην Ἀντωνίου πόλιν λεγομένην, ἐπονομάσας αὐτὴν ἑαυτῷ, διεστῶσαν Ἀμίδης σταδίους ψ' κατὰ μεσημβρίαν.

342. A. M. 5833 Ἱεροσολύμων ἐπίσκοπος Κύριλλος ἔτη ιε'.

ε'. λθ'. ια'. κβ'. α'. ιβ'. ς'.

30 P Exc. Bar. Cram. II, 94 ‖ Τούτῳ τῷ ἔτει συνόδου γενομένης ἐν Ἀντιοχείᾳ ἐπισκόπων ρϟ', ὧν ἡγεῖτο Εὐσέβιος ὁ Νικομηδείας, προχειρίζονται Ἀλεξανδρείας
cf. Polyd. p. 318, 23 ἐπίσκοπον Εὐσέβιον τὸν Ἐμέσης. ‖ οὗ μὴ δεχθέντος, καίπερ Σαβελ-
55 B λιανοῦ ὄντος, Γρηγόριον τὸν Ἀρειανὸν σὺν πολλῷ στρατῷ καὶ στρατηγῷ τινι Συριανῷ ἐκπέμπουσιν ἐκδιῶξαι Ἀθανάσιον τοῦ θρόνου Ἀλεξανδρείας, ἢ καὶ ἀνελεῖν. τότε Ἀθανάσιος θεόθεν σοφῶς βουλευσάμενος, μετὰ τῶν ψαλλόντων τῆς ἐκκλησίας ἐξελθὼν τὸν ἐπηρτημένον διέφυγε θάνατον. Εὐσέβιον δὲ τὸν μὴ δεχθέντα ὑπὸ τῶν ἐν Ἀλεξανδρείᾳ . . . . . τὴν πίστιν μεταποιοῦσιν οἱ αὐτοί, Ἄρειον μὲν φανερῶς δεχόμενοι καὶ μετὰ θάνατον· καὶ ἔκθεσιν πίστεως
Exc. Bar. δευτέραν γράψαντες τὸ ὁμοούσιον παρεσιώπησαν. ‖ τότε τὰ ἐγκαίνια
Cram. II, 94 τῆς ἐκκλησίας Ἀντιοχείας, ἧς ἔκτισε Κωνσταντῖνος ὁ μέγας, ἐποίησαν. ‖
cf. Hier. Chron. ‖ Τῷ δ' αὐτῷ ἔτει Ἀντιόχεια ὑπὸ σεισμῶν μεγάλων ἐπὶ τρισὶν ἡμέραις ἐκινδύνευσεν. ἦν δὲ ἡ ἐγκαινισθεῖσα ἐκκλησία σφαιροειδὴς ἔξ ἔτεσι κτισθεῖσα, ὑπὸ μὲν Κωνσταντίνου τοῦ μεγάλου θεμελιωθεῖσα, ὑπὸ Κωνσταντίου δὲ πληρωθεῖσα καὶ ἐγκαινισθεῖσα. ‖

---

5 ὑπεκρίνατο bc Exc. Bar. ὑπεκρίνετο gyA. — Κωνστ. δὲ καὶ cgA. — 7 περιτέμνειν c περιτέμειν em. — τολμήσει b. — 10 Κωνστάντιος om. y. — Ἀμίδαν y Ἀμιδὰν b Ἄμμιδαν g. — ἀνοικοδομεῖ c. — 11 καὶ] δέ g. — Κωνσταντίναν b. — Ἀντωνίνου πόλιν? coll. Amm. Marc. XVIII, 9. — 12 ἐπωνόμασεν g. — Ἀμιδῆς b Ἀμμίδης g. — ψ'] φ' c. — 17 ρϟ' codd. ϟξ' Exc. Bar. Cram. Soz. III, 5 ἐνενήκοντα Socr. II, 8. — 20 Συριάνῳ b. — 21 ἢ] ὃν b. — σαφῶς f. — συμβουλευσάμενος dy. — 22 ἐπηρτυμένον b ἐπηρτιμένον d. — 23 ὑπὸ τῶν Ἀλεξανδρέων c *seq. spatio unius fere versus vacuo relicto.* εἰς Ἔμεσαν πέμψαντες οἱ ἐν Ἀντιοχείᾳ *vel simile quid supplendum videtur collato* Socr. II, 9; 10. — 24 Ἄρειον cg Polyd. Ἀρειανόν bdy. — 25 καὶ *add. ex* b *om. rell.* — 26 δεύτερον dy. — τὰ] καί f. — 28 ἐπὶ τρ. ἡμέρ. *om.* c. — 31 ὑπὸ δὲ Κωνστ. dgy. — Κωνσταντίνου g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 5834-343.
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*	
,ϛωλδ΄.	*ἔτη τλδ΄.*	*Κωνστάντιος*	*Σαβώρης*	*Ἰούλιος*	
		ἔτη κδ΄.	*ἔτη ο΄.*	*ἔτη ιε΄.*	
		ϛ΄.	*μ΄.*	*ιβ΄.*	

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος κε΄*
Ἀλέξανδρος	*Κύριλλος*	*Ἀθανάσιος*	*Εὐφρόνιος*
ἔτη κγ΄.	*ἔτη ιε΄.*	*ἔτη μϛ΄.*	*ἔτη η΄.*
κγ΄.	*β΄.*	*ιγ΄.*	*ζ΄.*

Τούτῳ τῷ ἔτει Κωνστάντιος Ἀσσυρίους νικήσας ἐθριάμβευσεν. ‖ *Σαβώρης δέ, ὁ τῶν Περσῶν βασιλεύς, πρὸς τοῖς αὐτοῦ κακοῖς καὶ* cf. Hier. Chron.
τοὺς ὑπὸ χεῖρα Χριστιανοὺς ἐδίωκεν. Κώνστας δὲ ἐν τῇ δύσει Φράγγους ἐπόρθησεν. ‖ *σεισμοῦ δὲ γενομένου μεγάλου ἐν Κύπρῳ,* 56 B
Σαλαμίνης τῆς πόλεως τὰ πλεῖστα διαπέπτωκεν.

Κωνσταντινουπόλεως ἐπίσκοπος Παῦλος ὁ ὁμολογητὴς ἔτη γ΄. A. M. 5835-344.
ϛ΄. μα΄. ιγ΄. α΄. γ΄. ιδ΄. η΄.

Τούτῳ τῷ ἔτει σεισμοῦ μεγάλου γενομένου, Νεοκαισάρεια Πόντου 31 P
κατεπτώθη πλὴν τῆς ἐκκλησίας καὶ τοῦ ἐπισκοπείου καὶ τῶν ἐκεῖ cf. Hier. Chron.
εὑρεθέντων εὐλαβῶν ἀνδρῶν. οἱ δὲ Ῥωμαῖοι συνέβαλον πόλεμον μετὰ Περσῶν καὶ πολλοὺς αὐτῶν ἀνεῖλον.

‖ *Τῷ δ' αὐτῷ ἔτει καὶ Παῦλος ὁ ὁμολογητὴς χειροτονεῖται* Exc. Bar. Cram. II, 94
ἐπίσκοπος Κωνσταντινουπόλεως. ‖

Ἀντιοχείας ἐπίσκοπος κϛ΄ Φλάκιτος ἔτη ιβ΄. A. M. 5836-345.
η΄. μβ΄. ιδ΄. β΄. δ΄. ιε΄. α΄.

Τούτῳ τῷ ἔτει σεισμοῦ γενομένου μεγάλου, Ῥόδος ἡ νῆσος κατ- cf. Polyd.
έπεσεν. ‖ *οἱ δὲ Ἀλεξανδρεῖς Γρηγόριον τὸν λῃστρικῶς ἐπιβάντα Ἀθα-* p. 322, 7
νασίῳ καὶ τὸν θρόνον κατασχόντα τῆς Ἀλεξανδρείας ἐπὶ ἓξ ἔτεσιν ἀνεῖλον. ‖ *καὶ χειροτονεῖται Γεώργιος Ἀρειανὸς ὑπὸ Ἀρειανῶν, τέρας* Exc. Bar.
τι Καππαδόκιον. ‖

θ. μγ΄. ιε΄. γ΄. ε΄. ιϛ΄. β΄. A. M. 5837-346.

‖ *Τούτῳ τῷ ἔτει Δυρράχη τῆς Δαλματίας ὑπὸ σεισμοῦ διεφθάρη·* cf. Hier. Chron
καὶ Ῥώμη ἡμέρας τρεῖς ἐκινδύνευσε σειομένη· τῆς δὲ Καμπανίας ιβ΄ πόλεις διεφθάρησαν. ‖ *Παῦλον δέ, τὸν ἐπίσκοπον Κωνσταντινουπόλεως,* Exc. Bar. Cram. II, 94
ἐλθὼν Κωνστάντιος εἰς τὸ Βυζάντιον τοῦ θρόνου ἀπήλασε καὶ τὸν 57 B

4^{3} *ἔτη κα΄* cgy. — 6^{3} *Γρηγόριος spr. Ἀλεξανδρείας sprscr. in* bc. — 7^{4} *κε΄ om.* cgy. — 8^{4} *Εὐφρόσυνος* g. — 11 *Κωνσταντῖνος* c. — 15 *Σαλαμήνης* bdf *Σαλμίνης* g. — 16 *ὁ om.* bem. — 19 *ἐπισκοπίου* bdfg. — 20 *συνέβαλλον* gm. — 24 *κϛ΄ om.* c. — *Φλάκητος* c *Φλακίτιος* em *Φάλκιτος* b. — *ἔτη ιβ΄ om.* c. — *Γεώργιος Καππαδόκις mg.* b *hic et ad annum sequentem.* — 26 *γενομένου μεγάλου* b *μεγάλου γενομένου* cfg *μεγάλου om.* em. — 27 *δὲ om.* b. — 28 *κατασχόντος* by. — 30 *τι om.* dy. — 32 *Δυρράχειον* gA — *Δελματίας* yA *Δερματίας* g. — 33 *ἐκινδύνευε* b.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἀσεβέστατον Εὐσέβιον τὸν Νικομηδείας ἀντεισήγαγε λῃστρικῶς καὶ ἀθέσμως, τὸ τῶν κακῶν καταγώγιον. ‖

347. A. M. 5838 Ῥώμης ἐπίσκοπος Λιβέριος ἔτη ϛ΄.
Κωνσταντινουπόλεως ἐπίσκοπος Εὐσέβιος ὁ Νικομηδείας ἔτη ιβ΄.
ι΄. μδ. α΄. α΄. ϛ΄. ιζ΄. γ΄.

cf. Hieron. Chron. ‖ Τούτῳ τῷ ἔτει Κωνστάντιος τὸν ἐν Σελευκείᾳ τῆς Συρίας λιμένα πεποίηκεν ὅρος ἐπὶ πολὺ διατεμών, καὶ τὴν πόλιν ἀνῳκοδόμησεν. ‖ καὶ πόλιν ἔκτισεν ἐν τῇ Φοινίκῃ, ἣν Κωνσταντίαν κέκληκεν, τὸ πρό-
cf. Hieron. Chron. τερον καλουμένην Ἀντάραδον. ‖ Σαβώρης δέ, ὁ τῶν Περσῶν βασι-λεύς, ἐπελθὼν τῇ Μεσοποταμίᾳ Νισίβιν παρεκάθισεν ἡμέρας οη΄ καὶ πάλιν αἰσχυνθεὶς ἀνεχώρησεν. ‖

cf. Hieron. Chron. ‖ Τῷ δ' αὐτῷ ἔτει ἔκλειψις ἡλίου ἐγένετο, ὥστε καὶ ἀστέρας φανῆναι ἐν τῷ οὐρανῷ ἐν ὥρᾳ τρίτῃ τῆς ἡμέρας μηνὶ Δαισίῳ ϛ΄. ‖
Exc. Bar. Ἀθανάσιος δὲ καὶ Παῦλος, καὶ ὅσοι ὑπὲρ τοῦ ὀρθοῦ λόγου ἐξεβλή-θησαν, ἐν Ῥώμῃ πρὸς Ἰούλιον κατέφυγον, καὶ τὰ καθ' ἑαυτὸν ἕκα-στος Ἰούλιον ἐδίδαξεν· ὧν ἕκαστον τῇ ἰδίᾳ ἐκκλησίᾳ μετὰ γραμμάτων ἀπεκατέστησεν. ‖

348. M. 5839

Κόσμου ἔτη ,ϛωλθ΄.	Τῆς θείας σαρκώσεως ἔτη τλθ΄.	Ῥωμαίων βασιλεὺς Κωνστάντιος ἔτη κδ΄. ια΄.	Περσῶν βασιλεὺς Σαβώρης ἔτη ο΄. με΄.	Ῥώμης ἐπίσκοπος Λιβέριος ἔτη ϛ΄. β΄.

Κωνσταντ. ἐπίσκοπος Εὐσέβιος ἔτη ιβ΄. β΄.	Ἱεροσολύμων ἐπίσκοπος Κύριλλος ἔτη ιε΄. ζ΄.	Ἀλεξανδρείας ἐπίσκοπος Ἀθανάσιος ἔτη μϛ΄. ιη΄.	Ἀντιοχείας ἐπίσκοπος κϛ΄ Φλάκιτος ἔτη ιβ΄. δ΄.

32 P
Exc. Bar. 58 B ‖ Τούτῳ τῷ ἔτει Ἀθανάσιος καὶ Παῦλος καὶ οἱ σὺν αὐτοῖς τοῖς γράμμασιν Ἰουλίου, τοῦ πάπα Ῥώμης, θαρρήσαντες τοὺς ἰδίους θρό-νους κατέλαβον. ὁ δὲ Κωνστάντιος ἐν Ἀντιοχείᾳ διάγων, μαθὼν ὅτι Παύλῳ καὶ Ἀθανασίῳ διὰ γραμμάτων ὁ Ἰούλιος τοὺς ἰδίους ἀπέδωκε θρόνους, καὶ ὀργισθεὶς κελεύει αὐτοὺς ἀπελασθῆναι τῶν ἰδίων θρόνων. ‖

---

1 τὸν] τῆς c. — 2 τὸ τῶν κακῶν καταγώγιον *om.* dem. — 3 *Σίλβεστρο* c. — 4 *Εὐσέβιος om.* b. — ὁ *om.* cfg. — 6 τὸν *om.* f. — *Σελευκίᾳ* b. — 7 *ἀνῳκοδόμησεν* b. — 8 τὸ πρῶτον dy. — 9 *Ἀντάροδον* egmx. — *Σαπώρης* c *Σαπώρις* b. — 10 τὴν *Μεσοποταμίαν* b. — *Νίσιβιν* g *Νησίβιν* c. — 13 *Δεσίῳ* by. — 15 πρὸς *Λιβέριον mg.* c *Λιβέριον m.* 2 *sprscr. in* b *item v.* 16 *Λιβερίῳ* — 16 *Ἰουλίῳ codd.* — 20[1] ,ϛωλε΄ gy. — 20[2] τλε΄ g. — 20[5] *Λεβέριος* b. — 21[3] ἔτη κα΄ cgy. — 24[4] κϛ΄ *om.* cgy. — 25[4] *Φλάκιος* b *Φιλάκιτος* m. — 27[2] ζ΄] ιγ΄ b. — 29 *Λιβερίου sprscr. m.* 2 *in* b *item v.* 31 *Λιβέριος.* — *πάππα* g. — 31 *Παῦλον καὶ Ἀθανάσιον—ἀπέδωκε* bdgy *Παύλῳ καὶ Ἀθανασίῳ—παρέδωκε* c. — ὁ *add. ex* bc *om.* dgy. — 32 *θρόνους ἀπέδωκε* f. — *καὶ add. ex* b *om.* gxy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τῷ δ' αὐτῷ ἔτει ὁ ἥλιος πάλιν αὐχμηρότερος γέγονεν ἐν ὥρᾳ δευτέρᾳ τῆς κυριακῆς ἡμέρας.

ιβ'. μξ'. γ'. γ'. η'. ιθ'. ε'. A. M. 5840=349.

Τούτῳ τῷ ἔτει σεισμοῦ γενομένου μεγάλου ἐν Βηρυτῷ τῆς Φοινίκης, τὸ πλεῖστον τῆς πόλεως πέπτωκεν· ὥστε πλῆθος τῶν ἐθνικῶν εἰσεληλυθέναι εἰς τὴν ἐκκλησίαν ὁμοίως ἡμῖν χριστιανίζειν ἐπαγγελλόμενοι. ἐντεῦθεν νεωτερίσαντές τινες τοὺς τύπους τῆς ἐκκλησίας ὥσπερ ἀποσυλήσαντες ἐξῆλθον, καὶ τόπον εὐχῆς ἐπονομάσαντες τὸ πλῆθος ἐν αὐτῷ ὑπεδέξαντο, ἅπαντα τὰ τῆς ἐκκλησίας μιμούμενοι, παραπλήσιον γεγονότες πρὸς ἡμᾶς, ὡς ἡ τῶν Σαμαρειτῶν πρὸς Ἰουδαίους αἵρεσις, ἐθνικῶς ζῶντες.

ιγ'. μζ'. δ'. δ'. θ'. κ'. ξ'. A. M. 5841=350.

‖ *Τούτῳ τῷ ἔτει Σαβώρης πάλιν, ὁ βασιλεὺς Περσῶν, τὴν Νισίβιν* cf. Chron. Pasch. p. 536, 18
παρακαθεσθεὶς ἱκανῶς αὐτῇ διηνόχλει, ὡς καὶ ἐλεφάντων πλῆθος ἀγα- 59 B
γεῖν ἐπιτηδείων πρὸς συμμαχίαν καὶ βασιλεῖς μισθωτοὺς μάγγανά τε παντοῖα, οἷς, εἰ μὴ βούλοιντο ἐκχωρήσειν, τὴν πόλιν ἐξαφανίζειν ἐκ βάθρων ἠπείλουν. τῶν δὲ Νισιβηνῶν ἀντεχόντων πρὸς τὴν παράδοσιν, τότε λοιπὸν ἐξυδατῶσαι ταύτην τῷ πρὸς αὐτῇ ποταμῷ διεγνώκει. οἱ δὲ ἄνδρες ταῖς εὐχαῖς ἐνίκων τοὺς πολεμίους εὐμενῆ τὸν θεὸν ἔχοντες. τῶν γὰρ ὑδάτων μελλόντων τὴν θέσιν τῶν τειχῶν ἐξομαλίζειν πρὸς τὴν πτῶσιν, μέρος μέν τι τοῦ τείχους ἐπεπόνθει, καὶ τοῦτο κατὰ θεοῦ συγχώρησιν, ὡς ἐν τοῖς ἑξῆς δηλωθήσεται. εὐθέως γὰρ γίνεται τήν τε πόλιν φυλαχθῆναι, καὶ τοὺς πολεμίους τοῖς ὕδασι νήχεσθαι καὶ πολλοὺς ὑπὸ τοῦ ὕδατος διεφθάρθαι. οἳ 33 γ
δὲ καὶ τοῦτο πεπονθότες ἠπείλουν διὰ τοῦ κατωπεσόντος τείχους εἰσελθεῖν παραστήσαντες τοὺς ἐλέφαντας ἐνόπλους καὶ τὸν ὄχλον εὐτρεπίσαντες προσέχειν ἐμβριθέστερον τῷ πολέμῳ μαγγάνοις τε παντοίοις. οἱ δὲ τὴν πόλιν φρουροῦντες στρατιῶται ἐντεῦθεν τὴν νίκην θεοῦ προνοίᾳ ἐσχήκασι τόν τε τόπον ἐπλήρουν παντοίοις ὅπλοις, ὀνάγροις δὲ τοὺς πλείους ἐλέφαντας ἀπέκτειναν· ἕτεροι δὲ ἐν τοῖς 60 B
κατατέλμασι τῶν τάφρων ἐνέπεσον· ἄλλοι δὲ κρουσθέντες ἀπεστράφησαν εἰς τὰ ὀπίσω, καὶ ὑπὲρ μυρίους αὐτῶν ὁπλῖται ἀπέθανον.

---

1 *ἐν om.* bd. — *ἐν ὥρᾳ—ἡμέρας om.* c. — 3 *η'*] *ιδ'* b. — 5 *ὥστε τὸ πλῆθος* cgy *τὸ del. ex* b. — 6 *ἡμῖν*] *οἱ μέν* f. — *ἐπαγγελλόμενοι* b *ἐπαγγειλάμενοι* cgy. — 8 *ἐξῆλθον* c *ἐξῆεσαν* bdgy resecaverunt (*ἔξεσαν*?) A. — 9 *τὰ om.* b. — 10 *παραπλήσιοι* g. — 11 *ἀναίρεσις* b. — *ζῶντος* b. — 12 *θ'*] *ιε'* b. — 13 *τῇ Νίσιβιν* em *τῇ Νίσιβι* g *τῇ Νισίβι* fx. — 16 *βούλοιτο* y *βούλωνται* g. — *ἐκχωρήσειν* b Chron. *ἐκχωρῆσαι* gxy. — 17 *Νισιβινῶν* degm *Νησιβινῶν* c *Ἰσιβίνων* b. — *πρὸς αὐτῇ* b *πρὸς αὐτήν* gxy. — 21 *μέντοι* b. — *ἐπεπόρθηται* g. — 23 *γάρ* cg Chron. *om.* bdy. — 24 *νήχεσθαι*] *ἀντέχεσθαι* Chron. — *ἀπό* degm *ἀπό* f. — 25 *ἠπέσχουν* m *ἠπέχουν* e. — 27 *μαγγάνοις—παντοίοις* bc Chron. *μαγγανείαις* (*-ίαις* dy) — *παντοίαις* dgy. — 29 *τοῦ θεοῦ* g. — 31 *κατατέλμασι* bc Chron. *καταπάλμασι* dgy. — 32 *εἰς τοὐπίσω* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς δὲ λοιποῖς σκηπτὸς οὐρανόθεν ἔπεσεν, καὶ νεφελῶν γνοφωδῶν καὶ ὑετῶν λάβρων καὶ βροντῶν φωναὶ ἅπαντας ἐξέπληττον, ὡς τοὺς πλείους τῷ φόβῳ διαφθαρῆναι. πάντοθεν δὲ ὁ νέος Φαραὼ Σαβώρης στενούμενος ἠττᾶτο τοῖς τοῦ φόβου κύμασιν· ὃς ἀτενίσας τοῖς ὀφθαλμοῖς πρὸς τῷ καταπεσόντι τοῦ τείχους ὁρᾷ ἄγγελον ἐπὶ τὸ ἄκρον ἑστῶτα, λαμπρῶς ἐστολισμένον καὶ παρὰ χεῖρα τὸν βασιλέα Κωνστάντιον κρατοῦντα· ὃς εὐθέως ταραχθεὶς τοῖς μάγοις θάνατον ἠπείλει. μαθόντες δὲ τὴν αἰτίαν διεγνώκεισαν τοῦ φανέντος τὴν δύναμιν ἑρμηνεύειν τῷ βασιλεῖ, ὡς μείζων, ἢ κατ' αὐτούς. [δι' ἧς] ἐντεῦθεν ἐπιγνοὺς τοῦ κινδύνου τὴν αἰτίαν καὶ ἔμφοβος γεγονὼς ἐκέλευσε τά τε μάγγανα καῆναι, καὶ ὅσα πρὸς τὴν τοῦ πολέμου παρασκευὴν εὐτρέπισε διαλυθῆναι. αὐτὸς δὲ σὺν τοῖς ἰδίοις φυγῇ ἐδίωκε τὴν πατρίδα, πρότερον λοιμικῇ νόσῳ διαφθαρέντες. ‖

351. A. M. 5842 ιδ'. μή'. ε'. ε'. ι'. κά'. ζ'.

cf. Chron. Pasch. p. 540, 8 ‖ Τούτῳ τῷ ἔτει Κωνστάντιος ὁ Αὔγουστος μόνος βασιλεύων
61 B Γάλλου, ἀνεψιὸν ἴδιον, κοινωνὸν τῆς ἑαυτοῦ βασιλείας καίσαρα ἀναγορεύσας, μετονομάσας αὐτὸν Κωνστάντιον ἐν τῇ ἀνατολῇ ἀπέστειλε κατὰ τὴν Ἀντιόχειαν, τῶν Περσῶν ἔτι ἐπικειμένων. ‖

352. A. M. 5843 ιε'. μθ'. ς'. ς'. ια'. κβ'. η'.

cf. Hier. Chron. ‖ Τούτῳ τῷ ἔτει οἱ κατὰ Παλαιστίνην Ἰουδαῖοι ἀντῆραν· καὶ πολλοὺς τῶν ἀλλοεθνῶν, Ἑλλήνων τε καὶ Σαμαρειτῶν, ἀνεῖλον· καὶ αὐτοὶ δὲ παγγενεὶ ὑπὸ τοῦ στρατοῦ Ῥωμαίων ἀνῃρέθησαν, καὶ ἡ πόλις αὐτῶν Διοκαισάρεια ἠφανίσθη. ‖

cf. Polyd. p. 344, 11. ‖ Τῷ δ' αὐτῷ ἔτει Κωνστάντιος Λιβερίῳ γράψαντι πρὸς αὐτὸν
34 P ὑπὲρ τοῦ ὁμοουσίου καὶ τοῦ ἱεροῦ Ἀθανασίου θυμωθεὶς καὶ ἀποστείλας ἐξώρισε τοῦτον κατὰ τὴν Βέροιαν τῆς Θρᾴκης, Εὐσεβίου, τοῦ πρώτου τῶν εὐνούχων, τοῦτο παρασκευάσαντος τοῦ Ἀρειανόφρονος· Φίλικα δὲ ἀντ' αὐτοῦ ἐχειροτόνησαν, ὃς διάκονος μὲν τῆς αὐτῆς ἐκκλησίας ἦν, τὴν δὲ ἐν Νικαίᾳ σύνοδον ἀποδεχόμενος, Ἀρειανοῖς δὲ κοινωνῶν ἀλόγως. τούτῳ κοινωνεῖν οἱ κατὰ τὴν Ῥώμην οὐκ ἠν-
cf. Polyd. p. 344, 6 έσχοντο, ἀλλ' ἰδίᾳ καθ' ἑαυτοὺς ἐκκλησίαζον. ‖ κατὰ δὲ κέλευσιν Κων-

---

1 οὐρανῶ b. — ἐνέπεσεν c. — νεφῶν c. — 4 τοῖς ante τοῦ φόβου om. y. — 5 πρὸς τὸ καταπεσόντι by πρὸς τὸ καταπεσόν dg. — 6 κρατοῦντα Κωνστ. g. — Κωνσταντῖνον xy Κωνστάν̄. g. — 9 ὡς — κινδύνου om. em. — μείζων] μὴ ζῶν g. — ἢ κατ' αὐτοῖς b. — δι' ἧς om. c uncis incl. Classen. — 10 γεγονὼς b Chron. γενόμενος gxy. — τὰ τεταγμένα f τὰ τεταγμένα μάγγανα em. — 12 εὐτρέπησε b ηὐτρέπισε rell. — 14 ι'] ια' b. — 15 Κωνσταντῖνος cf. — 16 Γάλλον b. — ἀνεψιὸν ἴδιον om. b litura ante κοινωνὸν interposita, quae tamen duobus verbis non sufficit. — 17 καὶ μετονομάσας gxy. — 19 ια'] ιβ' b. — 21 τῶν ἄλλων ἐθνῶν y. — 23 διὸ καὶ Σαμαρεία b. — 26 Βέροιαν Polyd. Theodoret II, 17 Βερροίαν g Βρεττανίαν xy Βρετανίαν b Brettanniam A. — 27 ἀρειόφρονος cg. — 31 ἐκκλησιάζων b.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σταντίου συνηθροίσθη σύνοδος ἐν Μεδιολάνῳ, τ' μὲν ἐπισκόπων δυτικῶν, ἀνατολικῶν δὲ πάνυ ὀλίγων. διελύθη δὲ ἄπρακτος, τῶν δυτικῶν μὴ καταδεξαμένων πάλιν τὰς κατὰ τοῦ ἱεροῦ Ἀθανασίου 62 B
συσκευάς. ‖ τῶν δὲ Ῥωμαίων αἰτησαμένων τῷ βασιλεῖ, βιασθεὶς ἀνα- cf. Polyd. p. 344 fin.
καλεῖται Λιβέριον καὶ ἀποκαθιστᾷ τῷ θρόνῳ· Φίλιξ δὲ ἐξελθὼν τῆς Ῥώμης οὐκ ἔτι ἐπανῆλθεν. ‖

Ῥώμης ἐπίσκοπος λε' Φίλιξ ἔτος α'. A. M. 5844-353.
ις'. ν'. α'. ζ'. ιβ'. κγ'. θ'.

Ῥώμης ἐπίσκοπος λς' Δάμασος ἔτη κη'. A. M. 5845-354.
ιζ'. να'. α'. η'. ιγ'. κδ'. ι'.
ιη'. νβ'. β'. θ'. ιδ'. κε'. ια'. A. M. 5846-355.

‖ Τούτῳ τῷ ἔτει Γάλλος, ὁ καὶ Κωνστάντιος, καίσαρ ὢν καὶ Cram. Anecd. II, 95
ἐν πολέμοις ἀριστεύων, τὴν εὐπραγίαν μὴ ἐνεγκὼν τυραννίδα μελετᾷ, κτείνει τε Δομετιανόν, ἔπαρχον τῆς ἑῴας, καὶ Μάγνον κυαίστορα, μηνύσαντας Κωνσταντίῳ τὰ τῆς ἐπιβουλῆς. τοῦτον μεταπεμψάμενος ὁ Κωνστάντιος περὶ Θαλμῶνα τὴν νῆσον ἀναιρεθῆναι ἐκέλευσεν, Ἰουλιανὸν δέ, τὸν τούτου ἀδελφόν, ἐν φρουρᾷ κατέσχεν. Εὐσεβία Exc. Bar
δέ, ἡ γαμετὴ Κωνσταντίου, τοῦτον ἐξαιτησαμένη ἐν Ἀθήναις ἀπέστειλεν. ‖

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 5847-356.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,εωμζ'.	ἔτη τμζ'.	Κωνστάντιος	Σαβώρης	Δάμασος	
		ἔτη κδ'.	ἔτη ο'.	ἔτη κη'.	
		ιθ'.	νγ'.	γ'.	

Κωνσταντιν.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Εὐσέβιος	Ἰλάριος	Ἀθανάσιος	Φλάκιτος
ἔτη ιβ'.	ἔτη ιβ'.	ἔτη μς'.	ἔτη ιβ'.
ι'.	α'.	κς'.	ιβ'.

Τούτῳ τῷ ἔτει Μάξιμον τὸν Ἱεροσολύμων καθεῖλεν Ἀκάκιος ὁ Καισαρείας καὶ Πατρόφιλος ὁ Σκυθοπόλεως Ἀρειανοὶ ὄντες, καὶ ἀντεισήγαγον Κύριλλον δοκοῦντες ἔχειν αὐτὸν ὁμόφρονα. ‖ ἐν τούτῳ Cram. Anecd. II, 95. 15
τῷ χρόνῳ, Κυρίλλου ἐπισκοποῦντος Ἱεροσολύμων, ‖ τὸ σημεῖον τοῦ cf. Chron. Pasch. p. 540, 13
ζωοποιοῦ σταυροῦ ἐφάνη ἐν τῷ οὐρανῷ τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς, 63 B
φωτοειδές, τεταμένον ἀπὸ τοῦ Γολγοθᾶ, ἔνθα ἐσταυρώθη ὁ Χριστός, 35 P
ἕως τοῦ ὄρους τῶν ἐλαιῶν, ὅθεν ἀνελήφθη. κύκλῳ δὲ τοῦ φανέντος σημείου στέφανος, ὡς ἶρις τὸ εἶδος ἔχων. καὶ τῇ αὐτῇ δὲ ἡμέρᾳ καὶ

---

4 σκευάς f. — *De numeris ann.* 5844—46 *cf. dissert. de codd. Theoph.* — 12 Γάλος b. — καίσαρ bdfm. — 14 κτείνεται Δομ. b. — ὕπαρχον c. — Μαγνόν b. — κυέστορα c κοιέστωρα bg. — 16 Θαλμῶνα b Cr. Θαλάμωνα cg Θαλάμονα dy Φλάβωνα Soz. IV, 7. 7 Polyd. p. 340, 5 Φλάνωνα Socr. II, 34. — 18 ἡ om. dy. — 23[3] ἔτη κα' cgy. — 27[2] Ἰλαρίων g. — 27[4] Φλάκητος c. — 30 τῶν dg. — 34 τῇ om. c. — 35 τεταμένον] μεταβαίνον g. — 37 δὲ om. dgy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Cram. II, 95. 18 *Κωνσταντίῳ ὤφθη.* ‖ *περὶ τούτου δὲ φέρεται Κυρίλλου ἐπιστολὴ πρὸς τὸν βασιλέα Κωνστάντιον,* ‖ *ἐν ᾗ εὐσεβέστατον αὐτὸν καλεῖ. ὅθεν τινὲς Ἀρειανόφρονα διαβάλλουσι τὸν αὐτὸν Κύριλλον λέγοντες, καὶ τὴν τοῦ ὁμοουσίου φωνὴν παρασεσιγηκέναι αὐτὸν ἐν ταῖς κατηχήσεσιν, αἷς ἐξέθετο ἐπ᾽ ὠφελείᾳ τῶν ἀπείρων λαῶν, τῶν τῷ θείῳ προσελθόντων βαπτίσματι διὰ τὸ θαῦμα τοῦ ζωοποιοῦ σταυροῦ. σφάλλονται δὲ καὶ ἁμαρτάνουσιν. ἐχρῆν γὰρ καὶ τὸν βασιλέα ἐξ ἁπλότητος, καὶ οὐκ ἐκ διαθέσεως τῆ κακουργίᾳ τῶν Ἀρειανῶν ὑποκλαπέντα εἰς τὴν αἵρεσιν, καὶ τοῦ ἑλληνισμοῦ μήπω τελείως καταστραφέντος, εὐσεβέστατον οἰκονομικῶς λέγειν, καὶ τὴν τοῦ ὁμοουσίου φωνὴν σιγῆσαι τέως ταράττουσαν τοὺς πολλοὺς καὶ τῇ ἀντιθέσει τῶν ἐχθρῶν ἐκκόπτουσαν τοὺς βαπτιζομένους, διὰ δὲ τῶν ἰσοδυναμούντων λέξεων τὸ τοῦ ὁμοουσίου τρανῶσαι· ὃ καὶ πεποίηκεν ὁ μακάριος Κύριλλος τὴν ἐν Νικαίᾳ πίστιν κατὰ λέξιν ἀναπτύξας καὶ θεὸν ἀληθινὸν τὸν υἱὸν ἐκ θεοῦ ἀληθινοῦ τοῦ πατρὸς κηρύξας.*

357. A. M. 5848 64 B *Ἀντιοχείας ἐπίσκοποι κζ᾽ Στέφανος α᾽ Ἀρειανοὶ ἔτη γ᾽.*
κ᾽. νδ᾽. δ᾽. ια᾽. β᾽. λ᾽. α᾽.

358. A. M. 5849 *κα᾽. νε᾽. ε᾽. ιβ᾽. γ᾽. λα᾽. β᾽.*

Exc. Bar. ‖ *Τοῦτῳ τῷ ἔτει Ἀθανάσιος καὶ Παῦλος, τελευτήσαντος Εὐσεβίου τοῦ δυσσεβῶς ἄρξαντος τὸν θρόνον Κωνσταντινουπόλεως, κατῆλθον πάλιν εἰς Ῥώμην πρὸς Ἰούλιον τὸν πάπαν καὶ Κώνσταντα τὸν βασιλέα, ἀδελφὸν Κωνσταντίου. τοῦ γὰρ Εὐσεβίου θανόντος, ὁ λαὸς τὸν Παῦλον τῷ θρόνῳ Κωνσταντινουπόλεως ἀπεκατέστησεν, οἱ δὲ Ἀρειανοὶ τὸν Μακεδόνιον ἀντεχειροτόνησαν, ὡς ἐντεῦθεν ἐμφύλιον γενέσθαι πόλεμον. ὅπερ μαθὼν ὁ Κωνστάντιος ἐν Ἀντιοχείᾳ διάγων Ἑρμογένει στρατηλάτῃ κατὰ τὴν Θρᾴκην πεμφθέντι κελεύει ὁδοῦ πάρεργον ποιήσασθαι καὶ ἐκβαλεῖν Παῦλον τῆς ἐκκλησίας· ὅπερ τοῦ Ἑρμογένους πληρῶσαι δοκιμάσαντος, ὁ δῆμος τὸν οἶκον αὐτοῦ ἐνέπρησε καὶ αὐτὸν Ἑρμογένην ἀπέκτεινε καὶ εἰς τὴν θάλασσαν ἔρριψεν. τότε οὖν ὁ βασιλεὺς μαθὼν ἐξ Ἀντιοχείας εἰς τὴν βασιλεύουσαν*
36 P *ἦλασε καὶ τὸν Παῦλον τοῦ θρόνου ἐκβαλὼν Μακεδόνιον τέως οὐκ ἐνεθρόνισεν. τότε ὀργιζόμενος διὰ τὸν Ἑρμογένους φόνον τὴν πόλιν ἐζημίωσε τέσσαρας μυριάδας ἄρτων ἡμερησίων ἐκ τῶν δωρηθέντων*
65 B *ὑπὸ τοῦ πατρὸς αὐτοῦ μυριάδων η᾽. τότε οὖν ὁ Παῦλος, ὡς προείρηται, πρὸς Ἰούλιον ἦλθε Ῥώμης καὶ ἐπανῆλθε μετὰ γραμμάτων αὐτοῦ*

---

5 προσελθόντι gy. — 9 εὐσεβέστατα y. — 16 κζ᾽ *om.* gy. — Στέφανος *om.* cy. — α᾽ *om.* g *post* Ἀρειανὸς *inserunt* cy. — 17 λ᾽. α᾽.] λα᾽ b λα᾽. α᾽. *rell.* — 18 λα᾽. β᾽.] λβ᾽. b λβ᾽. β᾽. *rell.* — 20 δυσσεβοῦς by. — τὸν θρόνον *add. ex* b *om.* gxyA. — κατῆλθεν by. — 21 πάππαν g. — Κώνσταν d. — 22 θανόντος c θανέντος bdgy. — 24 ἐμφυλίου — πολέμου g. — 26 Ἑρμογένει c Ἑρμογένη bdgy. — 27 ἐκβάλλειν b. — 29 Ἑρμογένη c. — 30 τότε] τοῦτο d. — 32 τὸν Ἑρμ. b τὸν τοῦ Ἑρμ. xy τοῦ Ἑρμ. g. — 34 η᾽] ν᾽ dy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν Κωνσταντινουπόλει. ὁ δὲ Κωνστάντιος καὶ τότε ἐν Ἀντιοχείᾳ διάγων, μαθών, ὅτι τὸν Παῦλον Ἰούλιος τῷ θρόνῳ ἀπεκατέστησεν, ὀργισθεὶς κελεύει Φιλίππῳ τῷ ἐπάρχῳ Παῦλον ἐκδιῶξαι καὶ Μακεδόνιον ἀντικαταστῆσαι τῷ θρόνῳ. ὁ δὲ ἔπαρχος φύβῳ τῶν γεγονότων εἰς Ἑρμογένην διὰ τὸν Παῦλον εἰς τὸ κατὰ τὸν Ζεύξιππον λουτρὸν μεταστειλάμενος τὸν Παῦλον, διὰ θυρίδος χαλάσας εἰς Θεσσαλονίκην ἐξώρισεν, ὅθεν καὶ ὡρμᾶτο. Μακεδόνιον δὲ τῷ ἑαυτοῦ ὀχήματι ἀναλαβὼν ἀπεκατέστησεν ὡς τύραννον τῆς ἐκκλησίας λῃστρικῶς. ‖ τῶν ὀρθοδόξων ἀντιστάντων ἐπὶ τοσοῦτον, ὡς ἀναιρεθῆναι γρν' ἄνδρας, καὶ οὕτω τῆς ἐκκλησίας Ἀρειανοὺς κρατῆσαι. τότε καὶ Ἀθανασίῳ θάνατον ἠπείλησε Κωνστάντιος, ὅπερ φοβηθεὶς φυγὰς αὖθις τὴν Ῥώμην κατέλαβεν, παραυτὰ δὲ καὶ Παῦλος ἀπὸ Θεσσαλονίκης· οἳ καὶ προσελθόντες τῷ Κώνσταντι τὰ καθ' ἑαυτοὺς διηγήσαντο. ‖ ὁ δὲ Κώνστας ἐπαλγήσας τοῖς ἁγίοις γράφει Κωνσταντίῳ τῷ ἀδελφῷ λυπούμενος, ἢ ἀποδοῦναι Παύλῳ καὶ Ἀθανασίῳ τοὺς ἰδίους θρόνους, ἢ πόλεμον ἀπειλῶν κινεῖν κατ' αὐτοῦ. ‖ προετρέψατο δὲ αὐτὸν καὶ τοῦ γενέσθαι σύνοδον ἐν Σερδικῇ, ἐν ᾗ τῶν ἑσπερίων συνῆλθον ἐπίσκοποι τ', ἀνατολικοὶ δὲ λς'. οὗτοι τοῖς δυτικοῖς ἀντέπιπτον αἰτοῦντες ἐξελασθῆναι πρότερον Ἀθανάσιον καὶ Παῦλον· ὁ δὲ Ὅσιος, ὁ Κουδρούβης ἐπίσκοπος, καὶ Πρωτογένης Σερδικῆς οὐκ ἠνέσχοντο μὴ παρεῖναι τοὺς ἁγίους Ἀθανάσιον καὶ Παῦλον. τότε οἱ ἀνατολικοὶ ἐν Φιλιππουπόλει γενόμενοι ἀναιδῶς τὸ ὁμοούσιον ἀνεθεμάτισαν. οἱ δὲ ἐν Σερδικῇ ὀρθόδοξοι τὸν ὀρθὸν τῆς ἐν Νικαίᾳ πίστεως ὅρον ἐκύρωσαν τὸ ἀνόμοιον ἀναθεματίσαντες· ἀποδεδώκασι δὲ καὶ τοὺς θρόνους Ἀθανασίῳ καὶ Παύλῳ καὶ Μαρκέλλῳ τῷ Ἀγκύρας ὁμολογοῦντι τὸ ὁμοούσιον καὶ ἀπολογουμένῳ, μὴ ἐννοεῖσθαι τὰ συγγραφέντα αὐτῷ τοῖς διαβάλλουσιν αὐτόν. οὕτω τῆς ἐν Σερδικῇ συνόδου πραξάσης κατὰ τῶν ἀποδιαστάντων ἀνατολικῶν καὶ κυρωσάσης τὸ ὁμοούσιον, Κωνστάντιος δῆθεν Ἀθανάσιον καὶ Παῦλον ἐντίμως ἐδέξατο καὶ τοὺς ἰδίους θρόνους ἀποδέδωκεν· καὶ οὕτως Ἀθανάσιος ἐν Ἀλεξανδρείᾳ ἦλθε καὶ ἀπεδέχθη μετὰ χαρᾶς μεγάλης ἐξώσας Γεώργιον τὸν Ἀρειανόν. ‖ Μαγνεντίου δὲ ἐν Γαλλίαις τυραννήσαντος καὶ Κώνσταν τὸν

cf. Polyd. p. 326, 11

cf. Polyd. p. 332, 12

cf. Polyd. p. 330, 6

66 B

cf. Chron. Pasch. p. 536, 15

---

2 Ἰούλιος — 3 Παῦλον om. y et post ἐκδιῶξαι add. ἤμελλον. — καὶ ὀργισθεὶς cg καὶ del. ex. b. — ἐπάρχῳ b ὑπάρχῳ gx. — 4 ὕπαρχος cg. — 5 Ἑρμογένη c. — κατὰ τὸ Z. g. — 6 Θεσαλονίκην b Σαλονίκην f Σαλωνίκην em. — 7 ὡρμεῖτο b. — 11 ὅπερ b ὄνπερ dgyA ὃ περ (lacuna unius litt. interp.) c. — 12 Θεσαλονίκης b. — 13 τὰ κατ' αὐτούς dfg τὰ κατ' αὐτοῦ em. — 17 Σερδικῇ b Σαρδικῇ gxyA. — ἐπίσκοποι om. c. — 18 λς'] ος' Polyd. cum Socr. II, 20 Soz. III, 12. — 19 ὁ ἐπίσκοπος c. — 20 Πρωτογενῆς b. — Πρ. ὁ Σ. gxy ὁ om. b. — Σερδικῆς bef Σαρδικῆς gmxA. — 22 Σαρδικῇ gxyA Περσίδι b. — 25 τὸ om. b. — 27 αὐτῷ by. — τῇ — συνόδῳ y. — Σερδικῇ bef Σαρδικῇ gmxA. — παραταξάσης y παραταξαμένης d. — 28 κυρώσας c. — 31 ἀπεδέχθη b ἐδέχθη gxy. — 32 Κῶνστα c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

67 B εὐσεβῆ ἀνελόντος, Κωνστάντιος ὁ Αὔγουστος διατρίβων ἐν Ἀντιοχείᾳ
cf. Polyd. p. 336, 15 καὶ μαθών, ‖ παρευθὺ τὸν Παῦλον ἀποστείλας τῆς πόλεως ἐξώρισεν
ἐν Κουκουσῷ· κἀκεῖ ὑπὸ Ἀρειανῶν ἀναιρεῖται. καὶ τότε Μακεδόνιος
cf. Chron. Pasch. p. 536, 16 τοῦ θρόνου ἐπιλαμβάνεται· ‖ Κωνστάντιος δὲ κατὰ Μαγνεντίου ἐπὶ
τὴν Ἰταλίαν ἐξώρμησεν. ‖ ἡ δὲ σύγκλητος ἐν Ῥώμῃ Νεπωτιανὸν
ἐνδύσασα κατὰ Μαγνεντίου ἀπέλυσεν. ὃς συμβαλὼν τῷ Μαγνεντίῳ
cf. Chron. Pasch. p. 539, 5 ἐν Ῥώμῃ ἀναιρεῖται ὑπ' αὐτοῦ βασιλεύσας μῆνας τρεῖς. ‖ πρὶν ἢ δὲ
φθάσαι ἀπελθεῖν τὸν βασιλέα ἐν Ῥώμῃ, Κωνσταντία, ἡ καὶ Ἑλένη,
ἡ Κωνσταντίου ἀδελφή, ἀνηγόρευσε Βρετανίωνα εἰς βασιλέα, ἄνδρα
ἔντιμον, καὶ ἀντέστησε τῷ Μαγνεντίῳ πρὸς τὴν μάχην. φθάσας δὲ
Κωνστάντιος ἐν Ῥώμῃ καὶ ἀποδεξάμενος τὸν Βρετανίωνα μετὰ πολλῆς
cf. Chron. Pasch. p. 540, 24 τιμῆς, ‖ ἐπολέμησαν ἄμφω τὸν Μαγνέντιον περὶ Μοῦρσαν. καὶ ἡττη-
θεὶς ὁ Μαγνέντιος ἔφυγεν ἐπὶ Ἰταλίαν. ‖ πολλάκις δὲ ὑπὸ τῶν στρα-
cf. Chron. Pasch. p. 541, 10 τηγῶν Κωνσταντίου πολεμηθείς, ‖ συμβαλὼν ἐν Μόντῳ Σελεύκῳ
cf. Polyd. p. 340, 15 καὶ ἡττηθεὶς ἔφυγεν εἰς Λογδοῦνον· ‖ καὶ τὸν ἀδελφὸν ἑαυτοῦ πρῶτον
σφάξας καὶ τὴν ἰδίαν μητέρα, ὕστερον καὶ ἑαυτὸν ἀνήλωσεν· καὶ
Δικέντιος καῖσαρ, ὁ τούτου ἀδελφός, ἀγχόνῃ ἐχρήσατο. ‖

cf. Hier. Chron. ‖ Τότε καὶ Σιλβανὸς τυραννήσας ἐν Γαλλίαις ἀνῃρέθη ὑπὸ τῶν
68 B cf. Chron. Pasch. p. 542, 19 στρατηγῶν Κωνσταντίου. ‖ ἐλθὼν δὲ ἐν Ῥώμῃ Κωνστάντιος εἰσῆλθε
μετὰ πολλῆς φαντασίας καὶ παρατάξεως ὀνομασθεὶς ὑπὲρ τοὺς πρὸ
ἑαυτοῦ βασιλεῖς· συνῆλθε δὲ αὐτῷ καὶ ἡ γυνὴ αὐτοῦ Εὐσεβία, καὶ
cf. Chron Pasch. p. 539, 19 ἐποίησε ἰδ' ἡμέρας ἐν τῇ Ῥώμῃ. ‖ ἐν δὲ τῷ εἶναι αὐτὸν ἐν Ῥώμῃ
ἐξελθὼν ἐν τῷ Τριβουναλίῳ Κάμπῳ καὶ στὰς ἐφ' ὕψους συμπαρόντος
αὐτῷ τοῦ στρατοπέδου καὶ τοῦ Βρετανίωνος, ἐδημηγόρει πείθων τὸν
λαόν, ἀκόλουθον εἶναι τῆς βασιλείας τὴν ἐξουσίαν ὑπάρχειν τῷ ἐκ
προγόνων βασιλέων διαδεξαμένῳ ταύτην, συμφέρειν δὲ καὶ τῷ κοινῷ
ὑπὸ μίαν ἐξουσίαν διοικεῖσθαι τὰ δημόσια, καὶ ὅσα τούτοις ἀκόλουθα.
τότε ἀποδύσας τὸν Βρετανίωνα βασιλεύσαντα μῆνας ι' κατ' αὐτὴν

---

1 ἀνελών y. — 3 *Κουκκουσῷ* d *Κουκουσσῷ* f. — *ἐν Κ. τῆς Ἀρμενίας, ὃς ἐκεῖσε ὑπὸ Ἀρ. ἀγχόνῃ ἀναιρεῖται* d. — 4 *ἀντιλαμβάνεται* g. — 5 *Ἰτταλίαν* b *item v.* 13. — *Νεποτιανόν* dfg *Νεποτιανῷ* b. — 7 *πρινὶ φθάσασαι δέ* b. — 8 *Κωνσταντία* em Chron. *Κωνσταντι*α* f *Κωνσταντίνα* bgx. — *καὶ om.* b. — 9 *ἡ om.* y. — *ἀνηγορεῦσαι* b. — *Βρετανίωνα* bc *Βρεττανίωνα* dgy *Βετρανίωνα* Chron. (*Βρετανίων etiam* Polyd. *p.* 336) — 10 *ἀνέστησε* g *ἀντέστη* d. — 11 *Βρεττανίωνα* gy *Βρεττανίονα* d. — 12 *Μοῦσαν* bem *Μούρσαν* f. — 13 *ἐπὶ Ἰταλίαν* bc *ἐπὶ τὴν Ἰταλίαν* dgy *ἐπὶ Γαλλίαν? coll.* Chron. P. — 14 *συμβ. ἐν Μοντῷ Σελεύκῳ* b (*ἐν Μούστῳ Σελ.* Chron.) *συμβ. τῷ Σελεύκῳ* gxy. — 15 *ἔφυγον* c. — *Λογδοῦνον* b (*Λογδούνων πόλιν* Chron.) *Λυγδοῦνον* c *Λουγδοῦνον* gy *Λουγδόναν* d. — *αὐτοῦ* g. — 16 *ἀνήλωσεν om.* b. — 17 *Δεκέντιος* Sozom. IV, 7. 3 *Δικαίτιος* dem *δικαίως* f. — *καίσαρ* bdy. — 20 *πρὸ αὐτοῦ* df. — 22 *ἐν δὲ τῷ εἶναι αὐτὸν ἐν P. add. ex* b *om. rell.* — 23 *ἐξελθὼν δὲ ἐν* fgx. — *στὰς*] *τὰς* b — 24 *Βρετανίονος* b *Βρεττανίωνος* egm *Βρεττανίονος* df. — 25 *βασιλ. καὶ τὴν* gxy *καὶ om.* b Chron. — 26 *συμφέρει* b. — *δέ* b Chr. *τε rell.* — *καὶ τῷ κοινῷ λαῷ* c *τῷ λαῷ καὶ τῷ κοινῷ* g. — 27 *Βρε-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν ὥραν τραπέζης αὐτῷ πρὸς ἑστίασιν ἐκοινώνησεν, καὶ μετὰ πάσης τιμῆς καὶ δορυφορίας καὶ πολλῶν χαρισμάτων ἐν Προύσῃ τῆς Βιθυνίας ἀπέστειλεν. Χριστιανὸς δὲ ὢν τῇ ἐκκλησίᾳ ἐσχόλαζε καὶ πολλὰς ἐλεημοσύνας ἐποίει εἰς τοὺς πένητας· ἐτίμα δὲ καὶ τοὺς ἱερεῖς ἕως ἡμέρας τελευτῆς αὐτοῦ. ‖ ὁ δὲ Κωνστάντιος ὑποστρέψας εἰς τὸ Βυζάντιον, 38 P
παρακληθεὶς ὑπὸ Εὐσεβίας, τῆς ἰδίας γυναικός, Ἰουλιανόν, τὸν ἀδελφὸν Γάλλου, ἐκ τῆς φυλακῆς ἐξαγαγὼν ‖ καίσαρα προβάλλεται καὶ εἰς cf. Chron. Pasch. p. 541, 19
Γαλλίας ἐκπέμπει ξεύξας αὐτῷ πρὸς γάμον καὶ τὴν ἰδίαν ἀδελφὴν 69 B
Ἑλένην, τὴν καὶ Κωνσταντίαν. ‖

‖ Τῷ δ' αὐτῷ ἔτει καὶ Ἰούλιος ὁ πάπας ἐν Ῥώμῃ ἐκοιμήθη, καὶ cf. Polyd. p. 342, 11
ἐχειροτονήθη ἀντ' αὐτοῦ Λιβέριος, ἀνὴρ τὰ πάντα θαυμαστὸς καὶ ὀρθόδοξος. ‖ οἱ δὲ Ἀρειανοὶ τὸν βασιλέα κατὰ Ἀθανασίου οὕτω cf. Polyd. p. 336 fin.
παρέπεισαν, ὡς κεφαλικὴν αὐτοῦ τιμωρίαν καταψηφίσασθαι. ἀλλὰ καὶ τότε φυγῇ ὁ ἅγιος τὴν σωτηρίαν ἐπραγματεύσατο. ‖

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 5850 - **359.**
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,εων'.	ἔτη τν'.	Κωνστάντιος	Σαβώρης	Δάμασος	
		ἔτη κδ'.	ἔτη ὁ'.	ἔτη κη'.	
		κβ'.	νξ'.	ς'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας	
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	
Μακεδόνιος	Ἰλάριος	Ἀθανάσιος	Στέφανος	
ἔτος α'.	ἔτη ιβ'.	ἔτη μξ'.	ἔτη γ'.	
α'.	δ'.	λβ'.	γ'.	

‖ Τούτῳ τῷ ἔτει σεισμοῦ μεγάλου γενομένου ἐν Νικομηδείᾳ cf. Chron. Pasch. p. 543, 5 et Hier.
περὶ ὥραν τρίτην νυκτερινὴν τὴν πόλιν κατέβαλε καὶ πλῆθη πολλὰ διέφθειρεν· συναπώλετο δὲ καὶ ὁ ἐπίσκοπος τῆς πόλεως Κεκρόπιος. ‖

Ἀντιοχείας ἐπίσκοπος Λεόντιος ἔτη η'. A. M. 5851 - **360.**
κγ'. νζ'. ζ'. β'. ε'. λγ'. α'.

Κωνσταντινουπόλεως ἐπίσκοπος Εὐδόξιος, ἐκβληθέντος Μακεδονίου. A. M. 5852 - **361.**
κδ'. νη'. η'. α'. ς'. λδ'. β'.

τανίονα b Βρεττανίωνα gy Βρεττανίονα d. — 1 ἑστίαν c. — 2 δωροφορίας bcegm δωρυφορίας df. — 4 ἡμέρας] τῆς c. — 6 καὶ παρακλ. gxy. — 7 Γάλου b. — εἰς Γαλλίους d. — 10 πάππας g. — 13 αὐτῷ dg. — ἀλλά om. f. — 14 ὁ ἅγιος φυγῇ dy. — ἐπραγματεύσατο] ἐχρήσατο dy. — In mg. b col. rubr. Σχόλ. Κύριλλος Ἱεροσολύμων ἐδιώχθη ὑπὸ τῶν Ἀρειανῶν, ἀντ' αὐτοῦ δὲ γεγόνασιν Ἀρειανοὶ γ'. Ἀρσένιος, Ἡράκλειος, Ἰλάριος. καὶ πάλιν Κύριλλος ἀνακληθεὶς ἐπὶ Γρατιανὸν (leg. Γρατιανοῦ) συνῆλθεν (ἀνῆλθεν?) καὶ ἐν τῇ συνόδῳ τῶν ρή (lege ρν'.) ἐπισκόπων ἐν Κ. πόλει συνῆλθεν. — 17[2] τιη' g. — 18[3] ἔτη κα' cgy. — 22[2] Ἰλαρίων g. — 22[4] Στέφανος Ἀρειανός g. — 23[1] ἔτη δ' b. — 25 τῷ αὐτῷ ἔτει b. — 26 κατέβαλε x κατέλαβε bgy. — 27 συναπ. δὲ Κεκρ. ὁ ἐπίσκ. τ. πόλεως c. — καὶ Κρόπιος b. — 28 ἔτη ιη' b. — 30 ἐπίσκοπος om. b. — Εὐδ. ἔτη κ' gy ἔτη η'? Idem codd. v. 29 post v. 30 collocant et cum v. 31 coniungunt. κ'. νζ'. ζ'. (ζ'. om. f) β'. ε'. λ'. β'. α'. κα'. ν'. η'. η'. ς'. λ (λ'. α'. f) β'. γ κα'. νζ'. ζ'. ε'. ε'. λβ'. α'. κα'. νη'. η'. α'. ς'. λγ'. β'. g. — 31 γ'. c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Exc. Bar. ‖ *Μακεδονίου τοίνυν τυραννικῶς τὸν θρόνον Κωνσταντινουπόλεως κατέχοντος, μετήγαγε τὸ σῶμα τοῦ μεγάλου Κωνσταντίνου*
70 B *εἰς τὸν ἅγιον Ἀκάκιον ἀπὸ τῶν ἁγίων ἀποστόλων πτῶσιν προφασιζόμενος τοῦ ναοῦ. τοῦ δὲ λαοῦ κωλύοντος, φόνος γέγονε πολύς, ὥστε πληρωθῆναι τὸ φρέαρ καὶ τὴν αὐλὴν τοῦ μαρτυρίου αἱμάτων καὶ τὰς περικειμένας πλατείας· ὅπερ γνοὺς ὁ Κωνστάντιος ἠγανάκτησε κατὰ Μακεδονίου, καὶ τοῦτον καθαιρεθῆναι κελεύσας Εὐδόξιον ἀντεκατέστησεν, μείζονι κακῷ μέγα κακὸν ἀμειψάμενος.* ‖

Τούτῳ τῷ ἔτει Πέρσαι τὸ Βεδζάβδη καλούμενον παρέλαβον
39 P *κάστρον. Κωνστάντιος δὲ ἀκηκοώς, ὅτι Ἰουλιανὸς ἐν Γαλλίαις ἐν πολέμοις εὐδοκιμήσας ὑπὸ τοῦ στρατοῦ βασιλεὺς ἀνηγορεύθη, ἐν Ἀντιοχείᾳ διάγων διὰ τὸν Περσικὸν πόλεμον, ἐξώρμησε κατὰ Ἰουλιανοῦ*
cf. Chron. Pasch. p. 545, 7 *τοῦ τυράννου·* ‖ *καὶ ἐλθὼν ἐν Μαμψουκρήναις, πρώτῃ μονῇ ἀπὸ Ταρσοῦ τῆς Κιλικίας, ἐτελεύτησε μηνὶ Δίῳ γ', ‖ πολλὰ τῆς ἑαυτοῦ*
Exc. Bar. *ἀνοίας καταγνούς. ‖ ἐβαπτίσθη δὲ τότε εἰς Ἀντιόχειαν ὑπὸ Εὐζωΐου*
Exc. Barbari p. 296 Schöne *τοῦ Ἀρειανοῦ, ‖ τοῦ καθολικοῦ κοσμικοῦ ἔτους ,εωνβ', τῆς δὲ ια'*
Exc. Bar. *περιόδου φλβ', ἀρχομένης τῆς ιβ'. ‖ τότε λοιπὸν Ἰουλιανὸς μονοκράτωρ γενόμενος ἀναιδῶς ἐλλήνιζεν, αἵματι θυσιῶν τὸ ἅγιον βάπ-*
71 B *τισμα ἀποπλυνάμενος καὶ πάντα ποιῶν, ὅσοις οἱ δαίμονες θεραπεύονται.* ‖

362. A. M. 5853

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*
,εωνγ'.	*ἔτη τνγ'.*	*Ἰουλιανὸς*	*Σαβώρης*	*Δάμασος*
		ἔτη γ'.	*ἔτη ο'.*	*ἔτη κη'.*
		α'.	*νθ'.*	*θ'.*

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Εὐδόξιος	*Ἱλάριος*	*Ἀθανάσιος*	*Λεόντιος*
ἔτη ι'.	*ἔτη ιβ'.*	*ἔτη μ̣ς'.*	*ἔτη η'.*
β'.	*ζ'.*	*λε'.*	*γ'.*

Exc. Bar. ‖ *Τούτῳ τῷ ἔτει ἐβασίλευσεν Ἰουλιανὸς ὁ παραβάτης μοναρχήσας διὰ πλῆθος ἁμαρτιῶν ἡμῶν. ἐπαρθεὶς γὰρ τῇ τῶν βαρβάρων νίκῃ, ἑαυτῷ τὸ κράτος ἐπιστρέψας καὶ διάθημα περιθέμενος*

---

3 *πτώσει* b. — 7 *κατέστησεν* f. — *μείζον* b. — 9 *Βεδζάβδη* b *Βεδζακδί* x *Βεδζάκδι* f *Βεδζάκιδι* em *Βεδζαηχδί* g. — *παρέλαβον κάστρον* b *κάστρον παρέλαβον* gxy. — 10 *ὅτι om.* f. — 11 *τοῦ om.* y. — 12 *πόλεμον om.* f. — 13 *ἐμαμψουκρίναις* b *ἐν Μομψουκρίναις* d *ἐμμουψουκρίᾳ* g. — *πρότημον ἡ* b *ἐν πρώτῃ μονῇ* g. — 16 *κοσμικοῦ* b *κόσμου* gxy. — *ἔτει* c. — V milia octingenti LIIII. *Barbarus.* — *ια'*] completi sunt x cycli saeculares. *Barb.* — 17 *φλγ'.* g. — *ἀρχομένης τῆς ιβ' τότε λοιπόν om.* dy. — *κοσμοκράτωρ* c. — 18 *αἵματι*] *ἔτι* b. — 19 *ὅσοις* c Exc. Bar. *ὅσα rell.* — 23[1] *,εωνδ' et* 23[2] *τνδ'* gy. — 25[4] *να'* c *om.* ef. — 28[2] *Ἱλαρίων* g. — 29[1] *ἔτη Θ'* b. — 30[1] *β' om.* cy. — 30[3] *λθ'* b *λς'* g *om.* f. — 32 *πλήθους* b. — *γάρ om.* em. — 33 *καὶ ἑαυτῷ* c. — *ἐπιτρέψας* dgy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸ τῆς Κωνσταντίου τελευτῆς εἰς ἑλληνισμὸν ἀναιδῶς ἐξετράπη. ὅπερ Κωνστάντιος πλεῖστα μεταμελούμενος ἀπέδωκε τὸ πνεῦμα ἐπί τε τῷ τοῦ γένους φόνῳ καὶ τῇ καινοτομίᾳ τῆς πίστεως καὶ τῇ ἀναρρήσει τοῦ ἀποστάτου. ‖ Ἰουλιανοῦ δὲ τοῦ ἀποστάτου θείοις Exc. Bar. κρίμασι μονοκρατορήσαντος, παντοδαποὶ θεήλατοι ὀργαὶ τὴν Ῥωμαίων γῆν κατειλήφασιν. ‖ θέλων δεῖξαι τὸν Κωνστάντιον ἄδικον καὶ ἀπάν- Exc. Bar. θρωπον, ὑποκρινόμενος δικαιοσύνην ὁ παράνομος τοὺς ἐν ἐξορίᾳ ἐπισκόπους ἀνεκαλέσατο. Εὐσέβιον δέ, τὸν πρῶτον τῶν βασιλικῶν εὐνούχων, ἀνεῖλεν ὡς δῆθεν ἄδικον. ἐδίωξε δὲ καὶ τοὺς ἄλλους εὐνούχους τοῦ παλατίου διὰ τὸ ἀποβαλεῖν τὴν γαμετήν, ἣν συνῆψεν αὐτῷ Κωνστάντιος ἀδελφὴν ἑαυτοῦ· ὁμοίως καὶ μαγείρους διὰ τὸ λιτὸν τῆς διαίτης καὶ κουρίσκους διὰ τὸ ἕνα πολλοῖς ἀρκεῖν, ὡς 72 B ἔλεγεν. τοῦ δὲ δημοσίου δρόμου τάς τε καμήλους καὶ ὄνους, βόας καὶ ἡμιόνους ἐξέβαλεν, μόνους ἵππους συγχωρήσας ὑπουργεῖν διὰ πολλὴν φιλαργυρίαν, ἧς δοῦλος ἦν, ὡς πρὸς τῆς εἰδωλολατρείας. τότε οἱ κατὰ τὴν ἀνατολὴν Ἕλληνες ἐπαρθέντες εὐθέως ἐν Ἀλεξαν- 40 P cf. Chron. Pasch. p. 546, 4 δρείᾳ Γεώργιον τὸν ἐπίσκοπον σύροντες ἀνεῖλον, καὶ τὸ λείψανον αὐτοῦ ἀθέως ἐνυβρίζοντες καὶ καμήλῳ ἐπιθέντες ἐπόμπευον διὰ τῆς πόλεως, καὶ μετὰ νεκρῶν ἀλόγων ὀστέων μίξαντες αὐτοῦ τὸ λείψανον κατέκαυσαν καὶ διεσκόρπισαν. ‖ τότε Ἀθανάσιος πρός τινα παρθένον Exc. Bar. κρυπτόμενος χρόνον πολύν, ἐξελθὼν σύνοδον ἐν Ἀλεξανδρείᾳ ἐκρότησε καὶ τὰ κατὰ Νίκαιαν κυρώσας δόγματα τὰς ἐκκλησίας ἀπέλαβεν. οἱ δὲ Ἀρειανοὶ μετὰ Γεώργιον Λούκιον προεχειρίσαντο ἑαυτοῖς καὶ ἐν οἴκῳ κοινῷ συνήγοντο. ‖ πολλοὺς δὲ καὶ ἄλλους Χριστιανοὺς οἱ Ἕλληνες ἀνεσταύρωσαν καὶ κατέσφαξαν. ‖ τὰ δὲ τοῦ ἁγίου Πατρο- cf. Chron. Pasch. p. 546, 14 φίλου, τοῦ ἐν Σκυθοπόλει ἐπισκόπου, λείψανα ἀνορύξαντες τὰ μὲν ἄλλα διεσκόρπισαν, τὸ δὲ κρανίον ἐφυβρίστως κρεμάσαντες ἐνέπαιζον. ἐν δὲ Γάζῃ καὶ Ἀσκάλωνι πρεσβυτέρους καὶ ἀειπαρθένους ἀναιροῦντες ἀνέπτυσσον τὰ σπλάγχνα αὐτῶν, καὶ κριθῶν πληροῦντες τοῖς χοίροις παρέβαλον. ἐν δὲ Φοινίκῃ Κύριλλον διάκονον Ἡλιουπολίται 73 B ἀνελόντες τοῦ ἵππατος αὐτοῦ ἐπεγεύσαντο, ἐπειδὴ τὰ εἴδωλα αὐτῶν ἐπὶ τοῦ μακαρίου Κωνσταντίνου κατέστρεψεν. ὁ δὲ ἀνατεμὼν τὸν

---

1 τελευτῆς] τῆς g. — εἰς ἑλληνισμόν — πλεῖστα om. b. — 3 ἐπεί τε cy. — κενοτομίᾳ b. — ἀρνήσει bg. — 5 παντοδαπαί f. — 6 καὶ θέλων gx καὶ ἐλθών y. — 7 ἐξορίαις b. — 8 Εὐσ. δὲ τὸν πρῶτον εὐνοῦχον (om. τῶν βασιλ.) f. — 10 γαμετήν b Exc. Bar. γυναῖκα gxy. — 13 βόας τε καὶ x. — 14 μόνας dy. — 15 πολλὴν om. g. — πρὸς τῆς bem πρὸ τῆς dg πρώτης cf. — 18 εὐθέως b. — καὶ ante καμήλῳ add. ex bc om. dgy. — ἐπόμπευον b ἐνεπόμπευον gxy. — 20 διεσκόρπισαν bc Chron. ἐσκόρπισαν dgy. — 21 χρόνον πολύν] ἐπὶ ἓξ ἔτεσιν d. — 22 τῆς ἐκκλησίας g. — 23 προεχ. Λούκιον c. — 25 ἁγίου b Chron. om. gxy. — 28 καὶ ἐν Ἀσκ. c. — Ἀσκάλων b Ἀσκαλῶνι y. — 30 παρέβαλλον cfgm. — Κύριλλον ὀνόματι διάκ. c. — Ἡλιουπολῖται d Ἰουλιουπολῖται y οἱ Ἠλιουπολῖται g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διάκονον καὶ ἀπογευσάμενος τοῦ ἤπατος αὐτοῦ πέπονθε ταῦτα· τὴν μὲν γλῶσσαν σαπεῖσαν κατέρρευσε καὶ τοὺς ὀδόντας ἀπέβαλε καὶ τοὺς
Exc. Bar. ὀφθαλμοὺς ἐπηρώθη, καὶ οὕτω βασανιζόμενος ἀπέθανεν. ‖ τοῖς δὲ ἐν Καισαρείᾳ Καππαδοκίας Χριστιανοῖς πολλὰ κακὰ ἐνεδείξατο Ἰουλιανός, ἀφείλατο δὲ καὶ τὰ δίκαια τῆς πόλεως καὶ τὸ ὄνομα τοῦ καλεῖσθαι αὐτὴν Καισάρειαν, Μάζακα δὲ αὐτὴν ὡς τὸ πρὶν ἐκέλευσε λέγεσθαι, ὅτι οἱ αὐτόθι Χριστιανοὶ ἐπὶ Κωνσταντίου πολλὰ κακὰ τοῖς Ἕλλησιν ἐποίησαν καὶ τὸν ναὸν τῆς Τύχης κατέσπασαν. ‖ ἐν δὲ Ἀρεθούσῃ φοβερὰ κατὰ Χριστιανῶν διεπράξατο· ἐν οἷς καὶ Μάρκον τὸν ἁγιώτατον μοναχόν, τὸν καὶ σώσαντα καὶ κρύψαντα Ἰουλιανὸν ἐν τῷ ἀνελεῖν τὸν στρατὸν τὸ γένος Κωνσταντίου, τούτου τὰ σπλάγχνα
cf. Chron. Pasch. p. 547, 6 ξῶντος . . . . ‖ ἐν Ἐμέσῃ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τὸ τοῦ Διονύσου
74 B Exc. Bar. εἴδωλον ἵδρυσεν, τὴν δὲ παλαιὰν ἐκκλησίαν κατέστρεψεν. ‖ Μάρις δὲ ὁ Χαλκηδόνος πολλὰς ὕβρεις τῷ Ἰουλιανῷ κατὰ πρόσωπον εἰς τὸν οἶκον τῆς Τύχης θύσοντι ἐπήγαγεν, ὁ δὲ ὡς φιλόσοφος δῆθεν τὰς ὕβρεις ὑπήνεγκεν. ‖

363 A. M. 5854 β'. ξ'. ι'. γ'. η'. λξ'. δ'.

Exc. Bar. ‖ Τούτῳ τῷ ἔτει ὁ δυσσεβὴς Ἰουλιανὸς ἐνομοθέτησε μὴ μετέχειν Χριστιανοὺς Ἑλληνικῶν μαθημάτων. Ἀπολινάριος δὲ τῇ μὲν θείᾳ
41 P γραφῇ χρησάμενος ὕλῃ, τοὺς χαρακτῆρας δὲ τῶν ἀρχαίων μιμησάμενος καὶ κατὰ Ἰουλιανοῦ λόγον συγγράψας, ὃν "ὑπὲρ ἀληθείας" ἐπέγραψεν, πολλὰ τὴν ἐκκλησίαν ὠφέλησεν. Ἀθανάσιον δὲ τὸν μέγαν Ἀλεξανδρείας ἐξελαθῆναι, ἐκέλευσεν, τῶν Ἑλλήνων σφοδρῶς αὐτὸν παροξυνάντων κατ' αὐτοῦ. ὁ δὲ ἐξερχόμενος θαρρεῖν εἶπε Χριστιανοῖς τοῖς ὑπὲρ αὐτοῦ δακρύουσι φήσας· "θαρσεῖτε, νεφύδριόν ἐστι καὶ παρέρχεται". καὶ Τίτον, τὸν ἱερὸν ἐπίσκοπον Βόστρων, Ἰουλιανὸς
cf. p. 34, 21 ἔγραψε Βοστρηνοῖς ἐξελάσαι τοῦτον τῆς πόλεως. ‖ Δωρόθεον δέ, τὸν πολύαθλον ἐπίσκοπον Τύρου, τὸν πολλὰς ἱστορίας γράψαντα ἐκκλησιαστικὰς καὶ ἐν λόγοις διαπρέποντα, τὸν ἐπὶ Διοκλητιανοῦ ὁμολο-
75 B γητὴν γεγονότα καὶ αὖθις ἐπὶ Λικινίου, ἐν γήρᾳ βαθεῖ φθάσαντα ἐν τῷ δευτέρῳ χρόνῳ τοῦ παραβάτου οἱ τούτου ἄρχοντες ἐν Ὀδυσσο-

---

1 διάκονα b. — 4 ὁ Ἰουλ. g. — 5 ἀφείλετο c Exc. — 6 Μάζακα Polyd. p. 368, 11 Sozom. V, 7 Μαζάκα b Μάζακαν g Exc. Mazacan sine acc. c Μάζαν dy. — 8 κατέσκαψαν g. — 9 διεπράξαντο cf. — 12 Διός g. — 13 κατέστρεψαν f. — Μάρις b Μάρης gxy Exc. — 14 τῷ om. c. — 15 θύοντι d Exc. ἀπιόντι θύσοντι cg. — φιλοσόφου b. — 18 κατέχειν dem μετέχειν sed με in lit. m. 2 f. — 21 κατὰ τοῦ Ἰουλ. g. — ὑπέγραψε g. — 23 ἐξελασθῆναι dy. — πολλὰ τῶν Ἑλλήνων σφοδρῶς σφοδρῶς αὐτῷ παροξ. κατ' αὐτοῦ g πολλὰ τῶν Ἑλλ. παροξ. αὐτὸν κατ' αὐτοῦ c. — 24 εἶπε] ἔφη c. — 25 θαρσεῖται b θαρσεῖν τε y. — 26 Τίτον gx. — Βοστρῶν by Βόστρης d. — 27 Βοστρινοῖς bdem Βοστριανοῖς g. — τοῦτον ἐξελάσαι dy. — δέ] τε cgy. — 28 ἐκκλησιαστικάς om. c. — 30 Λικιννίου egm. — γήρει b. — φθάσαντα βαθύ g. — 31 Ὀδυσσοπόλει b.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόλει τοῦτον εὑρόντες ἰδίασαντα, πολλοὺς αἰκισμοὺς διὰ τὴν εἰς Χριστὸν πίστιν ἐπαγαγόντες ἐθανάτωσαν αὐτὸν ρξ' χρύνων ὑπάρχοντα. ‖ τὰς δὲ Χριστιανῶν εὐποιΐας μιμούμενος ξενῶσι καὶ πτωχοῖς Exc. Bar. τὰ πρὸς τὴν χρείαν χορηγεῖσθαι ἐκέλευσεν ἀπατῶν τοὺς ἁπλουστέρους. ταῖς εἰκόσιν αὐτοῦ Διὶ καὶ Ἄρει καὶ Ἑρμῆν συγγράφεσθαι προσέταξεν ὁ δυσσεβὴς καὶ τοὺς λοιποὺς δαίμονας, καὶ τοὺς ἀναβαλλομένους τὴν τούτων προσκύνησιν ὡς ἐχθροὺς τοῦ βασιλέως κολάζεσθαι. τῷ δὲ στρατῷ τὴν ῥόγαν διανέμων πῦρ προετίθει καὶ λίβανον καὶ θυμιᾶν τὸ στράτευμα ἠνάγκαζεν. ‖ ἐν Καισαρείᾳ τῇ Φιλίππου, τῇ νῦν Πανεάδι, Exc. Bar. Cram. Anecd. II 96 ὅθεν κατήγετο ἡ αἱμορροοῦσα, ἀνδριὰς ἵστατο πρὸ τοῦ οἴκου αὐτῆς τοῦ κυρίου, ὃν ἐθνικῷ ἔθει εὐχαριστήριον ἀνέστησεν. τοῦτον κατενεχθῆναι προσέταξεν ὁ δυσσεβὴς Ἰουλιανός· ὃ καὶ γέγονεν, κατ' ἐμπαιγμὸν δῆθεν συράντων Ἑλλήνων τὸν ἀνδριάντα καὶ ἀντ' αὐτοῦ ξόανον ὀνόματι Ἰουλιανοῦ στησάντων. τοῦτον δὲ Χριστιανοὶ λαβόντες τὸν ἀνδριάντα εἰς ἐκκλησίαν ἀπέθεντο. τὸ δὲ τοῦ παραβάτου ξόανον κατελθὸν πῦρ ἐκ τοῦ οὐρανοῦ κατέφλεξεν. βοτάνη δὲ ἐφύετο ὑπὸ 76 B τὴν βάσιν τοῦ ἀνδριάντος πάσης νόσου ἀλεξητήριος, ἥτις καὶ πρὸς φθόνον ἐκίνησε τὸν ἀποστάτην Ἰουλιανὸν καταστρέψαι τὸν τοῦ κυρίου ἀνδριάντα. ἐν Νικοπόλει τῆς Παλαιστίνης, τῇ λεγομένῃ τὸ πρὶν Ἐμμαούς, πηγή ἐστι παντοίων παθῶν ἀνθρώπων τε καὶ ἀλόγων ἰάσεις παρέχουσα· ἐν αὐτῇ γάρ φασι τὸν κύριον καὶ θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν τοὺς πόδας ἀπονίψασθαι ἐξ ὁδοιπορίας· καὶ ταύτην καταχωσθῆναι ἐπέτρεψεν. ἐν Ἑρμουπόλει τῆς Θηβαΐδος δένδρον ἵσταται περσέα. ταύτης φύλλον ἢ κάρφος εἰ λάβοι τις, πρὸς πᾶσαν ἀνθρώ- 42 P πων ἐστὶν ἴασιν. φασὶ δέ, ὅτι, ἡνίκα ὁ κύριος εἰς Αἴγυπτον ἔφυγε τὸν Ἡρῴδην σὺν τῇ θεοτόκῳ καὶ τῷ Ἰωσὴφ κατὰ τὸν τόπον ἐκεῖνον γενόμενος, κλιθὲν τὸ δένδρον ἐπὶ τὴν γῆν προσεκύνησεν αὐτῷ καὶ μέχρι τοῦ νῦν σώζει τὸ σχῆμα τῆς προσκυνήσεως. ‖ Ἰουλιανὸς δὲ διάγων ἐν Ἀντιοχείᾳ καὶ συνεχῶς ἐν Δάφνῃ ἀνιὼν καὶ τὸ τοῦ Ἀπόλλωνος θεραπεύων εἴδωλον οὐδεμιᾶς ἀποκρίσεως, ὡς ᾤετο, ἐτύγχανεν ὑπὸ τοῦ εἰδώλου. νοήσας δέ, ὅτι διὰ τὰ ἀποκείμενα ἐν τῇ Δάφνῃ λείψανα τοῦ ἁγίου μάρτυρος Βαβυλᾶ ἀπυσιωπᾷ τὸ εἴδωλον,

---

3 εὐποιΐας ὁ ἄχριστος καὶ παραβάτης μιμούμενος g. — ξένωσι καὶ b Exc. ξένοις καί c ξένοις τε καί dgy. — πτωχείοις *cum* Exc.? — 5 ταῖς δὲ εἰκόσι c ταῖς ἐν εἰκ. b. — αὐτοῦ bc Exc. ἑαυτοῦ dgy. — 6 δαιμ. τοὺς δὲ ἀναβ. dg. — 8 προετίθει b Exc. προσετίθει gxy. — 9 ἐν δὲ Καισ. d ἐν Καισ. δὲ cg. — τῇ Exc. τῆς *codd.* Cram. — 10 ἡ αἱμορροοῦσα bc Sozom. V, 21 ἡ αἱμόρρους g Exc. Cram. ἡ αἱμόρους df ἠγεμόρους em. — 11 τοῦ κυρίου ἡμῶν καὶ θεοῦ Ἰησοῦ Χριστοῦ g. — 13 τῶν Ἑλλήνων gxy. — 14 Ἰουλιανόν f. — λαβόντες Χριστιανοί g. — 19 τὸ] τῇ c. — 20 Ἐμμούς y. — 21 φησι y. — 22 ταύτην ὁ δυσσεβὴς καταχ. g. — 24 περσαία bc. — πρὸς πᾶσαν νόσον ἀνθρώπων ἐστὶν ἰάσιμον g. — 28 δὲ om. g. — 30 ὑποκρίσεως b. — 31 ὑποκείμενα b. — 32 Βαβύλα bfm. — ἀποσιωπῇ em ἀποσιωπᾷ *sed* ᾷ *in lit.* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δόγμα ἐξέπεμψε πάντα τὰ ἀποκείμενα ἐκεῖ τῶν νεκρῶν λείψανα μετατε-
77 B θῆναι σὺν τοῖς τοῦ μάρτυρος· καὶ τούτου γενομένου ἀθρόως τῇ
νυκτὶ κατεφλέχθη οὐρανόθεν ὁ ναός, τὸ δὲ εἴδωλον οὕτω κατεκάη,
ὥστε μηδὲ ἴχνος αὐτοῦ φανῆναι, (ἐλέγετο δὲ πρὸ ἐτῶν ἑστηκέναι), ὁ
δὲ ναὸς οὕτω κατεριπώθη, ὥστε τοὺς μετέπειτα ὁρᾶν τὴν τούτου τέ- 5
φρωσιν καὶ ἐπὶ τῷ παραδόξῳ ἐκθαμβεῖσθαι τῆς τοῦ θεοῦ παραδοξο-
ποιΐας. ἐπὶ τούτῳ ἔκθαμβος γενόμενος Ἰουλιανός, ὑπονοήσας κατ'
ἐπιβουλὴν τῶν Χριστιανῶν τοῦτο γενέσθαι, ἐπὶ ἐξέτασιν τῶν παρα-
μενόντων ἱερέων ἐχώρει, καὶ παντοίαις βασάνοις αὐτοὺς ὑποβαλών,
ὡς καὶ ἀποθανεῖν ἐξ αὐτῶν, τοῦτο μόνον ἤκουσε παρ' αὐτῶν, ὅτι 10
οὔτε ὑπὸ Χριστιανῶν, οὔτε ἀπὸ ἀνθρωπίνης ἐπιβουλῆς τοῦτο γέγονεν,
ἀλλ' ἐκ τοῦ οὐρανοῦ πῦρ κατελθὸν ἐνέπρησε τὸν ναὸν καὶ τὰ ἀγάλ-
ματα· ὡς καὶ ἐν τῇ νυκτὶ ἐκείνῃ τισὶ φανῆναι ἐν τῇ ἀγροικίᾳ τὸ
πῦρ καταφερόμενον. θυμωθεὶς οὖν ὁ βασιλεὺς καὶ ὥσπερ τῷ θεῷ
μαχόμενος τὴν μεγάλην ἐκκλησίαν ἀπέκλεισε καὶ πάντα τὰ ἱερὰ ἐδή- 15
μευσεν. τῶν δὲ ἀποσταλέντων ἐπὶ τούτῳ κομήτων δύο, Φίλικος καὶ
Ἰουλιανοῦ ἀποστατῶν, ἔλεγον ταῦτα· "ἐνομίζομεν ἐποπτικήν τινα εἶναι
δύναμιν τὴν ὀφείλουσαν ἡμᾶς κωλῦσαι"· ὁ δὲ Φίλιξ· "ἴδε εἰς ποταπὰ
78 B σκεύη ὑπηρετεῖτο ὁ υἱὸς Μαρίας". καὶ μετ' ὀλίγον ὁ μὲν Φίλιξ ἀθρόως
διὰ στόματος αἷμα ἀναγαγών, βασανιζόμενος κατέστρεψε τὸν βίον· 20
Ἰουλιανὸς δὲ ὁ κόμης κατ' αὐτὴν τὴν ἡμέραν νόσῳ χαλεπωτάτῃ περι-
πεσών, ὡς καὶ τὰ ἐντὸς αὐτοῦ διαφθαρῆναι καὶ κόπρον διὰ στόματος
ἀναγαγεῖν, βασανιζόμενος ἀπέθανεν.

364. A. M. 5855

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,εωνε'.	ἔτη τνε'.	Ἰουλιανὸς	Σαβώρης	Δάμασος
		ἔτη γ'.	ἔτη ο'.	ἔτη κη'.
		γ'.	ξα'.	ια'.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Εὐδόξιος	Ἰλάριος	Ἀθανάσιος	Λεόντιος
ἔτη ι'.	ἔτη ιβ'.	ἔτη μ,ξ'.	ἔτη η'.
δ'.	θ'.	λξ'.	ε'.

cf. Chron. Pasch. p. 548, 12

43 P ‖ Τούτῳ τῷ ἔτει τινὲς ἠπατήθησαν τῶν ἐν στρατείαις ἐξεταζομένων πρὸς ἀποστασίαν, οἱ μὲν ἐπαγγελίαις δόσεων καὶ ἀξιωμάτων, οἱ δὲ καὶ ἀνάγκαις ἐπιτιθεμέναις ὑπὸ τῶν ἰδίων ἀρχόντων. καὶ Θεότεκνος πρεσβύτερος ἐν προαστείῳ Ἀντιοχείας ἐκκλησίαν πεπιστευ-

4 μηδέ c μήτε bdy μή g. — 5 κατεριπώθη dg κατερυπώθη bcy. — τοὺς d τοῖς bcgy. — 7 ἐπὶ τοῦτο bm. — 11 ἀπὸ] ὑπό gx ἀπό f. — 14 οὖν] δέ c. — ὁ τύραννος βασιλεύς g. — 15 καὶ τὴν μεγ. dgy καὶ om. bc. — 16 ἐπὶ τούτῳ add. ex b om. rell. — 17 ἐνόμιζον μέν em. — 19 ὑπηρετεῖται f ὑπηρετεῖ g. — 21 κατὰ τὴν ἡμέραν g. — 23 ἀναγαγεῖν b ἀγαγεῖν gxy. — 31² Ἰλαρίων g. — 34 στρατείαις g Chron. στρατίαις b στρατείᾳ xy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένος ἐξ ὑποσχέσεως ἀπατηθεὶς αὐτομάτως ἐπὶ τὴν εἰδωλολατρείαν ἐχώρησεν· ὃν ὁ θεὸς ἐτιμωρήσατο παραχρῆμα. σκωληκόβρωτος γὰρ γενόμενος καὶ τὰς ὄψεις ἀποβαλών, τὴν γλῶσσαν ἐσθίων ἀπέθανεν. καὶ Ἥρων, ἐπίσκοπος τῆς Θηβαΐδος, αὐτομάτως ἀπεστάτησεν ἐν τῇ Ἀντιοχέων πόλει, ὃν ὁ θεὸς παρευθὺ εἰς παράδειγμα καὶ φόβον πολλῶν ἐτιμωρήσατο οὕτως· σηπεδόνος νοσήματι διαλυθέντων αὐτοῦ τῶν μελῶν ἐν τῇ πλατείᾳ ἐρριμμένος ἐν ὀφθαλμοῖς πάντων ἐξέψυξεν. ἀλλ' ἐν τούτοις διέπρεψαν ὁμολογίᾳ τῇ εἰς Χριστὸν Οὐαλεντινιανός, τριβοῦνος 79 B τότε ὢν τάγματος, Κορνούτων λεγομένων νουμέρου, οὐ μόνον τοῦ ἀξιώματος καταφρονήσας, ἀλλὰ καὶ ἐξορίᾳ ὑποβληθείς, ὅστις μετὰ ταῦτα ὑπὸ θεοῦ βασιλεὺς ἀνεδείχθη· ‖ ὁμοίως καὶ Ἰουβιανὸς τὴν ζώνην ἔλυσε κράζων· Χριστιανός εἰμι· ὃν ὁ λαὸς ἀγαπῶν στρατοπεδάρχην ὄντα ἐξῃτήσατο τὸν βασιλέα μὴ ἀδικῆσαι αὐτόν· ὅστις καὶ βασιλεὺς μετὰ Ἰουλιανὸν ἀνηγορεύθη. ‖ Ἀρτέμιός τε, ὁ δοὺξ τῆς κατ' Αἴγυπτον διοικήσεως, ἐπειδήπερ ἐπὶ Κωνσταντίου ξῆλον κατὰ τῶν εἰδώλων πολὺν ἐνεδείξατο ἐν Ἀλεξανδρείᾳ, ἐθημεύθη τὴν κεφαλὴν ἀποτμηθείς. ἐμαρτύρησε δὲ καὶ ἐν Δυροστόλῳ τῆς Θράκης Αἰμιλιανὸς ἀπὸ στρατιωτῶν, πυρὶ παραδοθεὶς ὑπὸ Καπετωλίνου· καὶ πολλοὶ ἄλλοι κατὰ διαφόρους τόπους καὶ τρόπους διέπρεψαν ἐν τῇ εἰς Χριστὸν ὁμολογίᾳ. Θαλάσσιος δέ τις ἐπ' ἀσελγείαις καὶ ἀσωτίαις ἐπίσημος, ὁ καὶ τῆς ἑαυτοῦ θυγατρὸς ἐπ' αἰσχρουργίᾳ προαγωγεύς, ἐτιμᾶτο ὑπὸ τοῦ βασιλέως ὡς σπλαγχνοσκόπος, οἰκῶν ἐν Ἀντιοχείᾳ πλησίον τοῦ παλατίου. συμπεσόντος οὖν αὐτῷ τοῦ οἴκου μύνος ἀπώλετο ‖ μετὰ ἑνὸς εὐνούχου, ᾧ καὶ συμπεπλεγμένος εὑρέθη. ἐσώθησαν δὲ πάντες οἱ σὺν αὐτῷ εὑρεθέντες, 80 B οἱ ἴδιοι αὐτοῦ Χριστιανοὶ ὄντες, ἥ τε τούτου γυνὴ καὶ οἱ σὺν αὐτῇ. παιδίον δὲ ὡς ἐτῶν ἑπτὰ ἐκεῖ εὑρεθὲν καὶ σωθέν, ἐρωτώμενον, πῶς ἐσώθη, εἴρηκεν, ὡς ὑπὸ ἀγγέλου βασταχθέν. ὁ δὲ δυσώνυμος Ἰουλιανὸς ἐπ' ἀνατροπῇ τῆς θείας ἀποφάσεως τὸν Ἰουδαίων ναὸν οἰκοδομηθῆναι προσέταξεν, Ἀλύπιον Ἕλληνά τινα σπουδαῖον κατὰ Χριστοῦ προστησάμενος τοῦ ἔργου. τοῦ δὲ καὶ τὰ ἀφανῆ τῶν θεμελίων κατορύ-

cf. Chron. Pasch. p. 549, 12

cf. Hier. Chron.

3 *γενάμενος* d *γεγονώς* f. — 4 *τῆς om.* cg. — *αὐτομάτως*] *αὐτός* f. — *ἐν* b Chron. *om. rell.* — 6 *ἐτιμωρήσατο. οὕτως σηπ.* cg *ἐτιμωρήσατο. οὕτος σηπ.* y. — *νοσήματος* y *εἱματί* b. — 7 *ἀλλ' ἐν* bc *ἄλλοι δὲ ἐν τούτοις* dgy. — 8 *διαπρέψαν* b. — 9 *κορνούτων* Chron. *κορνώτων* c *κορνωτῶν* bemf *m. 2 κορνοτῶν ut vid.* f *m. 1 κορωνάτων* g. — 11 *Ἰωβιανός* d. — 12 *ἐξετήσατο* b *ἐξῃτήσαντο* dg. — 13 *ἀδικεῖσθαι* g. — *ἥτις* bem *εἴτις* f. — 14 *ἀνεδείχθη* g. — 15 *ξῆλον πολὺν κατὰ τῶν εἰδώλων* g *κατὰ τῶν εἰδ. om.* dy. — 16 *ἀποτμηθῆναι* f. — 17 *Δοροστόλῳ* d *Δωροστόλῳ* bcg *Δορωστόλῳ* y. — 18 *Καπετωλίνου* d Chron. *Καπετουλιανοῦ rell.* — 19 *καὶ τρόπους om.* egm. — 21 *προαγωγεύς* cg Chron. *προσαγωγεύς* bdy. — 23 *αὐτῷ om.* b *habet etiam* Chron. Pasch. — *μετενός* bgy. — 24 *οἱ σὺν αὐτῷ εὑρεθέντες add. ex* bc *om.* gy. — *πάντες δὲ οἱ διαφέροντες αὐτῷ ἐσώθησαν, Χριστ. ὄντες* d. — 26 *ὡς* d *ἕως rell.* — *ἐτῶν ἑπτά* bx *τῶν ἑπτὰ χρόνων* gy. — *τῶν Ἰουδαίων* by *τὸν τῶν Ἰουδαίων* cg. — 29 *τινὰ Ἕλληνα* dem. — 30 *τοῦ ἔργου. τοῦδε καὶ* d *τοῦ ἔργου τοῦδε· καί* bg.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ξαντος, διὰ τὸν ἐκχοϊσμὸν ἄνεμος βιαιότατος ἐπιπνεύσας σὺν λαίλαπι
τὴν παρεσκευασμένην ἄσβεστον ἐξηφάνισε μοδίων μυριάδων κ'
οὖσαν· ἐπιμενόντων δὲ τῶν Ἰουδαίων τῇ ἐγχειρήσει τοῦ ἔργου, πῦρ
44 P ἐξελθὸν τούτους κατέφλεξεν, καὶ οὕτως ἐπαύσαντο τῆς τόλμης. ἀνα-
τροπὴν δὲ Ἰουλιανὸς ὁ δυσσεβὴς ἔγραψε τῶν θείων εὐαγγελίων, ἣν ὁ
μέγας Κύριλλος Ἀλεξανδρείας ἐν ἐξαιρέτῳ πραγματείᾳ λαμπρῶς ἐπαν-
Cram. Anecd. II, 96 έτρεψεν. ‖ Πορφύριος δέ, ὁ καθ' ἡμῶν λυττήσας, Τύριος μὲν ἦν τῷ
γένει, Χριστιανὸς δὲ τὸ πρὶν ὁ ἄθλιος· τυφθεὶς δὲ ὑπὸ Χριστιανῶν
ἐν Καισαρείᾳ τῆς Παλαιστίνης κατ' ὀργὴν μετῆλθεν εἰς τὸν ἑλληνισμόν,
καὶ τότε γράψαι κατὰ τῆς ἀληθείας ὁ κύων ἐτόλμησεν. ‖ ἐπὶ τούτοις
81 B ὤφθη ὁ θεῖος σταυρὸς ἐν τῷ οὐρανῷ φωτοειδὴς κυκλούμενος ὑπὸ
στεφάνου φωτὸς ἀπὸ τοῦ Γολγοθᾶ ἕως τοῦ ἁγίου ὄρους τῶν ἐλαιῶν,
λαμπρότερος μᾶλλον ἢ ἐπὶ Κωνσταντίου· αὐτομάτως τε τοῖς ἁπλώ-
μασι τῶν θυσιαστηρίων καὶ βίβλοις καὶ ἄλλοις ἐσθήμασι τῶν ἐκκλη-
σιῶν καὶ ἐν ἱματίοις οὐ μόνον Χριστιανῶν, ἀλλὰ καὶ Ἰουδαίων, ἐπε-
πόλαζε τὸ σημεῖον τοῦ σταυροῦ, οὐ μόνον ἐν Ἱεροσολύμοις, ἀλλὰ
καὶ ἐν Ἀντιοχείᾳ καὶ ἄλλαις πόλεσιν· καὶ ὧν ἀναισχύντως ἠπίστουν
Ἰουδαῖοι καὶ Ἕλληνες, εὑρίσκοντο τὰ ἱμάτια αὐτῶν πεπληρωμένα σταυ-
ρῶν· ἔν τισι δὲ καὶ ἐμελάνιζον. Ἰουλιανὸς πολλοὺς ἐν διαφόροις
τόποις ἀπέστειλεν εἴς τε μαντείας καὶ χρηστήρια, ὅπως ἂν δόξῃ μετ'
ἐπιτροπῆς τῶν δαιμόνων ἐπὶ Πέρσας πόλεμον ἐγχειρεῖν. καὶ πολλῶν
ἐκ διαφόρων κομισθέντων αὐτῷ χρησμῶν, ἑνὸς ἐπιμνησθήσομαι.
Exc. Bar. ἔχει δὲ οὕτως· νῦν πάντες ὡρμήθημεν θεοὶ νίκης τρόπαια κομίσασθαι
παρὰ θηρὶ ποταμῷ· τῶν δὲ ἐγὼ ἡγεμονεύω θοῦρος πολεμόκλονος
Ἄρης. τούτοις βεβαιωθεὶς πρὸς τὸν κατὰ Περσῶν ὁπλίζεται πόλεμον
πολλὰ χρήματα τοὺς Χριστιανοὺς ζημιώσας. ἐν Ἀντιοχείᾳ δὲ γενόμενος
προφάσει τῶν ὠνίων ὑβρίσθη σφοδρῶς παρὰ τῶν Ἀντιοχέων. ὅτε
82 B καὶ τὸν Μισοπώγωνα λόγον Ἀντιοχικὸν πρὸς ἄμυναν δῆθεν ἐπόνεσεν·
Θεόδωρον δέ τινα νεανίαν προκατάρξαντα τῶν κατ' αὐτοῦ ὕβρεων
πικρῶς ᾐκίσατο. πολλὰ δὲ καὶ μεγάλα κατὰ Χριστιανῶν ποιήσας καὶ
πλείονα ποιεῖν μετὰ τὸν Περσικὸν πόλεμον ἐπαγγειλάμενος κακῶς

---

2 παρασκευασμένην by. — οὖσαν μυριάδων κ' d μυρ. κ' οὐσῶν cy. — 3 ἐγχειρίσει cg. — 4 κατέκαυσεν f. — 5 ὁ δυσσεβὴς Ἰουλιανός c. — 6 πράγματι λαμπρός b. — 8 τυφλωθείς f. — ὁ ἄθλιος *post* Χριστιανῶν *repetit* c. — 14 βήλοις b *m. 2 corr. ex* βίβλοις *recte ut vid.* βίλοις d βίβλοις bcgy. — 15 μόνων cem. — 17 ὧν] ἂν *codd.* αἳ *sive* ὃ *sive* εἰ *coni. Classen.* — 18 ηὑρίσκοντο b εὕρισκον gxy. — ἑαυτῶν egm. — 19 Ἰουλιανὸς δὲ πολλ. gxy. — πολλοῖς y. — εἰς διαφόρους τόπους c. — 20 εἰς] οἷς b. — μετ' ἐπιτρόπων y. — 21 ἐπὶ Πέρσας] ἐπιπεράσας g. — 23 ὡρμήθημεν Exc. Bar. Theodoret Hist. eccl. III, 21 c *m. corr.* ὡρμήσθημεν c *m. 1* ὁρμήσθημεν m ὥρμίσθημεν g ὁρμίσθημεν *vell.* — 23 κομίσασθαι παρὰ τὸν Τίγριν λέγει ποταμόν. τῶν b. — 24 ἡγεμονεύσω Exc. Theodoret. — 25 ὁπλίζεται b ὡπλίζετο cgy ὡπλήσατο d. — 28 ἐπόνησε g. — 31 πλεῖον ἀπίειν b.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν παμμίαρον αὐτοῦ βίον ἐν αὐτῷ πεπλήρωκεν· ‖ ὑπερόριος γὰρ θείᾳ δίκῃ ἀνῃρέθη. τούτῳ τῷ ἔτει, βασιλεύσας ἔτη β' μῆνας θ', κατὰ τὴν Περσικὴν θεόκταντος γέγονε ‖ τῇ κς' τοῦ Ἰαννουαρίου μηνὸς Exc. Bar.
ἰνδικτιῶνος ἕκτης ἐτῶν ὑπάρχων λα'. ‖ ἐγένετο δὲ σημεῖον ὄντος αὐτοῦ ἐν τῇ Περσίδι μηνὶ Δαισίῳ. ὑδρία πεπληρωμένη ὕδατος ἐν οἰκίᾳ ἀγροικίδος τινὸς Χριστιανῆς μετεβλήθη εἰς οἶνον βράξοντα μοῦστον κατὰ τὴν δειλινὴν ὥραν. αὐτῇ δὲ τῇ ὥρᾳ τὸ ἀγγεῖον πεπληρωμένον προσήνεγκαν τῇ ἐκκλησίᾳ τοῦ χωρίου. ὁ δὲ κατὰ τὸν τόπον 45 P
πρεσβύτερος πληρώσας μικρὸν ἀγγεῖον ἐξ αὐτοῦ ἐκόμισε τῷ ἐπισκόπῳ Αὐγάρῳ. ‖ ἐν Κάρραις εὑρέθη γυνὴ ἐκ τῶν τριχῶν κρεμαμένη, καὶ cf. Polyd. p. 382, 19
ἐν Ἀντιοχείᾳ κρανία ἀνθρώπων πολλά, δι' ὧν ὁ παραβάτης τὰ μαντεῖα τοῦ κατὰ Περσῶν πολέμου ποιούμενος σφραγῖδας καὶ κλεῖθρα τοῖς τόποις ἐπέθηκεν. ‖

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 5856-365. 83 B
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,εωνς'.	ἔτη τνς'.	Ἰουβιανὸς	Σαβώρης	Δάμασος	
		ἔτος α'.	ἔτη ο'.	ἔτη κη'.	
		α'.	ξβ'.	ιβ'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Εὐδόξιος	Ἥλάριος	Ἀθανάσιος	Λεόντιος
ἔτη ι'.	ἔτη ιβ'.	ἔτη μς'.	ἔτη η'.
ε'.	ι'.	λη'.	ς'.

‖ Τούτῳ τῷ ἔτει Ἰουβιανὸς χιλίαρχος, ἀνὴρ πρᾶότατος καὶ ὀρθό- cf. Polyd. p. 384, 2
δοξος Χριστιανός, βασιλεὺς Ῥωμαίων ὑπὸ παντὸς τοῦ στρατοῦ καὶ τῶν στρατηγῶν καὶ τῶν ὑπάτων ἀνηγορεύθη ‖ ἐν τῷ αὐτῷ τόπῳ τῆς Περσῶν γῆς, ἐν ᾧ ὁ παραβάτης ἀνῃρέθη. καὶ μετὰ μίαν συμβολὴν πολέμου εἰρήνη ὡς ἀπὸ θεοῦ συμφώνως ἀνεβοήθη ὑπό τε Ῥωμαίων καὶ Περσῶν καὶ ὡρίσθη ἔτη λ'. ‖ ὁ δὲ παρητεῖτο τὴν βασιλείαν φάσκων cf. Polyd. p. 384, 4
μὴ δύνασθαι αὐτὸν ἄρχειν στρατοῦ ἑλληνίσαντος ἐπὶ Ἰουλιανοῦ, πρὸς ὃν πάντες ὁμοφώνως ἐβόησαν Χριστιανοὶ ὑπάρχειν. Ἰουβιανὸς πόλιν μεγάλην Νισίβιν Πέρσαις παρεχώρησε σωτήρια τοῦ περιλειφθέντος λαοῦ καὶ εἰρήνευσεν. ‖ νόμους δὲ γενικοὺς κατέπεμψεν ὑπὲρ τῶν ἐκκλησιῶν εἰς πᾶσαν γῆν Ῥωμαίων, τὴν ἐπὶ τοῦ μακαρίου Κων-

2 *θείᾳ δίκῃ* bd *δίκῃ θείᾳ* cgy. — *ἀνῃρέθη τούτῳ τῷ ἔτει* bd. — *καὶ ante μῆνας add.* dgy. — 3 *ἐν τῇ κς'* dgy *ἐν del. ex* bc. — *Ἰανουαρίου* g. "*Ἰουνίου* poscit temporum ratio" Classen. *Recte, sed Ἰαννουαρίου etiam* Exc. Bar. *exhibent.* — 4 *ἰνδικτιόνος* bc *ιν. rell.* — *δὲ τὸ σημεῖον* g. — 5 *τῇ om.* c. — *Δεσίῳ* bdy *Δίῳ* g *m. 2.* — 6 *ἀγροίκιδος* gxy. — 7 *δειλήν* c. — 8 *προσήνεγκεν* y. — 10 *Κάραις* b. — *ἐν Κ. δὲ εὑρ.* dgy *δὲ del. ex* bc. — 11 *πολλὰ ἀνθρώπων* g. — *A v.* 14 *usque ad* p. 56, 23 *uno folio interciso omnia interierunt in* c. — 21[2] *Ἱλαρίων* g. — 24 *Ἰωβιανός* d *ubique.* — 28 *εἰρήνη γέγονε καὶ ὡς* g. — *τε add. ex* bg *om.* dy. — 31 *Ἰουβ. δὲ πόλιν* g. — 32 *Νισίβην* bm *Νίσιβιν* g. — *σωτηρία* d *σωτηρίαν* b *σρια* gy. — *περιληφθέντος* dem.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σταντίνου τοῦ μεγάλου κατάστασιν καὶ τιμὴν τῇ καθολικῇ ἐκκλησίᾳ
cf. Polyd. p. 384, 14 ἀποδιδούς· ‖ τοὺς δὲ ἐν ἐξορίᾳ ἐπισκόπους ἀνεκαλέσατο καὶ τῷ ἱερῷ
Ἀθανασίῳ ἔγραψε τῆς ἀμωμήτου πίστεως ἐγγράφως σημᾶναι αὐτῷ
ἀκρίβειαν· ὅπερ καὶ πέπραχε πάσης ὀρθοδοξίας Ἰουβιανῷ ἐπιστολὴν
γράψας. ὅθεν Ἰουβιανὸς βεβαιότερος εἰς ὀρθοδοξίαν γενόμενος τοῖς
δοξάζουσι τὸ ὁμοούσιον ἐδωρήσατο πολλὰ καὶ ἀτελεῖς ἐποίησεν.
84 B Ἀκάκιος δέ, ὁ κάκιστος Καισαρείας Ἀρειανός, συνελθὼν μεθ' ἑτέρων
ἐπισκόπων εἰς Ἀντιόχειαν λίβελλον ὀρθοδοξίας δῆθεν συνέταξε τὸ
ὁμοούσιον καὶ τὴν ἐν Νικαίᾳ σύνοδον ὁμολογῶν ‖ φόβῳ τοῦ εὐσε-
βοῦς βασιλέως, καὶ οὐ κατὰ θεόν. ὁ δὲ αὐτοκράτωρ Ἰουβιανὸς ἐπέβη
τῇ Ἀντιοχέων μηνὶ Ὑπερβερεταίῳ. καὶ ἐγεννήθη παιδίον ἔξω τῆς
πύλης τῆς πόλεως ἐπὶ τὸ λεγόμενον Τρίπυλον ἀγροίκῳ κηπωρῷ θῆλυ
ἑπταμηναῖον ἔχον κεφαλὰς δύο διωρισμένας, ἑκάστη τὸ πλάσμα τετελειω-
μένον, ὡς ἀπὸ τοῦ τραχήλου ἑκάστης κεφαλῆς κεχωρισμένης. νεκρὸν
cf. Philost. Hist. eccl. 8, 8 δὲ τοῦτο ἐτέχθη μηνὶ Δίῳ, ὅ ἐστι Νοέμβριος. ἐξώρμησεν Ἰουβιανὸς
ἀπὸ τῆς Ἀντιοχέων ἐπὶ Κωνσταντινούπολιν καὶ ἐλθὼν ἐν Ἀγκύρᾳ
τῆς Γαλατίας ὕπατος προῆλθε σὺν τῷ αὐτοῦ υἱῷ Οὐαρωνιανῷ ἐπι-
φανέντα τὸν αὐτὸν ἀναγορεύσας ἄνευ τοῦ ἐνδῦσαι αὐτῷ πορφύραν.
Τῷ δ' αὐτῷ ἔτει βασιλεύσας μῆνας θ' ἡμέρας ιε' Ἰουβιανὸς ὁ
χριστιανικώτατος ἐν Δαδαστάνοις, χωρίῳ τῆς Βιθυνίας, γενόμενος
ἐτελεύτησεν· καὶ ἀνηγορεύθη βασιλεὺς Οὐαλεντινιανὸς Αὔγουστος
cf. Leo Gramm. p. 96, 2 ἔτη ια' ὑπὸ τοῦ στρατοπέδου ‖ διὰ τὸ εὐδοκιμῆσαι αὐτὸν ὡς Χριστιανὸν
85 B cf. Polyd. p. 386, 4 ἐν τῇ ὁμολογίᾳ ‖ καὶ εὐθέως ἐξώρμησεν ἐπὶ Κωνσταντινούπολιν καὶ
φθάσας τὴν βασιλεύουσαν Οὐάλεντα, τὸν ἴδιον ἀδελφόν, κοινωνὸν
τῆς αὐτοῦ βασιλείας ἀνηγόρευσεν, ἀπονείμας αὐτῷ τὰ ἀνατολικὰ μέρη,
αὐτὸς δὲ τὰ δυτικὰ κατέσχεν.

366. A. M. 5857

Κόσμου ἔτη ,ϛωνζ'.	Τῆς θείας σαρκώσεως ἔτη τνζ'.	Ῥωμαίων βασιλεὺς Οὐαλεντινιανὸς ἔτη ια'. α'.	Περσῶν βασιλεὺς Σαβώρης ἔτη ο'. ξγ'.	Ῥώμης ἐπίσκοπος Δάμασος ἔτη κη'. ιγ'.

Κωνσταντ. ἐπίσκοπος Εὐδόξιος ἔτη ι'. ϛ'.	Ἱεροσολύμων ἐπίσκοπος Ἱλάριος ἔτη ιβ'. ια'.	Ἀλεξανδρείας ἐπίσκοπος Ἀθανάσιος ἔτη μϛ'. λθ'.	Ἀντιοχείας ἐπίσκοπος Λεόντιος ἔτη η'. ζ'.

---

11 ὑπερβερετέῳ (-αιτέῳ d) bdg ὑπερβερέτῳ y. — 12 κηπουρῷ dy. — 13 ἑπταμηναῖον b ἑπταμηνιαῖον dgy. — 15 ὅς ἐστι g. — ἐξώρμ. δὲ Ἰουβ. dgy. — 17 ἑαυτοῦ dgy. — Οὐαρωνιανῷ b Philostorg. Οὐρωνιανῷ g Ἀρωνιανῷ dy. — ἐπιφανέστατον Philost. — 19 καὶ ἡμέρας gy. — ὁ χριστ. — χωρίῳ om. y. — 20 Δαδαστάνοις? cum Philostorg. Socr. Soz. Theodoret. Mal. Chron. Pasch. — 21 ὁ Αὔγουστος dy. — 23 ἐπὶ τὴν Κωνστ. f. — 30⁵ ἔτη ιε' y. — 31⁵ η' y. — 34² Ἰλαρίων g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς ὁ Αὔγουστος Γρατιανὸν τὸν ἑαυτοῦ υἱὸν Αὔγουστον ἀνηγόρευσεν, κοινωνὸν τῆς βασιλείας ὁμοῦ καὶ ὕπατον, ‖ προαναγορεύσας καὶ Οὐάλεντα τὸν ἀδελφὸν βασιλέα, cf. Polyd. p. 386, 13 *ὡς προλέλεκται, διάπυρον Ἀρειανὸν ὑπάρχοντα καὶ ὑπὸ Εὐδοξίου βαπτισθέντα. οἱ δὲ ὀρθόδοξοι προσῆλθον Οὐαλεντινιανῷ δι' Ὑπατίου, ἐπισκόπου Ἡρακλείας, δεόμενοι ἐπιτραπῆναι συνελθεῖν ἐπὶ διορθώσει τοῦ ὁμοουσίου δόγματος. πρὸς οὓς Οὐαλεντινιανὸς ἀπεκρίνατο. "ἐμοὶ μετὰ λαοῦ τεταγμένῳ περὶ τοιούτων πολυπραγμονεῖν οὐ θέμις. ὡς οὖν δοκεῖ ὑμῖν τοῖς ἱερεῦσι διαγίνεσθε." τότε συνελθόντες εἰς Λάμψακον καὶ δύο μῆνας ἐκεῖ διατρίψαντες τελευταῖον ἠκύρωσαν τὰ ὑπὸ Εὐδοξίου καὶ Ἀκακίου ἐν Κωνσταντινουπόλει πραχθέντα, κρατεῖν δὲ τὴν ἐν Σελευκείᾳ πίστιν. Οὐάλης δὲ ὁ δυσσεβὴς τὰ ἐν Λαμψάκῳ πραχθέντα ἀνέτρεψε καὶ τοὺς συνελθόντας ἐκεῖ ἐπισκόπους ἐξορίᾳ παρέπεμψεν, ‖ Εὐδοξίῳ δὲ τῷ ὁμόφρονι τὰς ἐκκλησίας παρέδωκε* cf. Polyd. p. 388, 18 *Κωνσταντινουπόλεως· καὶ οἱ ὀρθόδοξοι οὔτε ποιμένα οὔτε ἐκκλησίαν εἶχον.* 86 B ‖

β'. ξδ'. ιδ'. ζ'. ιβ'. μ'. η'. A. M. 5858–367.

‖ *Τούτῳ τῷ ἔτει Λιβέριος, ἐπίσκοπος Ῥώμης, καὶ Ἀθανάσιος* cf. Polyd. p. 388, 12 *Ἀλεξανδρείας καὶ Μελέτιος Ἀντιοχείας καὶ ὁ Σαμοσάτων Εὐσέβιος* 47 P *ἀνακληθέντες ἐκ τῆς ἐξορίας ὑπὸ Ἰουβιανοῦ ἐν τῷ ὀρθῷ λόγῳ διέπρεπον καὶ ὁ Ἱεροσολύμων Κύριλλος καὶ ἕτεροι ἐπίσκοποι τῆς ὀρθοδοξίας πρόμαχοι. Ἀρειανῶν δὲ προΐστατο ἐν Ἀλεξανδρείᾳ Λούκιος καὶ ἐν Ἀντιοχείᾳ Εὐζώϊος, Παυλῖνος δὲ τοῦ ἑνὸς μέρους τῶν ὀρθοδόξων εἰς δύο διῃρημένων, καὶ τοῦ ἄλλου Μελέτιος.* ‖

Ἱεροσολύμων ἐπίσκοπος Κύριλλος ἔτη λε'. A. M. 5859 368.
Ἀντιοχείας ἐπίσκοπος Εὐδόξιος ἔτη β'.

γ'. ξε'. ιε'. η'. α'. μα'. α'.

‖ *Τούτῳ τῷ ἔτει Προκόπιος ἀντῆρεν ἐν Κωνσταντινουπόλει μηνὶ* cf. Polyd. p. 390, 10 *Σεπτεμβρίῳ, καὶ ἐξελθὼν ἐπὶ Νακόλειαν καὶ πλείστῳ στρατῷ φραξάμενος φόβον ἐποίησε τῷ Οὐάλεντι· καὶ τὸν κατὰ τῶν ἐκκλησιῶν πόλεμον ἀνῆκε πρὸς βραχύ, ἕως Προκόπιον προέδωκαν οἱ ἴδιοι στρατηγοὶ Ἀγέλων καὶ Γομάρις. ὃν τινα Προκόπιον εἰς δύο δένδρα ἐγγίζοντα πρὸς ἄλληλα ἐξαρτήσας τῶν σκελῶν ἀφεθῆναι κλιθέντα ἐκέλευσεν, ἅ τινα βιαίως ὀρθωθέντα διέσπασαν τὸν τύραννον.* ‖ *τοὺς δὲ προδεδωκότας αὐτὸν στρατηγοὺς Ἀγέλωνα καὶ Γομάριν πρισθῆναι ἐκέλευσεν, ὃ καὶ* 87 B

---

3 προαγορεύσας dy. — 5 προῆλθον y. — Ὑπατιανοῦ Sozom. Polyd. — 9 διαγίνεσθαι by. — 12 Σελευκίᾳ bxy. — 15 καὶ οἱ] οἱ δέ g. — 18 Λαβέριος b. — 19 Μελιτιανός b. — Σαμωσάτων dg Σαμοσατῶν f Σαμωσατῶν em. — 22 Ἀρειανῶν—Λούκιος om. em. — 22 προίσταντο df. — 29 Νακόλιαν bem Νακολίαν f Νακώλειαν dg. — 31 ἔδωκαν f παρέδωκαν d. — 32 Ἀγέλων eg Ἀγελὼν b Ἀγγέλων f Ἄγγελων m. — Γομάρις b Γόμαρις f Γώμαρις em Γόβαρις ut vid. g item v. 35. — 33 ἀφαιρεθῆναι κλιθῆναι (κληθ. f) y. — 35 Ἀγέλωνα g Ἀγελῶνα b Ἀγελλωνᾶ e Ἀγέλλωνα m Ἀγγέλωνα f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πεπόνθασιν οἱ τάλανες ἀναξίῳ εὐνοήσαντες. τότε καὶ Χαλκηδόνος
cf. Polyd. p. 390, 19 τὰ τείχη καθεῖλε φόβῳ Προκοπίου. ‖ ἀνελὼν δὲ τὸν Προκόπιον κατὰ
τῆς ἀληθείας πάλιν κεκίνηται. τότε καὶ Ἐλεύσιον τὸν Κυζίκου ἠνάγ-
καζεν ὁμολογῆσαι τὸ ἑτερούσιον. οὗτος δὲ ὁ Ἐλεύσιος ἐλθὼν ἐν
Κυζίκῳ καὶ ἐξαγγείλας τὴν ἑαυτοῦ παρανομίαν ἀνάξιόν τε τοῦ ἱερα- 5
τεύειν εἰπὼν ἑαυτὸν ἕτερον προβληθῆναι ἐπίσκοπον τῇ Κυζίκῳ
προέτρεψεν. τοῦτο μαθὼν ὁ Εὐδόξιος ὁ κακόφρων Εὐνόμιον ἀντ'
αὐτοῦ κατέστησε τῆς Κυζίκου ἐπίσκοπον. ‖

Τῷ δ' αὐτῷ χρόνῳ διῆγεν Οὐάλης ὁ βασιλεὺς ἐν Μαρκιανουπόλει
τῆς Μυσίας. σεισμὸς δὲ μέγας γέγονε καθ' ὅλης τῆς γῆς ἐν τῇ ἡ' 10
cf. Hier. Chron. ἰνδικτιῶνι ἐν νυκτί, ὡς καὶ ἐν Ἀλεξανδρείᾳ πλοῖα προσωρμισμένα
τῷ αἰγιαλῷ ἐπαρθῆναι εἰς ὕψος καὶ ὑπερβῆναι τὰς ὑψηλὰς οἰκοδομὰς
καὶ τὰ τείχη καὶ μετατεθῆναι ἔνδον εἰς τὰς αὐλὰς καὶ τὰ δώματα
τὰ πλοῖα· ὑπαναχωρησάσης δὲ τῆς θαλάσσης, ἔμειναν ἐπὶ ξηρᾶς.
οἱ δὲ λαοὶ ἐκ τῆς πόλεως φυγόντες διὰ τὸν σεισμόν, θεωρήσαντες 15
τὰ πλοῖα ἐπὶ τῆς ξηρᾶς εἰς ἁρπαγὴν τῶν ἐν τοῖς πλοίοις φορτίων
88 B ἐπῆλθον· καὶ ἐπιστρέψαν τὸ ὕδωρ πάντας ἐκάλυψεν. ἄλλους δὲ
ναυτικοὺς διηγήσασθαι, ὡς κατ' ἐκείνην τὴν ὥραν ἐν μέσῳ τοῦ Ἀδρία
πλέοντες καταληφθῆναι, ἐξαίφνης δὲ ἐν τῷ πελάγει εἰς τὸ ἔδαφος
καθίσαι τὸ πλοῖον· καὶ μετὰ βραχὺ πάλιν ἐπανελθεῖν τὸ ὕδωρ, καὶ 20
48 P οὕτω πλεῦσαι.

δ'. ξς'. ις'. θ'. β'. μβ'. β'.

369. A. M. 5860 ‖ Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς ὁ μέγας ζώσης τῆς αὐτοῦ γαμετῆς
cf. Polyd. p. 394, 20 Σευήρας, τῆς μητρὸς Γρατιανοῦ, ἔγημε παρανόμως Ἰουστῖναν διὰ
κάλλος μαρτυρηθεῖσαν ὑπὸ Σευήρας, ἐξ ἧς ἔσχε τέκνα Οὐαλεντινιανὸν 25
νέον λεγόμενον, ὃν ὁ στρατὸς μετὰ θάνατον τοῦ πατρὸς βασιλέα
ἀνηγόρευσεν, καὶ θυγατέρας τρεῖς, Ἰοῦσταν, Γρᾶταν, Γάλλαν, ἣν καὶ ἔγη-
μεν ὁ μέγας Θεοδόσιος κατὰ δεύτερον γάμον, ἐξ ἧς ἐτέχθη αὐτῷ ἡ Πλα-
κιδία· Ἀρκάδιος γὰρ καὶ Ὀνώριος ἐκ Πλακίλλης ἦσαν Θεοδοσίῳ τῆς
πρώτης γαμετῆς. ἔγραψε δὲ καὶ νόμον παράνομον τῷ θέλοντι δύο 30
γυναῖκας ἔχειν κατ' αὐτὸν μὴ κωλύεσθαι. Οὐάλης δὲ ὁ δυσσεβὴς

---

1 τάλαινες g. — ἀναξίῳ b ἀναξίως gy. — Καλχηδόνος gy. — 3 ἠνάγκαζεν b ἠνάγκασεν dgy. — 4 ἕτεροούσιον f. — οὗτως b. — 7 προέτρεψεν b προέτρεπεν dgy. — ὁ ante Εὐδ. add. ex b om. dgy. — 8 ἔστησε f. — 10 μέγας γέγονε b γέγονε μέγας dgy. — ἡ scr. e coni. ι' bgy δεκάτῃ d. — 11 ἰνδικτιώνι d ἰῦ rell. — προσορμισμένα bdegm προσορμισάμενα f. — 12 οἰκοδομάς — αὐλάς om. f. — 13 τὰ ante δώμ. om. b. — δόματα dgy. — 14 ἔμειναν ef. — 15 φεύγοντες f. — 18 ἐξηγήσασθαι g. — τοῦ Ἀδρία πελάγους πλ. g. — 19 πλέοντας b. — 20 ἐπελθεῖν b. — 23 γαμετῆς] γυναικός x. — 24 Σευήρας b Pol. Socr. H. E. IV, 31 Σευήρης gxy. — Ἰουστίναν fg. — 25 Σευήρας Pol. Σευήρης bcg Σευήρου dy. — 27 ἀνηγόρευσαν cm. — Ἰούσταν df. — Γράταν by acc. om. c. — Γάλαν b. — 28 Πλακίδα b. — 29 γάρ bc Pol. δὲ defg. om. m. — Ὠνόριος c. — Πλακίλης b Πλακίδης c. — 30 γυναικός c. — 31 κατὰ ταὐτόν cg.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δύο θυγατέρας ἔσχεν, Ἀναστασίαν καὶ Καρῶσσαν, ὧν καὶ ἐπ' ὀνόμασι δύο λοετρὰ ἔκτισε καὶ τὸν ἀγωγόν, τὸν μέχρι νῦν Οὐαλεντινιακὸν λεγόμενον. ‖ τινὲς δέ φασιν, ὅτι Δομνίκα, ἡ γυνὴ Οὐάλεντος, ἔπεισεν Exc. Bar.
αὐτὸν ἀρειανίζειν οὕτω σφοδρῶς. ἄλλοι δὲ ἱστοροῦσιν, ὅτι μετὰ τὸ
βασιλεῦσαι βαπτισθεὶς ὑπὸ Εὐδοξίου ὅρκῳ διεβεβαιώσατο αὐτὸν ἐν 89 B
αὐτῷ τῷ βαπτίσματι τὰ Ἀρείου φρονεῖν καὶ μὴ δέχεσθαι τὸ ὁμοούσιον, ‖ καὶ οὕτως οἱ ἀμφότεροι μυρίους διωγμοὺς κατὰ τῶν ὀρθο- cf. Polyd. p. 396, 6.
δόξων ἐκίνησαν οἱ ἀνόσιοι. πέμπουσι δὲ καὶ πρὸς Λιβέριον τὸν Ῥώμης Εὐστάθιον τὸν Ἀρμένιον καὶ Σιλβανὸν τὸν Ταρσοῦ καὶ
Θεόφιλον Κασταβάλων ὑπισχνούμενοι δι' αὐτῶν δέχεσθαι τὸ ὁμοούσιον. οὗτοι Λιβερίῳ ἔγγραφον ὑπὲρ τοῦ ὁμοουσίου λίβελλον ἐπέδωκαν ὁμολογήσαντες πᾶσαν αἵρεσιν ἀποστρέφεσθαι ἐναντιουμένην τῇ ἐν Νικαίᾳ συνόδῳ· οὓς καὶ ἀποδεξάμενος Λιβέριος ἐκοινώνησε γράψας τοῖς τῆς ἀνατολῆς, μαρτυρῶν αὐτοῖς ὀρθοδοξίαν. ‖ ἐν Μαρκιανουπόλει δὲ Οὐάλης στρατεύων κατὰ Γότθων παρεχείμαζεν ἐκεῖ.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 5861-370.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,εωξά.	ἔτη τξά.	Οὐαλεντινιανὸς	Σαβώρης	Δάμασος	
		ἔτη ια'.	ἔτη ο'.	ἔτη κη'.	
		ε'.	ξξ'.	ιζ'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Εὐδόξιος	Κύριλλος	Ἀθανάσιος	Ἀνιανὸς
ἔτη ι'.	ἔτη λε'.	ἔτη μς'.	ἔτη ὅ'.
ι'.	γ'.	μγ'.	α'.

‖ Τούτῳ τῷ ἔτει σύνοδος ἐν Τυάνοις γέγονεν, ἐν ᾗ εὑρέθησαν cf. Polyd. p. 396, 17
Εὐσέβιος ὁ Καισαρείας Καππαδοκίας καὶ Γρηγόριος ὁ Ναζιανζοῦ, ὁ 49 P
πατὴρ τοῦ Θεολόγου καὶ ὁ Μελιτηνῆς Ὀτρήϊος καὶ ἕτεροι, οἵ τινες τοῖς Λιβερίου γράμμασιν ἀγαλλιασάμενοι πᾶσι τοῖς ὀρθοδόξοις ἐπισκόποις ἐσήμαναν παραγενέσθαι εἰς Ταρσὸν ἐπὶ βεβαιώσει τῆς ὀρθῆς πίστεως· ὅπερ ἀκούσας Οὐάλης ἐκώλυσε γενέσθαι. Εὐδόξιος δὲ πάλιν 90 B
Οὐάλεντα παρεσκεύασε κελεῦσαι τοῖς κατὰ τόπον ἄρχουσιν ἐξορισθῆναι πάντας τοὺς ὑπὸ Κωνσταντίου ἐξορισθέντας ἐπισκόπους καὶ ὑπὸ Ἰου-

---

1 *Καρώσσαν* c *Κάρωσσαν* dgy *Ῥῶσσαν* b *Καρῶσαν* Pol. Sozom. H. Eccl. VI, 10. — 2 *λοετρά* b *λουτρά* gxy. — *Οὐαλεντινιανικόν* g. — 3 *καλούμενον* c. — *Δομνίκα* ce *Δομνῆκα* bf. — 5 *αὐτῷ* b. — *αὐτὸν ἑαυτῷ τὸ βάπτισμα* g. — 7 *οἱ om.* c. — 10 *Κασταβάλων*] *καταβαλών* b. — 11 *ἔγραφον* gy. — *καὶ ὑπέρ* g. — 12 *ὁμολογοῦντες* cg. — 15 *παρεχείμασεν* f. — 18⁵ *Λιβέριος* c. — 19⁶ *ἔτη κζ'* gy. — 23⁴ *Ἄνανος* b. — 26 *ἐν τοῖς Τυάνοις* g. — 27 *καὶ om.* f. — *Ναζιαζοῦ* b *Ναυζιαζοῦ* em *Ναυζιανζοῦ* d. — 28 *τοῦ Θεολόγου Γρηγορίου* (*Γρηγόριος* d) gxyA *Γρηγορίου om.* b Polyd. — *Μελιτίνης* b *Μελιτινῆς rell.* — *Ὀτρήϊος* f *ὁ Τριήος* b *ὁ Τρίηνος* d Trienus A. — 31 *Οὐάλης*] *ὁ βασιλεύς* c. — 32 *τοῖς κατὰ — πάντας om.* em. — 33 *ἐπισκόπους — ἀνακληθέντας add. ex* b Polyd. (*cf.* Soz. VI, 12) *om. rell.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιανοῦ καὶ Ἰουβιανοῦ ἀνακληθέντας. τότε Ἀθανάσιος ἑκουσίως ἐξῆλθεν Ἀλεξανδρείας, μὴ συγχωροῦντος τοῦ δήμου τῷ ἄρχοντι ἐκβαλεῖν αὐτόν, ὃς καὶ πολὺν χρόνον ἐκρύπτετο ἐν πατρῴῳ μνήματι· ὕστερον δὲ Οὐάλης φόβῳ στάσεως τῶν Ἀλεξανδρέων ἔγραψεν ἐπανελθεῖν
cf. Polyd. p. 392, 4 τὸν Ἀθανάσιον. ‖ τῆς δὲ κοινωνίας Εὐδοξίου ἀπέσχισεν Εὐνόμιος διὰ τὸ μὴ κοινωνεῖν Εὐδόξιον Ἀετίῳ, τῷ διδασκάλῳ Εὐνομίου. εἰ γὰρ καὶ ἀμφότεροι ὁμόφρονες ἦσαν, ἀλλὰ διὰ τὸ παρὰ πάντων μισεῖσθαι Ἀέτιον Εὐδόξιος ἀπεστρέφετο αὐτόν, μὴ αἰσχυνόμενος προδήλως τοῖς οἰκείοις δόγμασιν ὡς ἀσεβέσιν ἀποστρέφεσθαι. Εὐνόμιος γὰρ ὑπογραφεὺς γέγονε τοῦ ἀθέου Ἀετίου σοφιστικοὺς λόγους μαθών, ἐξ ὧν δῆθεν ἐκόμπαζεν, τῶν θείων γραφῶν ἀμύητος ὢν
Exc. Bar. πάντη, ὡς δηλοῦσι μάλιστα οἱ ἑπτὰ αὐτοῦ τόμοι. ‖ οἱ δὲ Κυζικηνοὶ ἐδίωξαν Εὐνόμιον ὡς αἱρετικὸν καὶ βλάσφημον. οὗτος δὲ ἐλθὼν ἡνώθη Εὐδοξίῳ. δεινῶς δὲ ἦν βλάσφημος τολμῶν λέγειν, ὅτι ὁ θεὸς
91 B περὶ τῆς ἰδίας οὐσίας οὐδὲν οἶδε πλέον ἡμῶν. ἑλληνικοῦ δὲ διωγμοῦ πλείονα συνέβη τοῖς ὀρθοδόξοις ἐπὶ Οὐάλεντος καὶ Εὐδοξίου τῶν ἀσεβῶν. ‖

Exc. Bar. ‖ Τούτῳ δὲ τῷ χρόνῳ Εὐδοξίου τελευτήσαντος Δημόφιλον Ἀρειανοὶ προεβάλοντο ἐπίσκοπον, οἱ δὲ ὀρθόδοξοι Εὐάγριόν τινα, ὃν ἐχειροτόνησεν Εὐστάθιος ὁ ἱερὸς Ἀντιοχείας λαθραίως διάγων ἐν Κωνσταντινουπόλει, ἐπανελθὼν ἐκ τῆς ἐξορίας ἐπὶ Ἰουβιανοῦ· μὴ εὑρὼν δὲ αὐτὸν ζῶντα ἐν τῇ πόλει ἐκρύπτετο. τὴν δὲ Εὐαγρίου χειροτονίαν ἀκούσας Οὐάλης ἐν Μαρκιανουπόλει διάγων Εὐστάθιον μὲν τὸν ἱερὸν εἰς Βιζύην ἐξώρισεν, Εὐάγριον δὲ τῆς πόλεως ἐκβαλὼν Δημοφίλῳ τὰς ἐκκλησίας παρέδωκε τῷ Ἀρειανῷ. ‖

371. A. M. 5862 Κωνσταντινουπόλεως ἐπίσκοποι Δημόφιλος ἔτη ιβ'.

ς'. ξη'. ιή'. α'. δ'. μδ'. β'.

50 P
Exc. Bar. ‖ Τούτῳ τῷ ἔτει Οὐάλεντι τῷ δυσσεβεῖ πρεσβείαν ἀπέστειλαν οἱ ὀρθόδοξοι ἐν Νικομηδείᾳ ἐλθόντι ἄνδρας ἱερατικοὺς π' πέμψαντες, ὧν προηγοῦντο Θεόδωρος καὶ Οὐρβανὸς καὶ Μενέδημος, οὓς πάντας σὺν τῷ πλοίῳ ὑφαφθῆναι ὁ Οὐάλης ἐκέλευσεν· καὶ πάντες σὺν τῇ νηῒ κατεφλέχθησαν, μέχρι Δακιδίζων τοῦ πλοίου διαρκέσαντος. ‖

372. A. M. 5863 ,εωξγ'. τξγ'. ζ'. ξθ'. ιθ'. β'. ε'. με'. γ'.

92 B
Exc. Bar. ‖ Τούτῳ τῷ ἔτει Οὐάλης ὁ μιαρὸς τοῖς Ἕλλησιν ἄδειαν δέδωκε

1 καὶ Ἰουβιανοῦ om. Pol. Soz. *cf. p.* 54, 2. — 2 τῷ ἄρχοντι om. g. — 3 μνήματι b Pol. Soz. μνημείῳ *rell.* — 6 Εὐδόξιον] Εὐδοξίου b. — 9 ἀποστρέφεσθαι *e praeced.* ἀπεστρέφετο *natum esse vid. fort.* ἀντικεῖσθαι? — 12 Κυζικινοί bxy. — 14 δεινῶς fm Exc. δεινός *rell.* — 15 οἶδε om. y. — 16 τοῖς ὀρθοδόξοις om. x. — 19 προεβάλλοντο gm. — 21 Ἰωβιανοῦ d οὐβιανοῦ g. — 24 Βυζύην bdem Βυζίην f Κύζικον cg. — 28 ἀνεστείλαντο b. — 29 π'] πέντε f. — 30 Οὐρβανὸς *codd.* Polyd. *p.* 400 Socr. H. E. IV, 16 Οὐρβασὸς Exc. Bar. Soz. H. E. VI, 14. — Μέδημος d. — 31 ὁ om. cgy. — 32 Δακιδίζων b Exc. Bar. Δακίζων cg Δακίζου d Δακίζοντος y. — 34 δέδωκε bd Exc. ἔδωκε cgy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θυσίας καὶ πανηγύρεις ἐπιτελεῖν· ὡσαύτως δὲ καὶ Ἰουδαίους ἔθαλπε καὶ ἐτίμα, μόνους τοὺς ὀρθοδόξους καὶ τῆς ἀποστολικῆς ἐκκλησίας δεινῶς διώκων. ‖

ηʹ. οʹ. κʹ. γʹ. ϛʹ. μϛʹ. δʹ. A. M. 5864 - 373.

‖ Τούτῳ τῷ ἔτει Οὐάλης ἐν Ἀντιοχείᾳ τῆς Συρίας ἐλθὼν πάν- Exc. Bar.
δεινα τοῖς ὀρθοδόξοις ἐνεδείξατο πολλοὺς ἀνελὼν μαχαίρᾳ καὶ ἄλλους ἀποπνίξας εἰς τὸν παραρρέοντα Ὀρόντην ποταμόν. ὡσαύτως δὲ καὶ τὴν Ἔδεσαν καταλαβὼν χείρονα ἔπραξε κελεύσας Μοδέστῳ τῷ ἐπάρχῳ τὸ πλῆθος τῶν ὀρθοδόξων συλλαβεῖν εἰς τὸν ναὸν τοῦ ἁγίου Θωμᾶ συνερχόμενον καὶ φονεῦσαι. τὸ δὲ κατὰ τὴν γυναῖκα συμβάν, τὴν ἔλκουσαν τὸ τέκνον σπουδῇ ἐπὶ τὸν θάνατον, τόν τε Οὐάλεντα ᾔσχυνε καὶ τὸν ἔπαρχον κατέπληξε καὶ τὸ ἄγος ἐκώλυσεν, θεοῦ δηλονότι τοῦτο οἰκονομήσαντος. Εὐσέβιον δὲ τὸν Σαμοσάτων ἐξώρισεν εἰς τὴν Θρᾴκην, ὅτε καὶ πλέον ἐθαυμάσθη ὁ ἅγιος ἑκουσίως τῆς πόλεως ἐξελθὼν καὶ ἀκολουθήσας τοῖς ἐλαύνουσιν, μὴ συγχωροῦντος τοῦ λαοῦ· ἀντ' αὐτοῦ δὲ οἱ Ἀρειανοὶ Εὐνόμιόν τινα, Ἀρειανὸν διάπυρον, προεβάλοντο, ᾧ οὐδεὶς τῶν Σαμοσατέων ἐκοινώνησεν. τούτου λουο- 93 B
μένου καὶ τὸν λαὸν συλλούσασθαι προτρεπομένου, εἰ μὴ τὸ ὕδωρ τῆς ἐμβατῆς, ἐν ᾗ εἰσῆλθεν Εὐνόμιος, ἐκένωσαν καὶ ἄλλου ἐπλήρωσαν, οὐκ ἠνείχοντο λούσασθαι, μεμιάνθαι λέγοντες ὑπὸ Εὐνομίου τὸ πρότερον. ὅπερ μαθὼν ἔφυγε τῆς πόλεως ἀσπόνδως μισούμενος. τούτου δὲ ὑποχωρήσαντος, Λούκιόν τινα προφανῆ λύκον Ἀρειανοὶ προεβάλοντο. ‖ ὁμοίως καὶ ἐν Καππαδοκίᾳ τὰς ἐκκλησίας Ἀρειανοῖς παραδοῦναι ἐσπούδαζε τῆς ἐναντιώσεως δραξάμενος, ἧς ἔσχε παρὰ τοῦ μεγάλου Βασιλείου, πρεσβυτέρου τότε τῆς ἐκκλησίας Καισαρείας ὑπάρχοντος καὶ Εὐσέβιον τὸν ἐπίσκοπον διεγείροντος εἰς ζῆλον ὀρθοδοξίας, μὴ ὑπείκειν τῇ δυσσεβείᾳ Οὐάλεντος.

Περσῶν βασιλεὺς Ἀρταξὴρ ἔτη δʹ. A. M. 5865 - 374.
Ἀλεξανδρείας ἐπίσκοπος Πέτρος ἔτος αʹ. 51 P
Ἀντιοχείας ἐπίσκοπος λαʹ πάλιν Μελέτιος ἔτη κεʹ.
θʹ. αʹ. καʹ. δʹ. ζʹ. αʹ. αʹ.

Τούτῳ τῷ ἔτει Οὐάλεντος ἐν Ἀντιοχείᾳ διάγοντος εὑρέθησάν τινες ἐπιβουλὴν κατ' αὐτοῦ μελετῶντες, καὶ ἀνηρέθησαν στῖφος ἀσεβῶν·

---

1 δὲ om. cg. — 1 Ἰουδαίους — 7 ὡσαύτως δὲ καὶ om. dy. — ἔθαλπε καὶ bA Exc. om. etiam cg. — 2 μόνους δὲ τοὺς ὀρθοδόξους καὶ τὰ τῆς ἀποστολικῆς ἐκκλ. ἦν δεινῶς διώκων cg ut in textu bA. — 5 εἰσελθών g. — 7 Ὀρόντην g om. vulg. — 8 Ἔδεσσαν y. — Μωδέστῳ dgm. — ὑπάρχῳ c. — 12 ἔπαρχον b ὕπαρχον gxy. — δῆλον (om. οτι) y. — 13 Σαμοσατῶν d Σαμωσάτων rell. — 14 ὅτι b. — ἐθαυμαστώθη dg. — 15 μὴ συγχ. δὲ τοῦ λ. y. — 17 Σαμοσατέων c Σαμωσατέων rell. — 19 ἐμβάτης f sine acc. c. — ἐκαίνωσαν df. — ἄλλους b. — 23 Ἀρειανοῖς om. g. — 25 τῆς μεγάλης ἐκκλησίας vulg. — 29 ἔτος αʹ] ἔτη ϛʹ codd. cf. dissert. de codd. Theophanis. — 30 Ἀντιοχείας ἐπίσκοπος om. y. — λαʹ om. cgy. — ἔτη ιεʹ gy. — v. 31 om. y. — 33 τινες om. b.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

cf. Polyd. p. 406, 2 διὰ γὰρ μαντειῶν καὶ θυσιῶν τὴν συσκευὴν κατειργάζοντο. ‖ τοῦ δὲ πολυάθλου καὶ πολλὰ καμόντος Ἀθανασίου μεταστάντος πρὸς κύριον, ἐπισκοπήσαντος ἔτη μξ΄, ἐν διωγμοῖς δὲ καὶ τοῖς ὑπὲρ εὐσεβείας
94 B κινδύνοις τὰ μ΄, Πέτρος τὴν ἐπισκοπὴν διεδέξατο, ὃν οἱ Ἀρειανοὶ διά τινος Μάγνου, τῶν βασιλικῶν θησαυρῶν ταμία, ἀπήλασαν· Λούκιον δὲ ἀντεκατέστησαν. τότε πολλοὶ τῶν ὀρθοδόξων ἀνδρῶν καὶ γυναικῶν παρθένων ἀθέως ᾐκίσθησαν, πολλοὶ δὲ καὶ ἐν βασάνοις ἐτελειώθησαν. ὁ δὲ Πέτρος φυγὰς εἰς Ῥώμην ᾤχετο πρὸς Δάμασον
Exc. Bar. ὡς ὁμόδοξον· ‖ ὅτε καὶ τὰ γενόμενα ἐν Ἀλεξανδρείᾳ δι' ἐπιστολῆς ἔγραψε φρικώδη ὑπὸ Ἀρειανῶν. ‖

cf. Hier. Chron. Τῷ δ' αὐτῷ ἔτει καὶ Βασίλειος [ὁ] τῆς Καισαρέων ἐπισκόπησεν, Εὐσεβίου εὐσεβῶς κοιμηθέντος.

375. A. M. 5866

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,εωξς΄.	ἔτη τξς΄.	Οὐαλεντινιανὸς	Ἀρταξὴρ	Δάμασος
		ἔτη ια΄.	ἔτη δ΄.	ἔτη κη΄.
		ι΄.	α΄.	κβ΄.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Δημόφιλος	Κύριλλος	Λούκιος	Μελέτιος
ἔτη ιβ΄.	ἔτη λε΄.	ἔτη ς΄.	ἔτη κε΄.
δ΄.	η΄.	α΄.	β΄.

Exc. Bar. ‖ Τούτῳ τῷ ἔτει Ἀμβρόσιος μετὰ Αὐξέντιον τῆς ἐκκλησίας Μεδιολάνων ἠγήσατο οὕτως· τοῦ δήμου στασιάζοντος περὶ προβολῆς ἐπισκόπου, Ἀμβρόσιος ἡγεμὼν τῆς χώρας τελῶν ἐπέμφθη ὑπὸ Οὐαλεντινιανοῦ τοῦ βασιλέως ἐκεῖσε διάγοντος κωλῦσαι τὴν στάσιν, ἀβάπτιστος μὲν ἔτι ὤν, πάνυ δὲ τοῦ δικαίου φροντίζων καὶ τοὺς μείζονας ἄρχοντας γενναίως διελέγχων ἀδικοῦντας. ὁ οὖν δῆμος παυσάμενος τῆς ἔριδος, ὁμοφώνως τὸν Ἀμβρόσιον ἐπίσκοπον ἐψηφίσαντο· ὅπερ ἀκούσας Οὐαλεντινιανὸς ἐκέλευσε μυηθέντα χειροτονηθῆναι τὸν Ἀμβρόσιον ἐπίσκοπον, εὐχαριστῶν ἐπ' ὄψεσι πάντων
95 B τῷ θεῷ καὶ λέγων· "χάρις σοι, δέσποτα παντοκράτορ, σῶτερ ἡμέ-
52 P τερε, ὅτι ψυχὰς ἐνεχείρισας τῷδε τῷ ἀνδρὶ σωμάτων ἄρχοντι παρ'
Exc. Bar. ἐμοῦ γενομένῳ, καὶ τὰς ἐμὰς ψήφους δικαίας ἀπέφηνας." ‖ Λούκιος δὲ ἐν Ἀλεξανδρείᾳ πολλὰ κακὰ σὺν τοῖς Ἀρειανοῖς διεπράξατο. ᾠδὰς γὰρ δαιμόνων εἰς τὴν Θεωνᾶ ἐκκλησίαν ᾖδον καὶ ὀρχησταὶ

---

1 θυσιῶν καὶ μαντειῶν c. — 5 ταμία f *sed ια in lit.* τὰ μία c ταμεῖα gm τὰ μεῖα e ταμιεῖα b. — 7 πολλοί—ἐτελειώθησαν om. g. — 10 ἔγραψεν b Exc. ἔγραψαν cgy. — 11 ὁ *codd. sed delendum videtur.* — ἐπίσκοπος bf ἐπεσκόπησεν x ἐπισκόπησεν ἐκκλησίας g. — 12 ἐκοιμήθη b. — 15[1] ,εωξζ΄ *et* 15[2] τξζ΄ y. — 20[3] Λούκιος] Πέτρος *codd.* — 20[4] ὁ ἱερομάρτυς Μελέτιος g. — 21[4] ἔτη με΄ cg. — 23 μετὰ Αὐξεντίου c. — 29 ὁμοφρόνως g. — 32 παντοκράτωρ bdy. — 34 ἀποφήνας g. — 36 δαιμόνων b Exc. δαιμονίων gxy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰσῆγον, τῶν παρθένων τε τὰς ἐσθῆτας ἀποσκεπάζοντες, σὺν θυμῷ ῥινοκτυποῦντες γυμνὰς διὰ τῆς πόλεως περιῆγον, ἀσελγῶς αὐταῖς χρώμενοι· τὰς δὲ καὶ ἀνεῖλον μηδὲ πρὸς ταφὴν δόντες τοῖς γονεῦσι τὰ σώματα αὐτῶν λίαν ὀδυρομένοις. εἰς δὲ τὸ θυσιαστήριον ἔνδον μειράκιον ἀσελγὲς αἰσχρουργῆσαι ἀνήγαγον. ‖ τῆς δὲ δύσεως πάσης τριάδα ὁμοούσιον πρεσβευούσης, ‖ ᾐτήσαντο Οὐαλεντινιανὸν καὶ ἐποίησαν σύνοδον ἐν τῷ Ἰλλυρικῷ καὶ τὴν ἐν Νικαίᾳ πίστιν ἐκύρωσαν. ἴδικτον δὲ Οὐαλεντινιανὸς ἔγραψε τοῖς ἐν Ἀσίᾳ καὶ Φρυγίᾳ καὶ πάσῃ τῇ ἀνατολῇ ἐπισκόποις ἐμμένειν τοῖς ὡρισμένοις παρὰ τῆς συνόδου παρεγγυώμενος, κοινωνὸν καὶ Οὐάλεντα τὸν ἀδελφὸν καὶ Γρατιανὸν τὸν υἱὸν ἐν τῷ ἰδίκτῳ προσλαβόμενος. ‖ τότε καὶ Γρηγόριος ὁ Θεολόγος τῆς κατὰ Κωνσταντινούπολιν ἐκκλησίας προέστη ταῖς Βασιλείου καὶ Μελετίου καὶ τῶν λοιπῶν τῆς εὐσεβείας ὑπερμάχων εἰσηγήσεσιν. καὶ εἰ μὴ φθάσας τὴν πόλιν ἀνεκαλέσατο, πᾶσα ἂν τῆς Ἀρείου καὶ Εὐνομίου λώβης ἐπεπλήρωτο· πάσας γὰρ τὰς ἐκκλησίας αὐτοὶ κατεῖχον πλὴν τοῦ εὐκτηρίου Ἀναστασίας τῆς μάρτυρος· ἐπισκόπει δὲ τῶν Ἀρειανῶν Δημόφιλος. ‖ Γρηγόριος τότε ὁ Νύσης καὶ Πέτρος, ἀδελφοὶ Βασιλείου, διέλαμπον Ὄπτιμός τε ἐν Πισιδίᾳ καὶ Ἀμφιλόχιος ἐν Ἰκονίῳ. ‖ Βάρσην δέ, τὸν ἐπίσκοπον Ἐδέσης, καὶ Πελάγιον Λαοδικείας ὡς προμάχους τῆς ὀρθοδοξίας ὁ Οὐάλης ἐξώρισεν. ‖ Οὐαλεντινιανὸς ὠνείδισεν Οὐάλεντα τὸν ἀδελφὸν ὡς κακόδοξον, μὴ πέμψας αὐτῷ βοήθειαν κατὰ τῶν Γότθων αἰτοῦντι, ἀλλ' εἰπών· "οὐ θέμις ἐπαμύνειν ἀνδρὶ θεομάχῳ." ‖

Exc. Bar. cf. Polyd. p. 410, 12 cf. Polyd. p. 412, 7 96 B Exc. Bar. Schol. ad Exc. Bar. Exc. Bar.

ια'. β'. κγ'. ε'. θ'. β'. γ'. A. M. 5867-376.

Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς ὁ μέγας ἐτελεύτησεν ἐτῶν πδ', βασιλεύσας ἔτη ια', τρόπῳ τοιῷδε· Σαυρομάται, ἔθνος [μικρόν τε καὶ] οἰκτρόν, ‖ ἐπαναστάντες αὐτῷ καὶ ἡττηθέντες πρέσβεις ἔπεμψαν αἰτοῦντες τὴν εἰρήνην. Οὐαλεντινιανοῦ δὲ τοὺς πρέσβεις ἐρωτῶντος, εἰ πάντες οἱ Σαυρομάται τοιοῦτοί εἰσι τοῖς σώμασιν οἰκτροί, καὶ αὐτῶν εἰπόντων, ὅτι "τοὺς κρείττονας πάντων ὧδε ἔχεις καὶ ὁρᾷς", ἀνακράξας βιαίως ἔφη· "δεινὰ Ῥωμαίων ἡ βασιλεία ὑπομένει εἰς Οὐαλεντινιανὸν λήξασα, εἰ Σαυρομάται τοιοῦτοι ὄντες Ῥωμαίων κατεξανίστανται." ἐκ δὲ τῆς διατάσεως καὶ τοῦ κρότου

Exc. Bar. 97 B 53 P

1 εἰσήγαγον g. — τε *om.* gy. — σὺν θύμῳ Combefis. *at cf.* Theodoret IV, 22. — 2 ῥινοκοποῦντες Exc. — 8 ἴνδικτον f ἰῦ b *item v.* 11 ἤδικτον *scr. iubet* Classen. — 9 πᾶσι (πάσῃ c) τοὶς ἐν τῇ ἀνατ. ἐπισκόποις x. — 12 τῆς Κωνσταντινουπόλεως ἐκκλ. b. — 14 εἰσίγησιν b. — 15 ἂν *om.* by Exc. — 17 ἐπίσκοποι b ἐπεσκόπει xy ἐπεσκόπησεν g. — Γρηγ. δὲ τότε gx. — 18 ἐν *om.* g. — 20 Λαοδικίας bf. — ὁ *om.* gxy. — 21 Οὐαλεντ. δὲ ὠνείδ. xy. — 25 πδ'] νδ'? *coll.* Socr. IV, 31 Soz. VI, 36. — 26 μικρόν τε καὶ *om.* b *habent vell. et* A. — 27 πρεσβείαν b. — 28 τὴν *om.* dm. — δέ *om.* bm. — 30 ἔχεις οὕς καὶ g. — 31 ὑπομείνει f. — 32 εἰ] οἱ y. — 33 ἐξανίστανται b. — δὲ *om.* b. — διατάσεως b Georg. Mon. p. 461 Sozom. VI, 36 διασπάσεως d διαστάσεως *vell.* Exc. (*in* cm σ *erasum*).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν χειρῶν φλεβὸς ῥαγείσης καὶ πλείστου ἀναδοθέντος αἵματος, ἔν τινι φρουρίῳ Γαλλίας θνήσκει ‖ μηνὶ Δίῳ ιζ' ἰνδικτιῶνος γ'. Γρατιανοῦ δέ, τοῦ υἱοῦ αὐτοῦ, μὴ εὑρεθέντος ἐκεῖσε, καὶ Οὐάλεντος ἐν Ἀντιοχείᾳ διάγοντος, τὸ εὑρεθὲν στρατόπεδον ἐν τῷ τόπῳ, ἐν ᾧ ἐτελεύτησεν Οὐαλεντινιανὸς ὁ μέγας, Οὐαλεντινιανόν, τὸν υἱὸν αὐτοῦ, ὡς ἐτῶν δ' ἀνηγόρευσαν Αὔγουστον, συμπαρούσης καὶ Ἰουστίνης, τῆς μητρὸς αὐτοῦ, ἐν τῇ Πανονίᾳ. τοῦτο μαθὼν Γρατιανὸς τὸν μὲν ἀδελφὸν αὐτοῦ εἶχε συμβασιλεύοντα μεθ' ἑαυτοῦ, τοὺς δὲ ἀναγορεύσαντας διαφόροις τρόποις ἐτιμωρήσατο διὰ τὸ παρὰ
Exc. Bar. γνώμην αὐτοῦ τοῦτο γενέσθαι. ‖ Οὐάλης δὲ κατὰ Γότθων Τραϊανὸν στρατηγὸν πέμπει, ὃς ἡττηθεὶς ἀτίμως ἀνέκαμψεν. ὀνειδιζόμενος δὲ μαλακίαν ὑπὸ Οὐάλεντος ἀπεκρίνατο· "οὐκ ἐγὼ ἥττημαι, βασιλεῦ, ἀλλὰ σύ, ὁ κατὰ θεοῦ στρατευόμενος καὶ τὴν αὐτοῦ ῥοπὴν προξενῶν
98 B τοῖς βαρβάροις." πολλοὺς δὲ ἀνεῖλεν Οὐάλης διὰ τοὺς ἐκ τῶν μαντειῶν ὑπονοηθέντας βασιλεύειν ἀπὸ τοῦ Θ στοιχείου, ἐν οἷς καὶ Θεόδωρόν τινα, πρῶτον ἐν πατρικίοις. ‖

cf. Soer. IV, 28 Sozom. VI, 24 Ἐν τῷ αὐτῷ δὲ χρόνῳ τινὲς τῶν Ναυατιανῶν ἐν Φρυγίᾳ τὸ πάσχα ἤρξαντο ποιεῖν μετὰ Ἰουδαίων συνελθόντες ἐν Παζῷ τῇ κώμῃ, καὶ νόμον ἐξέθεντο μετὰ Ἰουδαίων πασχάζειν. ἐκ τούτων οἱ λεγόμενοι Σαββατιανοὶ ἀπὸ Σαββατίου τινὸς ἀνεφύησαν ὕστερον. ‖
Exc. Bar. καὶ Ἀπολινάριος ὁ Σύρος τότε φανερῶς ἀπέστη τῆς ἐκκλησίας, Δάμασός τε ὁ Ῥώμης καὶ Πέτρος Ἀλεξανδρείας πρῶτοι τούτους ἀπεκήρυξαν. καὶ Εὐνόμιος ὁ δυσσεβὴς ἐτόλμησε τὸ βάπτισμα ἐν μιᾷ καταδύσει τελεῖν, "οὐκ εἰς τριάδα, ἀλλ' εἰς τὸν θάνατον τοῦ Χριστοῦ δεῖ βαπτίζεσθαι", λέγων· καὶ τοὺς ἐν τριάδι βαπτιζομένους ἀν-
Exc. Bar. εβάπτιζεν. ‖ Ἰουλιανός, ὁ καὶ Σάβας, ἱερὺς ἀσκητὴς εἰς Ἀντιόχειαν ἐλθὼν ἀπὸ Ἐδέσσης τοὺς τὸ ὁμοούσιον δοξάζοντας ὀρθοδόξους ὑπεστήριζε προφανῶς ἀναθεματίζων τοὺς Ἀρειανούς. Ἀφραάτης ὁ θεῖος μετὰ πολλῆς παρρησίας κατὰ πρόσωπον ἐν Ἀντιοχείᾳ διήλεγξε τὴν τοῦ Οὐάλεντος ἀσέβειαν. εἷς δέ τῶν εὐνούχων θρασέως τῷ Ἀφραάτῃ λοιδορήσας καὶ ἀπειλήσας, κατελθὼν ἑτοιμάσαι βαλανεῖον τῷ βασιλεῖ,
99 B πληγεὶς τὴν διάνοιαν ἑαυτὸν εἰς τὸ θερμὸν ὕδωρ βαλὼν ἀπώλετο. ‖
Cram. II, 95 cf. Polyd. 352, 16 Georg. Mon. p. 439, 1 καὶ Ἐφραὶμ ὁ μέγας ἐν ἀσκήσει καὶ θείᾳ διδασκαλίᾳ διέλαμπεν, πολλοὺς μὲν λόγους ἀσκητικούς, πλείστους δὲ καὶ δογματικοὺς ἐκ θείου
54 P

---

2 τῆς Γαλλίας x. — ιζ'] ζ' bf. — ἰνδ codd. — ἰνδ. δ'? — 6 ἀνηγόρευσεν gy. — 7 Πανονίῳ y Πανονίᾳ χώρᾳ g. — 8 μετ' αὐτοῦ g. — 10 Οὐάλης—πέμπει om. f. — Τραγιανόν cem. — 14 μαντίων b μαντείων em. — 17 Ναυτιανῶν fg Αὐτιανῶν b. — 18 Πάζῳ y. — 20 τινὸς] μηνὸς f. — ἀνεφύησαν. ὕστερον καὶ Ἀπ. cgy. — 22 τε] δέ gxy. — 26 Ἰουλιανὸς δέ ὁ gxy. — 27 Ἐδέσσης em. — 28 καὶ Ἀφραάτης gxy. — Ἀφράτης b. — 29 παρρησίας] incipit cod. h. — 30 θαρσαλέως f. — Ἀφράτῃ bf.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πνεύματος ἀναβλύσας· τινὰ δὲ τῶν πονημάτων καὶ ᾄδεσθαι Σύροις παρέδωκε διὰ τοῦ μέλους τοὺς ἀργοτέρους ἐφελκόμενος· φασὶ γοῦν τριακοσίας μυριάδας στίχων αὐτὸν ἐκδεδωκέναι τὸν ὄντως θεόσοφον. ‖

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 5868 - 377.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,εωξή΄.	ἔτη τξη΄.	Οὐάλης	Ἀρταξὴρ	Δάμασος	
		ἔτη γ΄.	ἔτη δ΄.	ἔτη κη΄.	
		α΄.	γ΄.	κδ΄.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Δημόφιλος	Κύριλλος	Λούκιος	Μελέτιος
ἔτη ιβ΄.	ἔτη λε΄.	ἔτη ς΄.	ἔτη κε΄.
ς΄.	ι΄.	γ΄.	δ΄.

‖ Τούτῳ τῷ ἔτει ἡ τῶν Μεσαλιανῶν αἵρεσις ἤγουν Εὐχητῶν καὶ Ἐνθουσιαστῶν ἀνεφύη. ‖ οὗτοι ψάλλοντες βαλλίζουσι καὶ κροταλίζουσι τὰ παρὰ τῷ Δαβὶδ παχέως ἐκλαμβάνοντες καὶ ἀνοήτως. ταύτης αἱρεσιάρχαι Δαδώης καὶ Σάβας καὶ Ἀδέλφιος, φασὶ δέ τινες, ὅτι καὶ ὁ Σεβαστείας Εὐστάθιος· οἷς ἀντέστησαν γενναίως Ἀμφιλόχιος Ἰκονίου, Λητῴου Μελιτηνῆς, ὕστερον δὲ καὶ Φλαβιανὸς Ἀντιοχείας. ‖ Οὐάλης δὲ πᾶσαν ἐκκλησίαν πορθήσας ἦκεν εἰς Καισάρειαν ἐξ ἀνατολῆς κατὰ τοῦ Θείου Βασιλείου μαινόμενος· ἔπραξε δὲ ἃ καὶ ὁ μέγας Γρηγόριος εἰς τὸν Βασιλείου ἐπιτάφιον ἔλεξεν· ἡνίκα καὶ Γαλάτης, ὁ Οὐάλεντος υἱός, χαλεπῶς χειμασθεὶς ἀπέθανεν, καὶ ἡ σύμβιος Δομνίκα δεινῶς ἐνόσησεν. ‖ Δημοσθένους δέ, ἑνὸς τῶν ὀψοποιῶν Οὐάλεντος, ἐν τῇ πρὸς τὸν βασιλέα συντυχίᾳ τοῦ Θείου Βασιλείου καταδραμόντος καὶ βαρβαρίσαντος, μικρὸν μειδιάσας ἔφη πρὸς αὐτὸν ὁ διδάσκαλος· "ἰδού· ἐθεασάμεθα καὶ Δημοσθένην ἀγράμματον." Οὐάλης αἰδεσθεὶς Βασίλειον πολλὰ χωρία καὶ κάλλιστα τοῖς ὑπ' αὐτοῦ φροντιζομένοις λελωβημένοις ἐδωρήσατο· ‖ καὶ τὸ στερρὸν καὶ ἀκλινὲς Βασιλείου ὁρῶν ἐξορίαν κατ' αὐτοῦ

Exc. Bar. cf. Theodoret. Hist. eccl. IV, 11

Exc. Bar.

100 B

Exc. Bar. Cram. II p. 97

Exc. Bar.

---

1 *πονημάτων αὐτοῦ* z. — 2 *παραδέδωκε* h. — 3 *αὐτῶν* by. — 6⁴ *Ἀρτάξης* b. — 12² *ἔτη λς΄* cemz. — 12⁴ *ἔτη ιε΄* y *ἔτη λε΄* c. *κε΄ om.* b. — 13² *ι΄ om.* ef. — 13⁴ *δ΄ om.* c. — 14 *Μεσσαλιανῶν* g *Μεσαλινῶν* ef. — 15 *ἐφύη* xz. — *βαλλίζουσι*] incedunt (*βαδίζουσι*) A *βαδίζουσι etiam* m *manu corr.* — *καὶ κροταλίζουσι om.* h. — *κροταλλίζουσι* g *κορταλίζουσι rell.* — 16 *καὶ om.* h. — 17 *αἱρεσιάρχης* g. — *Δαδόης* xyz. — *Σάββας* z. — *Ἀδέλφειος* d *Ἀδελφειός* em *Ἀδελφειος sine acc.* c. — 18 *Σεβαστιανός* y *Σεβάστιος* g. — 19 *καὶ Λητ.* xz. — *Λιτῴως* fh *Λήτονος* b *Λιτόσικος* g. — *Μελιτίνης* b *Μελιτινῆς* hxy. — *Post Μελιτηνῆς* dh *add. πρὸς ὃν ὁ μέγας Βασίλειος* (*βασιλεὺς* h) *ἐπιστολὴν πάνυ θαυμασίαν περὶ τῆς ἐν παρθενίᾳ ἀφθορίας γεγράφηκεν.* — 22 *ἔλεγξεν* m arguit A. — 23 *ὁ om.* c. — 24 *Δομνῖκα* c *Δομνήκα* by *Δομνῆκα* h *Δομμίκα* g. — *ἐνόησεν* b. — 26 *βαρβαρίσαντα* y — *μειδιάσας* Exc. Cram. *μειδιάσαντος* b *om. rell.* — 27 *Δημοσθένη* c. — 28 *Οὐάλης δὲ αἰδ.* xz. — 29 *λελωβημένοις om.* f. — *ἐχαρίσατο* h. — 30 *καὶ prius om.* b. — *τοῦ Βασ.* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐψηφίσατο. τὸ δὲ γράμμα τῆς ἐξορίας ὑπογράψαι θελήσας οὐκ ἴσχυσεν, τριῶν μὲν καλάμων συντριβέντων, ἔσχατον δὲ καὶ τῆς χειρὸς αὐτοῦ παρεθείσης. ‖

378. A. M. 5869 β΄. δ΄. κέ΄. ζ΄. ιά΄. δ΄. ε΄.

Exc. Bar. ‖ Τούτῳ τῷ ἔτει Μαυΐα, Σαρακηνῶν βασίλισσα, πολλὰ κακὰ 5
Ῥωμαίοις ποιήσασα εἰρήνην ᾐτήσατο καὶ Μωσῆν τινα τῶν ἀσκούν-
55 P τῶν κατὰ τὴν ἔρημον ἐπίσκοπον δοθῆναι τοῖς χριστιανίζουσι παρ'
αὐτῇ Σαρακηνοῖς ᾔτησεν. τοῦ δὲ βασιλέως σπουδαίως τοῦτο ποιή-
σαντος, Μωσῆς οὐ κατεδέξατο ὑπὸ Λουκίου τοῦ Ἀρειανοῦ χειρο-
τονηθῆναι, ἀλλ' ὑπό τινος τῶν ἐν ἐξορίᾳ ὀρθοδόξων· ὅπερ καὶ 10
γέγονεν. τοῦτον λαβοῦσα Μαυΐα πολλοὺς Χριστιανοὺς ἀπὸ Σαρα-
101 B κηνῶν ἐποίησεν. φασὶ δέ, ὅτι καὶ αὐτὴ Χριστιανὴ ἦν, Ῥωμαία τῷ
γένει, καὶ ληφθεῖσα αἰχμάλωτος ἥρεσε διὰ κάλλος τῷ βασιλεῖ τῶν
Σαρακηνῶν· καὶ οὕτω τῆς βασιλείας ἐκράτησεν. ἱστορεῖ δὲ πολλὰ
περὶ τοῦ ἔθνους ὁ Σωζομενός, ὅθεν τε ἤρξατο, καὶ ὀνομάζεται, καὶ 15
Exc. Bar. ὅτι ιγ΄ ἐτῶν περιτέμνεται. ‖ οἱ δὲ Γότθοι ὑπὸ Οὔννων πολεμηθέντες
βοήθειαν αἰτοῦνται παρὰ Οὐάλεντος δι' Εὐφίλα, ἐπισκόπου αὐτῶν
Ἀρειανόφρονος, προσυνδιατρίψαντος ἐπὶ Κωνσταντίου Εὐδοξίῳ καὶ
Ἀκακίῳ τοῖς Ἀρειανοῖς. οὗτος ἀρειανίζειν τοὺς Γότθους ἐδίδαξεν.
οἱ δὲ Γότθοι διηρέθησαν εἰς δύο· καὶ τῶν μὲν ἐστρατήγει Ἀθα- 20
νάριχος, τῶν δὲ Φριτιγέρνης· οὗτος ἡττηθεὶς καὶ βοήθειαν λαβὼν
παρὰ Οὐάλεντος νικᾷ τοὺς περὶ Ἀθανάριχον· Οὐάλεντι δὲ χαριζό-
μενος ἀρειανίζειν ἐπὶ πλεῖον τοὺς Γότθους ἐδίδαξεν. ‖

379. A. M. 5870

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	25
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,εωό΄.	ἔτη τό΄.	Οὐάλης	Σαβώρης	Δάμασος	
		ἔτη γ΄.	ἔτη ε΄.	ἔτη κη΄.	
		γ΄.	α΄.	κς΄.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας	30
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	
Δημόφιλος	Κύριλλος	Λούκιος	Μελέτιος	
ἔτη ιβ΄.	ἔτη λε΄.	ἔτη ς΄.	ἔτη κε΄.	
η΄.	ιβ΄.	ε΄.	ς΄.	

Exc. Bar. Cram. II p. 97 ‖ Τούτῳ τῷ ἔτει οἱ Γότθοι πάλιν ἑνωθέντες ‖ ἐξῆλθον εἰς τὴν

---

1 τῷ δὲ γράμματι b τὰ δὲ γράμματα d. — ἐπιγράψαι xz. — 6 Ῥωμαίους d Ῥωμαίων c. — Μωϋσῆν xz. — 7 παρ' αὐτῇ xA Exc., παρ' αὐτῆς h παρ' αὐτοῖς bgy. — 9 Μωϋσῆς h. — 10 ἐξορίᾳ] ὀρθοδοξίᾳ b. — 11 πολλοὺς Σαρακηνοὺς Χριστιανοὺς ἐπ. x. — 12 ἐποίησεν b Exc. ἐποιήσατο xyz. — 13 διὰ κάλλους by. — 14 πολλὰ om. gy. — 17 ἠτοῦντο b. — παρὰ τοῦ βασιλέως Οὐάλεντος cyz ab imperatore A. — Εὐφίλα codd. Hulphiam A Οὐφίλα Exc. Οὐλφίλα Soer. Soz. Theodoret. — ἐπισκόπῳ y ἐπίσκοπον h. — 18 προσυνδιατρίψαντος gm προσσυνδιατρίψαντος (πρὸς συν. bce) bcefh. — καὶ om. g. — 19 οὕτως bfz. — Φριτηγέρνης emz Φριττηθέννης f. — 21 οὕτως z. — 23 πλέον cz. — 26[4] Σαβώρης Ἀρσάβιλος b Ἀρσαβίλος z Ἀρσαβίων cy. — 28[3] β΄ efz δ΄ c. — 29[3] Πέτρος sprscr. spr. Ἀλεξανδρείας b. — 32[3] ἔτη ιβ΄ z. — 33[3] ς΄ y. — 33[4] ς΄ c δ΄ z ιβ΄ ef.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γῆν τῶν Ῥωμαίων καὶ ἠρήμωσαν πολλὰς ἐπαρχίας, Σκυθίαν, Μυσίαν, Θρᾴκην, Μακεδονίαν, καὶ Ἀχαΐαν, καὶ πᾶσαν τὴν Ἑλλάδα, περὶ τὰς εἴκοσιν ἐπαρχίας. ἐθεάθησαν δὲ ἐν τούτῳ τῷ χρόνῳ ἐν τῷ ἀέρι [ἐν] ταῖς νεφέλαις ἐσχηματισμένοι ἄνδρες ἔνοπλοι. ἐγεννήθη 102 B
δὲ καὶ ἐν Ἀντιοχείᾳ παιδίον ἐντελῆ μὲν τὰ ἄλλα μέρη, ὀφθαλμὸν δὲ ἕνα ἔχον ἐν μέσῳ τῷ μετώπῳ, χεῖρας δὲ τέσσαρας καὶ πόδας τέσσαρας καὶ πώγωνα. Οὐάλης δὲ διάγων ἐν τῇ Ἀντιοχέων καὶ μαθὼν περὶ τῶν Γότθων ἦλθεν ἐπὶ Κωνσταντινούπολιν, ‖ οἱ δὲ Exc. Bar. Cram. II p. 97
Βυζάντιοι ὕβριζον αὐτὸν ὡς ἄνανδρον καὶ φυγοπόλεμον. Ἰσαάκιος δέ, ὁ ἱερὸς μοναχός, κρατήσας τοῦ χαλινοῦ τοῦ ἵππου Οὐάλεντος ἐξερχομένου κατὰ Γότθων τὸ ἔσχατον εἰς πόλεμον ἔφη πρὸς αὐτόν· "ποῦ βαδίζεις, βασιλεῦ, κατὰ θεοῦ στρατευόμενος καὶ θεὸν ἔχων ἀντίπαλον"; ᾧ τινι ὀργισθεὶς φρουρᾷ παρέδωκεν ἀπειλήσας αὐτῷ θάνατον, εἰ ἐπανέλθοι, ὡς τῷ Μιχαίᾳ ποτὲ Ἀχαάβ. ‖ μετὰ δὲ τὴν 56 P
ἔξοδον αὐτοῦ ἐξωμολογήσαντό τινες τῶν περὶ αὐτόν, ὡς κατ' ἐπιτροπὴν αὐτοῦ γενέσθαι μαντείας περὶ τῆς προκειμένης αὐτῷ ὁρμῆς ἐν τῷ πολέμῳ. ἐν ᾧ ‖ συμβαλὼν τοῖς Γότθοις Οὐάλης καὶ ἡττη- Exc. Bar. Cram. II, 97
θεὶς φεύγει σὺν ὀλίγοις ἐν οἰκίσκῳ. τοῦτον δὲ καταλαβόντες οἱ βάρβαροι καὶ τὴν οἰκίαν ἀνάψαντες, ἀγνοοῦντες τοὺς ἐν αὐτῇ πάντας κατέκαυσαν. ‖ φασὶ δὲ ὅτι ὁ θεῖος Ἰσαάκιος ἐν τῇ φρουρᾷ τῆς δυσωδίας Οὐάλεντος ἐμπριζομένου ἀντελάβετο θείῳ χαρίσματι καὶ 103 B
ψυχῆς καθαρότητι προεῖπέ τε τὴν ἀναίρεσιν αὐτοῦ τοῖς συνοῦσιν, πρὶν ἢ παραγενέσθαι τοὺς ἀπαγγέλλοντας ἐκ τοῦ πολέμου τὰ πεπραγμένα. ‖ μετὰ δὲ τὴν ἧτταν καὶ τὸν διὰ πυρὸς θάνατον Οὐάλεν- Exc. Bar.
τος ἐπαρθέντες οἱ Γότθοι τῇ νίκῃ δεινῶς τὰ προάστεια Κωνσταντινουπόλεως ἐδῄουν. Μαυΐα δέ, ἡ τῶν Σαρακηνῶν βασίλισσα, πέμψασα Σαρακηνῶν στρατόν, καὶ Δομνίκα, ἡ γαμετὴ Οὐάλεντος, ἐξαγαγοῦσα τὸν δῆμον τῆς πόλεως τοὺς βαρβάρους ἐδίωξεν. ‖ τούτων δὲ οὕτω διατεθέντων, γνοὺς Γρατιανὸς ὁ Αὔγουστος, ἐν τῇ Πανονίᾳ κατερχόμενος ὡς πρὸς βοήθειαν ἀντὶ Οὐάλεντος ἐνέδυσε

---

1 τῶν om. xyz. — ἠρήμωσαν h. — Κυθίαν b Σκιθίαν em. — 3 περὶ τῆς κ' ἐπαρχ. b. — 4 ἐν om. b. — 5 καὶ om. g. — ἐν τέλει bcy ἐντελεῖ z. — 6 δὲ post χεῖρας om. c. — τέσσαρας om. y. — 7 ἐν τῇ Ἀντιοχέων πόλει z ἐν Ἀντιοχείᾳ fx. — 8 ἐπί] εἰς xz. — 9 Ἰσαάκιος bd Exc. Cram. Ἰσάκιος cyz. item v. 20. — 10 ὁ ἱερομόναχος b. — τὸν χαλινόν b. — τοῦ Οὐάλεντος xyz. — 11 ἐξερχομένου κατὰ Γότθων τὸ ἔσχ. εἰς πόλεμον b ἐξερχ. κατὰ τὸ ἔσχ. εἰς πόλ. y ἐξερχ. αὐτοῦ τὸ ἔσχ. εἰς πόλ. (εἰς π. τὸ ἔσχ. g) z ἐξερχ. τὸ ἔσχ. εἰς πόλεμον x. cum novissime egrederetur in proelium A. — 12 ποῖ Exc. Cram. — 15 ἐξομολογήσαντο codd. — 16 περί om. f. — 19 ἅψαντες ch. — 21 ἐμπρηζομένου bcem ἐμπυριζομένου vel ἐμπρηθομένου Classen. — 22 προεῖπέ τε b προειπών τε cyz προειπών d. — 23 ἐπαγγέλλοντας b ὑπαγγέλλοντας c. — 26 ἐδῄουν b Exc. ἐλήιουν g ἐλείουν c ἐλίουν y ἐληΐζετο h ἐλεΐζοντο d. — 27 Δομνήκα bhy. — 28 ἐδίωξαν b. — 30 Πανωνίᾳ f Πανομηνίᾳ g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεοδόσιον Αὔγουστον καὶ ἀνηγόρευσε βασιλέα καὶ ἀπέστειλεν εἰς τὸν κατὰ τῶν Γότθων πόλεμον. Γότθους δὲ ἐπιχωρίως τοὺς Σκύθας λέγεσθαι Τραϊανὸς ὁ πατρίκιος ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ φησίν. ‖
cf. Exc. Barbari p. 238 Sch. et Niceph. br. Chron. p. 97 Δωρόθεος ὁ ἐν ἁγίοις ἐπὶ τοῦ δυσσεβοῦς Οὐάλεντος ἐμαρτύρησεν ἐν Ἀλεξανδρείᾳ θηρίοις παραδοθεὶς ἐν τῷ Κυνηγίῳ ὑπὸ Ἀρειανῶν. ‖

380 - A. M. 5871

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,εωοα'.	ἔτη τοα'.	Θεοδόσιος	Σαβώρης	Δάμασος
		ἔτη ις'.	ἔτη ε'.	ἔτη κη'.
		α'.	β'.	κζ'.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Δημόφιλος	Κύριλλος	Λούκιος	Μελέτιος
ἔτη ιβ'.	ἔτη λε'.	ἔτη ς'.	ἔτη κε'.
θ'.	ιγ'.	ς'.	ξ'.

Exc. Bar. ‖ Τούτῳ τῷ ἔτει Γρατιανὸς ὁ βασιλεὺς κοινωνὸν τῆς βασιλείας
104 B Θεοδόσιον προσελάβετο, τῷ γένει μὲν Ἴβηρα Ἑσπέριον, εὐγενῆ δέ τινα καὶ θαυμάσιον περὶ τοὺς πολέμους γενόμενον. οὗτος εὐθὺς τοὺς ἐν Θράκῃ βαρβάρους κατὰ κράτος ἐνίκησεν, εὐσεβὴς ὢν καὶ
cf. Theodoret H. E. V, 2 ὀρθόδοξος. ‖ Γρατιανὸς δὲ καὶ Οὐαλεντινιανὸς νόμῳ τοὺς ἐν ἐξορίᾳ ἐπισκόπους ἀνεκαλέσαντο, τοὺς δὲ ἀρειανίζοντας ἐδίωξαν, Δαμάσου,
cf. Polyd. p. 422, 12 τοῦ πάπα Ῥώμης, συμπράττοντος. ‖ τότε καὶ Πέτρος, Ἀλεξανδρείας ἐπίσκοπος, ὑποστρέψας καὶ Λούκιον ἀπελάσας τὸν ἴδιον θρόνον
Cram. Anec. II, 97 ἀπέλαβεν, ‖ ὀλίγον δὲ χρόνον ἐπιβιοὺς ἐτελεύτησεν. Τιμόθεος δέ, ὁ ἀδελφὸς αὐτοῦ, ἀντ' αὐτοῦ χειροτονεῖται τῆς ἐν Ἀλεξανδρείᾳ ἐκ-
cf. Theodoret V, 2. 3 κλησίας τῶν ὀρθοδόξων ἐπίσκοπος. ‖ ἐν δὲ Ἀντιοχείᾳ τῆς Συρίας διχῇ διῃρημένων τῶν ὀρθοδόξων μετὰ τὰ κατὰ τὸν θεῖον Εὐστάθιον,
57 P οἱ μὲν Παυλῖνον εἶχον ἐπίσκοπον, οἱ δὲ Μελέτιον τὸν ἱερὸν μετὰ τὴν προαγωγὴν Εὐζωΐου, τοῦ Ἀρειανῶν ἐπισκόπου ἐν Ἀντιοχείᾳ ἐξ αὐτῶν ἀποσχίσαντος. οἱ δὲ βασιλεῖς νόμον ἔγραψαν ὑπὲρ τῶν ὀρθοδόξων καὶ ἐξέπεμψαν διὰ Σάπωρός τινος στρατηγοῦ κατὰ τὴν ἑῴαν, ὃς καταλαβὼν Ἀντιόχειαν εὗρεν ἔριδα Παυλίνου, τῆς ἐπισκοπῆς ἀντιποιουμένου, καὶ Ἀπολιναρίου ἐπιτρέχοντος τῷ θρόνῳ, Με-

---

2 τῶν *om.* f. — ἐπιχώριος y. — 3 Τραγιανός bcem. — κατ' αὐτῶν bhy. — 4 Δωρ. δὲ ὁ x. — 8[4] Σαβώρης ἔτη ε'. β'. *om.* ef. — Σαβώρης] Ἀρσάβιλος bhm Ἄρσαβίλος g Ἀρσαβίων c. — 11[3] Πέτρος *spr.* Ἀλεξανδρείας *sprscr. in* bef. — 13[2] Πέτρος h. — 15[3] β' b ε' z. — 17 προσελάβετο bx Exc. προεβάλετο y προεβάλλετο z. — 22 πάππα g. — ὅτε καὶ Π. c καὶ Π. δὲ ὁ Ἀλ. d. — 23 ἐπιστρέψας b. — 24 ὀλίγ. δὲ χρ. ἐπιβ. ἐτελεύτησεν. Τιμ. δέ *scr. ex* b Cr. τούτου δὲ τελευτήσαντος Τιμοθεος xyz. — 27 μετὰ τὰ κατὰ τὸν *scripsi coll. Theodoreto* μετὰ κατὰ τόν b τὰ κατὰ τόν y μετὰ τὸν x μετὰ τὸν (τῶν h) κατὰ τόν z. — 28 μετὰ — ἀποσχίσαντος *om.* d. — 29 προσαγωγήν y. — τοῦ τῶν Ἀρ. ἐπ. c. — ἐν Ἀντ. ἐξ αὐτ. ἀποσχίσαντος *add. ex* by *om.* cz. — 30 νόμον] ὁμοῦ h. — 31 Σαπώρου d. — 32 τὴν Ἀντιόχειαν xz. — εὗρεν *om.* f. — Παυλῖνον yz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέτιον δὲ τὸν ἱερὸν ἀμάχως ἡσυχάζοντα, Φλαβιανὸν δὲ τότε πρεσβύτερον ὄντα καὶ Παυλίνῳ μὲν ἀντιταττόμενον, Ἀπολιναρίου δὲ καταισχύνοντα καὶ Μελετίῳ τὸν θρόνον ἀποδοῦναι τὸν στρατηγὸν 105 B
Σάπωρα παρεγγυώμενον· καὶ τοῦτον κυρώσας ἀνεχώρησεν. τότε
5 Διόδωρον, τὸν ἐπίσκοπον Ταρσοῦ, ὁ μέγας Μελέτιος ἐχειροτόνησεν. ‖
Εὐσέβιός τε, ὁ Σαμοσάτων ἐπίσκοπος, ἐκ τῆς ἐξορίας ἐπανελθὼν Exc. Bar.
πολλοὺς ἐπισκόπους ἐχειροτόνησε διαφόροις πόλεσιν. ἐλθὼν δὲ καὶ
ἐν Δολίχῃ χειροτονῆσαι Μάριν ἐπίσκοπον, εἰσερχόμενος ἐν τῇ πόλει
φονεύεται, γυναικὸς Ἀρειανῆς ἐξ ὕψους ῥιψάσης κεραμίδα κατὰ τῆς
10 ἱερᾶς τοῦ ἁγίου κεφαλῆς, θεοῦ συγχωρήσαντος οἷοις οἶδε κρίμασιν·
περὶ οὗ καὶ ὁ θεολόγος Γρηγόριός φησιν· "ζητῶ μου τὸ χθὲς ὑμῶν
σφάγιον, τὸν Ἀβραμιαῖον γέροντα". τότε καὶ Γρηγόριος ὁ Θεολόγος
παρρησιαστικώτερον ἐδίδασκεν ἐν τῇ Κωνσταντινουπόλει εἰς τὸ
εὐκτήριον τῆς ἁγίας Ἀναστασίας, ἔνθα καὶ παράδοξα γίνεσθαι θαύ-
15 ματα ἐξ ἐμφανείας τῆς παναγίας δεσποίνης ἡμῶν θεοτόκου λέγουσιν. ‖

Ἀλεξανδρείας ἐπίσκοπος Τιμόθεος ἔτη η΄. A. M. 5872 - 381.
β΄. γ΄. κη΄. ι΄. ιδ΄. α΄. η΄.

Ῥώμης ἐπίσκοπος Σιρίκιος ἔτη ιε΄. A. M. 5873 - 382.
γ΄. δ΄. α΄. ια΄. ιε΄. β΄. θ΄.

20 Κόσμου ἔτη ,εωοδ΄.	Τῆς θείας σαρκώσεως ἔτη τοδ΄.	Ῥωμαίων βασιλεὺς Θεοδόσιος ἔτη ις΄. δ΄.	Περσῶν βασιλεὺς Σαβώρης ἔτη ε΄. ε΄.	Ῥώμης ἐπίσκοπος Σιρίκιος ἔτη ιε΄. β΄.	A. M. 5874 - 383.
25 Κωνσταντ. ἐπίσκοπος Δημόφιλος ἔτη ιβ΄. ιβ΄.	Ἱεροσολύμων ἐπίσκοπος Κύριλλος ἔτη λε΄. ις΄.	Ἀλεξανδρείας ἐπίσκοπος Τιμόθεος ἔτη η΄. γ΄.	Ἀντιοχείας ἐπίσκοπος Μελέτιος ἔτη κε΄. ε΄.		

30 ‖ Τούτῳ τῷ ἔτει Γρατιανὸς ὁ βασιλεὺς ἀνηρέθη δόλῳ Ἀνδρα- Exc. Bar.
γαθίου, τοῦ στρατηγοῦ Μαξίμου τοῦ τυράννου. οὗτος γὰρ ἐφ' 106 B

---

1 Φλ. δὲ τότε b Φλ. τε τότε ehmx Φλ. τότε f Φλ. δὲ τόν g. — 2 Παυλῖνον dg. — Ἀπολιναρίου y. — 3 καταισχύνοντα b καταισχύναντα xyz. — Μελέτιον b. — ἀποδοῦναι b ἐκδοῦναι xyz. — 4 τοῦτο x. — 5 Διόδωρον Ταρσοῦ ἐπίσκοπον h. — 6 Εὐσ. τε ὁ Σαμ. cz Εὐσ. δὲ ὁ Σαμ. d Εὐσ. ὁ Σαμ. y Εὐσ. Σαμ. b. — Σαμοσατῶν f Σαμωσάτων z Σαμωσατῶν dem Σαμωσατων sine acc. c. — ἐν διαφ. π. d. — 8 ἐν Δολίχῃ b (ἐν Δολιχῇ Exc.) ἐν Δολικῇ fhmx ἐν Δωλικῇ g ἐνδολικὴ e. — Μάρην g om. x. — 9 ῥηξάσης b ῥιψάσης etiam Exc. — 11 φησὶ Γρηγόριος h. — 13 τῇ om. g. — εἰς—Ἀναστασίας om. x. — 15 τῆς παναγίας θεοτ. καὶ δεσπ. ἡμῶν z. — De numeris annorum 5872 et 5873 cf. dissert. de codd. Theophanis. — 22[1] ,εωοδ΄ b ,εωογ΄ xyz — 22[2] τοδ΄ b τογ΄ xyz. — 22[4] Σαβώρης b Ἀρσάβιλος yz Ἀρσαβὶ c. — 22[5] Συρίκιος b. — 23[5] ἔτη ιε΄ b ἔτη ις΄ cyz. — 28[4] ἔτη ιε΄ cefz. — 31 τοῦ ante στρατ. om. d. — τοῦ ante τυρ. om. c. — οὗτος bd αὐτός cyz. — ἐφ' ἁρμαμάξης h ἐφ' ἅρμα ἁμάξης vell., quod recepi cum iam in Exc. Bar. scriptum invenerim.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀμάξης εἰσελθὼν ὑπεκρίθη εἶναι ἡ γαμετὴ Γρατιανοῦ, καὶ οὕτως ὑπαντήσας ἀφυλάκτῳ αὐτῷ ἀνεῖλεν αὐτὸν ὁ Ἀνδραγάθιος. τούτου δὲ ἀναιρεθέντος, ἐκράτησεν Οὐαλεντινιανὸς τὴν Ῥωμαίων βασιλείαν. ||

58 P Exc. Bar. || Τῷ δ' αὐτῷ χρόνῳ Θεοδόσιος ὁ μέγας νόσῳ περιπεσὼν ἐν Θεσσαλονίκῃ βαπτίζεται ὑπὸ Ἀχολίου τοῦ ἐπισκόπου, καὶ νόμον ὑπὲρ τῶν ὀρθοδόξων τοῦ ὁμοουσίου ἔγραψεν, ὃν ἐν Κωνσταντινουπόλει ἀπέστειλεν. || ἐλθὼν δὲ ἐν Κωνσταντινουπόλει ἐδήλωσε Δημοφίλῳ, ἢ ἀποστῆναι τῆς Ἀρείου πλάνης, ἢ ταχέως τῶν ἐκκλησιῶν ἐξελθεῖν. ὁ δὲ τὸ πλῆθος τῶν Ἀρειανῶν συνάξας ἔξω τῆς πόλεως ἐκκλησίαζεν, ἔχων καὶ Λούκιον, τὸν Ἀλεξανδρείας ἐπίσκοπον Ἀρειανόν, σὺν αὐτῷ· καὶ οὕτω λοιπὸν ὁ Θεῖος Γρηγόριος, μεθ' ὧν αὐτὸς εἰς τὴν ὀρθόδοξον πίστιν ἐφώτισεν, τὰς ἐκκλησίας πάσας παρέλαβεν, μ' ἔτη τῶν Ἀρειανῶν καὶ μικρὸν πρὸς κατασχόντων αὐτάς. ||

cf. Leo Gramm. p. 103, 5

384 A. M. 5875 Περσῶν βασιλεὺς ιβ' Οὐαραράνης ἔτη ια'.
Κωνσταντινουπόλεως ἐπίσκοποι Γρηγόριος ὁ Θεολόγος ἔτη β'. ε'. α'. γ'. α'. ιξ'. δ'. ια'.

Τούτῳ τῷ ἔτει ἐν Ἀντιοχείᾳ, ἐν γειτονίᾳ Ἰοβιτῶν οὕτω λεγο-
107 B μένων, γυνὴ ἔτεκεν ὁμοῦ κατὰ τὸ αὐτὸ παιδία τέσσαρα ἀρσενικά· καὶ ἐπέζησαν μῆνας δύο καὶ ἀπέθανον, ἓν ἐπὶ τὸ ἕν, τὰ τέσσαρα.

385 A. M. 5876 ς'. β'. δ'. β'. ιη'. ε'. ιβ'.

Exc. Bar. || Τούτῳ τῷ ἔτει ἡ μεγάλη καὶ οἰκουμενικὴ ἁγία δευτέρα σύνοδος τῶν ρν' ὀρθοδόξων ἐπισκόπων ἐν Κωνσταντινουπόλει ὑπὸ Θεοδοσίου τοῦ μεγάλου συνηθροίσθη πρὸς βεβαίωσιν τῶν ἐν Νικαίᾳ δογμάτων. μετεστείλατο δὲ καὶ ἐκ τῆς Μακεδονίου αἱρέσεως ἐπισκόπους λς', ὧν ἡγεῖτο Ἐλεύσιος. τῶν δὲ ρν' ἁγίων πατέρων προηγοῦντο Τιμόθεος Ἀλεξανδρείας, Μελέτιος, ὁ ἱερώτατος Ἀντιοχείας, Κύριλλος, ὁ ἱερώτατος Ἱεροσολύμων, || καὶ ὁ Θεῖος Γρηγόριος Κωνσταντινου-
cf. Sozom. VII, 7 πόλεως. οἱ δὲ τὰ Μακεδονίου φρονοῦντες λς' ἐπίσκοποι προτραπέντες ὑπὸ τῶν πατέρων τὰ ἐν Νικαίᾳ δέξασθαι δόγματα, καθὰ καὶ Λιβερίῳ ἐπὶ Οὐάλεντος συνθέμενοι λιβέλλους ἐπέδωκαν οἱ περὶ

---

2 ἀφυλάκτῳ *scr. ex* Exc. Bar. ἀφυλάκτως *codd.* — ὁ *add. ex* b *om.* xyz. — 5 βαπτίζεται bx Exc. ἐβαπτίσθη yz. — Ἀχολίου h Ἀσχολίου c. — 6 ἐν τῇ Κωνστ. b. — 8 ἢ *prius om.* c. — τῆς ἐκκλησίας g. — 10 ἐξεκλησίαζεν h. — Ἀρ. ὄντα σὺν f. — 11 μεθ' ὧν αὐτὸν ὁ Θεῖος Γρηγόριος εἰς τὴν ὀρθ. π. b *praecedente litura dimidii versus, cui verba incrant:* καὶ οὕτω λοιπὸν ὁ Θεῖος Γρηγόριος. — 12 πάσας καὶ παρέλ. y. — 13 τῶν Ἀρειανῶν *om.* z. — πρὸς κατασχόντων d προσκατασχόντων c προκατασχόντων by πρὸς προκατασχόντων z κατασχόντων Leo. — 14 ἔτη ε' y. — *v.* 16 *om.* c. — 17 ἐν γείτονι c. — Ἰοβιτῶν cem Ἰοβητῶν b Ἰωβιτῶν g Ἰουβιτῶν fh. — 18 ἀρρενικά d. — 20 δ'] α' cy. — ιη' *om.* cy. — 21 δευτέρα *om.* d. — 22 . . . . δόξων —*p.* 70, 15 ἤσθιεν *in antiquo cod.* h *uno folio interciso interierunt et a manu recenti e codice* b *restituta sunt.*— 25 ρν' ἁγίων bd ἁγίων ρν' egy. — 26 ὁ Ἀλεξ. gy. — ὁ ἱερώτατος *add. ex* b *om.* gxyA. — 27 ὁ ἱερώτατος *om.* emA. — ὁ Κωνστ. b. — 30 Λιβέριον y Λιβέριν b. — ἐπί b ὑπό *rell.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σιλβανὸν ἐν Ῥώμῃ πεμφθέντες, ἀπηνήναντο τῇ ἀληθείᾳ συνθέσθαι καὶ ἀνεχώρησαν γέλως ἅπασι γεγονότες, ἄλλα μὲν φρονοῦντες, ἄλλα δὲ συνθέμενοι, ἀπατηλῶς τὰς Λιβερίου ἐπιστολὰς ἐπαγόμενοι μαρτυρούσας αὐτοῖς ὀρθοδοξίαν. ‖ *ἡ δὲ ἁγία σύνοδος Γρηγορίῳ τῷ Θεο-* Exc. Bar.
λόγῳ τὴν ἐπισκοπὴν Κωνσταντινουπόλεως ἐκύρωσεν, καὶ ἄκοντα 59 P
τοῦτον τῷ θρόνῳ ἐνίδρυσαν ὡς πολλὰ καμόντα καὶ τῆς λώβης τῶν 108 B
αἱρέσεων τὴν πόλιν ἐλευθερώσαντα. τινὰς δὲ τῶν ἐξ Αἰγύπτου μαθὼν ὁ τὰ πάντα σοφὸς καὶ μακαριώτατος φθονήσαντας τῷ πράγματι, τὸν συντακτήριον λόγον ἐπιδειξάμενος ἑκουσίως τοῦ θρόνου τῆς βασιλίδος ὑπεχώρησεν. τούτου δὲ ἀποταξαμένου, Νεκτάριον ὁ βασιλεὺς καὶ ἡ σύνοδος προχειρίζεται. Ταρσέα μὲν τῷ γένει, τὴν τοῦ πραίτωρος δὲ ἀρχὴν τότε διέποντα, ἀβάπτιστον μὲν ἕως τότε τυγχάνοντα, σεμνὸν δὲ καὶ εὐλαβῆ περὶ βίον. ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ σύνοδος τὸ ὁμοούσιον ἐκύρωσεν, προσέθηκε δὲ τῷ συμβόλῳ καὶ τὴν θεολογίαν τοῦ πνεύματος. ἐξέθετο δὲ καὶ κανόνας, ἐν οἷς τῷ θρόνῳ Κωνσταντινουπόλεως τὰ πρεσβεῖα νέας Ῥώμης ἀπένειμεν. ‖
τότε Γρηγόριος ὁ Νύσης καὶ Πελάγιος Λαοδικείας, Εὐλόγιός τε cf. Theodoret V, 8
Ἐδέσης καὶ Ἀμφιλόχιος Ἰκονίου ἐν ταύτῃ διέλαμπον σὺν τῷ μεγάλῳ Γρηγορίῳ καὶ τοῖς προρρηθεῖσιν. ‖ *ἡ δὲ ἁγία σύνοδος Ἄρειόν τε καὶ Εὐσέβιον τὸν Νικομηδείας, Εὐζώϊόν τε καὶ Ἀκάκιον, Θεόγνιν καὶ Εὐφρόνιον καὶ τοὺς λοιποὺς ἀνεθεμάτισεν, πρὸς τούτοις δὲ καὶ Μακεδόνιον τὸν πνευματομάχον, Εὐδόξιόν τε καὶ Ἀέτιον καὶ Εὐνόμιον ἀπεκήρυξεν. Μελέτιος δὲ ὁ μέγας μετὰ τὸ πληρωθῆναι τὴν* 109 B
σύνοδον ἐν Κωνσταντινουπόλει ἐν εἰρήνῃ ἐκοιμήθη. ‖ *τὸ δὲ ἱερὸν* cf. Sozom. VII, 10. 11.
αὐτοῦ σῶμα διεκομίσθη εἰς Ἀντιόχειαν καὶ ἐτέθη πλησίον τῆς θήκης τοῦ ἁγίου μάρτυρος Βαβυλᾶ. ἐχειροτονήθη δὲ Φλαβιανὸς Ἀντιοχείας ἐπίσκοπος, ζῶντος καὶ Παυλίνου, καίπερ ὅρκων δεδομένων, ὅτι οὐ καταδέξεται ἐπισκόπου χειροτονίαν Φλαβιανός. πάλιν οὖν ταραχὴ τὴν ἐκκλησίαν Ἀντιοχείας εἶχεν, τῶν μὲν Παυλίνῳ, τῶν δὲ Φλαβιανῷ ὑπεικόντων. ‖ *τότε καὶ Παύλου τοῦ ὁμολογητοῦ τὸ σῶμα ὁ βασιλεὺς* Exc. Bar.
εἰς Κωνσταντινούπολιν ἤγαγε καὶ ἀπέθετο εἰς τὴν ἐκκλησίαν, ἣν ᾠκοδόμησε Μακεδόνιος ἐπιβουλεύων Παύλῳ. ‖

---

3 *συνθέμενοι* b *συντιθέμενοι* gyz. — 7 *τὴν πόλιν* bdA Exc. *τὴν ἐκκλησίαν* gy *om.* c. — 8 *φθονέσαντας* b *φθονήσας* g. — *τῷ προστάγματι* g. — 10 *τοῦτο* b. — 11 *προεχειρίζετο* b. — 12 *πραίτωρος* Exc. *πραίτορος* b *πραιτορίου* y *πραιτωρίου* gxA. — *διέποντος* bgy. — *ἀβάπτ. τε* (sic) *ἕως τότε τυγχ. post περὶ βίον collocant* x. — 13 *εὐσεβῆ* g. — 14 *προέθηκε* b. — 16 *τὰ om.* bc. — *πρέσβεια* bf. — 17 *Νύσσης* m. — *Λαοδικίας* bf. — *τε om.* y. — 18 *Ἐδέσσης* em. — 20 *Θεόγνην* gm *Θεόγνιον* d. — 21 *δὲ*] *τε* c *om.* d. — *δὲ τὸν Μακ.* f. — 22 *καὶ Εὐδ. τε καί* y. — *Εὐνόμιον καὶ Ἀέτιον* x. — *A p.* 24 *ἐκοιμήθη usque ad p.* 71, 4 *omnia interierunt in* d, *uno folio ita abscisso, ut paucae litterae relinquerentur. Sed insunt in* δ. — 26 *Βαβύλα* f. — 27 *ὅρκων*] *οἰκῶν* b. — 28 *καταδέξηται* b. — 31 *ἤγαγε* b Exc. *εἰσήγαγε* xyz. — *ἐν τῇ ἐκκλησίᾳ* x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

386. A. M. 5877 *Κωνσταντινουπόλεως ἐπίσκοπος Νεκτάριος ἔτη ις'.*
ζ'. γ'. ε'. α'. ιθ'. ς'. ιγ'.

Τούτῳ τῷ ἔτει Θεοδόσιος Αὔγουστος Ὀνώριον, υἱὸν αὐτοῦ, τὸν γεννηθέντα ἐκ Πλακίλλης τῆς εὐσεβεστάτης, ἐπιφανέστατον καὶ ὕπατον
Exc. Bar. *ἀνέδειξεν. εὐτρεπίσθη δὲ πολεμεῖν τῷ τυράννῳ Μαξίμῳ. ‖ καὶ πολε-* 5
μοῦντος πρὸς αὐτὸν ἐπὶ τὰ ἑσπέρια μέρη, φήμης ψευδοῦς ἐξελθούσης,
60 P *ὅτι νενίκηκε Μάξιμος, οἱ Ἀρειανοὶ ἀνασυρθέντες τὴν οἰκίαν Νεκταρίου ἐνέπρησαν, τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως. ‖*

387. A. M. 5878 *η'. δ'. ς'. β'. κ'. ζ'. ιδ'.*

Τούτῳ τῷ ἔτει ἐν Ἀντιοχείᾳ ἐπεκτίσθη ἐν τῇ Ταυριανῇ λεγομένῃ 10
110 B *πύλῃ προσθήκη εἰς πλάτος τῆς γεφύρας καὶ ἐπεστεγάσθη· ἐπεκτίσθη δὲ καὶ μικρὰ βασιλικὴ ἐν τῇ παλαιᾷ πλησίον τῆς μεγάλης. ἐν δὲ Παλαιστίνῃ, Ἐμμαοὺς κώμῃ, παιδίον ἐγεννήθη τέλειον ἀπὸ τοῦ ὀμφαλοῦ, καὶ ἄνω διῃρημένον, ὡς εἶχε δύο στήθη, δύο κεφαλάς, καὶ ἕκαστον τὰς αἰσθήσεις ἔχον. τὸ ἓν ἤσθιε καὶ ἔπινεν, καὶ τὸ ἕτερον οὐκ ἤσθιεν·* 15
τὸ ἓν ἐκάθευδεν, καὶ τὸ ἕτερον ἐγρηγόρει· ἔστι δὲ ὅτε καὶ συνέπαιζον πρὸς ἄλληλα, καὶ ἔκλαιον ἀμφότερα, καὶ ἔτυπτον ἄλληλα. ἔζησαν δὲ μικρὸν πρὸς ἔτη δύο. καὶ τὸ μὲν ἓν ἀπέθανεν, τὸ δὲ ἕτερον ἔζησεν ἡμέρας τέσσαρας, καὶ ἀπέθανε καὶ αὐτό.

Τῷ δ' αὐτῷ ἔτει ἔστησεν ὁ βασιλεὺς Θεοδόσιος τὸν κίονα τοῦ 20
Ταύρου.

388. A. M. 5879 *θ'. ε'. ζ'. γ'. κα'. η'. ιε'.*

Exc. Barbari p. 239 Sch. ‖ *Τούτῳ τῷ ἔτει, Τιμοθέου τελευτήσαντος τοῦ ἐπισκόπου Ἀλεξανδρείας μηνὶ Ἐπιφὶ εἰκάδι ἕκτῃ, χειροτονεῖται ἀντ' αὐτοῦ Θεόφιλος. ‖*

389. A. M. 5880 *Ἀλεξανδρείας ἐπίσκοπος Θεόφιλος ἔτη κή.* 25
ι'. ς'. η'. δ'. κβ'. α'. ις'.

cf. Fast Idat. a. 388 ‖ *Τούτῳ τῷ ἔτει Θεοδόσιος, ὁ εὐσεβὴς βασιλεύς, νικήσας Μάξιμον τὸν τύραννον ἀνεῖλε πρὸ ιβ' καλανδῶν Αὐγούστου, καὶ Ἀνδραγάθιον, τὸν στρατηγὸν αὐτοῦ, ὡς δολοφονήσαντα Γρατιανόν. ‖*

390. A. M. 5881 *ια'. ζ'. θ'. ε'. κγ'. β'. ιζ'.* 30
111 B cf. Fast. Idat. a. 389 ‖ *Τούτῳ τῷ ἔτει ἦλθε Θεοδόσιος ἐν Ῥώμῃ μετὰ Ὀνωρίου, τοῦ υἱοῦ αὐτοῦ, καὶ ἐκάθισεν αὐτὸν βασιλέα ἐν αὐτῇ πρὸ ε' ἰδῶν Ἰουνίου, καὶ ἀνῆλθεν ἐπὶ Κωνσταντινούπολιν. ‖*

---

3 ὁ *Αὔγουστος* cgy ὁ *om.* b. — *Ὀνόριον* f. — *τόν add. ex* b *om.* gxy. — 4 *ἐπιφανέστατον ὕπατον δ ἐπιφανέστατα καὶ ὕπατον* cg. — 5 *Μαξίμῳ om.* x. — 6 *φήμης δὲ ψευδοῦς* f. — 10 *Ταυριάνῃ* y. — 11 *ἐπεκτίσθη* b *ἐκτίσθη* cefg *om.* m. — 13 *Ἐμμαοὺμ κώμην* b. — 14 *ὡς* b *ὃς* ef *ὃ* gmx. — *ἑκάστων* g. — 15 *εἴσθιεν* cg. — 16 *κάθευδε* c. — *ἔστι δὲ καὶ ὅτε συν.* g. — 17 *καὶ ἔκλαιον — ἄλληλα om.* dy. — 18 *πικρόν* b. — *ἕνα* y. — 22 *ιε'*] *ι'*, *ε'*, y *ιβ'* g. — 24 *Ἐπαφί* h *ἐπὶ φί* g. — *εἰκάδι ς'*. g *κς'*. bcf *κε'*. em. — *ὁ Θεόφιλος* cy. — 27 *ἔτει om.* c. — 28 *πρό om. δ.* — *καλάνδων* dg. — 30 *β'*] *κβ'* cf. — 31 *τούτῳ — 33 Κωνστ. om.* f. — *Ὀνορίου* h. — 32 *πρὸ ε' ἰδ. Ἰουν. om. δ.* — *ἰδῶν* b *εἰδῶν rell.* — 33 *ἐπὶ Κωνσταντινούπολιν* b *ἐν Κωνσταντινουπόλει rell.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ιβ΄. η΄. ί. ς΄. κδ΄. γ΄. ιη΄. A. M. 5882-391.

‖ Τούτῳ τῷ ἔτει Εὐγένιος ἐτυράννησεν, ὁ ἀπὸ γραμματικῶν Exc. Bar.
ἀντιγραφεὺς καὶ σχῆμα βασιλικὸν περιθέμενος, συνόντος αὐτῷ καὶ
Ἀργαβάστου τοῦ ἀπὸ τῆς μικρᾶς Γαλατίας. καὶ ἀκούσας Οὐαλεντι- 61 P
νιανὸς ὁ μικρός, ὁ υἱὸς Οὐαλεντινιανοῦ τοῦ μεγάλου καὶ Ἰούστας,
ἑαυτὸν ἀνεῖλεν ἀγχόνῃ. ὁ δὲ Θεοδόσιος τοῦτο μαθὼν ἐξωπλίζετο
τοῦ κατελθεῖν εἰς ἐκδίκησιν αὐτοῦ. ‖ Θεόφιλος δέ, ὁ ἐπίσκοπος Ἀλε- Exc. Bar.
ξανδρείας, αἰτήσας Θεοδόσιον τὸν βασιλέα τὸ ἐν Ἀλεξανδρείᾳ ἱερὸν
τῶν Ἑλλήνων ἐξεκάθηρε καὶ εἰς ἐκκλησίαν μετεσκεύασεν, τὰ δὲ ὄργια
τῶν Ἑλλήνων ἐδημοσίευσεν, φαλλούς τε καὶ εἴ τι τούτων ἀσελγέστερον
καὶ βεβηλότερον. ὅθεν τὸ πλῆθος τῶν Ἑλλήνων αἰσχυνθὲν πολλοὺς
φόνους εἰργάσατο. Θεοδόσιος δὲ μαθὼν τοὺς γεγονότας ὑπ' αὐτῶν
φόνους, τοὺς μὲν ἀναιρεθέντας Χριστιανοὺς ὡς μάρτυρας ἐμακάρισεν·
τοῖς δὲ Ἕλλησι συγχωρεῖν ἐπηγγείλατο, εἰ πρὸς χριστιανισμὸν μετα-
θεῖντο· τὰ δὲ ἱερὰ αὐτῶν καθαιρεθῆναι καὶ τὰ εἴδωλα χωνευθῆναι
καὶ εἰς χρείας πενήτων δοθῆναι ἐκέλευσεν. ‖ τοῦ δὲ ναοῦ τοῦ Σερά- 112 B
πιδος ἐν Ἀλεξανδρείᾳ λυομένου, ἱερογλυφικὰ γράμματα εὑρέθησαν
σταυροῦ τύπον ἔχοντα, ἅπερ οἱ ἐξ Ἑλλήνων πιστεύσαντες θεασάμενοi
εἶπον σημαίνειν τὸν σταυρὸν κατὰ τὴν τῶν ἱερογλυφικῶν γραμμάτων
ἔννοιαν ζωὴν ἐπερχομένην. ‖

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 5883-392.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,εωπγ΄.	ἔτη τπγ΄.	Θεοδόσιος	Οὐαραράνης	Σιρίκιος	
		ἔτη ις΄.	ἔτη ια΄.	ἔτη ιε΄.	
		ιγ΄.	θ΄.	ια΄.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Νεκτάριος	Κύριλλος	Θεόφιλος	Μελέτιος
ἔτη ις΄.	ἔτη λε΄.	ἔτη κη΄.	ἔτη κε΄.
ζ΄.	κε΄.	δ΄.	ιθ΄.

‖ Τούτῳ τῷ ἔτει Μάρκελλος, ὁ Ἀπαμείας τῆς Συρίας ἐπίσκοπος, Exc. Bar.
ζήλῳ θείῳ κινούμενος τὰ ἱερὰ τῶν Ἑλλήνων ἐν Ἀπαμείᾳ κατέστρεψε καὶ
διὰ τοῦτο ἀνῃρέθη ὑπὸ Ἑλλήνων. ‖ Νεκτάριος δὲ ὁ Κωνσταντινου- cf. Soz. VII, 16
πόλεως ἐκώλυσε τὸν ἐπὶ τῆς μετανοίας πρεσβύτερον διὰ τὸ γεγονὸς

---

v. 1 om. f. — 2 Εὐγ. ὁ ἀπὸ γραμμ. ἐτυράννησεν z. — 3 ἀντιγραφεὺς ὢν καί g. — αὐτοῦ h. — 4 Ἀργαβάστου scr. cum Exc. coll. p. 73, 27 Ἀρδαβάστου b Ἀρταβάσδου c Ἀρταυάσδου dyz. — 4 Οὐαλεντινιανὸς — 5 ὁ υἱὸς om. f. — 5 ὁ μικρὸς add. ex b Exc. om. rell. — Ἰούστης z Ἰούστας etiam Exc. pro Ἰουστίνης. — 9 ἐξεκάθηρεν — Ἑλλήνων b Exc. om. xyz. — 10 ἀσελγεστέρων καὶ βεβηλοτέρων b. — 11 καὶ ὅθεν b. — 12 εἰργάσαντο b. — 14 μεταθεῖντο b μεταθοῖντο y μετάθοιντο xz. — 16 εἰς χεῖρας dm. — 18 σταυρῶν τύπους b. — ἔχοντα om. y — ἅπερ b Exc. ὅπερ rell. — 23⁵ Συρίκιος b. — 29⁴ ἔτη κθ΄ bgy. — 31 Ἀπαμίας g Παμείας b. — 32 Ἀπαμίᾳ g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁμάρτημα ἐν τῇ ἐκκλησίᾳ ὑπό τινος διακόνου εἰς τὴν γυναῖκα τὴν ἐπὶ τῇ μετανοίᾳ σχολάζουσαν. ἐν δὲ Ῥώμῃ καὶ πάσῃ τῇ δύσει ἐπιμελῶς φυλάττεται ἕως τοῦ νῦν, καὶ τόπος ἠφόρισται τοῖς μετανοοῦ-
Exc. Bar. Cram. II, 97 σιν. ‖ Θεοδόσιος ὁ βασιλεὺς νόμον ἔγραψε γυναῖκα εἰς διακονίαν μὴ
cf. Soz. VII, 17 προβαίνειν, εἰ μὴ ὑπερβῇ τὰ ξ' ἔτη κατὰ τὸν ἀπόστολον. ‖ Εὐνόμιον δὲ ἐξώρισε παρασυναγωγὰς ποιοῦντα καὶ λαοὺς ἀπατῶντα, καὶ ἐν τῇ ἐξορίᾳ ἀπέθανεν. ‖

Exc. Bar. ‖ Τῷ δ' αὐτῷ ἔτει Πλακίλλα, ἡ γαμετὴ Θεοδοσίου, ἐκοιμήθη εὐσεβὴς οὖσα καὶ φιλόπτωχος οἰκείαις χερσὶ λωβοῖς καὶ νοσοῦσιν
113 B ὑπηρετοῦσα. ταύτης ἀνδριάντα κατέαξαν οἱ Ἀντιοχεῖς καὶ ἔσυραν
62 P ἀγανακτοῦντες διὰ τὰ ἐπιτεθέντα δημόσια παρὰ τοῦ βασιλέως τελεῖν αὐτοῖς. οἷς καὶ ὀργισθεὶς σφόδρα πόθῳ τῷ πρὸς Πλακίλλαν τὴν εὐσεβεστάτην ἤμελλε πάντας ἀπολλύειν, εἰ μὴ Φλαβιανός, ὁ ἐπίσκοπος Ἀντιοχείας, ἐλθὼν ὑπὲρ Ἀντιοχέων ἐπρέσβευσεν· Ἰωάννης δὲ ὁ Χρυσόστομος πρεσβύτερος ὢν Ἀντιοχείας τότε καὶ παρὼν λόγους θαυμαστοὺς πρὸς παραίνεσιν τῶν τολμησάντων κατὰ τῶν βασιλικῶν ἀνδριάντων ἐπεδείξατο. ‖

393 - A. M. 5884 ιθ'. ι'. ιβ'. η'. κς'. ε'. κ'.

Malalas p. 347, 16 ‖ Τούτῳ τῷ ἔτει ἐπιστρατεύσαντος Θεοδοσίου κατὰ Εὐγενίου τοῦ τυράννου καὶ κατελθόντος ἐν Θεσσαλονίκῃ μετὰ τοῦ στρατοῦ αὐτοῦ, καὶ εἰσελθόντος ἐν τῇ πόλει, ἐταράχθη ἡ πόλις διὰ τὰ μη-
Exc. Bar. Cramer II, 98 τάτα τοῦ στρατοῦ ‖ καὶ διὰ πρόφασιν ἡνιόχου καὶ τοῦ παιδὸς τοῦ
Mal. p. 347, 19 ἐπάρχου· ‖ καὶ ὕβρισαν τὸν βασιλέα καὶ τὸν ἔπαρχον ἐφόνευσαν. τοῦ δὲ βασιλέως μακροθυμήσαντος πρὸς βραχὺ καὶ τὸν λαὸν κατασιγήσαντος, ἱππικὸν γενέσθαι ἐκέλευσεν· καὶ συναχθέντων τῶν λαῶν καὶ τῶν δήμων εἰς τὴν τοῦ ἱππικοῦ θέαν, ἐκέλευσε τὸν στρατὸν
Exc. Bar. Cramer II, 98 τοξεῦσαι αὐτούς· καὶ ἀπέθανον τοῦ λαοῦ χιλιάδες δεκαπέντε. ‖ ἐλθόντος δὲ αὐτοῦ ἐν Μεδιολάνῳ, Ἀμβρόσιος ὁ ἐπίσκοπος ἐκώλυσεν
114 B αὐτὸν εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν. ἐν δὲ τῇ τοῦ σωτῆρος γενεθλίῳ ἑορτῇ Ῥουφίνῳ μαγίστρῳ εἰς παράκλησιν ἐλθόντι δεινῶς ἐπέπληξεν

---

2 ἐν δὲ τῇ P. xyz τῇ om. b. — 3 ἠφόρισται bh ἀφόρισται d ἠφώρισται cegm *et* f *sed* η *et* ω *in lit. m.* 2. — 4 Θεοδ. δὲ ὁ βασ. xz. — διακονίαν b Exc. Cram. Soz. διακόνισσαν (διακόνισαν h) xykA. — 5 προβαίνειν] ἐπιβαίνειν b *sed* ἐπι *sec. m. in lit.* — ὑπερβῇ] προβαίνειν b. — 7 ἐξορίᾳ] ἐκκλησίᾳ d. — 9 φιλόξενος h. — λώβης b — νοσοῦντας y. — 10 οἱ *om.* b. — 11 ἐπιτιθέντα em ἐπιθέντα h. — παρὰ *om.* b. — 13 ἀπολύειν z ἀπόλλειν b. — 19 Εὐγενοῦς h. — 20 ἐπὶ Θεσσαλονίκην h εἰς Θεσσαλονίκην d. — 21 καὶ εἰσελθόντος — 22 τοῦ στρατοῦ *om.* d. — 21 ἐν τῇ πόλει — μητάτα *om.* c. — μητάτα τοῦ bf μιτάτα τοῦ z μητατοῦ em. — 22 τοῦ στρατοῦ αὐτοῦ h. — παιδὸς καὶ τοῦ g. — 23 ὑπάρχου xz. — καὶ *prius om.* hx. — ὕπαρχον xz. — 24 κατασιγάσαντος d κατασιτήσαντος *ut vid.* b. — 27 δεκαπέντε b ιε' yz ιβ' x. — 28 δέ *om.* g. — ὁ *om.* b. — 29 ἐν] ἦν f. — γεννεθλίῳ b.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀμβρόσιος. νόμον δὲ ἐκθεμένου Θεοδοσίου τοῖς καταδικαζομένοις θανάτῳ ἢ δημεύσει προθεσμίαν λ' ἡμερῶν εἰς διάσκεψιν δίδοσθαι ἐξ ἐπιτροπῆς Ἀμβροσίου, τότε προσεδέξατο αὐτὸν εἰς τὴν ἐκκλησίαν ἔξωθεν τοῦ θυσιαστηρίου, καὶ οὐ κατὰ τὴν προτέραν συνήθειαν ἔσω· ὅθεν καὶ μέχρι νῦν καλῶς ἐκράτησε τὸ ἔθος ἔξω τοῦ θυσιαστηρίου τοὺς βασιλεῖς ἵστασθαι μετὰ τοῦ λαοῦ. ‖

‖ Τῷ δ' αὐτῷ ἔτει τοῦ Νείλου ποταμοῦ κατὰ τὸ ἔθος μὴ ἀνελθόντος, ἔχαιρον οἱ Ἕλληνες λέγοντες αἴτιον εἶναι τούτου τὸ κωλυθῆναι θύειν τοῖς θεοῖς αὐτῶν. ὅπερ μαθὼν ὁ εὐσεβὴς βασιλεὺς ἀπεκρίθη· "μὴ γένοιτό ποτε ποταμὸν θυσίαις χαίροντα ἐπὶ τὴν γῆν πλημμυρῆσαι." ὁ δὲ θεὸς τοῦτο ἀποδεξάμενος ἐπὶ τοσοῦτον εὐλόγησε τὴν ἀνάβασιν τοῦ ποταμοῦ, ὥστε πάντας τοὺς κατ' Αἴγυπτον φοβηθῆναι, μὴ καὶ αὐτὴν Ἀλεξάνδρειαν κατακλύσῃ ἡ τοῦ ὕδατος πλημμύρα. ‖ Exc. Bar.

Κόσμου ἔτη ,εωπέ'.	Τῆς θείας σαρκώσεως ἔτη τπέ'.	Ῥωμαίων βασιλεὺς Θεοδόσιος ἔτη ις'. ιε'.	Περσῶν βασιλεὺς Οὐαραράνης ἔτη ια'. ια'.	Ῥώμης ἐπίσκοπος Σιρίκιος ἔτη ιε'. ιγ'.	A. M. 5885-394.
Κωνσταντ. ἐπίσκοπος Νεκτάριος ἔτη ις'. θ'.	Ἱεροσολύμων ἐπίσκοπος Κύριλλος ἔτη λε'. κζ'.	Ἀλεξανδρείας ἐπίσκοπος Θεόφιλος ἔτη κη'. ς'.	Ἀντιοχείας ἐπίσκοπος Μελέτιος ἔτη κε'. κα'.		

‖ Τούτῳ τῷ ἔτει Θεοδόσιος, ὁ εὐσεβὴς βασιλεύς, Εὐγενίῳ κραταιῶς μαχησάμενος ἐν ταῖς Ἄλπισι πύλαις ζῶντά τε συλλαβὼν αὐτὸν ἀνεῖλεν. Ἀργαβάστης δὲ διαδρὰς ἑαυτὸν διεχειρίσατο. ‖ Exc. Bar. 63 P; 115 B

‖ Τῷ δ' αὐτῷ ἔτει τὰ τῶν προφητῶν Ἀμβακοὺμ καὶ Μιχαίου λείψανα θεόθεν εὑρέθη Ζεβένῳ, τῷ ἐπισκόπῳ Ἐλευθεροπόλεως τῆς Παλαιστίνης χρηματισθέντι, ἐν δυσὶ χωρίοις τῆς περιοικίδος Ἐλευθεροπόλεως. ‖ ἐλθόντι δὲ τῷ βασιλεῖ ἐν Ῥώμῃ προσῆλθον αὐτῷ ἐπίσκοποι γνώμῃ Ἰννοκεντίου τοῦ Ῥώμης κατὰ Φλαβιανοῦ ἐπισκόπου Ἀντιοχείας. ὁ δὲ χριστιανικώτατος βασιλεὺς τὰ πρὸς εἰρήνην παραινέσας αὐτοῖς ἥνωσε διὰ ιζ' ἐτῶν, κελεύσας ἐπισκόπους ἐκ τῆς Exc. Bar. cf. Theodoret H. E. V, 23

---

1 *post* Ἀμβρόσιος d *add.* ὡς οὐ δεῖ αἱμαγμέναις χερσὶ τὸν οὐράνιον δέξασθαι μαργαρίτην. — νόμον ἐκθεμ. δέ f δὲ *om.* em. — ἐκθέμενος h. — τοῖς καταδικαζομένοις b τοὺς καταδικαζομένους *rell.* — 3 προσεδέξαντο f. — 4 ἔξωθεν] ἔξω μέντοι xz. — 5 μέχρι τοῦ νῦν dg. — 8 τοῦτον m τοῦτο h *et* g *ex* τοῦτον *ut vid. corr.* τούτο f. — τὸ *om.* h. — 11 ἀποδεξάμενος b Exc. ἐκδεξάμενος *rell.* — 12 ηὐλόγησε y. — 13 κατακλύσει z καταλύσει b. — 17⁵ Συρίκιος b. — 19³ ις' cy. — 25 εὐσεβής *add. ex* bhx *om.* gy. — 26 Ἐλπίσι *codd.* Ἀλπίσι *edd.* Σάλπισι Exc. — 27 Ἀρταβάστος c. — 29 Ζεβένῳ bc Exc. Βεζένῳ dyz. — 30 χρηματισθέντα z. — 31 accessit—episcopus A. — 32 Ἰνοκεντίου fh Οἰνοκεντίου b Ἰννοκεντίου *pr. m. corr. ex* Ἰνοκεντίου g. — τοῦ] τῆς g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνατολῆς ἐν Ῥώμῃ εἰς τοῦτο παραγενέσθαι, μεθ' ὧν καὶ Ἀκάκιος ὁ
Exc. Bar. in mg. Βεροίας ἐστάλη. ‖ πολλὰ δὲ χαρίσματα δέδωκε τῇ Ῥώμῃ Θεοδόσιος, περιελὼν καὶ τὰ γινόμενα ἐν τοῖς μαγκιπίοις ἄτοπα κατὰ τῶν ἐμπιπτόντων ξένων καὶ ἀποκλειομένων ἕως γήρους ἐν τοῖς μύλωσιν, ὁμοίως δὲ καὶ τὴν τῶν μοιχευομένων γυναικῶν ὕβριν ἐν τοῖς πορνείοις, μὴ συγχωρήσας ταύτας ἔτι συγκλείεσθαι καὶ διὰ κώδωνος τὴν πρᾶξιν ἐλέγχεσθαι. ‖

395. A. M. 5886 ις'. ιβ'. ιδ'. ι'. κη'. ζ'. κβ'.

Exc. Bar. 116 B Τούτῳ τῷ ἔτει μετὰ τὴν Εὐγενίου τοῦ τυράννου ἀναίρεσιν καὶ τὴν τῶν πραγμάτων κατάστασιν ἀπῆρεν ἀπὸ Ῥώμης ὁ εὐσεβὴς βασιλεὺς Θεοδόσιος καὶ ἤρχετο ἐπὶ Κωνσταντινούπολιν. ἐλθὼν δὲ ἐν Μεδιολάνῳ ἀρρωστήσας Ὀνώριον τὸν υἱὸν μετεστείλατο καὶ θεασάμενος αὐτὸν ῥᾷον ἔσχεν. ἱπποδρομίαν δὲ ἰδὼν μετὰ τὸ ἄριστον κακῶς διετέθη ἀθρόως, καὶ μὴ ἰσχύσας τῇ δείλῃ ἀνελθεῖν τῷ υἱῷ ἐκέλευσε ταύτην πληρῶσαι· καὶ τῇ ἐπελθούσῃ νυκτὶ ἐκοιμήθη ἐν κυρίῳ ὑπάρχων ἐτῶν ξ', βασιλεύσας ἔτη ις', καταλείψας βασιλεῖς τοὺς δύο αὐτοῦ υἱούς, Ἀρκάδιον μὲν τὸν πρεσβύτερον τῆς ἑῴας, Ὀνώριον δὲ τῶν ἑσπερίων. τὸ δὲ σῶμα αὐτοῦ μετήνεγκεν Ἀρκάδιος ἐν Κωνσταντινουπόλει καὶ ἔθαψεν εἰς τοὺς ἁγίους ἀποστόλους. ‖

396. A. M. 5887 64 P Ῥωμαίων βασιλεὺς Ἀρκάδιος, υἱὸς Θεοδοσίου, ἔτη ιδ'.
Περσῶν βασιλεὺς Ἰσδιγέρδης ἔτη κα'.
α'. α'. ιε'. ια'. κθ'. η'. κγ'.

Τούτῳ τῷ ἔτει Ἀρκάδιος αὐτοκράτωρ ἀναδειχθεὶς τὸν μέγαν ἔμβολον ἄντικρυς τοῦ πραιτωρίου ἔκτισεν.

397. A. M. 5888 Ῥώμης ἐπίσκοπος λη' Ἀναστάσιος ἔτη γ'.
β'. β'. α'. ιβ'. λ'. θ'. κδ'.

398. A. M. 5889 γ'. γ'. β'. ιγ'. λα'. ι'. κε'.

---

1 εἰς τοῦτο *add. ex* b *om.* xyzA. — 2 Βεροίας bx Βεροίης z Βερόης f Βερύης em. — 3 γινόμενα bx γενόμενα yz. — μαγκιπίοις b μαγκηπίοις dy μαγκιπείοις c μαγκηπείοις z. — 4 ἀποκλειομένων b ἐγκλειομένων xyz συγκλειομένων Exc. — γήρως xz. — μυλῶσι gy. — 5 τήν *om.* g. — 10 ἀπὸ Ῥώμην hy. — 12 Ὠνόριον f. — 14 τὴν δειλίαν ἐλθεῖν b. — 15 ἐπελθούσῃ b ἐπιούσῃ xyz. — 17 τούς *om.* h. — υἱοὺς αὐτοῦ yz. — τόν *om.* y. — *De vv.* 20 *et* 21 *disputavi in dissert. de codd. Theophanis.* — 22 α' *om.* cyz. — ια' *om.* b. — *v.* 25 *om.* y; *ad annum* 5887 *transfert* g. — ἔτη β' h. — 26 ιβ' *et* 27 ιγ' *om.* cyz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 5891 - 399.
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*	
,εωϟ΄.	*ἔτη τϟ΄.*	*Ἀρκάδιος*	*Ἰσδιγέρδης*	*Ἰννοκέντιος*	
		ἔτη ιϑ΄.	*ἔτη κα΄.*	*ἔτη ιε΄.*	
		δ΄.	*δ΄.*	*α΄.*	

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*	
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*	
Νεκτάριος	*Κύριλλος*	*Θεόφιλος*	*Φλαβιανὸς*	
ἔτη ις΄.	*ἔτη λε΄.*	*ἔτη κη΄.*	*ἔτη κβ΄.*	
ιϑ΄.	*λβ΄.*	*ια΄.*	*α΄.*	

Τούτῳ τῷ ἔτει μετετέθη τὰ λείψανα τοῦ ἁγίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου ἐν Ἀλεξανδρείᾳ πρὸ ἓξ καλανδῶν 117 B
Ἰουλίου, μηνὶ Παυνὶ β΄.

ε΄. ε΄. β΄. ιε΄. λγ΄. ιβ΄. β΄. A. M. 5891 - 400.

Τούτῳ τῷ ἔτει ἑκάη Ἀνατόλιος ὁ λαμπρότατος ἐν Ἀλεξανδρείᾳ. ‖ *Ἀρκάδιος δὲ ὁ βασιλεὺς ἐποίησεν ἴδιον ἀριθμὸν ἐν Κωνσταντινουπόλει, οὓς ἐκάλεσεν Ἀρκαδιακούς.* ‖ cf. Malal. 349, 5 Leo. Gr. 104, 19

ϛ΄. ϛ΄. γ΄. ις΄. λδ΄. ιγ΄. γ΄. A. M. 5892 - 401.

‖ *Τούτῳ τῷ ἔτει Νεκτάριος, ὁ ἐπίσκοπος Κωνσταντινουπόλεως,* Exc. Bar. Cram. An. II, 98
ἐκοιμήθη. Θεόφιλος δέ, ὁ Ἀλεξανδρείας ἐπίσκοπος, παρὼν ἐσπούδασε κωλῦσαι τὴν Ἰωάννου τοῦ Χρυσοστόμου ψῆφον, Ἰσίδωρόν τινα ἴδιον πρεσβύτερον μαρτυρῶν ἐπίσκοπον τῆς βασιλίδος διακονήσαντα αὐτῷ, ἡνίκα Θεοδόσιος πρὸς Μάξιμον τὸν τύραννον ἐπολέμει, δισσὰς ἐπιστολὰς καὶ δῶρα ὑπ' αὐτοῦ ἐγχειρισθείς. ὁ δὲ βασιλεὺς καὶ πᾶσα ἡ πόλις τὸν Ἰωάννην ἀπὸ Ἀντιοχείας ὑπ' αὐτοῦ ἐπὶ τοῦτο προσκληθέντα χειροτονηθῆναι εὐδόκησαν. ἦν δὲ Ἰωάννης τῶν περιφανεστάτων Ἀντιοχείας, Σεκούνδου πατρὸς καὶ μητρὸς Ἀνθούσης. οὗτος ἐλλογιμώτατος σφόδρα τυγχάνων ἐκ θείας τὸ πλεῖστον χάριτος καὶ τοῖς δεινοτάτοις τῶν Ἑλλήνων σοφισταῖς ἐθαυμάζετο· ὅθεν Λιβάνιος περὶ τὸν θάνατον ἐρωτηθεὶς ὑπὸ τῶν φοιτητῶν, τίς ἄρα διαδέξοιτο τὴν διατριβὴν μετ' αὐτόν, ἔφη· "Ἰωάννην ἔλεγον, εἰ μὴ 65 P
τοῦτον ἡμῶν οἱ Χριστιανοὶ ἀπεσύλησαν". τὰς μέντοι θείας γραφὰς 118 B
ὁ Χρυσόστομος παρὰ Καρτερίῳ τινὶ ἡγουμένῳ μοναστηρίου ἐπαιδεύθη, τὰ δὲ ἐγκύκλια παρὰ Λιβανίῳ τῷ προειρημένῳ. ‖

3^4 Ἰσγέρδις b. — 3^5 Ἰνοκέντιος bh Ἰνοκέντιος f. — 6^2—10^2 Ἱεροσολύμων ἐπ. Κύριλλος ἔτη λε΄. λϑ΄ c. Ἱερ. ἐπ. Ἰωάννης ἔτη λε΄. λβ΄. gy Ἱερ. ἐπ. Ἰωάννης ἔτη λε΄ Κύριλλος λβ΄ b Ἱερ. ἐπ. Ἰωάννης ἔτη ις΄ β΄ h. — 9^4 ἔτη κβ΄ h ἔτη κς΄ *rell.* — 13 Ἰουλίου *add. ex* b *om. rell.* — Παῦνι b Πανί z. — β΄ *add. ex codd.* — 17 Ἀρκαδιακούς bd Mal. Leo Ἀρκαδικούς cyz. — 20 ἐπίσκοπος *om.* gy. — ἐσπούδαζε yz. — 21 Ἰσιδ. δέ τινα x. — 22 ἐπίσκοπον b εἰς ἐπισκοπήν xyz dignum episcopatu A. — 23 Θεοδ. ὁ βασιλεύς xz. — τὸν τύραννον *om.* x. — 25 ἀπὸ Ἀντιόχειαν byz. — ἐπὶ τούτῳ g. — 28 τὸ πλεῖστον] τε πλέον b. — 30 ὑπὸ τῶν φοιτ. *om.* h. — 31 Ἰωάννης c. — 33 ἡγ. ἐν μοναστηρίῳ g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τῷ δ' αὐτῷ ἔτει ἐτέχθη τῷ βασιλεῖ Ἀρκαδίῳ υἱὸς ἐξ Εὐδοξίας τῆς Αὐγούστης Θεοδόσιος ὁ μικρός, ὃν ἐδέξατο Ἰωάννης ἐν τῷ βαπτίσματι ὁ Χρυσόστομος.

402. A. M. 5893 *Κωνσταντινουπόλεως ἐπίσκοπος Ἰωάννης ὁ Χρυσόστομος ἔτη ς'.*
ζ'. ζ'. δ'. α'. λε'. ιδ'. δ'.

Exc. Bar. ‖ *Τῷ ἑβδόμῳ ἔτει Ἀρκαδίου γεννᾶται υἱὸς αὐτῷ Θεοδόσιος ὁ μικρὸς ἐξ Εὐδοξίας.* ‖

403. A. M. 5894 *Ἱεροσολύμων ἐπίσκοπος Ἰωάννης ἔτη ις'.*
ή. ή. ε'. β'. α'. ιε'. ε'.

cf. Leo Gr. p. 106, 9 ‖ *Τούτῳ τῷ ἔτει Γαϊνᾶς ἐτυράννησε κατὰ Ἀρκαδίου καὶ πολλὰ*
cf. Sozom. H. E. VIII, 4 *κακὰ τῷ Βυζαντίῳ ἐπεδείξατο.* ‖ *ὅρκους δὲ λαβὼν παρὰ Ἀρκαδίου καὶ δοὺς ἐν τῷ ναῷ τῆς ἁγίας Εὐφημίας ἐν Χαλκηδόνι, τούτους παρέβη καὶ πλείονα δράσας κακὰ εἰσῆλθεν ἐν τῇ πόλει χωρήσας πρὸς ἁρπαγὰς καὶ ἑτέρας ἀτοπίας. οὗτος ἐξελθὼν εἰς τὴν Χερρόνησον τῆς Θράκης σχεδίας ποιήσας κατεσκεύασεν, ἵνα πρὸς τὴν Ἀσίαν*
cf. Leo Gr. p. 106, 13 *διαπεράσας τὰς ἀνατολικὰς πόλεις χειρώσηται.* ‖ *ἔνθα πολέμου σφοδροῦ συρραγέντος κατά τε γῆν καὶ θάλασσαν, ἀπώλετο σὺν τῷ στρατεύματι.*

404. A. M. 5895 *θ'. θ'. ς'. γ'. β'. ις'. ς'.*

Malalas p. 349, 12 ‖ *Τούτῳ τῷ ἔτει Ὀνώριος ἐν Ῥώμῃ ταραχὰς καὶ στάσεις ἐκίνη-*
113 B *σεν. ἐπὶ σμικροῖς γάρ τισι πράγμασι κινηθεὶς πρὸς τοὺς πολίτας*
cf. Niceph. Kall. H. E. XIV, 5 *καὶ μὴ κατασχὼν τῆς ὀργῆς εἰς Ῥάβενναν μεθίσταται, πόλιν τῆς Ἰταλίας παράλιον. πέμψας δέ τινα τῶν παραδυναστευόντων αὐτῷ βάρβαρον τὸ γένος Γάλλον μετὰ πλήθους στρατοῦ ἐκέλευσε παραιδεῦσαι καὶ λυπῆσαι τοὺς εἰς αὐτὸν ἁμαρτήσαντας· ὑφ' οὗ μικροῦ*
66 P *δεῖν ἡ Ῥώμη πολιορκουμένη διεφθάρη πᾶσα. ὁ δὲ Ἀλάριχος παρέθετο ἑαυτὸν τοῖς συγκλητικοῖς τῆς πόλεως καὶ πάντα τὰ χρήματα τοῦ παλατίου λαβὼν καὶ τὴν ἀδελφὴν Ὀνωρίου ἀπὸ πατρὸς Πλακιδίαν, μικρὰν οὖσαν παρθένον, πρὸς τὸ οἰκεῖον ἔθνος ἀπῆλθεν εἰς τὰς Γαλλίας. Κωνστάντιος δέ τις κόμης ὢν μετὰ Ἀλαρίχου, πιστευθεὶς τὴν κόρην Πλακιδίαν ἔλαβεν αὐτὴν καὶ φυγὼν ἤγαγεν αὐτὴν πρὸς τὸν βασιλέα Ὀνώριον. καὶ ἀποδεξάμενος ὁ βασιλεὺς τὸν Κωνστάντιον ἐποίησεν αὐτὸν συγκλητικόν. μετ' ὀλίγον δὲ χρόνου ἔδωκεν*

---

2 ὁ Ἰωάννης b. — *vv.* 6 *et* 7 *om.* d. — 6 *Τούτῳ τῷ ἔτει Ἀρκαδίῳ γεννᾶται υἱὸς Θεοδόσιος* cz. — *υἱὸς αὐτῷ* b *αὐτῷ υἱός* y. — 8 *om.* c. — 10 *Γαϊνάς* bdz *Γαϊανάς* eem. — 14 *οὕτως* bh. — *Χειρόνησον* beyz *Χερόνησσον* d. — 16 *σφοδροῦ* b *πολλοῦ rell.* — 17 *σὺν τῷ στρατεύματι* b *σὺν τοῖς στρατεύμασιν rell.* — 21 *μικροῖς* d. — 22 *Ῥάβεναν* bz. — 23 *Ἰτταλίας* b. — *π. δέ τινα τῶν παραδυναστευόντων* b *π. δὲ τῶν παραδυναστευόντων* yz *π. δὲ τὸν παραδυναστεύοντα* x. — 25 *ἐφ' οὗ* h. — 28 *Ὠνορίου* f *Ὠνωρίου* d. — *Πλακηδίαν* dh. *Πλακίδαν* f. — 29 *οὖσαν μικρὰν π.* yz. — *εἰς om.* x. — 30 *Γαλλίους* bd Mal. — *ὧν codd. τῶν vulg.* — 31 *Πλακηδίαν* h *Πλακίδαν* m. — *φυγών* b Mal. *om.* xyz. — *αὐτήν* (*seq litura in* b) *add. ex* b Mal. *om.* xyz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῷ τὴν κόρην πρὸς γάμου καὶ ἀνηγόρευσεν αὐτὸν βασιλέα· ἐξ ἧς ἔσχεν υἱόν, ὃν ἐκάλεσεν Οὐαλεντινιανὸν νέον. καὶ ἀγωνισάμενος Κωνστάντιος σὺν Ὀνωρίῳ ἀνεῖλεν ἐν Ῥώμῃ τοὺς τυράννους· καὶ ἐδήμευσαν τοὺς οἴκους αὐτῶν καὶ εἰρήνευσαν τὴν πόλιν. ‖ Ἰωάννης Exc. Bar.
δέ, ὁ μέγας διδάσκαλος, κατεφώτισεν οὐ μόνον τὴν ἐκκλησίαν Κωνσταντινουπόλεως, ἀλλὰ καὶ Θρᾴκης καὶ Ἀσίας καὶ Πόντου, ὥστε 120 B
καὶ πρὸ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου τῶν ἐκκλησιῶν τούτων ὁ Κωνσταντινουπόλεως ἦρχεν. Μακεδονιανὸς δέ τις διὰ τῆς τοῦ πατρὸς διδασκαλίας προσῆλθε τῇ ἐκκλησίᾳ· παραινέσας δὲ καὶ τῇ ἰδίᾳ γυναικὶ ἐπιστρέψαι καὶ κοινωνῆσαι μόλις ἔπεισεν. ἡ δὲ κοινωνίαν δοῦσα τῇ ἰδίᾳ παιδίσκῃ ἐκ τῶν Μακεδονιανῶν ἐκέλευσεν ἔχειν μεθ' ἑαυτῆς. καὶ δὴ προσελθοῦσα τῷ Χρυσοστόμῳ καὶ δεξαμένη τὴν κοινωνίαν ἐκ τῶν ἁγίων αὐτοῦ χειρῶν, ὑποκριθεῖσα ταύτην μεταλαμβάνειν ἐσχάτως ἀπέδωκε ταύτην τῇ παιδίσκῃ, καὶ λαβοῦσα τὴν τῶν Μακεδονιανῶν προσάγει τῷ στόματι καὶ εὗρεν αὐτὴν λίθον γεγονυῖαν· καὶ φρίξασα προσῆλθεν ὑπότρομος τοῖς ποσὶν Ἰωάννου ἐξαγορεύουσα τὸ τόλμημα καὶ εἰλικρινῶς προσερχομένη τῇ ἐκκλησίᾳ· ὁ δὲ λίθος ἐν τῷ σκευοφυλακίῳ ἀπετέθη φυλάττεσθαι. ἡ δὲ τοῦ Χρυσοστόμου ἐπιστολή, ἡ πρὸς Θεόδωρον Μομψουεστίας, οὐχὶ πρὸς τὸν πρῶτον, ἀλλὰ πρὸς τὸν ἔσχατον γενόμενόν ἐστιν. ‖ Ἀρσένιος
ὁ μέγας κατὰ κόσμον γεγονὼς καὶ πάντων καταφρονήσας τὴν θείαν 121 B
φιλοσοφίαν ἐν Αἰγύπτῳ μετήρχετο, βίῳ καὶ λόγῳ καὶ θαύμασι διαλάμπων ἐν τῷ μοναχικῷ τάγματι.

‖ Τῷ δ' αὐτῷ ἔτει Ἀρκάδιος ἔστησε τὸν κίονα τοῦ Ξηρολόφου, cf. Georg. Mon. 489, 9
καὶ τὴν Ἀρκαδιούπολιν ἔκτισε τῆς Θρᾴκης. ‖ Leo Gr. 104, 20

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 5896 = 405
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,εωϟϛ΄.	ἔτη τϟϛ΄.	Ἀρκάδιος	Ἰσδιγέρδης	Ἰννοκέντιος	
		ἔτη ιδ΄.	ἔτη κά.	ἔτη ιε΄.	
		ι΄.	ι΄.	ζ΄.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἰωάννης	Ἰωάννης	Θεόφιλος	Φλαβιανὸς
ἔτη ϛ΄.	ἔτη ιϛ΄.	ἔτη κη΄.	ἔτη κβ΄.
δ΄.	γ΄.	ιζ΄.	ζ΄.

‖ Τούτῳ τῷ ἔτει Ἰωάννης ὁ Χρυσόστομος πολὺς ἦν ἐν βίῳ καὶ Exc. Bar. Cr. An. II, 98 67 P

---

4 ἐδήμευσαν b ἐδήμευσεν xyz. — 8 *Μακεδόνιος* y. — 9 ἐν τῇ ἐκκλ. by. — 10 τὴν κοινωνίαν y. — 14 ἐπέδωκε egmx. — ἡ παιδίσκη hy. — 16 φρίξας b. — εἰσῆλθε em ἦλθε f. — 18 σκευοφυλακείῳ c. — 20 y *inscriptionem in textu praemittit hanc:* περὶ τοῦ μεγάλου Ἀρσενίου, *quam* d *in mg. exhibet.* — Ἀρσ. δὲ ὁ xyz. — 24 ἔτει] χρόνῳ x. — ἔστησεν Ἀρκάδιος xyz. — 28[1] ,εωϟβ΄ cyz. — 28[2] τϟβ΄ cyz. — 28[4] Ἰσγέρδης b Ἰσδηγέρδης f. — 28[5] Ἰνοκέντιος bfh Ῥηνομέντος g. — 33[1] Ἰωάννης ὁ Χρυσόστομος z. — 35[3] ξ΄ gy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λόγῳ καὶ θείοις χαρίσμασι διαλάμπων καὶ ἀκριβὴς περὶ πᾶσαν ἀρετήν. τοῦτον ἠγάπα πᾶς ὁ λαὸς οἰκοδομούμενος σφόδρα ταῖς διδασκαλίαις αὐτοῦ, οἱ δὲ ξῶντες ἀσώτως ἀπεστρέφοντο αὐτόν· οἳ καὶ εἰς τὸν κατ' αὐτοῦ πόλεμον συνήργησαν. ἐν οἷς συνέβη καὶ τὰ κατὰ Εὐτρόπιον τὸν εὐνοῦχον, ἔτι δὲ καὶ ἡ φιλονεικία Σευηριανοῦ τοῦ Γαβάλων πρὸς Σαραπίωνα τὸν ἀρχιδιάκονον Ἰωάννου, καὶ τὸ τῶν Μακρῶν, τῶν ἐξ Αἰγύπτου φυγόντων διὰ Θεόφιλον, καὶ τὰ παρὰ Θεοφίλου πρὸς Ἐπιφάνιον γράμματα· ἐξ ὧν ἁπάντων ὁ Θε-
Exc. Bar. ράπων τοῦ Θεοῦ Ἰωάννης ἐπεβουλεύετο. ‖ Ἐπιφάνιος δὲ ὁ Κύπρου ἐλθὼν ἐν τῷ Ἑβδόμῳ χειροτονίας καὶ συνάξεις παρὰ τὴν Ἰωάννου γνώμην ἐποίησεν. τοῦ δὲ Ἰωάννου τοῦτο παρορῶντος διὰ τὴν θείαν
122 B ἀγάπην καὶ μᾶλλον προτρεψαμένου τὸν Ἐπιφάνιον ἐν τῷ ἐπισκοπείῳ συμμεῖναι αὐτῷ, οὐχ εἵλατο προκαταληφθεὶς ταῖς διαβολαῖς Θεοφίλου ταῖς κατὰ τοῦ μακαρίου Ἰωάννου. ‖

406. A. M. 5897 ια'. ια'. η'. ε'. δ'. ιη'. η'.

Exc. Bar. ‖ Τούτῳ τῷ ἔτει Ἰωάννης ὁ Χρυσόστομος λόγον κατὰ γυναικῶν πονηρῶν ἐποίησεν, ὃν οἱ δυσμενεῖς καὶ τῆς ἀληθείας ἐχθροὶ τὴν Εὐδοξίαν παρώξυναν λέγοντες κατ' αὐτῆς εἰρῆσθαι τὸν λόγον. ἡ δὲ πρὸς Ἀρκάδιον δεινὰ πεπονθέναι παρὰ Ἰωάννου λέγουσα τοῦτον παρεσκεύασε μεταστα̃λῆναι Θεόφιλον πρόδηλον ὄντα τοῦ Ἰωάννου ἐχθρόν· ὃς παραγενόμενος ἐν τῇ Δρυῖ, τῇ νῦν Ῥουφινιαναῖς λεγομένῃ, τὴν κατὰ Ἰωάννου ἐπιβουλὴν εἰργάσατο· καὶ τοῦτον τῆς πόλεως ἐξέβαλον. τοῦτο δὲ γνοὺς ὁ λαὸς στάσιν μεγάλην ἐποίησε μὴ συγχωρῶν ἐκβληθῆναι τὸν Ἰωάννην. ἐν οἷς καὶ Εὐδοξία τοῖς ὀδυρμοῖς τοῦ λαοῦ ἐπικαμφθεῖσα παρεκάλεσεν Ἀρκάδιον τὸν βασιλέα, καὶ πέμψας Βρίσωνα εὐνοῦχον ἀπὸ Πραινέτου τὸν Ἰωάννην ἀνέκαμψεν. ὁ δὲ πρὸ δοκιμασίας συνόδου εἰσελθεῖν οὐκ ἠνέσχετο, εἰς προάστειον δὲ κατὰ τὸν Ἀνάπλουν διέτριβεν. ὁ δὲ λαὸς καταβοῶν τῶν βασιλέων εἰσαγαγεῖν τὸν Ἰωάννην ἠνάγκασε καὶ τῷ θρόνῳ ἐγκαταστῆσαι· ὥστε Θεόφιλον καὶ τοὺς σὺν αὐτῷ φοβηθέντας φυγεῖν ἐκ τῆς πόλεως. τότε ξ' ἐπίσκοποι συνελθόντες ἄκυρα πάντα τὰ κατὰ

---

1 καὶ ἀκρ. περὶ π. ἀρετήν om. x. — 5 φιλονικία y φιλονικεία c. — 6 Γαβαλῶν by. — Σαραπίονα y Σεραπίωνα c Σεραπίονα d. — ἀρχιδιάκονα f. — καὶ τὸ τῶν—Θεόφιλον om. m. — 7 Μακρῶν] μοναχῶν z. — διὰ Θεοφίλου ef. — 8 πρὸς Ἐπ. πεμφθέντα γράμματα z. — 9 τοῦ θεοῦ bx τοῦ Χριστοῦ yz. — 11 παρῶντος em παρέντος f. — 12 ἐν om. fm. — ἐπισκοπίῳ bdfz. — 13 οὐκ εἵλατο (ἤλ. f) byz οὐκ εἵλετο x. — 17 δυσμενείας c. — καὶ οἱ τῆς f — 20 μεταστα̃λῆναι b Exc. μεταστείλασθαι rell. — πρόδηλον om. f, — 21 Ῥουφηναναῖς d Ῥουφιαναῖς f. — 23 ἐξέβαλεν xyzA. — ἐποίησαν em. — 26 πέμψασα Exc. Sozom. VIII, 18. — Βρίσσωνα d et ut vid. Exc. Crisone A. — Πρενέτου b Exc. — ἀνέκαμψεν b ἀνεκαλέσατο xyz reduxit A. — 27 δοκιμασίας b Exc. δημοσίας xyzA. — 28 Ἀναπλοῦν bf. — 29 τῶν βασιλέων scr. cum Exc. τὸν βασιλέα b τοῦ βασιλέως xyz ad imperatorem vociferatus A. — 31 τά om. y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ θείου Ἰωάννου παρὰ Θεοφίλου καὶ τῶν σὺν αὐτῷ ἐκύρωσαν 123 B
δικαίως. ‖

ιβ΄. ιβ΄. θ΄. ς΄. ε΄. ιθ΄. θ΄. A. M. 5898 - 407.

Τούτῳ τῷ ἔτει ἡ βασίλισσα Εὐδοξία ἀργυρέαν στήλην ἰδίαν
ποιήσασα ἔστησεν ἐν τόπῳ λεγομένῳ τὰ Πιττάκια πλησίον τῆς ἁγίας 68 P
Εἰρήνης. ὁ δὲ τῆς πόλεως ἔπαρχος, Μανιχαῖος καὶ ἑλληνόφρων ὤν,
κρότους καὶ χοροὺς καὶ ὀρχήσεις ἐνώπιον τῆς στήλης ἐπιτελῶν θορύ-
βους τε ποιῶν ἐλύπει τὸν Ἰωάννην, μὴ συγχωρῶν αὐτὸν ἡσύχως
τὰς θείας λειτουργίας ἐπιτελεῖν· πολλάκις γὰρ ἔφυρε τοὺς ψάλλον-
τας. ὁ δὲ ἱερὸς Ἰωάννης ἐπηνέχθη τούτῳ διὰ τοῦ λόγου. αὐτὸς
δὲ τὴν Εὐδοξίαν κατὰ τοῦ Ἰωάννου διήγειρεν ὡς δυσχεραίνοντος Exc. Bar.
ἐπὶ τῇ τιμῇ τῆς στήλης αὐτῆς. ‖ καὶ λοιπὸν πάλιν μῖσος κατὰ Ἰωάν- Cr. Anecd. II, 99
νου, πάλιν ὀργή. αὐτὸς δὲ τότε τὸν λόγον ἐπεδείξατο, οὗ ἡ ἀρχή·
"πάλιν Ἡρωδιὰς μαίνεται". τότε ἔχθρα τελεία τῆς βασιλίσσης κατ'
αὐτοῦ ἐκινήθη, καὶ πάλιν καθαίρεσις καὶ ἐξορία. ὁ δὲ λαὸς τὴν
ἐκκλησίαν ἐνέπρησεν· πολλοί τε ὑπὲρ Ἰωάννου ἐκινδύνευσαν. Ἰω-
άννης δὲ ἐξηλάθη τῆς πόλεως ‖ καὶ ἐξωρίσθη εἰς Κουκουσόν, ἐκεῖθέν Exc. Bar.
τε μετηνέχθη εἰς Πιτυοῦντα. γενόμενος δὲ ἐν Κομάνοις κατὰ πάρ- 124 B
οδον τῆς Ἀρμενίας ἐτελειώθη ἐν κυρίῳ. ‖ τούτου δὲ ἐξορισθέντος Exc. Bar.
Ἀρσάκιος ἐχειροτονήθη, ὁ ἀδελφὸς Νεκταρίου τοῦ πρὸ τοῦ Χρυσοστό- Cr. Anecd. II, 99
μου. Ἰννοκέντιος δὲ ὁ Ῥώμης καὶ Φλαβιανὸς Ἀντιοχείας οὐκ ἐκοι-
νώνησαν τῇ ἐκβολῇ Ἰωάννου, ἀλλὰ διὰ γραμμάτων τὸν κλῆρον τῆς
πόλεως παρεμυθήσαντο καὶ ἐδυσχέραινον ἐπὶ τοῖς τολμήμασιν. ‖ Ἐπι- Exc. Bar.
φάνιος δὲ ἐπὶ Κύπρου ἀπέπλευσεν, τοῦ θεοῦ, ὡς ἔοικεν, τὴν με-
τάστασιν αὐτοῦ προμηνύσαντος. φασὶ δὲ ὅτι καὶ Ἰωάννῃ τὴν ἐν τῇ
ἐξορίᾳ τελευτὴν ἐδήλωσεν, καὶ Ἰωάννης Ἐπιφανίῳ τὴν ἐν τῷ πλοίῳ.
Ἐπιφάνιος τοῖς προπέμπουσιν εἶπεν· "σπεύδω ἐγώ, ἀφίημι δὲ ὑμῖν
τὰ βιβλία τὴν πόλιν καὶ τὴν ὑπόκρισιν." ‖

Τῷ δ' αὐτῷ ἔτει τελευτᾷ καὶ ἡ Εὐδοξία.

Κωνσταντινουπόλεως ἐπίσκοπος Ἀρσάκιος ἔτη β΄. A. M. 5899 - 408.

ιγ΄. ιγ΄. ί. ά. ς΄. κ΄. ί.

‖ Τούτῳ τῷ ἔτει Ἀρκάδιος ὁ βασιλεὺς γενόμενος ἐν Καρύᾳ, Exc. Bar.
ἐν ᾗ καὶ τὸν ἅγιον μάρτυρα Ἀκάκιον λέγουσι παθεῖν, εὐξάμενός τε

---

1 *παρὰ τοῦ Θεοφίλου* yz. — 4 *ἀργυραίαν* bcyz *ἀργυράν* d. — 5 *ποιήσας* b. — 6 *ὕπαρχος* x. — *ὢν om.* f. — 7 *ἐνώπιον τῆς στήλης* b *om.* xyzA. — 8 *Ἰωάννην* b *ἀρχιερέα* xyzA. — *ἡσύχως om.* h. — 10 *ἐπενέχθη* b. — 12 *κατὰ τοῦ Ἰωάννου* cg. — 13 *απεδείξατο* h. — 14 *Ἡρωδίας* b *Ἡρωδιᾶς* f. — 18 *Πιτιοῦντα* bcyz. — *Κομάνοις* bf *Κωμάνοις* demz *Κομάνοις lit. c Κωμάνοις fact.* c. — 21 *Ἰνοκέντιος* bfh. — 22 *τὸν κλῆρον Κωνσταντινουπόλεως* d *τῆς πόλεως τὸν κλῆρον* yz. — 24 *ἀπέπλευσεν ἐπὶ Κύπρον* z *ἀπέπλευσεν om.* y. — *ἐν Κύπρῳ* f. — 25 *αὐτῷ* x. — *ἐν om.* h. — 28 *βιβλία*] *βασίλεια* Soz. VIII, 15 *sed βιβλία etiam* Exc. Bar. — 29 *τελευτᾷ* b *ἐτελεύτησε* xyzA. — *καὶ om.* f. — 31 *om.* y. — 32 *Καρύᾳ* b Socr. *Καρίᾳ rell.* Exc. *item p.* 80 *v.* 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐξελθὼν ἐκ τοῦ ναοῦ, εὐθέως ὁ μέγιστος οἶκος ὁ ἐν τῇ Καρύᾳ κατέπεσεν. τὸ δὲ πλῆθος σωθὲν τῇ εὐχῇ τοῦ βασιλέως τὴν σωτηρίαν ἐπέγραψεν. ‖

409. A. M. 5900 ιδ'. ιδ'. ια'. β'. ξ'. κά'. ια'.

cf. Cont. Prosp. a. 408 ‖ Τούτῳ τῷ ἔτει ἐν Ῥώμῃ ἐμυκήθη ἡ γῆ ἐπὶ ἡμέρας ξ'. καὶ
69 P ἐσφάγη Στιλίχων ὁ λαμπρότατος ἐν Ῥαβέννῃ, καὶ ἄλλοι δὲ δυνάσται.
125 B αὐτῷ δὲ τῷ ἔτει Ἀρκάδιος ἐτελεύτησε πρὸ ια' καλανδῶν Σεπτεμβρίου. ‖

cf. Niceph. H. E. XIV, 1 Τὸν δὲ νέον Θεοδόσιον μικρότατον ὄντα καὶ ἀπερίστατον κατανοήσας Ἀρκάδιος ὁ πατήρ, καὶ δείσας, μὴ ἀπό τινος ἐπιβουλευθῇ,
cf. Proc. Pers. p. 14 B. βασιλέα αὐτὸν ἀναγορεύσας κουράτορα αὐτοῦ κατὰ διαθήκας κατέστησεν Ἰσδιγέρδην, τὸν τῶν Περσῶν βασιλέα. Ἰσδιγέρδης δέ, ὁ τῶν Περσῶν βασιλεύς, τὴν Ἀρκαδίου διαθήκην δεξάμενος εἰρήνῃ ἀφθόνῳ πρὸς Ῥωμαίους χρησάμενος Θεοδοσίῳ τὴν βασιλείαν διεσώσατο· καὶ Ἀντίοχόν τινα θαυμαστόν τε καὶ λογιώτατον ἐπίτροπόν τε καὶ παιδαγωγὸν ἀποστείλας γράφει τῇ συγκλήτῳ Ῥωμαίων τάδε· Ἀρκαδίου κοιμηθέντος κἀμὲ κουράτορα τοῦ παιδὸς καταστήσαντος, τὸν ἀναπληροῦντα τὸν ἐμὸν τόπον ἀπέστειλα. μή τις οὖν εἰς ἐπιβουλὴν τοῦ παιδὸς ἐπιχειρήσῃ, ἵνα μὴ πόλεμον ἄσπονδον κατὰ Ῥωμαίων ἀνακαινίσω. ὁ δὲ Ἀντίοχος ἐλθὼν ἦν σὺν τῷ βασιλεῖ· ὑπὸ δὲ τῷ αὐτοῦ θείῳ Ὀνωρίῳ καὶ Πουλχερίᾳ τῇ ἀδελφῇ αὐτοῦ τὰ Χριστιανῶν ἐπιστημόνως ἐπαιδεύετο. καὶ ἦν εἰρήνη ἀναμεταξὺ Ῥωμαίων καὶ Περσῶν, μάλιστα τοῦ Ἀντιόχου πολλὰ ὑπὲρ Χριστιανῶν γράφοντος· καὶ οὕτως ἐπλατύνθη ἐν Περσίδι ὁ χριστιανισμός, Μαρουθᾶ, τοῦ ἐπισκόπου Μεσοποταμίας, μεσιτεύοντος.

410. A. M. 5901 126 B

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ϛϡα'.	ἔτη υα'.	Θεοδόσιος	Ἰσδιγέρδης	Ἰννοκέντιος
		ἔτη μβ'.	ἔτη κα'.	ἔτη ιε'.
		α'.	ιε'.	ιβ'.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἀττικὸς	Ἰωάννης	Θεόφιλος	Φλαβιανὸς
ἔτη κ'.	ἔτη ις'.	ἔτη κη'.	ἔτη κβ'.
α'.	η'.	κβ'.	ιβ'.

Τούτῳ τῷ ἔτει Ἀρκαδίου τοῦ βασιλέως τελευτήσαντος, ὃς ἐβα-

4 ια' *prius om.* cy. — 6 Στηλίχων cz Στηλήχων by. — Ῥαβέννῃ g Ῥαβένι h. — δέ *add. ex* b *om.* xyz. — 7 πρὸ ια'] πρὸς α' f. — καλάνδων d. — 10 κουράτωρα g *item v.* 16. — 11 Ἰσδηγέρδην d. — τὸν *om.* b. — Ἰσδηγέρδης x. — 12 ἀφθόνως h. — 14 τε *om.* x. — 17 τὸν τόπον τὸν ἐμόν xyz. — εἰς ἐπιβουλήν bx εἰς *om.* yz in insidias — conetur A. — 18 ἐπιχειρήσει bh ἐπιχηρήσει em ἐπιχρήσει f. — μὴ *om.* b. — ἀνακαινίσω b ἀνακαινίσῃ (-νήσει h) z ἀνακινήσῃ (-σει f) fxA ἀνακοινήσῃ (-νίσῃ m) em. — 20 Πουλχερίας τῆς ἀδελφῆς by. — τὰ *om.* f. — 22 καὶ οὕτως — χριστιανισμός *om.* x. — 23 Μαρουθᾶ — μεσιτεύοντος *add. ex* b *om.* xyz. — 27[1] ,ϛϡα' ef. — 27[2] υϡα' f. — 27[4] Ἰσδηγέρδης f. — 27[6] Ἰνοκέντιος bfh. — 33[2] ἔτη ιγ' h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σίλευσε μετὰ τὴν τελευτὴν Θεοδοσίου τοῦ πατρὸς ἔτη ιδ', μῆνας γ', ἡμέρας ιδ', συμβασιλεύσας καὶ τῷ πατρὶ αὐτοῦ ἔτη ιβ', κατέλιπε Θεοδόσιον τὸν υἱὸν αὐτοῦ βασιλέα ἐτῶν ἡ ὄντα, συμβασιλεύσαντα δὲ τῷ πατρὶ Ἀρκαδίῳ ἔτη ϛ'. Θεοδοσίου δὲ αὐτοκράτορος γενο-
5 μένου, ‖ Πουλχερία, ἡ τούτου ἀδελφή, παρθένος δέκα καὶ πέντε ἐτῶν οὖσα τὴν βασιλείαν σὺν θεῷ καλῶς διῴκει. εἶχε δὲ καὶ ἄλλας δύο ἀδελφάς, Ἀρκαδίαν καὶ Μαρίναν· καὶ ταύτας παρθενεύειν ἡ Πουλχερία ἔπεισεν. Θεοδόσιον δὲ τὸν ἀδελφὸν ἐπαίδευσε σοφωτάτη τυγχάνουσα καὶ θεῖον νοῦν κεκτημένη. τὸν δὲ ἀδελφὸν Θεοδόσιον
10 πρὸ πάντων μὲν εἰς τὴν κατὰ θεὸν εὐσέβειαν, ἔπειτα δὲ καὶ εἰς ἦθος καὶ λόγον καὶ βάδισμα καὶ γέλωτα καὶ στολὴν καὶ καθέδραν καὶ στάσιν βασιλικῶς ἐξεπαίδευσεν. πολλὰς δὲ ἐκκλησίας καὶ πτωχεῖα 70 P
ξενῶνάς τε καὶ μοναστήρια κτίσασα πᾶσι καὶ τὰς ἁρμοδίους προσ-
15 ὁδους βασιλικῶς ἀπένειμεν. ὁ δὲ Σωζομενὸς φησι περὶ αὐτῆς, ὅτι καὶ θείας ἐμφανείας ἠξιοῦτο. ‖

β'. ις'. ιγ'. β'. θ'. κγ'. ιγ'. A. M. 5902 - 411.

Τούτῳ τῷ ἔτει Ἀττικός, ἐπίσκοπος Κωνσταντινουπόλεως, Ἰουδαῖόν τινα παραλυτικὸν νουθετήσας, πείσας τε καὶ βαπτίσας ὑγιῆ ἐκ τῆς κολυμβήθρας ἀνήγαγεν. κατὰ θεὸν γὰρ λέγεται βεβιωκέναι. ‖ 127 B Exc. Barocc. 9 Cramer II, 99? cf. Socr. VII, 4

20 γ'. ιϛ'. ιδ'. γ'. ι'. κδ'. ιδ'. A. M. 5903 - 412.

‖ Τούτῳ τῷ ἔτει Ῥώμη παρελήφθη ὑπὸ Ἀλαρίχου πρὸ θ' καλανδῶν Σεπτεμβρίου· ‖ καὶ μεθ' ἡμέρας ὀλίγας Κωνσταντῖνος ὁ λαμπρότατος ἐσφάγη καὶ ἄλλοι πολλοί. Prosp. a. 410 Marc. Com. a. 411

δ'. ιη'. ιε'. δ'. ια'. κε'. ιε'. A. M. 5904 - 413.

25 ‖ Τούτῳ τῷ ἔτει ἐσφάγησαν ἐν Γαλλίαις Ἰοβιανὸς καὶ Σεβαστιανὸς οἱ λαμπρότατοι. καὶ ἦλθον αἱ κεφαλαὶ αὐτῶν ἐν Ῥώμῃ, καὶ μεθ' ἡμέρας ιε' ἐσφάγησαν Σαλούστιος καὶ Ἡρακλειανός. ‖ cf. Fast. Idat. a. 413

Ῥώμης ἐπίσκοπος Ζώσιμος ἔτη ἡ'. A. M. 5905. - 414.

ε'. ιθ'. α'. ε'. ιβ'. κϛ'. ις'.

30 ‖ Τούτῳ τῷ ἔτει οἱ Ἰουδαῖοι ἐν Ἀλεξανδρείᾳ κακὰ πολλὰ Χριστιανοῖς ἐνεδείξαντο. συνθέμενοι γὰρ πρὸς ἀλλήλους φορεῖν δακτύλιον ἀπὸ φοίνικος, τῇ νυκτὶ βοᾶν παρεσκεύασαν κήρυκας, ὅτι ἡ ἐκκλησία ἐνεπρήσθη. τῶν δὲ Χριστιανῶν συνδραμόντων, τούτους Exc. Barocc.

---

2 κατέλειπε fh. — 3 τὸν υἱὸν αὐτοῦ Θεοδ. h. — ἐτῶν ὄντα ἡ g. — συμβασιλεύσαντος cz. — 5 ἐτῶν δέκα καὶ πέντε x. — 6 οὖσα b ὑπάρχουσα xyz. — διῴκει Cram. Suid. v. Πουλχερία διοίκει b ἐδιοίκει xyz Exc. — καὶ om. em. — 7 Μαρίαν y. — 8 δὲ om. y. — τοῦ δὲ ἀδελφοῦ Θεοδοσίου g. — 13 ξενεῶνας f. — κτίσας ἅπασιν y. — καὶ om. dz. — 16 β'. ις'. ιγ'. β'. θ'. κγ'. θ'. ιγ'. cef. — 17 ὁ ἐπίσκ. b. — ἐπίσκ. ὁ Κωνσταντ. h. — 25 Ἰοβιανός b Ἰουβιανός rell. — Σεβαστός g. — 27 δεκαπέντε b πέντε g ε' rell. — Ἡρακλιανός ehm. — 28 ἔτη ἡ' em ἔτη ιε' bcfz. — 29 ιθ'] ιζ' y. — 30 οἱ Ἰουδαῖοι bh οἱ om. rell. — 31 Χριστιανοῖς bc τοῖς Χρ. rell. — 33 ἡ om. f. — ἐνεπρίσθη fh.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ Ἰουδαῖοι κατέσφαξον. τοῦ δὲ δράματος φωραθέντος, οἱ Χριστιανοὶ ἄρχοντες τούτους τῆς Ἀλεξανδρείας ἐξήλασαν καὶ τὰς ὑποστάσεις αὐτῶν ἐδήμευσαν. ‖

Τῷ δ' αὐτῷ ἔτει Ἀντίοχος ὁ Πέρσης ἐκποδὼν γέγονεν, καὶ ἡ
128 B μακαρία Πουλχερία τελείως τῶν πραγμάτων ἐκράτησεν.

415 - A. M. 5906	Κόσμου ἔτη ,εϑϛ΄.	Τῆς Θείας σαρκώσεως ἔτη υϛ΄.	Ῥωμαίων βασιλεὺς Θεοδόσιος ἔτη μβ΄. ϛ΄.	Περσῶν βασιλεὺς Ἰσδιγέρδης ἔτη κα΄. κ΄.	Ῥώμης ἐπίσκοπος Ζώσιμος ἔτη η΄. β΄.

Κωνσταντ. ἐπίσκοπος Ἀττικὸς ἔτη κ΄. ϛ΄.	Ἱεροσολύμων ἐπίσκοπος Ἰωάννης ἔτη ις΄. ιγ΄.	Ἀλεξανδρείας ἐπίσκοπος Θεόφιλος ἔτη κη΄. κζ΄.	Ἀντιοχείας ἐπίσκοπος Φλαβιανὸς ἔτη κβ΄. ιζ΄.

71 P Τούτῳ τῷ ἔτει Ὑπατίαν τὴν φιλόσοφον, θυγατέρα Θέωνος τοῦ φιλοσόφου, βιαίῳ θανάτῳ τινὲς ἀνεῖλον.

Exc. Bar. ‖ Τῷ δ' αὐτῷ ἔτει Ἰσδιγέρδης, ὁ τῶν Περσῶν βασιλεύς, πρότερον Μαρουθᾶ, τοῦ ἐπισκόπου Μεσοποταμίας, ταῖς παραινέσεσι πειθόμενος καὶ Ἀβδαᾶ, τοῦ τῆς βασιλευούσης ἐν Περσίδι πόλεως ἐπισκόπου, εἰς ἄκρον θεοσεβὴς γέγονεν, ὥστε ἔμελλε σχεδὸν βαπτίζεσθαι διὰ τὰς θαυματουργίας τοῦ Μαρουθᾶ, καὶ τοὺς μάγους ὡς ἀπατεῶνας ἐκόλαζεν. ‖ τῷ δὲ κ΄ ἔτει ὑπὸ τῶν μάγων ἀπατηθεὶς μέγαν κατὰ τῶν ἐν Περσίδι Χριστιανῶν διωγμὸν ἀνεκίνησεν· τῷ δὲ κα΄
cf. Theodoret, V, 39 ἔτει τετελεύτηκεν. ‖ αἰτία δὲ τοῦ διωγμοῦ αὕτη γέγονεν· Ἀβδαᾶς, ὁ τῆς βασιλευούσης ἐν Περσίδι ἐπίσκοπος, ζήλῳ μὲν θεοῦ φερόμενος, οὐκ εἰς δέον δὲ τῷ ζήλῳ χρησάμενος τὸν ναὸν τοῦ Πυρὸς ἐνέπρησεν. τοῦτο δὲ γνοὺς ὁ βασιλεὺς τὰς ἐν Περσίδι ἐκκλησίας καταλυθῆναι προσέταξε καὶ τὸν Ἀβδαᾶν διαφόροις κολάσεσιν ἐτιμωρήσατο. τοῦ δὲ διωγμοῦ ἐπὶ ε΄ χρόνους κρατήσαντος, πολλοὶ μάρτυρες καὶ ἀναρίθμη-
cf. Sozom. II, 11 τοι ἀνεδείχθησαν· ‖ οἱ γὰρ μάγοι κατὰ πόλεις καὶ κώμας ἐπιμελῶς ἐθήρευον τοὺς λανθάνοντας. ἄλλοι δὲ καὶ αὐτομάτως ἑαυτοὺς κατ-
129 B εμήνυον, ὥστε μὴ σιγῇ δόξαι τὸν Χριστὸν ἀπαρνεῖσθαι. ἀφειδῶς δὲ

---

1 οἱ *om.* g. — κατέσφαξον b Exc. κατέσφαξαν xyz. — δραμόντος f. — 8^4 Ἰσδηγέρδης f Διγέρδις e. — 9^5 ἔτη η΄ em ἔτη ιβ΄ z ἔτη ιε΄ cf ἔτη *om. num.* b. — 16 Ὑπατείαν fm. — 18 Ἰσδηγέρδης x Διγέρδις m. — προτέραν h. — 19 Μαρουθά g *sine acc.* c. — 20 Ἀβδαὰ τοῦ cegm Ἀβδαάτου b. — 22 Μαρουθά c Μαραθά g. — 23 ὑπὸ τῶν μάγων—κα΄ ἔτει *add. ex* b *om.* xyz. — 25 ἐτελεύτησεν h. — τοῦ διωγ. αὕτη γέγονεν· Ἀβδ. b τοῦ δ. αὐτοῦ γέγονεν Ἀβδ. xyz. — Ἀβδαάς egmx Ἀβδάας b. — 29 Ἀβδαάν gy Ἀβδάαν b Ἀβδαά x. — 31 ἐδείχθησαν g. — κώμας b Soz. χώρας *rell.* — ἐπιμελῶς *om.* g. — 32 αὐτομάτως] τοὺς ὑπάτους g. — 33 ἀπαρνεῖσθαι b Soz. ἀπαρνήσασθαι gxy ἀρνήσασθαι h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν Χριστιανῶν κτεινομένων, πλεῖστοι καὶ ἐν αὐτοῖς τοῖς βασιλείοις ἀνηρέθησαν. ‖ πολλοὶ δὲ καὶ τοῖς Ῥωμαίοις προσέφυγον. ‖ cf. Socr. VII, 18

ζ΄. κα΄. γ΄. ζ΄. ιδ΄. κη΄. ιη΄. A. M. 5907 - 416.

‖ Τούτῳ τῷ ἔτει Θεόφιλος, ἐπίσκοπος Ἀλεξανδρείας, ἀπεβίω, Exc. Bar. Cram. II, 100
καὶ Κύριλλος, ἀνεψιὸς αὐτοῦ, ἀντ' αὐτοῦ προεχειρίσθη. ‖

Τῷ δ' αὐτῷ ἔτει ἤνθει ταῖς διδασκαλίαις Ἡσύχιος, πρεσβύτερος Ἱεροσολύμων.

Περσῶν βασιλεὺς Οὐαραράνης ἔτη κ΄. A. M. 5908 - 417.
Ἀλεξανδρείας ἐπίσκοπος Κύριλλος ἔτη λβ΄.
η΄. α΄. δ΄. η΄. ιε΄. α΄. ιθ΄.

‖ Τούτῳ τῷ ἔτει Ἰουδαῖοι εἰς τὸ Ἰμμὸν παιδίον Χριστιανὸν Exc. Bar.
συλλαβόντες, ὡς παίζοντες δῆθεν καὶ τὸν σταυρὸν διασύροντες, τὸν αὐτὸν παῖδα ἐκρέμασαν ἐπὶ ξύλου ἀνελόντες βασάνοις. τοῦτο γνοὺς ὁ βασιλεὺς Ἰουδαίους πρεπόντως ἐκόλασεν. ‖

θ΄. β΄. ε΄. θ΄. ις΄. β΄. κ΄. A. M. 5909 - 418.
ι΄. γ΄. ς΄. ι΄. γ΄. κα΄. A. M. 5910 - 419.
Ἱεροσολύμων ἐπίσκοπος Πραῦλιος ἔτη κ΄. A. M. 5911 - 420.
ια΄. δ΄. ζ΄. ια΄. α΄. δ΄. κβ΄. 72 P 130 B

Τούτῳ τῷ ἔτει Λεοντίου τοῦ φιλοσόφου θυγατέρα Ἀθηναΐδα Exc. Bar.
λεγομένην ἐβάπτισεν Ἀττικὸς καὶ Εὐδοκίαν μετωνόμασεν, ἥτις κατὰ γνώμην Πουλχερίας γημᾶται Θεοδοσίῳ, κάλλει σώματος καὶ συνέσει ψυχῆς καὶ ἐν λόγοις διαπρέπουσα. ‖

Τῷ δ' αὐτῷ ἔτει ἐγεννήθη Οὐαλεντινιανός, ὁ υἱὸς Κωνσταντίου καὶ Γάλλας Πλακιδίας ἐν Ῥαβέννῃ. ‖ cf. Marc. Com. a. 419

Κόσμου ἔτη ,ϛ͵ιβ΄.	Τῆς θείας σαρκώσεως ἔτη υιβ΄.	Ῥωμαίων βασιλεὺς Θεοδόσιος ἔτη μβ΄. ιβ΄.	Περσῶν βασιλεὺς Οὐαραράνης ἔτη κ΄. ε΄.	Ῥώμης ἐπίσκοπος Ζώσιμος ἔτη η΄. η΄.	A. M. 5912 - 421.

Κωνσταντ. ἐπίσκοπος Ἀττικὸς ἔτη κ΄. ιβ΄.	Ἱεροσολύμων ἐπίσκοπος Πραῦλιος ἔτη κ΄. β΄.	Ἀλεξανδρείας ἐπίσκοπος Κύριλλος ἔτη λβ΄. ε΄.	Ἀντιοχείας ἐπίσκοπος Θεόδοτος ἔτη δ΄. α΄.

‖ Τούτῳ τῷ ἔτει Ἀττικὸς ὁ ἐπίσκοπος τοὺς Ἰωαννίτας ὁρῶν Exc. Bar.
ἔξω τῆς ἐκκλησίας συνάγοντας, τὸ ὄνομα Ἰωάννου τοῦ Χρυσοστόμου

1 κτεινομένων b κτεννομένων emx κτενομένων (κταιν. h) z κατατεμνομένων f. — ἐν αὐτοῖς τοῖς βασιλείοις b Soz. ἐν αὐταῖς ταῖς βασάνοις xyz. — 4 τῷ δ' αὐτῷ ἔτει d. — ὁ Θεόφ. b. — 5 ὁ ἀνεψιός xyz ὁ om. b. — 9 ἔτη λβ' b ἔτη λγ' cyz. — 11 τὸ Ἰμμόν b τὸ Ἴμμον g τὸ Ἶμμον h τὸ Ἰμμον sine acc. c τὸν Ἴμμον em τὸν Ἰμμον sine acc. f. — πεδίον b. — 12 διασύραντες em. — 16 ι΄. γ΄. ς΄. ι΄. ζ΄. γ΄. κα΄. cy. — 17 ἔτη ι΄ b. — 22 ἐν om. h. — 23 Κωνσταντίνου y. — 24 καὶ z om. bcy. — Γάλας g. — Πλακηδίας h. — 28[5] ἔτη η΄ bem ἔτη ιε΄ cfh ἔτη ια΄ g. — 32[4] Θεοδόσιος em. — 33[3] ἔτη λγ' b. — 34[1] ιβ' om. ef. — 35 ὁ om. b. — Ἰωαννήτας bcyz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν τοῖς διπτύχοις ἐν τῇ ἐκκλησίᾳ μνημονεύεσθαι προσέταξε καὶ πολλοὺς τῇ ἐκκλησίᾳ ἥνωσεν. ‖

Τῷ δ' αὐτῷ ἔτει ἐγεννήθη Οὐαλεντινιανὸς ὁ μικρός, υἱὸς Κωνσταντίου, ἐν Ῥαβέννῃ, ἐξάδελφος Θεοδοσίου.

422 - A. M. 5913 Ῥώμης ἐπίσκοπος Βονιφάτιος ἔτη δ'. 5

ιγ'. ς'. α'. ιγ'. γ'. ς'. β'.

Τούτῳ τῷ ἔτει Κωνστάντιος, ὁ πατὴρ Οὐαλεντινιανοῦ, ἐβασίλευσε πρὸ ς' ἰδῶν Φεβρουαρίων· καὶ ἐσφάγη πρὸ δ' νώνων Σεπτεμβρίων.

423 - A. M. 5914 ιδ'. ζ'. β'. ιδ'. δ'. ζ'. γ'. 10

Τούτῳ τῷ ἔτει ἐσφάγη Κάλλιστος ὁ αὐγουστάλιος ἐν Ἀλεξανδρείᾳ ὑπὸ τῶν ἰδίων δούλων μηνὶ Θὼθ ι'.

424 - A. M. 5915 ιε'. η'. γ'. ιε'. ε'. η'. δ'.

Τούτῳ τῷ ἔτει ἐτελεύτησεν Ὀνώριος ὁ βασιλεὺς ἐν Ῥώμῃ τῇ ιε' τοῦ Αὐγούστου μηνός, καὶ ἐδηλώθη ἐν Κωνσταντινουπόλει· καὶ 15
cf. Socrates VII, 23 131 B 73 P ἐκλείσθη ἡ πόλις ἡμέρας ζ'. ‖ τούτου δὲ τελευτήσαντος, Ἰωάννης τις ἐκ τῶν βασιλικῶν ὑπογραφέων τὴν ἐν Ῥώμῃ βασιλείαν ἁρπάζει καὶ πρεσβείαν πρὸς Θεοδόσιον ἀποστέλλει δεχθῆναι εἰς βασιλέα δεόμενος. ὁ δὲ Θεοδόσιος τοὺς πρεσβευτὰς ἐν φρουρᾷ κατακλείσας Ἀρδαβούριον τὸν στρατηγὸν ἀποστέλλει κατ' αὐτοῦ· ὃν τινα ὁ τύραννος εἰς Ῥάβενναν χειρωσάμενος κατέκλεισεν. τοῦτο μαθὼν Θεοδόσιος Ἄσπαρα, τὸν τούτου υἱόν, ἀποστέλλει κατ' αὐτοῦ, καὶ τῇ τοῦ θεοφιλοῦς βασιλέως εὐχῇ ἄγγελος κυρίου ἐν σχήματι ποιμένος φανεὶς ὡδήγησε τὸν Ἄσπαρα καὶ τοὺς σὺν αὐτῷ· καὶ ἄγει αὐτοὺς διὰ τῆς παρακειμένης τῇ Ῥαβέννῃ λίμνης ἀβάτου οὔσης, ἣν ὁ θεὸς βατὴν εἰργάσατο ὥσπερ ἐπὶ τῶν Ἰσραηλιτῶν. καὶ διαβάντες διὰ ξηρᾶς, ἀνεῳγμένας τὰς πύλας τῆς πόλεως εὑρόντες, τὸν μὲν τύραννον
cf. Socr. VII, 24 ἀνεῖλον, τὸν δὲ Ἀρδαβούριον τῶν δεσμῶν ἀπέλυσαν. ‖ τούτου δὲ ἀναιρεθέντος, ὁ βασιλεὺς Θεοδόσιος Οὐαλεντινιανόν, τὸν υἱὸν

---

3 ὁ μικρός *add. ex* b *om. rell.* — ὁ υἱός h. — *Κωνσταντίνου* y. — *v.* 5 *om.* b. — *Βονηφάτιος* hy *Βονυφάτιος* c. — 6 ιγ'. ς'. θ'. ιγ'. γ'. ς'. β'. z ιγ'. ς'. ιγ'. γ' ς'. α'. β'. cf ιγ'. ς'. α'. ιγ'. ς'. α'. β'. em. — *vv.* 7—10 *om.* h. — 8 *ἰνδῶν* b *εἰδῶν rell.* — *φευρουαρίων* gm. — *νώνων* cg *νόνων rell.* — *σεπτεμβρίων* c *σεπτεμβρίῳ* fg *σεπτεβρίῳ* em *σεπτεμβρίου* b. — 10 ιδ'. ζ'. β'. ιδ'. ζ'. β'. γ'. em ιδ'. ζ'. ιδ'. ζ'. β'. γ'. f ιδ'. ζ'. ιδ'. δ'. ζ'. β'. γ'. c. ιδ'. ζ'. ι'. ιδ'. δ'. ζ'. γ'. g. — 13 ιε'. η'. ια'. ιε'. ε'. η'. z. — 14 *τελευτὴ Ὀνωρίου βασιλέως Αὐγούστου βασιλεύσας ἐν Ῥώμῃ χρόνους λε'. mg.* f. — 15 *ἐδηλώθη*] ἐδήθη f. — 16 *ἡμέρας ζ' τούτου* (*τοῦ* h) *τελευτήσαντος. Ἰωάννης δέ* (*δὲ om.* y) *τις* xyz. — 17 *ὑπογραφέων* f. *m. corr. ὑπογράφων* b *ὑπογραφῶν* yz *sine acc.* c. — 18 *πρέσβεις* xz. — 19 *ἐν φρουρᾷ* (*ῥουφᾷ* f) *τοὺς πρεσβευτὰς* (*πρέσβεις* d) xyz. — 20 *ἀποστέλλει κατ' αὐτοῦ τὸν στρατ. Ἀρδ.* x. — *Ἀρταβούριον* y. — 21 *Ῥάβεναν* bem *Ῥαβέννα* h *Ῥαβέννα* f. — *τοῦτο δὲ μαθών* xyz *δὲ om.* b. — 27 *εὑρόντες τῆς πόλεως* xyz. — 28 *ἀνεῖλεν* g. — *Ἀρταβούριον* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κωνσταντίου καὶ Γάλλας Πλακιδίας, καίσαρα ποιήσας ἐπὶ τὰ ἑσπέρια ἀπέστειλε μετὰ τῆς ἰδίας μητρός, Ἡλίωνα δὲ τὸν πατρίκιον συναπέστειλεν ὡς ὀφείλοντα καταστῆσαι αὐτόν· καὶ ἐβασίλευσεν ἔτη λβ'.

Ἀντιοχείας ἐπίσκοπος Ἰωάννης ἔτη ιη'. A. M. 5916 - 425.

ις'. θ'. δ'. ις'. ς'. θ'. α'.

Τούτῳ τῷ ἔτει ἀκαταστασίαι καὶ ἀλληλοκτονίαι ἐν Ἀλεξανδρείᾳ 132 B
γεγόνασι πολλαί.

‖ Τῷ δ' αὐτῷ ἔτει Θεοδόσιος διὰ Ἡλίωνος πατρικίου στέφανον cf. Socr. VII, 21
βασιλικὸν ἔπεμψε τῷ Οὐαλεντινιανῷ ἐν Ῥώμῃ. ‖ Μαρουθᾶς δέ, cf. Socr. VII, 8
ὁ ἐπίσκοπος Μεσοποταμίας, τὸν υἱὸν τοῦ βασιλέως Περσῶν Ἰσδιγέρδην δαιμονῶντα ἰάσατο διὰ προσευχῆς καὶ νηστείας, ὅθεν ὁ Ἰσδιγέρδης πολλὴν πληροφορίαν εἰς τὸν χριστιανισμὸν προσελάβετο.

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 5917 - 426.
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*	
χθιζ'.	*ἔτη υιζ'.*	*Θεοδόσιος*	*Οὐαραράνης*	*Κελεστῖνος*	
		ἔτη μβ'.	*ἔτη κ'.*	*ἔτη ί.*	
		ιζ'.	*ί.*	*α'.*	

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Ἀττικὸς	*Πραῦλιος*	*Κύριλλος*	*Ἰωάννης*
ἔτη κ'.	*ἔτη κ'.*	*ἔτη λβ'.*	*ἔτη ιη'.*
ιζ'.	*ζ'.*	*ί.*	*β'.*

ιη'. ια'. β'. ιη'. η'. ια'. γ'. A. M. 5918 - 427.

‖ Τούτῳ τῷ ἔτει τοῦ Ἰσδιγέρδου θανόντος, Οὐαραράνης, ὁ cf. Theodoret. V, 39
τούτου παῖς, σὺν τῇ βασιλείᾳ καὶ τὸν τῆς εὐσεβείας διωγμὸν διεδέξατο ‖ καὶ πρὸς Θεοδόσιον πρέσβεις ἔπεμψε τοὺς φυγάδας ἐξαι- cf. Socr. VII, 18 74 P
τούμενος. Θεοδόσιος δέ, ὁ τῶν Ῥωμαίων βασιλεύς, οὐ κατεδέξατο τούτους προδοῦναι. ἐκ τούτου ἀρθεισῶν τῶν σπονδῶν πόλεμος δεινὸς συνεκροτήθη. καὶ ὁ μὲν Θεοδόσιος ἀποστέλλει Ἀρδαβούριον στρατηγὸν μετὰ δυνάμεως Ῥωμαϊκῆς, Οὐαραράνης δὲ ἀποστέλλει Ναρσαῖον στρατηγὸν σὺν δυνάμει Περσικῇ, καὶ πολλὰς μυριάδας Σαρακηνῶν πρὸς βοήθειαν ἔχων. ὁ δὲ Ἀρδαβούριος καταλαβὼν τὴν Περσίδα καὶ πορθήσας τὴν λεγομένην Ἀρζανηνὴν ἐπαρχίαν ἐπὶ

1 *Κωνσταντίνου* f. — *Γάλλας* b *Γάλλης* xyz. — *Πλακηδίας* h. — 2 *μετὰ — συναπέστειλεν* b *om.* xyz. — *Ἡλίωνα* b. — 3 *ὀφείλων* c *ὀφείλον* d. — *αὐτόν* b *αὐτὸν βασιλέα* gy *αὐτὸν καὶ βασιλέα* hx. — *λβ'* b *λα'* xyz. — *ἔτη λα' ἣν δὲ χρόνων ς' Οὐάλεντος* h *χρόνων ς' ἦν Οὐαλεντινιανὸς ad v.* 1 *in mg. ponunt* fg. — 5 *ις'. θ'. ιβ'. ις'. ς'. θ'. α'. ς.* — 8 *Ἡλίωνος* b. — 9 *Μαρουθᾶς* egm *sine acc.* c. — 10 *Ἰσδηγέρδην* x. — 11 *δαιμονόντα* em *δαιμονιῶντα* d. — *ὁ om.* yz. — *Ἰσδηγέρδης* x *Εἰσδιγέρδης* g. — 21[3] *ἔτη λγ'* b *ἔτη κβ'* g. — *v.* 23 *hic om.* em *cf. p.* 86, 14. — 24 *τοῦ om.* xyz. — *Ἰσδιγέρδους* b *Ἰσδηγέρδου* x. — *Θανέντος* h. — 25 *διεδέξατο διωγμόν* xyz. — 28 *ἐκ τούτων* hy *ἐκ πλείστων* g. — 30 *τὸν στρατηγόν* xyz. — *ῥωμαϊκῆς*] *πολλῆς* h. — *Οὐαράνης* f. — 31 *Ναρσαῖον scr. e* Socr. *Ἀρσαίον* d *Ἀρσαιον sine acc.* c *Ἀρσεον* yz *Ἀρσένιον* b. — *μετὰ δυνάμεως Περσικῆς* g. — 33 *Ἀρζανηνὴν* Socr. *Ἀρζανίνην* b *Ἀρζανὴν* dehm *Ἀρζάνην* f *Ἀρζανην sine acc.* c *Ἀρξανήν* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν Μεσοποταμίαν ἔρχεται, ὁμοίως καὶ ὁ τῶν Περσῶν στρατηγὸς
133 B κατέλαβε τὴν Μεσοποταμίαν πλησίον τοῦ Εὐφράτου· καὶ νομίσαντες τὴν Ῥωμαίων δύναμιν ἐπέρχεσθαι αὐτοῖς, ἐκ θεοῦ δειλανθέντες εἰς τὸν ποταμὸν ἑαυτοὺς ἔνοπλοι ἔρριπτον· καὶ οὕτω περὶ τὰς ι΄ μυ-
cf. Socr. VII, 20 ριάδας πνιγέντες διεφθάρησαν. ‖ οἱ δὲ Ῥωμαῖοι τοὺς λοιποὺς μεσολαβήσαντες πάντας αὐτῶν καὶ τὴν μυριάδα τῶν παρ' αὐτοῖς λεγομένων Ἀθανάτων ἀνεῖλον καὶ τοὺς στρατηγοὺς αὐτῶν, τοῦ Χριστοῦ δίκην εἰσπραξαμένου τοὺς Πέρσας, ἀνθ' ὧν πολλοὺς τῶν εὐσεβῶν ἀπέκτειναν ἀδίκως. ‖

428 — A. M. 5919	Κόσμου ἔτη ,ϡιθ΄.	Τῆς θείας σαρκώσεως ἔτη νιθ΄.	Ῥωμαίων βασιλεὺς Θεοδόσιος ἔτη μβ΄. ιθ΄.	Περσῶν βασιλεὺς Οὐαραράνης ἔτη κ΄. ιβ΄.	Ῥώμης ἐπίσκοπος Κελεστῖνος ἔτη ι΄. γ΄.
	Κωνσταντ. ἐπίσκοπος Ἀττικὸς ἔτη κ΄. ιθ΄.	Ἱεροσολύμων ἐπίσκοπος Πραῦλιος ἔτη κ΄. θ΄.	Ἀλεξανδρείας ἐπίσκοπος Κύριλλος ἔτη λβ΄. ιβ΄.	Ἀντιοχείας ἐπίσκοπος Ἰωάννης ἔτη ιη΄. δ΄.	

Exc. Barocc. Cramer II, 100 ‖ Τούτῳ τῷ ἔτει τοῦ προφήτου Ζαχαρίου τὰ λείψανα εὑρέθησαν ἐν κώμῃ τινὶ κατὰ τὴν περιοικίδα Ἐλευθεροπόλεως, ὁμοίως καὶ Στεφάνου τοῦ πρωτομάρτυρος ἐν κώμῃ Καπαργαμάλα, ἐν ᾗ Γαμαλιήλ, ὁ διδάσκαλος Παύλου τοῦ ἀποστόλου, σὺν Ἀβίβῳ, τῷ υἱῷ αὐτοῦ, ἔθαψαν κηδεύσαντες τὸ σῶμα τοῦ πρωτομάρτυρος. ‖

429. A. M. 5920 κ΄. ιγ΄. δ΄. κ΄. ί. ιγ΄. ε΄.

cf. Niceph. H. E. XIV, 9 Τούτῳ τῷ ἔτει Θεοδόσιος ὁ εὐσεβὴς κατὰ μίμησιν τῆς μακαρίας
134 B Πουλχερίας πολλὰ χρήματα τῷ ἀρχιεπισκόπῳ Ἱεροσολύμων ἀπέστειλεν εἰς διάδοσιν τῶν χρείαν ἐχόντων, καὶ σταυρὸν χρυσοῦν διάλιθον πρὸς τὸ παγῆναι ἐν τῷ ἁγίῳ κρανίῳ. ὁ δὲ ἀρχιεπίσκοπος ἀντίδωρον ἀποστέλλει λείψανα τῆς δεξιᾶς χειρὸς τοῦ πρωτομάρτυρος Στεφάνου διὰ τοῦ ἐν ἁγίοις Πασσαρίωνος. τούτου δὲ εἰς Χαλκηδόνα φθάσαντος, θεωρεῖ ἡ μακαρία Πουλχερία αὐτῇ τῇ νυκτὶ ἐν ὁράματι τὸν

---

3 τὴν τῶν Ῥωμ. xyz. — 4 ἐνόπλους f ἐνόπλοις em. — περὶ τὰς μυριάδας ι΄ y. — 5 πνιγέντας b. — διεφθάρησαν — μεσολαβήσαντες *om.* em. — 6 αὐτῶν b αὐτούς xyz. — τῶν] τὴν b. — 8 τοὺς Πέρσας b τοῖς Πέρσαις xyz. — *Numeros anni* 5918 *ante versus* 14 *et* 19 *transponunt* em. — 18[3] ἔτη λγ΄ b. — 21 Ἐλευθεροὺπόλεως bm Cr. *sed* Ἐλευθεροπόλεως Exc. *cf. p.* 73, 29. — 22 Καπαργαμάλα b Cr. Exc. Nic. XIV, 9 κατὰ παργαμαλὰ eg κατὰ περγαμαλᾶ f καταπυργαμαλά m κατὰ περγάμαλα d κατὰ καταπεργαμαλα *sine acc.* c κατὰ περγαβαλᾶ h. — 23 Ἀββίβῳ f Ἀββίῳ em Cr. *sed* Ἀβίβῳ Exc. Nic. — 26 ὁ εὐσεβὴς βασιλεύς z. — 27 ἀρχιεπισκόπῳ b ἐπισκόπῳ (-ων c) *rell.* — 28 εἰς bx πρὸς z *om.* y. — καὶ τὸν σταυρόν y. — χρυσόν b. — διὰ λίθων g. — ποιῆσαι πρός z. — 29 ἀντὶ δῶρον b ἀντὶ δώρων x. — 30 ἀποστέλλει b ἀπέστειλε xyz. — λείψανα b Nic. λείψανον xyz. — 31 Πασαρίωνος b Πασσαρίονος f. — 32 ἐν] ἐπ' y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἅγιον Στέφανον λέγοντα αὐτῇ· "ἰδού, ἡ προσευχή σου εἰσηκούσθη, καὶ ἡ αἴτησίς σου γέγονεν, καὶ ἦλθον εἰς Χαλκηδόνα." ἡ δὲ ἀναστᾶσα καὶ τὸν ἀδελφὸν αὐτῆς λαβοῦσα ἐξῆλθεν εἰς συνάντησιν τῶν ἁγίων 75 P
λειψάνων, καὶ ταῦτα εἰς τὸ παλάτιον λαβοῦσα κτίζει οἶκον ἔνδοξον τῷ ἁγίῳ πρωτομάρτυρι κἀκεῖ τὰ ἅγια κατέθετο λείψανα.

Κωνσταντινουπόλεως ἐπίσκοπος Σισίννιος ἔτη β'. A. M. 5921-430.
κά. ιδ'. έ. ά. ια'. ιδ'. ς'.

‖ *Τούτῳ τῷ ἔτει ἀγαθότητι πολλῇ κινούμενος Θεοδόσιος ὁ* cf. Socr. VII, 20
βασιλεύς, καίπερ νικήσας κατὰ κράτος τοὺς Πέρσας, φειδοῖ τῶν 10 *κατοικούντων ἐν Περσίδι Χριστιανῶν εἰρήνην ἀσπάζεται καὶ ἀποστέλλει πρεσβευτὰς Ἡλίωνά τε τὸν πατρίκιον, ὃν πάνυ διὰ τιμῆς ἦγεν, καὶ Ἀνατόλιον, τὸν τῆς ἀνατολῆς στρατηγόν, εἰρήνην σπείσασθαι. Οὐαραράνης δὲ γνοὺς τὴν ἑαυτοῦ ἧττων δέχεται τὴν πρεσβείαν, καὶ οὕτως ὁ κατὰ τῶν Χριστιανῶν ἐπαύσατο διωγμός.* ‖ *ὁ δὲ βασιλεὺς* cf. Theodoret. V, 36
15 *Θεοδόσιος ἐπὶ ταῖς τοιαύταις εὐεργεσίαις τὸν θεὸν εὐχαριστῶν γε-* 135 B
ραίρειν τοῖς ὕμνοις οὐκ ἐπαύετο, κοινωνοὺς ἔχων τῆς ὑμνῳδίας τὰς ἰδίας ἀδελφὰς διὰ βίου τὴν παρθενίαν ἀσκούσας. ‖

‖ *Τῷ δ' αὐτῷ ἔτει Σισίννιος, ὁ ἐπίσκοπος Κωνσταντινου-* ?Exc. Bar. cf. Socr. VII, 28
πόλεως, Πρόκλον χειροτονεῖ ἐπίσκοπον Κυζίκου· ὃν τινα οἱ Κυζι-
20 *κηνοὶ μὴ δεξάμενοι μοναχόν τινα παρὰ γνώμην Σισιννίου Δαλμάτιον λεγόμενον χειροτονοῦσιν. ὁ δὲ Πρόκλος ἐκκλησίαν ἰδίαν μὴ ἔχων ἐν Κωνσταντινουπόλει προτροπῇ Σισιννίου ταῖς διδασκαλίαις ἦν διαπρέπων.* ‖

Τῷ δ' αὐτῷ ἔτει ὁ κατὰ τῶν Χριστιανῶν διωγμὸς ἐν Περσίδι
25 *ἐπαύσατο.*

κβ'. ιέ. ς'. β'. ιβ'. ιέ. ζ'. A. M. 5922-431.

‖ *Τούτῳ τῷ ἔτει Φίλιππος, πρεσβύτερος Σίδης, χριστιανικὴν* cf. Socr. VII, 27
ἱστορίαν συγγραψάμενος ἐν λς' βιβλίοις πολλὰ καθάπτεται Σισιννίου διὰ τὸ προκριθῆναι τὸν Σισίννιον Φιλίππου εἰς τὴν ἐπισκοπὴν ἅμα
30 *καὶ Πρόκλῳ· εὐθὺς δὲ Σισίννιος ἐτελεύτησεν.* ‖

---

2 ἦλθεν bg. — 4 ταύτην cz τοῦτο d. — 6 *Σισίνιος* beh *Σισίνις* m. — 9 *τῶν ἐν Π. κατοικ. χρ.* c. — 11 *Ἡλίωνα* b *sine spir.* c. — *πάνυ*] *πάλαι* g. — 12 *σπήσασθαι* e *πήσασθαι* m *ποιήσασθαι* f. — 18 *Σισίνιος* h *et sic ubique.* — *Σισ. ἀρχιεπίσκοπος* z. — 19 *Κυζικινοί* bdhy. — 20 *Δαλματινόν* y. — 21 *ἰδίαν ἐκκλησίαν* xyz. — 22 *προτροπῆς* b. — 23 *ἦν om.* b. — 24 *τῶν om.* h. — 25 *διεπαύσατο* y. — 28 *λ'* h. — *βίβλοις* b. — 29 *ἀποκριθῆναι* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

428. A. M. 5923. *Κόσμου* ἔτη ,ϛϡκγ΄. *Τῆς θείας σαρκώσεως* ἔτη υκγ΄. *Ῥωμαίων* βασιλεὺς Θεοδόσιος ἔτη μβ΄. κγ΄. *Περσῶν* βασιλεὺς Οὐαραράνης ἔτη κ΄. ιϛ΄. *Ῥώμης* ἐπίσκοπος Κελεστῖνος ἔτη ι΄. ζ΄.

Κωνσταντ. ἐπίσκοπος Νεστόριος ἔτη γ΄. α΄. *Ἱεροσολύμων* ἐπίσκοπος Πραῦλιος ἔτη κ΄. ιγ΄. *Ἀλεξανδρείας* ἐπίσκοπος Κύριλλος ἔτη λβ΄. ιϛ΄. *Ἀντιοχείας* ἐπίσκοπος Ἰωάννης ἔτη ιη΄. η΄.

Τούτῳ τῷ ἔτει Σισιννίου, ἐπισκόπου Κωνσταντινουπόλεως,
76 P *κοιμηθέντος, Νεστόριος τὴν ἐπισκοπὴν διαδέχεται Γερμανικεὺς τῷ*
γένει. ἅμα δὲ τῷ θρόνῳ ἐπέβη, παραυτίκα ἡ αὐτοῦ κακοπιστία,
136 B *καὶ τὸ ἐν τοῖς δόγμασι διεστραμμένον φρόνημα ἐδείκνυτο. ὁμιλίαν*
γὰρ περὶ πίστεως ἐκδέδωκε τῷ ἑαυτοῦ συγκέλλῳ, κελεύσας αὐτῷ
ταύτην ἐπ᾽ ἐκκλησίας κηρῦξαι ἔχουσαν οὕτως· "Θεοτόκον τὴν Μαρίαν
καλείτω μηδείς· Μαρία γὰρ ἄνθρωπος ἦν, καὶ ὑπὸ ἀνθρώπου θεὸν
cf. Niceph. XIV, 32 *τεχθῆναι ἀδύνατον."* *ταύτης ἐπελάβετο πρῶτον τῆς φωνῆς Εὐσέβιός*
τις, σχολαστικὸς τῆς βασιλικῆς Κωνσταντινουπόλεως, ὅθεν πολλοὶ
τῶν Βυζαντίων ἐταράχθησαν. ὁ δὲ Νεστόριος τὸν λόγον κυρῶσαι
σπεύδων πανταχοῦ τὴν Θεοτόκον φωνὴν ἐξέβαλε ψιλὸν ἄνθρωπον
cf. Niceph. XIV, 32 fin. *λέγων τὸν κύριον. ἐν μιᾷ δὲ κυριακῇ προκαθημένου Νεστορίου,*
προτραπεὶς Πρόκλος τοῦ ἐξηγήσασθαι εἶπεν ὁμιλίαν εἰς τὴν Θεοτόκον,
Exc. Bar. *ἧς ἡ ἀρχή· "παρθενικὴ πανήγυρις σήμερον, ἀδελφοί."* ‖ *τότε μισητὸς*
γενόμενος παρὰ πᾶσιν ὁ δυσσεβὴς Νεστόριος διὰ τῦφον καὶ
κακοπιστίαν· εἶχε γὰρ καὶ Ἀναστάσιόν τινα, πρεσβύτερον Ἀντιοχέα,
ὃν σφόδρα περιεποιεῖτο ὡς ὁμόφρονα, ἄνδρα τολμηρότατον, ἐπ᾽
ἐκκλησίας βλασφημοῦντα τὴν ἀειπάρθενον Θεοτόκον. ‖ *τούτου δὲ*
Εὐσέβιος, ὁ τοῦ Δορυλαίου, πρῶτος κατεῖπεν. οὕτω δὲ διαπραττά-
μενος πολλοὺς θορύβους ἤγειρε καὶ ταραχάς.

cf. Georg. Mon. p. 498, 18 ‖ *Τῷ δ᾽ αὐτῷ ἔτει καὶ τὸ φοβερὸν θαῦμα τῶν ἁγίων ἑπτὰ*
παίδων ἐν Ἐφέσῳ γέγονεν, ἀναστάντων αὐτῶν διὰ ρπβ΄ ἐτῶν. ‖

κδ΄. ιζ΄. η΄. β΄. ιδ΄. ιζ΄. θ΄.

429/30 A. M. 5924 4/33 137 B cf. Niceph. XIV, 33 *Τούτῳ τῷ ἔτει μαθὼν Κύριλλος, ὁ τῆς Ἀλεξανδρέων ἐπίσκοπος,*
τὰς τοῦ Νεστορίου βλασφημίας γράφει αὐτῷ παρακαλῶν καὶ νουθε-

---

9[3] ἔτη ϡγ΄ b. — 11 *Σισινίου* bh. — *Κωνσταντινουπόλεως om.* b. — 15 *συγκέλῳ* h *συγγέλλῳ* e *συγγέλῳ* m. — 16 *ἀπ᾽ ἐκκλησίας* h. — 19 *τῆς βασιλικῆς* b *τῆς βασιλίσσης* cf *τῆς βασιλήσης* em *τῆς βασιλίδος* z *om.* d imperatricis A. — 21 *Θεοτόκον* b *Θεοτόκος* emxz *om.* f. — *ἐξέβαλλεν* cemz. — 22 *λέγοντα* b *λέγον* y. — *προκαθεξομένου* gy *προκ. Νεστορίου om.* h. — 23 *Πρόκλου* b. — *εἶπεν· ὁμιλία εἰς τὴν Θεοτόκον* xyz. — 28 *τοῦτο* b. — 29 *ὁ om.* b. — *Δορυλαίου* h *Δορυλλαίου* g *Δωρυλαίου* d *Δορυλλίου* c *Δωρυλίου* f *Δωριλίου* em *Δολυλλίου* b. — *δὲ*] *τε* f. — 31 *Θέαμα* d *πρᾶγμα* h. — 32 *διὰ ρπβ΄ ἐτῶν om.* d. — *ρπβ΄* b *ρπα΄* chyA *ρπδ΄* g. — *χρόνων* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ὡς ἀδελφὸν ἀπέχεσθαι τῶν διεστραμμένων αὐτοῦ δογμάτων καὶ τῆς ὀρθῆς ἀντέχεσθαι πίστεως. ὁ δὲ Νεστόριος ἀνταπέστειλεν ὑβρίζων ἅμα καὶ βλασφημῶν. τότε Κύριλλος γράφει τῷ πάπᾳ Ῥώμης Κελεστίνῳ τὰ περὶ Νεστορίου καὶ τὰ πρὸς αὐτὸν γραφέντα παρὰ Νεστορίου βλάσφημα κατάδηλα αὐτῷ ποιεῖ. τότε Κελεστῖνος γράφει Νεστορίῳ ὁρίσας αὐτῷ ἡμερῶν ι′ προθεσμίαν, ἵνα παύσηται τῶν βλασφημιῶν καὶ μετανοήσῃ· ἐπιμένοντα δὲ τῇ κακοδοξίᾳ μηκέτι εἶναι αὐτὸν κοινωνικὸν ἱερέα. γράφουσι δὲ ὁμοίως Κελεστῖνός τε καὶ Κύριλλος Ἰωάννῃ, τῷ ἀρχιεπισκόπῳ Ἀντιοχείας, καὶ Ἰουβεναλίῳ τῷ Ἱεροσολύμων περὶ Νεστορίου καὶ τῆς κατ' αὐτὸν αἱρέσεως. Ἰωάννης δὲ γράφει Νεστορίῳ συμβουλεύων αὐτῷ ἀποστῆναι τῆς αἱρέσεως, ὑπο- 77 r
μνήσκων αὐτὸν τὸ τοῦ ἀποστόλου ῥητὸν τό· "ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός." γνοὺς δὲ ὁ Νεστόριος, ὅτι οὐκ ἀνέχονται οἱ πατριάρχαι παρασιωπῆσαι οὕτω τεταραγμένων τῶν ἐκκλησιῶν, παρεσκεύασε τὸν βασιλέα γράψαι σάκραν πρὸς Κύριλλον πλήρη στιγμάτων, καὶ δοκῶν αὐτὸν ἐκ τούτου κτυπεῖν, μᾶλλον διήγειρεν. διαναστὰς γὰρ γράφει τῷ βασιλεῖ καὶ ταῖς τούτου 138 B
ἀδελφαῖς περί τε τῆς ὀρθῆς πίστεως καὶ τῆς Νεστορίου κακοδοξίας, ἅμα καὶ αἰτούμενος σύνοδον οἰκουμενικὴν γενέσθαι εἰς τὸ γυμνασθῆναι κανονικῶς τὰ κατὰ Νεστόριον. τότε ὁ βασιλεὺς Θεοδόσιος γράφει cf. Niceph. XIV, 34
πᾶσι τοῖς ὑπ' αὐτὸν ἐπισκόποις παραγενέσθαι εἰς Ἔφεσον χωρὶς πάσης ὑπερθέσεως μετὰ τὸ πάσχα, ὁρίσας ὅτι "οὐδεμίαν ἕξει πρὸς θεὸν οὐδὲ πρὸς ἡμᾶς ἀπολογίαν ὁ μὴ τὴν ἡμέραν τῆς ἁγίας πεντηκοστῆς εὑρισκόμενος ἐν τῇ συνόδῳ εἰς Ἔφεσον." ὁ δὲ τῆς Ῥώμης Κελεστῖνος γράφει Κυρίλλῳ τῷ Ἀλεξανδρείας τὸν αὐτοῦ τόπον ἐπέχειν ἐν τῇ συνόδῳ, διὰ τὸν τῆς θαλάσσης κόπον τοῦ χειμῶνος μὴ δυνηθεὶς εὑρεθῆναι.

κέ. ιή. θ′. γ′. ιέ. ιή. ι′. A. M. 5925 431.

Τούτῳ τῷ ἔτει ἡ ἐν Ἐφέσῳ ἁγία καὶ οἰκουμενικὴ τρίτη σύν- cf. Niceph. XIV, 34
οδος τῶν σ′ πατέρων συνηθροίσθη. πάντων τοίνυν τῶν ἐπισκόπων

---

1 ὡς ἀδελφὸν *add. ex* b *om.* xyzA. — 2 πίστεως ἀντέχεσθαι xyz. — 3 ἅμα *add. ex* b Niceph. *om.* xyzA. — πάππα g. — 4 Κελεστίνῳ *add.* bA *om.* xyz. — τὰ *om.* h. — καὶ *om.* c. — παρὰ] περί b. — 6 τῶν βλασφημιῶν b τῆς βλασφημίας xyzA. — 7 μετανοήσει *codd. praeter* g. — 8 αὐτὸν εἶναι yz. — δὲ] τε f. — τε *om.* z. — 9 Ἰουβεναλίῳ Nic. Οὐβεναλίῳ b Πραϋλίῳ xyz. — 10 κατ' αὐτῶν y κατ' αὐτοῦ b. — 10 Ἰωάννης — 11 αἱρέσεως *om.* gy. — ὑπομνήσκων bdf ὑπομιμνήσκων cemz. — 12 αὐτῷ by. — ὁ θεός *om.* h. — 13 γενόμενον dfhm γεννώμενον g γεννόμενον be *lectio cod.* c *non dignoscitur. cf.* Ep. Paul. ad Galat. IV, 4. — 14 τεταγμένων y. — 16 πλήρης bem. — ἐκ τούτου c *m.* 2 *in vestigiis scripturae evanidae* ἐκ τοῦ τοῦ b ἐκ τούτων dyzA. — 18 τε *om.* y. — 19 ἅμα δὲ καί b. — 20 κατὰ Νεστορίου by. — 21 ὑπ' αὐτῶν y. — 23 ἁγίας *om.* h. — 26 τόπον c. — 27 εὑρεθεὶς b. — 28 ιε′] ις′ cy ς′ b. — 29 τρίτη bA *om.* xyz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλθόντων, Ἰωάννης ὁ Ἀντιοχείας καὶ οἱ ἀνατολικοὶ οὐκ ἀπήντησαν τῇ ὡρισμένῃ προθεσμίᾳ, καὶ τῇ ις' ἡμέρᾳ μετὰ τὴν ὡρισμένην, τοῦ Ἰωάννου μὴ ἐλθόντος, ἔφθασεν ὁ Νεστόριος μετὰ πολλῆς τῆς ἀλαζονείας. καὶ τῇ εἰκάδι τοῦ Ἰουνίου μηνὸς ἐκροτήθη ἡ σύνοδος,
139 B Νεστορίου καὶ Κυρίλλου καὶ Ἰουβεναλίου προκαθεσθέντων, τοῦ δὲ Κυρίλλου τὸν τόπον τοῦ Ῥώμης ἐπέχοντος. καὶ πάντων θεολογούντων λέγει ὁ Νεστόριος [μετὰ πολλῆς τῆς ἀλαζονείας]· "ἐγὼ τὸν γενόμενον διμηναῖον καὶ τριμηναῖον οὐκ ἂν θεὸν ὀνομάσοιμι. καὶ διὰ τοῦτο καθαρός εἰμι ἀπὸ τοῦ αἵματος ὑμῶν· καὶ ἀπὸ τοῦ νῦν πρὸς ὑμᾶς οὐκ ἐπανέρχομαι." καὶ ταῦτα εἰπὼν ἐξῆλθε μετὰ ἓξ ἐπισκόπων τῶν γνώμῃ ἀκολουθησάντων αὐτῷ. οἱ δὲ περὶ Κύριλλον τῇ ἑξῆς συνελθόντες ἀπέστειλαν τρεῖς ἐπισκόπους καλέσαι αὐτόν, καὶ οὐχ ὑπήκουσεν. ὁμοίως καὶ δεύτερον καὶ τρίτον [καὶ τέταρτον] προσκληθεὶς ὑπὸ τῆς συνόδου οὐ παρεγένετο, ἀλλὰ καὶ τοὺς σταλέντας ὑβρισθῆναι καὶ ἀτιμασθῆναι παρεκέλευσεν. τότε ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ὑβρισμένους καὶ ἠτιμασμένους δεξαμένη τοὺς ἀποσταλέντας ἐπισκόπους ἀπεφήνατο κατ' αὐτοῦ καὶ ἀλλότριον αὐτὸν
78 P ὥρισε παντὸς ἱερατικοῦ ἀξιώματος· καὶ ἀπέστειλαν αὐτῷ εἰς πρόσ-
cf. Niceph. XIV, 35 ωπον τὴν οἰκείαν καθαίρεσιν. τούτων οὕτω τελεσθέντων, ἦλθε μετὰ τρεῖς ἡμέρας Ἰωάννης, ὁ Ἀντιοχείας ἐπίσκοπος, κς' ἐπισκόπους ἔχων μεθ' ἑαυτοῦ, οἵ τινες μαθόντες καθαιρεθέντα Νεστόριον, ἀποσχίσαντες τῆς ἁγίας συνόδου καὶ μετὰ Νεστορίου συνεδρεύσαντες
140 B καθεῖλαν, ὡς ἐνόμισαν, Κύριλλον καὶ Μέμνονα τὸν Ἐφέσιον. Θεοδώρητος μέντοι νομίσας Κύριλλον καταδραμεῖν, τὰ δώδεκα κεφάλαια παρεξηγησάμενος ἐκεῖσε τὸν Νεστορίου ἐξήμεσεν ἰόν. ὁ δὲ ἐν ἁγίοις Κύριλλος γενναίως διαναστὰς ὑπὲρ τῶν αὐτῶν κεφαλαίων ἀπελογήσατο, ἑρμηνεύων αὐτὰ καὶ τὸν ἐν αὐτοῖς ἐκκλησιαστικὸν θησαυρὸν ἀνακαλύπτων καὶ τὸν οἰκεῖον εὐσεβῆ σκοπὸν φανεροποιῶν πᾶσιν. ὑπὸ δὲ τῆς ἁγίας συνόδου κληθεὶς ὁ Ἰωάννης, ὁ τῆς Ἀντιοχέων, ἐκ τρίτου καὶ μὴ ὑπακούσας τοῦ παραγενέσθαι, ἀπόφασιν ἐδέξατο

---

2 ὡρισμένῃ b ὁρισθείσῃ xyz. — ις'] ιβ' d. — 3 μὴ ἐλθόντος] διελθόντος f. — ἔφησεν em. — ὁ om. y. — 4 εἰκάδι x κ' byz. — 5 Ἰουβεναλίου bxA Nic. Ἰουπραυλίου f τοῦ Πραυλίου em Πραυλίου z. — προκαθεστῶν f. — 7 μετὰ πολλῆς τῆς ἀλαζονείας om. b. — τά fx. — 8 γεννόμενον de. — 10 ἀνέρχομαι f ἀπέρχομαι em. — 11 αὐτόν dh. — 12 τρεῖς] ν' em. — 13 ὁμοίως δὲ καὶ xyz. — καὶ τέταρτον del. vid. cf. Nic. XIV, 34. — 15 παρεκέλευσεν b παρεσκεύασεν xz om. y. — 16 ἠτιμασμένους cz ἀτιμασμένους by ἠτιμωμένους d. — 18 ἱερατ. τάγματος δηλονότι ἀξιώματος g. — 20 κς'] δύο πρὸς τοῖς εἴκοσι Nic. — 21 Νεστόριον b αὐτόν xyz. — 22 μετά om. y. — 23 καθεῖλαν b καθεῖλον xyz. — Μέμνονα g. — Θεοδώριτος befg. — 25 καὶ παρεξηγησάμενος b. — τόν om. f. — ἐξήμεσεν x ἐξέμεσεν byz. — 26 τῶν αὐτῶν bdA τῶν αὐτοῦ cyz. — 27 ἐν αὐτοῖς] ἑαυτοῖς bf. — 29 κληθεὶς ὁ τῆς Ἀντ. Ἰωάννης ἐκ τρ. xyzA.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σὺν τοῖς μετ' αὐτοῦ ὡς ἀλλοτριοῦσθαι πάσης ἐκκλησιαστικῆς κοινωνίας, ἄχρις ἂν ἑαυτῶν καταγνόντες τὸ οἰκεῖον ὁμολογήσωσι σφάλμα. καὶ τοῦτο δὲ ἡ ἁγία ὥρισε σύνοδος, ὥστε τὰ παρὰ τῶν ἀνατολικῶν ἀθέσμως καὶ ἀκανονίστως ἐφ' ὕβρει τῶν ἁγιωτάτων τῆς ἐκκλησίας προέδρων Κυρίλλου καὶ Μέμνονος ἰσχύν τινα μηδ' ὅλως ἔχειν. τούτων τοίνυν πάντων δι' ἀναφορᾶς τῷ βασιλεῖ Θεοδοσίῳ ἀνενεχθέντων, ἐκελεύσθησαν ἐκ τῶν ἀμφοτέρων μερῶν ἐπίσκοποι ἀνελθεῖν ἐν Κωνσταντινουπόλει, καὶ ἀνελθόντες τῇ συνεργίᾳ τοῦ θεοῦ ἐνίκησαν οἱ τῆς ἁγίας συνόδου· καὶ κυρωθείσης τῆς καθαιρέσεως Νεστορίου, Μαξιμιανὸς χειροτονεῖται ἐπίσκοπος ἐν Κωνσταντινουπόλει, πρεσβύτερος ὢν τῆς αὐτῆς ἐκκλησίας. οἱ δὲ ἀνατολικοὶ ἔλαβον τὸν Νεστόριον μεθ' ἑαυτῶν εἰς ἀνατολήν. τῷ δὲ τετάρτῳ χρόνῳ τῆς Νεστορίου καθαιρέσεως Ἰωάννης, ὁ τῆς Ἀντιοχέων ἐπίσκοπος, τὸν τοῦ θεοῦ φόβον κεκτημένος, βλέπων πολλοὺς τῶν κατὰ τὴν Ἀντιόχειαν λογάδων ὑπὸ Νεστορίου νοθευομένους γράφει παρακαλῶν τὸν βασιλέα τοῦτον ἐξεῶσαι τῆς ἀνατολῆς. ὁ δὲ βασιλεὺς τὸν μὲν Νεστόριον ἐξώρισεν ἐν τῇ Ὀάσει, προστάγματα δὲ ἐκπέμπει Κυρίλλῳ καὶ Ἰωάννῃ ἀνυπερθέτως ἑνωθῆναι πρὸς τὸ ἀπαλλάξαι τὰς ἐκκλησίας διχονοίας ἁπάσης. εἶξε δὲ τῷ προστάγματι Ἰωάννης καὶ γράφει Κυρίλλῳ τὴν ἑαυτοῦ πίστιν καὶ τὴν τῶν ἐν Νικαίᾳ πατέρων ὁμολογίαν καὶ τῶν ρν' τῶν ἐν Κωνσταντινουπόλει ἀποδεχόμενος καὶ τὰ ἐν Ἐφέσῳ πεπραγμένα. τότε ὁ θεῖος Κύριλλος ἀποδεξάμενος γράφει Ἰωάννῃ καὶ τοῖς ἀνατολικοῖς ἐπιστολήν, ἧς ἡ ἀρχή· "εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ." καὶ τῇ αὐτῇ ὁμολογίᾳ συνθέμενοι ἀμφότεροι ἠνώθησαν πρὸς εἰρήνην καὶ ὁμόνοιαν αἱ παρ' ἑκατέροις ἁγίαι ἐκκλησίαι. κατὰ τοῦτον δὲ τὸν χρόνον Νόννος ὁ θεοφόρος ἐποίμαινε τὴν τῶν Ἐδεσηνῶν ἐκκλησίαν, ὁ τὴν πρώτην τῶν μιμάδων Ἀντιοχείας τῷ θεῷ ἀφιερώσας καὶ ἀντὶ Μαργαριτοῦς πόρνης ἁγίαν αὐτὴν Πελαγίαν παραστήσας τῷ Χριστῷ. οὗτος οὖν ὁ ἐν ἁγίοις ἀγαλλιώμενος ἐπὶ τῇ τῶν ἁγίων ὁμονοίᾳ γράφει τῷ ἀρχιεπισκόπῳ Ἰωάννῃ νουθεσίας καὶ διδασκαλίας ῥήματα, ἐν οἷς καὶ τοῦτο· "κάθαρον τὴν ἐκκλησίαν, ὦ ἄνθρωπε τοῦ θεοῦ, ἀπὸ τῶν

141 B

79 F

cf. Niceph. XIV, 39

142 B

---

1 κοινωνίας] λειτουργίας g. — 2 ἑαυτόν y. — 3 δέ *om.* y. — ὥστε τὰ] παραθέντα παρά? — 6 πάντων ἀναφορᾶς y πάντων αἱ διαφοραὶ δι' ἀναφορᾶς z. — ἀνενεχθεῖσαι g ἀνενεχθίσαι h. — 7 ἐκελεύσθησαν *om.* h. — 8 ἐλθόντες h. — συνεργείᾳ bd. — 10 ἐν Κωνστ. ἐπίσκοπος h ἐπίσκ. Κωνσταντινουπόλεως yA. — 12 εἰς ἀνάπλην (ἀν. f) bf εἰς ἀνάπλης em *om.* A. — 16 μὲν *om.* f. — 17 Ὀάσει b Θάσῳ xyz. — 19 Ἰωάννης — 20 καὶ τὴν *om.* f. — 20 τὴν *ante* τῶν *om.* c. — 21 τῶν *om.* c. — καὶ *om.* gy. — 22 ὁ *om.* y. — θεῖος *add. ex* b *om.* xyzA. — 23 πρὸς Ἰῶ b. — 25 αἱ παρεκάτεροι b αἱ περέκατεροι f. — 26 Νόνος y. — 27 Ἐδεσινῶν b Αἰδεσινῶν (Αἰδ. em) dyz Αἰδεσηνῶν c. — τὴν τῶν Ἐδ. ἐποίμαινε ἐκκλ. x. — 28 Ἀντιοχέων xyzA. — Μαργαριτούς h Μαργάριτους b Μαργαριτῶ d. — 29 Πελαγίαν αὐτήν x. — οὕτως h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νεστοριανῶν ζιζανίων καὶ τῆς αὐτῶν δεινότητος." *τὸν δὲ ἀσεβῆ καὶ βλάσφημον Νεστόριον ἐν τῇ ἐξορίᾳ ἡ θεία δίκη μετῆλθεν·*
cf. Theod. Lect. II, 38 ‖ *σηπεδόνι τῶν μελῶν πάντων, μάλιστα δὲ τῆς μιαρᾶς γλώσσης περιπεσὼν διεφθάρη τῷ θανάτῳ, προλαβὼν τὴν ἀπὸ Ὀάσεως ἀνάκλησιν εἰς ἕτερον τόπον.* ‖

431/2 A. M. 5926	*Κόσμου*	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*
	ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*
	ϛϡκϛ΄.	*ἔτη φκϛ΄.*	*Θεοδόσιος*	*Οὐαραράνης*	*Κελεστῖνος*
			ἔτη μβ΄.	*ἔτη κ΄.*	*ἔτη ι΄.*
			κϛ΄.	*ιθ΄.*	*ι΄.*

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Μαξιμιανὸς	*Πραῦλιος*	*Κύριλλος*	*Ἰωάννης*
ἔτη β΄.	*ἔτη κ΄.*	*ἔτη λβ΄.*	*ἔτη ιή΄.*
α΄.	*ιϛ΄.*	*ιθ΄.*	*ια΄.*

cf. Socr. VII, 44 ‖ *Τούτῳ τῷ ἔτει ἦλθεν Οὐαλεντινιανὸς ἀπὸ Ῥώμης, ὁ Γάλλας Πλακιδίας καὶ Κωνσταντίου υἱός, ἐν Κωνσταντινουπόλει καὶ ἔγημε γυναῖκα τὴν θυγατέρα Θεοδοσίου τοῦ βασιλέως Εὐδοξίαν, τὴν ἐξ Εὐδοκίας γεννηθεῖσαν αὐτῷ, καὶ ἐπανῆλθεν ἐν Ῥώμῃ.* ‖

Τῷ δ' αὐτῷ ἔτει Ἡσύχιος, ὁ πρεσβύτερος Ἱεροσολύμων, ἐτελεύτησεν. καὶ ἡ μακαρία Μελάνη, ἡ τῆς μεγάλης ἐγγόνη, ἐν ἀσκήσει ἐκοιμήθη ἐν βίῳ τελείῳ ἐν Ἱερουσαλήμ.

432/3. A. M. 5927 *Ῥώμης ἐπίσκοπος Ξύστος ἔτη ή΄.*
435. *κϛ΄. κ΄. α΄. β΄. ιϛ΄. κ΄. ιβ΄.*

143 B Exc. Bar. Cram. II, 100 ‖ *Τούτῳ τῷ ἔτει Θεοδόσιος ὁ βασιλεὺς τὴν γαμετὴν Εὐδοκίαν εἰς Ἱεροσόλυμα ἀπέστειλεν εὐχαριστηρίους ὕμνους προσάξουσαν τῷ θεῷ· ἥτις πάμπολλα ταῖς ἐκκλησίαις ἐδωρήσατο καὶ προσκυνήσασα τόν τε ἅγιον σταυρὸν καὶ τοὺς σεβασμίους τόπους ὑπέστρεψεν εἰς τὰ βασίλεια.* ‖

433/4. A. M. 5928 *Περσῶν βασιλεὺς Ἰσδιγέρδης ἔτη ιϛ΄.*
Κωνσταντινουπόλεως ἐπίσκοπος Πρόκλος ἔτη ιβ΄.
κή΄. α΄. β΄. α΄. ιή΄. κα΄. ιγ΄.

80 P *Τούτῳ τῷ ἔτει σύμπτωσις ἐγένετο ἐν τῷ θεάτρῳ Ἀλεξανδρείας, καὶ ἀπέθανον ἄνδρες φοβ΄ τῇ παννυχίδι τῶν Νειλώων.*

434/5. A. M. 5929 *κθ΄. β΄. γ΄. β΄. ιθ΄. κβ΄. ιδ΄.*
435/6 A. M. 5930 *λ΄. γ΄. δ΄. γ΄. κ΄. κγ΄. ιε΄.*

? Exc. Bar. ? Cram. II, 100 cf. Socr. VII, 45 ‖ *Τούτῳ τῷ ἔτει Πρόκλος, ὁ ἁγιώτατος ἐπίσκοπος Κωνσταντινουπόλεως, αἰτήσας τὸν βασιλέα Θεοδόσιον τὸ λείψανον Ἰωάννου*

---

2 *μετῆλθεν· σηπεδόνι—μάλιστα δὲ τῆς μιαρᾶς γλώσσης περιπεσών* b *μετῆλθε σηπεδόνι—μάλιστα δὲ* (*θανάτῳ add.* em) *τῆς μιαρᾶς αὐτοῦ γλώσσης, ἣ περιπεσών* xyzA. — 4 *τὴν ἀπὸ Θ. προλαβὼν ἀνάκλ.* x. — *Ὠάσεως* y *κολάσεως* b *Θάσου* cz *Θάσσου* d. — 13[1] *Μάξιμος* cy. — 14[3] *ἔτη λϛ΄* b. — 16 *Γαλλίας* b *Γάλλης* xyz. — 17 *Πλακηδίας* h *Πλακίδας* e. — *Κωνσταντίνου* bh. — 21 *ἡ ante τῆς om.* b. — 30 *Ἰσδηγέρδης* c. — 34 *τῶν Νειλώων* m *τῶν Νειλόων* b *τῶν εἰλώων rell.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ Χρυσοστόμου ἀπὸ Κομάνων εἰς τὴν βασιλεύουσαν μετεκόμισεν. καὶ τῷ ἐχομένῳ ἔτει διὰ λγ΄ ἐτῶν τοῦτο δημοσίᾳ ἐπὶ προελεύσεως πομπεύσας σὺν τῷ βασιλεῖ καὶ τῇ μακαρίᾳ Πουλχερίᾳ εἰς τὴν τῶν ἀποστόλων ἀπέθετο ἐκκλησίαν, καὶ οὕτω τοὺς διὰ τὴν ἐκείνου καθαί-
5 ρεσιν τῆς ἐκκλησίας χωρισθέντας ἥνωσεν. ‖ ἐπὶ τούτου τοῦ ἐν ἁγίοις Πρόκλου σεισμοὶ γεγόνασι μεγάλοι ἐν Κωνσταντινουπόλει ἐπὶ τέσσαρας μῆνας, ὥστε φοβηθέντες οἱ Βυζάντιοι ἔφυγον ἔξω τῆς πόλεως ἐν τῷ λεγομένῳ Κάμπῳ καὶ ἦσαν διημερεύοντες σὺν τῷ ἐπισκόπῳ 144 B
ἐν ταῖς πρὸς Θεὸν δεήσεσι λιτανεύοντες. ἐν μιᾷ οὖν κυμαινομένης
10 τῆς γῆς, καὶ παντὸς τοῦ λαοῦ κράζοντος τὸ "κύριε ἐλέησον" ἐκτενῶς, περὶ ὥραν τρίτην ἄφνω πάντων ὁρώντων συνέβη ὑπὸ θείας δυνάμεως ἁρθῆναί τινα νεανίσκον εἰς τὸν ἀέρα καὶ ἀκοῦσαι θείας φωνῆς παρεγγυώσης αὐτὸν ἀναγγεῖλαι τῷ ἐπισκόπῳ καὶ τῷ λαῷ λιτανεύειν οὕτω καὶ λέγειν· "ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος,
15 ἐλέησον ἡμᾶς". μηδὲν ἕτερον προστιθέντας. ὁ δὲ ἐν ἁγίοις Πρόκλος ταύτην δεξάμενος τὴν ἀπόφασιν ἐπέτρεψε τῷ λαῷ ψάλλειν οὕτω, καὶ εὐθέως ἔστη ὁ σεισμός. ἡ δὲ μακαρία Πουλχερία καὶ ὁ ταύτης ἀδελφὸς ὑπεραγασθέντες τῷ θαύματι ἐθέσπισαν κατὰ πᾶσαν τὴν οἰκουμένην τὸν Θεῖον τοῦτον ψάλλεσθαι ὕμνον· καὶ ἀπὸ τότε παρ-
20 έλαβον πᾶσαι αἱ ἐκκλησίαι καθ' ἑκάστην ἡμέραν ἄδειν αὐτὸν τῷ θεῷ.

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 5931 436/7
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*	
ϛϡλα΄.	*ἔτη υλα΄.*	*Θεοδόσιος*	*Ἰσδιγέρδης*	*Ξύστος*	
		ἔτη μβ΄.	*ἔτη ιζ΄.*	*ἔτη η΄.*	
		λα΄.	*δ΄.*	*ε΄.*	

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Πρόκλος	*Ἰουβενάλιος*	*Κύριλλος*	*Ἰωάννης*
ἔτη ιβ΄.	*ἔτη λη΄.*	*ἔτη λβ΄.*	*ἔτη ιη΄.*
δ΄.	*α΄.*	*κδ΄.*	*ιϛ΄.*

‖ *Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς οὐ μόνον Βρετανίαν καὶ Γαλλίαν* cf. Procop. Vand. p. 322, 1
καὶ Ἱσπανίαν ἀνασώσασθαι οὐκ ἴσχυσεν, ἀλλὰ καὶ τὴν ἑσπέριον Λιβύην, τὴν τῶν Ἄφρων καλουμένην χώραν, προσαπώλεσε τρόπῳ τοιῷδε. δύο στρατηγοὶ ἦσαν Ἀέτιος καὶ Βονιφάτιος, οὓς Θεοδόσιος 145 B

---

1 *Κωμάνων* (*sine acc.* c) ch *Κομανῶν* df. — 2 *ἐχομένῳ* b *ἐρχομένῳ rell.* — *ἔτει*] *χρόνῳ* z. — *λγ΄*] *τριάκοντα* h *λε΄* Socrat. Cram. Exc. — *τοῦτο* bA *τοῦτον* xyz. — 5 *τούτου om.* g. — 6 *μεγάλοι om.* g. — 8 *καὶ ἦσαν—ἐπισκόπῳ om.* f. — *σὺν τῷ ἐπισκόπῳ—λιτανεύοντες om.* m. — 10 *κράζοντος om.* h. — 13 *παρεγγυώσης* c *παρεγγυούσης* byz. — 14 *καὶ λέγειν om.* m *καὶ om.* h. — 17 *ἀπέστη* em *ἔστη* (*ἔ in lit. m.* 2) f. — 19 *ὅτι ὁρίσθη ψάλλεσθαι ὁ τρισάγιος ὕμνος καθ' ἡμέραν ἑσπέρας καὶ πρωΐ mg.* f. — 23⁴ *Ἰσδηγέρδης* cf. — 28² *Βενάλιος* g. — 31 *Βρεττανίαν* yz. — 32 *Ἱσπανίαν* Constantin. Porphyr. de adm. imp. *cp.* 25, *qui hunc locum transscripsit. cf. p.* 95, 1; 3 *Σπανίαν codd.* — 33 *Ἀφρῶν* b. — *καλουμένων* gx. — *A v.* 34 *δύο στρατηγοὶ usque ad finem anni omnia om.* d. — *Βονηφάτιος y ubique fere Βονηφάντιος hic* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατὰ αἴτησιν Οὐαλεντινιανοῦ εἰς Ῥώμην ἀπέστειλεν. Βονιφατίου δὲ τὴν ἀρχὴν τῆς ἑσπερίου Λιβύης λαβόντος, φθονήσας ὁ Ἀέτιος διαβολὴν ποιεῖται κατ' αὐτοῦ ὡς ἀνταρσίαν μελετῶντος καὶ τῆς Λιβύης κρατῆσαι σπεύδοντος· καὶ ταῦτα μὲν πρὸς Πλακιδίαν ἔλεγεν, τὴν τοῦ Οὐαλεντινιανοῦ μητέρα. γράφει δὲ Βονιφατίῳ ὅτι· "ἐὰν μεταπεμφθῇς, παραγενέσθαι μὴ θελήσῃς, διεβλήθης γάρ, καὶ δόλῳ σε οἱ βασιλεῖς βούλονται χειρώσασθαι." ταῦτα δεξάμενος Βονιφάτιος καὶ ὡς γνησίῳ φίλῳ Ἀετίῳ πιστεύσας μεταπεμφθεὶς οὐ παρεγένετο. τότε οἱ βασιλεῖς τὸν Ἀέτιον ὡς εὐνοοῦντα ἀπεδέξαντο. ‖ ἦσαν δὲ τότε Γοτθικὰ ἔθνη πολλά τε καὶ μέγιστα πέραν τοῦ Δανουβίου ἐν τοῖς ὑπερβορείοις τόποις κατῳκισμένα. τούτων δὲ ἀξιολογώτερά εἰσι τέσσαρα, Γύτθοι, Ἰσίγοτθοι, Γήπαιδες καὶ Οὐανδῆλοι ἐν ὀνόμασι μόνον καὶ οὐδενὶ ἑτέρῳ διαλλάττοντες, μιᾷ διαλέκτῳ κεχρημένοι· πάντες δὲ τῆς Ἀρείου ὑπάρχουσι κακοπιστίας. οὗτοι ἐπὶ Ἀρκαδίου καὶ Ὀνωρίου τὸν Δανοῦβιν διαβάντες ἐν τῇ τῶν Ῥωμαίων γῇ κατῳκίσθησαν. καὶ οἱ μὲν Γήπαιδες, ἐξ ὧν ὕστερον διῃρέθησαν Λογγίβαρδοι καὶ Ἄβαρεις, τὰ περὶ Σιγγιδόνα καὶ Σέρμιον χωρία ᾤκησαν. οἱ δὲ Ἰσίγοτθοι μετὰ Ἀλάριχον τὴν Ῥώμην πορθήσαντες εἰς Γαλλίας ἐχώρησαν καὶ τῶν ἐκεῖ ἐκράτησαν. ‖ Γύτθοι δὲ Πανονίαν ἔσχον πρῶτον, ἔπειτα τῷ ιθ' ἔτει τῆς βασιλείας Θεοδοσίου τοῦ νέου ἐπιτρέψαντος τὰ τῆς Θρᾴκης χωρία ᾤκησαν καὶ ἐπὶ νη' χρόνους ἐν τῇ Θρᾴκῃ διατρίψαντες Θευδερίχου ἡγεμονεύοντος αὐτῶν, πατρικίου καὶ ὑπάτου, Ζήνωνος αὐτοῖς ἐπιτρέψαντος, τῆς ἑσπερίου βασιλείας ἐκράτησαν. οἱ δὲ Οὐανδῆλοι Ἀλανοὺς ἑταιρισάμενοι καὶ Γερμανοὺς τοὺς νῦν καλουμένους Φράγγους, διαβάντες τὸν Ῥῆνον ποταμόν, ἡγούμενον

cf. Procop. Vand. p. 312, 15

146 B

cf. Procop. Vand. p. 319, 1

cf. Procop. Goth. p. 7

---

1 εἰς Ῥώμην — δὲ τὴν *om.* b. — 2 λαβών b. — 3 τὴν Λιβύην c. — 4 καὶ *om.* y. — Πλακηδίαν h *et sic ubique.* — 5 δὲ καὶ Βον. Const. — μεταπεμφθεῖς fg μεταπεμφθείς bceehm. — 6 θελήσεις bcy. — 7 ὁ Βονιφ. yz. — Βονιφάντιος b. — 8 φίλῳ bz Const. δούλῳ cyA. — 9 εὐνούστατον Const. — τῷ τότε Const. — τότε *om.* h. — 10 Γοτθικὰ *scr. e* Proc. Γύτθοι καὶ *codd.* Const. — πέραν] μέχρι Const. — 11 ὑπερβορίοις bhy. — κατοικισμένα b. — τέσσαρα *om.* Const. — 12 Ἰσιγότθοι b Οὐισίγοτθοι Proc. Ὑπόγοτθοι cyzA *om.* Const. — Γηπαῖδες by Γηπαιδες *sine acc.* c Γήπεδες g Const. — Οὐανδῆλοι g Const. Οὐανδήλοι b Οὐανδηλοὶ hy *sine acc.* c. — ὀνόματι g. — 14 ὑπάρχοντες c. — 15 Δανούβιν em Δανούβην c Δάνουβιν g. — 16 Γηπαίδες f Γηπαιδες *sine acc.* c Γήπεδες g Const. — 17 Σιγγιδῶνα em Const. — Σέρμιον b Σίρμιον Proc. Σερμεῖον Const. Σερμίω z Σερμείω cy. — 18 Ἰσίγοτθοι b Const. Οὐισίγοτθοι Proc. Ὑπόγοτθοι cyzA. — 19 Παννονίαν g Πανωνίαν Const. — ἔχοντες Const. — 20 τῷ *om.* y Const. — ἐπιτρέψαντος b Const. ἐπιτρέποντος cyz. — 21 ἐν τῇ Θρᾴκῃ διέτριψαν (καὶ *add.* z) τῆς ἑσπερίου βασιλ. ἐκράτησαν (*rell. om.*) cyzA *supplevi ex* b Const. — 22 ἡγεμονεύοντος Const. ἡγουμενεύοντος b. — 23 τῆς ἑσπερίου Λιβύης βασιλείας Const. — 24 Οὐανδῆλοι g Const. Οὐανδήλοι b Οὐανδηλοὶ hy *sine acc.* c. — 25 Ῥῆνον g *m.* 2 Const. Νῖνον bcgA Νεῖνον y Ἶνον h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔχοντες Γοδιγίσκλον κατῴκησαν ἐν Ἰσπανίᾳ, πρώτῃ οὔσῃ χώρᾳ τῆς Εὐρώπης ἀπὸ τοῦ ἑσπερίου Ὠκεανοῦ. ‖ Βονιφάτιος δὲ φοβηθεὶς τοὺς τῶν Ῥωμαίων βασιλεῖς, περάσας ἀπὸ Λιβύης εἰς Ἰσπανίαν πρὸς τοὺς Οὐανδήλους ἦλθεν. καὶ εὑρὼν τὸν μὲν Γοδιγίσκλον τελευτήσαντα, τοὺς δὲ ἐκείνου παῖδας Γόνθαριν τε καὶ Γιζέριχον τὴν ἀρχὴν διέποντας, τούτους προτρεψάμενος τὴν ἑσπέριον Λιβύην εἰς τρία μέρη διελεῖν ὑπέσχετο, ἐφ' ᾧ ἕκαστον τοῦ τρίτου μέρους ἄρχειν σὺν αὐτῷ, κοινῇ δὲ ἀμύνεσθαι τὸν οἷον δήποτε πολέμιον. ἐπὶ ταύταις ταῖς ὁμολογίαις οἱ Οὐανδῆλοι τὸν πορθμὸν διαβάντες τὴν Λιβύην κατῴκησαν ἀπὸ τοῦ Ὠκεανοῦ μέχρι Τριπόλεως τῆς κατὰ Κυρήνην. οἱ δὲ Ἰσίγοτθοι ἀναστάντες ἀπὸ Γαλλίας ἐκράτησαν καὶ τὴν Ἰσπανίαν, τινὲς δὲ τῆς συγκλήτου Ῥωμαίων, φίλοι Βονιφατίου, τὴν Ἀετίου ψευδοκατηγορίαν ἀνήγγειλαν τῇ Πλακιδίᾳ, ἐμφανῆ ποιήσαντες καὶ τὴν πρὸς Βονιφάτιον Ἀετίου ἐπιστολήν, τοῦ Βονιφατίου ταύτην αὐτοῖς ἀποστείλαντος. ἡ δὲ Πλακιδία ἐκπλαγεῖσα τὸν μὲν Ἀέτιον οὐδὲν ἠδίκησεν, Βονιφατίῳ δὲ λόγον προτρεπτικὸν μεθ' ὅρκων ἀπέστειλεν. τοῦ δὲ Γονθαρίου τελευτήσαντος, Γιζέριχος τῶν Οὐανδήλων γέγονεν αὐτοκράτωρ. Βονιφάτιος οὖν τὸν λόγον δεξάμενος τῶν Οὐανδήλων κατεστράτευσεν, στρατοῦ μεγάλου ἐλθόντος αὐτῷ ἀπό τε Ῥώμης καὶ τοῦ Βυζαντίου, στρατηγοῦντος Ἄσπαρος. πολέμου δὲ κροτηθέντος πρὸς Γιζέριχον, ἡττήθη ὁ τῶν Ῥωμαίων στρατός· καὶ οὕτω Βονιφάτιος μετὰ Ἄσπαρος εἰς Ῥώμην ἐλθὼν τὴν ὑποψίαν διέλυσεν, ἀποδείξας τὴν ἀλήθειαν· ἡ δὲ Ἀφρικὴ ὑπὸ Οὐανδήλους γέγονεν. τότε καὶ Μαρκιανὸς στρατιώτης ὢν καὶ δουλεύων τῷ Ἄσπαρι, ξῶν συνελήφθη ὑπὸ Γιζερίχου, ὁ μετὰ ταῦτα βασιλεύσας. ‖

cf. Proc. Vand. p. 323.

147 B

82 P

λβ'. ε'. ϛ'. ε'. β'. κε'. ιϛ'. A. M. 5932 437/8.

Τούτῳ τῷ ἔτει μετετέθη ἐν Ἀλεξανδρείᾳ ἡ ἁγία μάρτυς Εὐφημία πρὸ ϛ' καλανδῶν Ὀκτωβρίων.

---

1 *Γοδιγίσκλον* b Proc. *Γογίδισκλον* Const. *Μοδιγίσκλον* em *Μοδίγισκλον* cfz Modigisclum A. — *Ἰσπανίᾳ* Const. Proc. *Ἰσπανίᾳ* b **σπανίᾳ* g *Σπανίᾳ* chy *item v.* 3. — *χώρᾳ* b Const. Proc. *om. rell.* — 2 *Βονιφάντιος* b. — 4 *Οὐανδήλους* begm *Οὐανδηλούς* fh *sine acc.* c. — *μέν add. ex* b Const. *om.* cyz. — *Γογίδισκλον* Const. *Μοδίγισκλον* ef *Μοδίγισκλον* cz *sine acc.* m Modigisclum A. — 5 *Γονθάριν* b *Γότθαριν* c *Γότθαρον* Const. *sed Γόνθαριν etiam* Proc. — *Γηξέριχον* c Const. *ubique.* — 7 *διελθεῖν* y — *ἐφ ᾧ* b Const. *ἐφ' ὧν* gy *ἐφ' ὃν* ch. — 9 *Οὐανδῆλοι* g *Οὐάνδηλοι* b *Οὐανδηλοί* hy *sine acc.* c. — *τὸν om.* c. — 10 *Κυρίνην* bchy *Κυρίνης* Const. — 11 *Ἰσίγοτθοι* b Const. *Ὑπόγοτθοι* cemz *Ὑπογότθοι* f Hyppigothi A. — *τὴν Ἰσπανίαν* Const. Proc. *τὴν *σπανίαν* g *τὴν Σπανίαν* befh *τὴν Γαλλίαν Σπανίαν* em. — 12 *Βονιφαντίου* b *Βονηφαντίου* e *item vv.* 14. 16. 22. — 16 *μετόρκων* b *μετόρκον* y. — *Γοτθαρίου* c Const. — *Οὐανδήλων* beg *Οὐανδηλῶν* fh *sine acc.* cm. — 18 *γέγονεν* — 19 *Οὐανδήλων om.* b. — 18 *Βονηφάντιος* e. — 19 *Οὐανδήλων* g *Οὐανδηλῶν* hy *sine acc.* c. — 23 *Οὐανδήλους* beg *Οὐανδηλούς* hy. — 24 *τῷ Ἄσπαρι* cz *τὸν Ἄσπαρα* by *Ἄσπαρον* Const. — 27 *τῷ δ' αὐτῷ ἔτει* d. — 28 *Ὀκτωβρίῳ* yz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

438/9. A. M. 5933 λγ΄. ς΄. ζ΄. ς΄. γ΄. κς΄. ιή΄.

Τούτῳ τῷ ἔτει ὁ Κάνθαρος τὸ βαλανεῖον ἐν Ἀλεξανδρείᾳ ἐπληρώθη. μοναχοὶ δέ τινες ἐλθόντες ἐν Κωνσταντινουπόλει παρηνόχλουν
148 B *τῷ βασιλεῖ κατὰ Θεοδώρου τοῦ γενομένου ἐπισκόπου Μοψουεστίας μετὰ θάνατον αὐτοῦ, ὡς αἱρετικὸν διαβάλλοντες. ὁ δὲ βασιλεὺς Πρόκλῳ ἐπέτρεψε τοῖς τῆς ἀνατολῆς ἐπισκόποις γράψαι τὴν ζήτησιν ποιήσασθαι καί, εἰ ἀληθεύουσιν, ἀναθεματίσαι Θεόδωρον. Ἰωάννης δὲ ὁ Ἀντιοχείας ἀντέγραψε Πρόκλῳ μετὰ τῆς ἰδίας συνόδου καὶ τῷ βασιλεῖ ὀρθοδοξίαν μαρτυρῶν Θεοδώρῳ.*

439/40. A. M. 5934 443. *Ἀντιοχείας ἐπίσκοπος Δόμνος ἔτη ή΄.*

λδ΄. ζ΄. ή΄. ξ΄. δ΄. κξ΄. α΄.

Τούτῳ τῷ ἔτει ἐσείσθη ἡ γῆ καὶ ἐμυκήθη πρὸ ιε΄ καλανδῶν Μαΐων.

440/1. A. M. 5935 *Ῥώμης ἐπίσκοπος Λέων ἔτη κα΄.*

λε΄. ή΄. α΄. ή΄. ε΄. κή΄. β΄.

83 P *Τούτῳ τῷ ἔτει Χαρμόσυνος ὁ αὐγουστάλιος ἐν Ἀλεξανδρείᾳ ἐκροταφίσθη ἐν τῷ Κυνηγίῳ, καὶ ἀπέθανε μηνὶ Ἐπιφὶ α΄.*

441/2 A. M. 5936 λς΄. θ΄. β΄. θ΄. ς΄. κθ΄. γ΄.

Mal. p. 361, 1 ‖ *Τούτῳ τῷ ἔτει Θεοδόσιος ὁ βασιλεὺς Ἀντίοχον τὸν πραιπόσιτον καὶ πατρίκιον, τὸν καὶ βάγυλον αὐτοῦ, ἐποίησε παπᾶν, δημεύσας καὶ τὸν οἶκον αὐτοῦ ὡς κατεπαιρομένου τοῦ βασιλέως καὶ καταφρονοῦντος αὐτοῦ. διὸ καὶ νόμον ἔθετο μὴ εἰσέρχεσθαι εἰς πατρικίου ἀξίαν εὐνοῦχον.* ‖

442/3. A. M. 5937

Κόσμου	*Τῆς*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*
ἔτη	*θείας*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*
ϡλξ΄.	*σαρκώσεως*	*Θεοδόσιος*	*Ἰσδιγέρδης*	*Λέων*
	ἔτη υλξ΄.	*ἔτη μβ΄.*	*ἔτη ιξ΄.*	*ἔτη κα΄.*
		λξ΄.	ι΄.	γ΄.

Κωνσταντινουπ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Πρόκλος	*Ἰουβενάλιος*	*Κύριλλος*	*Δόμνος*
ἔτη ιβ΄.	*ἔτη λή΄.*	*ἔτη λβ΄.*	*ἔτη ή΄.*
ι΄.	ζ΄.	λ΄.	δ΄.

Mal. p. 361, 14 Chron. Pasch. p. 588, 6 ‖ *Τούτῳ τῷ ἔτει Κῦρον, τὸν ἔπαρχον τῆς πόλεως καὶ τῶν πραιτωρίων, ἄνδρα σοφώτατον καὶ ἱκανὸν κτίσαντά τε τὰ τείχη τῆς*

3 παρηνώχλουν g. — 4 *Μεμψουεστίας* b. — 5 *διαβαλλόντες* c. — 7 *ποιήσασθαι* bd *ποιεῖσθαι* cyz. — 8 *ὁ om.* g. — *ἰδίας*] *ἁγίας* g. — 10 *ἔτη ιή΄* g. — *v.* 11 *om.* cf. — *v.* 12 *add. ex* b *om. rell.* — *v.* 13 *om.* cy. — *v.* 14 *om.* cf. — *numeri vv.* 11 *et* 14 *in omnibus codd. corruptissimi praeter* b. — 16 *ἐπὶ φ* b *ἐπὶ φῖ* g. — 18 *πρεπόσιτον* bdy *πραιπώσιτον* g. — 19 *τὸν om.* y. — *βάγυλον* bfx *βάγιλον* em *βαϊοῦλον* z. — *ἐποίησε αὐτὸν π.* b. — *παπᾶν* be *παππᾶν* g *παπαν sine acc.* c. — 20 *κατεπαιρόμενον codd.* — *τῶν βασιλέων* yz. — *καταφρονοῦντος* b *καταφρονοῦντα* xyz. — 21 *αὐτῶν* f *sed* v *sec. m. add. ut videtur* *αὐτῷ* em. — *ἐξέθετο* z. — *πατρίκιον* cy. — 22 *εὐνούχου* y. — 25[4] *Ἰσδηγέρδης* cf. — 30[2] *Ἰουβεννάλιος* g. — 33 *Κύρον* bdh *sine acc.* c *Κύριλλον* f. — *ὕπαρχον* c. — 34 *τε om.* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόλεως καὶ ἀνανεώσαντα πᾶσαν Κωνσταντινούπολιν, περὶ οὗ ἔκραξαν 149 B
οἱ Βυζάντιοι ἐπὶ τοῦ ἱππικοῦ καθεζομένου τοῦ βασιλέως καὶ ἀκούοντος. "Κωνσταντῖνος ἔκτισεν, Κῦρος ἀνενέωσεν." καὶ ἐχόλεσεν ὁ
βασιλεὺς ὅτι ταῦτα εἶπον περὶ αὐτοῦ, καὶ προφασισάμενος αὐτὸν
ἑλληνόφρονα εἶναι καθεῖλεν αὐτὸν τῆς ἀρχῆς καὶ ἐδήμευσεν αὐτόν.
ὁ δὲ προσφυγὼν τῇ ἐκκλησίᾳ ἐγένετο παπᾶς καὶ αὐτός. ὁ δὲ βασι-
λεὺς σπλαγχνισθεὶς ἐπ' αὐτῷ ἐκέλευσε γενέσθαι αὐτὸν ἐπίσκοπον
Σμύρνης τῆς ἐν Ἀσίᾳ. οἱ δὲ Σμυρναῖοι καταλαβόντα αὐτὸν πρὸ
τῶν ἁγίων Θεοφανίων ὑφορώμενοι αὐτὸν ὡς ἑλληνόφρονα ἠβούλοντο
αὐτὸν ἀνελεῖν. τοῦ δὲ εἰσελθόντος ἐν τῇ ἐκκλησίᾳ καὶ προτραπέντος
λαλῆσαι τῷ λαῷ, ἔφη· "ἄνδρες ἀδελφοί, ἡ γέννησις τοῦ θεοῦ καὶ
σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σιωπῇ τιμάσθω, ὅτι ἀκοῇ καὶ μόνῃ
συνελήφθη ἐν τῇ ἁγίᾳ παρθένῳ ὁ τοῦ θεοῦ λόγος· αὐτῷ ἡ δόξα
εἰς τοὺς αἰῶνας, ἀμήν." καὶ ἐχάρη ὁ λαός, καὶ εὐφήμησαν αὐτόν,
καὶ ἐπισκόπησεν αὐτοὺς εὐσεβῶς. ‖

ιη'. ια'. δ'. ια'. η'. λα'. ε'. A. M. 5938
447.

Τούτῳ τῷ ἔτει ἐτυράννησεν Ἰωάννης ἕτερος, ὁ λεγόμενος Οὐαν-
δαλός, κατὰ Οὐαλεντινιανοῦ ἐν Ῥώμῃ· καὶ ἀποστείλας Θεοδόσιος
δύναμιν σὺν τῷ Ἄσπαρι καὶ Ἀρδαβουρίῳ τοῖς στρατηγοῖς, καὶ πολέμου
κροτηθέντος, ἡττήθη Ἰωάννης καὶ λαβὼν λόγον παρέδωκεν ἑαυτὸν 150 B
ζῶντα. καὶ εἰσάγουσιν αὐτὸν πρὸς τὸν βασιλέα Θεοδόσιον, καὶ τιμῆς
ἀξιωθῆναι αὐτὸν παρασκευάζουσιν. ὁ δὲ Χρυσάφιος, εὐνοῦχος ὢν 84 P
καὶ παραδυναστεύων ἐν τοῖς βασιλείοις, δολοφονήσας ἀνεῖλεν αὐτόν·
ἀλλ' οὐκ εἰς μακρὰν τοῦτον ἡ δίκη μετῆλθεν.

λθ'. ιβ'. ε'. ιβ'. θ'. λβ'. ς'. A. M. 5939 443/4.

Τούτῳ τῷ ἔτει Κύριλλος Ἀλεξανδρείας καὶ Πρόκλος Κωνστα- cf. Niceph.
τινουπόλεως εὐσεβῶς ἐκοιμήθησαν. καὶ τὸν μὲν Πρόκλον Φλαβιανὸς XIV 47
ὁ πρεσβύτερος καὶ σκευοφύλαξ τῆς ἐκκλησίας Κωνσταντινουπόλεως
διεδέξατο, ἀνὴρ ἱερώτατος καὶ ἐνάρετος. Κύριλλον δὲ Διόσκορος ὁ
δυσσεβὴς διεδέξατο, μηδ' ὅλως ὢν διδασκαλικός, ἄγριος δὲ καὶ ἀν-
ήμερός τις, ἐξαιρέτως δὲ ἐν τοῖς συγγενέσι Κυρίλλου γενόμενος, ὡς
καὶ τὴν οἰκίαν αὐτῶν καίπερ οὖσαν ἐν ὕψει πολλῷ ἐπάνω τρίστεγον
οἶκον καθιερῶσαι.

3 *Κύρος* bdfg. — *ἀνανέωσεν* y. — *ἐχόλεσεν* b Mal. Chron. Pasch. *ἐχόλανεν* (*ἐχώλ.* dh) xyz. — 5 *αὐτὸν post ἐδήμ. add. ex* b *om.* xyz. — 6 *παπᾶς* bcehm παππᾶς g. — *καὶ αὐτὸς add. ex* b Mal. *om.* xyz. — 7 *ἐπ' αὐτῷ* b *ἐπ' αὐτόν* xyz. — 8 *πρὸ τῶν ἁγ. Θ. ὑφ. αὐτὸν* b *om.* xyz. — 10 *αὐτὸν add. ex* b *om.* xyz. — *ἀνελεῖν ἐν τῇ ἐκκλησίᾳ* z. — *τοῦ δὲ—ἐκκλησίᾳ* h *pr. m. in mg.* — *εἰς τὴν ἐκκλησίαν* gy. — 12 *ἀκοῇ μόνῃ* d Mal. *καὶ μ. ἀκοῇ* c. — 15 *ἐπισκόπησεν* yz *ἐπεσκόπησεν* bx. — *αὐτούς* b *αὐτοῖς* xyz. — 17 *ἕτερος*] *στερρός* y. — *Οὐανδάλος* b *Οὐάνδαλος* cem *Οὐανδηλός* f. — 19 *Ἀρταβουρίῳ* z. — 21 *τὸν om.* b. — 22 *παρασκευάζουσιν αὐτόν* x. — 27 *ἐκοιμήθησαν εὐσεβῶς* c. — 30 *ἄγριος καὶ ἀνήμ.* b *ἀχρεῖος καὶ ἀνήμ.* xyz immitis et ferus A. — *δέ*] *ὢν* c. — 31 *ἐξαίρετος* f. — *ὡς—καθιερῶσαι* b *ὃς—καθιέρωσεν* xyz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

417/8 A. M. 5940

Κόσμου	Τῆς	– Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	θείας	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,εϑμ΄.	σαρκώσεως	Θεοδόσιος	Ἰσδιγέρδης	Λέων
	ἔτη υμ΄.	ἔτη μβ΄.	ἔτη ιξ΄.	ἔτη κα΄.
		μ΄.	ιγ΄.	ϛ΄.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Φλαβιανὸς	Ἰουβενάλιος	Διόσκορος	Δόμνος
ἔτη β΄.	ἔτη λη΄.	ἔτη ε΄.	ἔτη η΄.
α΄.	ι΄.	α΄.	ϛ΄.

cf. Niceph. XIV, 47

Τούτῳ τῷ ἔτει Χρυσάφιος εὐνοῦχος τοῦ τε παλατίου καὶ τοῦ βασιλέως Θεοδοσίου κρατῶν, τῇ Φλαβιανοῦ χειροτονίᾳ φθονήσας, ὑπέθετο τῷ βασιλεῖ ἀκάκῳ ὄντι καὶ εἰς Χαλκηδόνα διάγοντι δηλῶσαι τῷ πατριάρχῃ ἀποστεῖλαι τὰς ὑπὲρ τῆς χειροτονίας εὐλογίας. ὁ δὲ
151 B Φλαβιανὸς καθαροὺς ἄρτους ἀπέστειλεν εὐλογίας. ὁ δὲ Χρυσάφιος ἀποστρέψας ταύτας ἐδήλωσε χρυσᾶς εὐλογίας ζητεῖν τὸν βασιλέα. ὁ δὲ ἐπίσκοπος ἀντεδήλου μὴ ἔχειν χρήματα ἀποστεῖλαι, εἰ μή τισι χρήσομαι τῶν ἱερῶν σκευῶν. γίνεται οὖν ἐκ τούτου οὐ μικρὰ λύπη ἐν μέσῳ αὐτῶν, Πουλχερίας ταῦτα μὴ εἰδυίας. καὶ ταῦτα μὲν ἐν Κωνσταντινουπόλει. ἐν Ἀλεξανδρείᾳ δὲ Διόσκορος εὐθὺς ἐκ προοι- μίων τοὺς συγγενεῖς Κυρίλλου πορθεῖ καὶ τὰ τούτων ληΐζεται, τὸν δὲ ἀδελφιδοῦν αὐτοῦ Ἀθανάσιον πρεσβύτερον ὄντα καθεῖλεν ἀναιτίως, δημεύσας αὐτὸν ἐσχάτως. ταῦτα ἐποίει ἐναντιούμενος τῇ ὀρθῇ πίστει Κυρίλλου αἱρετικὸς ὢν καὶ ἐξ ἁπαλῶν ὀνύχων τὰ Ὠριγένους φρονῶν. ἐνεῖχε δὲ καὶ Φλαβιανῷ, διότι μικρὰν ἐπικουρίαν παρέσχε τοῖς συγγε-
85 P νέσι τοῦ μακαρίου Κυρίλλου. ὁ δὲ Χρυσάφιος δυσσεβὴς ὢν καὶ μὴ φέρων ὁρᾶν τὴν τῶν ἐκκλησιῶν ὁμόνοιαν σπουδὴν ποιεῖται ταύτας ταράξαι, καὶ παντοῖος γίνεται εἰς τὸ Φλαβιανὸν τῆς ἐπισκοπῆς ἐξεῶσαι, βουλόμενος Εὐτύχην τινὰ ἀρχιμανδρίτην ὁμόφρονα αὐτοῦ εἰς τὴν ἐπισκοπὴν προχειρίσασθαι. καὶ ἐπειδὴ Πουλχερίας κρατούσης τῶν πραγμάτων οὐδὲν ἴσχυσεν, πρῶτον ὑπεισέρχεται τῇ Εὐδοκίᾳ ἀπείρῳ
152 B οὔσῃ, καὶ εἰς φθόνον αὐτὴν ἐρεθίζει κατὰ τῆς ἰδίας μητρὸς καὶ ὑποτίθεται αὐτῇ λοιδορῆσαι αὐτὴν παρὰ τῷ βασιλεῖ πρὸς τὸ λαβεῖν αὐτὴν τὸν πραιπόσιτον, ἐπειδὴ ἡ Πουλχερία τὴν διοίκησιν τῶν πραγμάτων ἐκράτει καὶ ἀναγκαίως εἶχε τὸν πραιπόσιτον. ὁ δὲ βασιλεὺς ὑπὸ τῆς

3⁴ Ἰσδηγέρδης c. — 8² Οὐβεννάλιος g. — 12 Θεοδοσίου *add. ex* b *om.* xyzA. — 14 ὁ δὲ Φλαβιανὸς — εὐλογίας *om.* g *in mg. add. m.* 2. — 15 εὐλογίαν em *mg.* g. — 17 ἀντεδήλοι b. — 18 οὐ *om.* f. — 19 μὲν *om.* cyz. — 22 δὲ *om.* y. — αὐτοῦ *om.* z. — 23 τὴν ὀρθὴν πίστιν b. — 24 τὰ *om.* g. — 25 Φλαβιανόν b. — τοῖς συγγενεῦσι mx τοὺς συγγενεῖς b. — 27 σπουδή y. — αὐτάς xyz. — 29 Εὐτύχην by Εὐτυχήν (-εἶν h) xz. — αὐτῷ x. — 31 ἴσχυσεν bh ἴσχυεν gyz. — τῇ *om.* x. — 32 ἐρεθίζεται y. — ἰδίας bd οἰκείας cyz. — 33 αὐτῇ λοιδορῆσαι *om.* f. — 34 πρεπόσιτον by πραιπώσιτον g *ubique.* — ἡ *om.* b. — ἐπειδὴ ἡ Π. εἰς τὴν διοίκ. τ. πραγ. ἀναγκαίως εἶχε τὸν πρ. xyzA.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γυναικὸς ἐνοχλούμενος διαπέμπεται αὐτῇ λέγων· "μή σε τοῦτο λυπήσῃ· πραιπόσιτον γὰρ ἔχειν σε οὐκ ἔστι δυνατόν· οὐδὲ τὴν ἐμὴν ἀδελφὴν καλῶς διοικοῦσαν καὶ ἐμπείρως καὶ εὐσεβῶς ἐγὼ παραστέλλω." τούτου δὲ ἀποτυχὼν ὁ Χρυσάφιος ἐφ' ἑτέραν μετέρχεται συσκευὴν καὶ ὑποτίθεται τῇ Εὐδοκίᾳ ὀχλῆσαι τῷ βασιλεῖ, καὶ ἐπιτρέψαι τῷ πατριάρχῃ χειροτονῆσαι αὐτὴν διάκονον ὡς παρθενεύειν ᾑρημένην. καὶ ἐπὶ πλεῖον τῆς Εὐδοκίας ὀχλούσης, ἔπεισε τὴν κουφότητα τοῦ βασιλέως. καὶ τοῦτο προτραπεὶς ὁ μακάριος Φλαβιανὸς παρὰ τοῦ βασιλέως ποιῆσαι ἐλυπήθη σφόδρα προβλέπων τὰ μέλλοντα ἐκ τούτου ἀναφυῆναι σκάνδαλα. καὶ τῷ μὲν βασιλεῖ ὑπέσχετο, τῇ δὲ Πουλχερίᾳ ἔγραψε παρακαλῶν αὐτὴν μὴ δεχθῆναι εἰς πρόσωπον αὐτῆς, "ἵνα μὴ ἀναγκασθῶ," φησίν, "τῶν λυπούντων σε πρᾶξαί τι." ἡ δὲ ἐκ τῶν γραφέντων νοήσασα τὸ μελετώμενον τὸν μὲν πραιπόσιτον τῇ Εὐδοκίᾳ ἀπέστειλεν, εἰς δὲ τὸ Ἔβδομον ἐξελθοῦσα ἡσύχαζεν. ἐκ τούτου ὁ βασιλεὺς καὶ ἡ Εὐδοκία σφόδρα κατὰ Φλαβιανοῦ ἐλυπήθησαν ὡς τὸ μυστήριον ἐκκαλύψαντος. τῆς δὲ Πουλχερίας ἡσυχαζούσης, καὶ Εὐδοκίας τὴν βασιλείαν ἰθυνούσης, συνηνέχθη τι τοιοῦτον. ‖ Παυλῖνός τις μάγιστρος ἠγαπᾶτο παρὰ τῆς Εὐδοκίας ὡς λογιώτατος καὶ ὡραιότατος, ᾧ τινι συχνῶς ἰδίως συνετύγχανεν. τῇ οὖν ἡμέρᾳ τῶν ἁγίων Θεοφανίων προσήγαγέ τις τῷ βασιλεῖ μῆλον μέγα τε καὶ θαυμαστόν. ὁ δὲ βασιλεὺς τοῦτο θαυμάσας ἀπέστειλεν αὐτὸ τῇ Εὐδοκίᾳ, κἀκείνη ἀπέστειλεν αὐτὸ τῷ Παυλίνῳ· ὁ δὲ Παυλῖνος μετὰ δύο ἡμέρας ἀπέστειλεν αὐτὸ τῷ βασιλεῖ. ὁ δὲ βασιλεὺς τοῦτο γνωρίσας ἔκρυψεν. καὶ ἀπελθὼν λέγει τῇ αὐγούστῃ· "τὴν σωτηρίαν μου, τὸ μῆλον, ὃ ἔπεμψά σοι, ποῦ ἔστιν;" ἡ δὲ ἔφη· "μὰ τὴν σωτηρίαν σου, ἔφαγον αὐτό." τότε εἰς ὀργὴν κινηθεὶς κελεύει τὸ μῆλον ἐνεχθῆναι καὶ τὸν Παυλῖνον ἐξορισθῆναι εἰς Καππαδοκίαν κἀκεῖ σφαγῆναι. ‖ ὁ δὲ ἀνωτέρω μνημονευθεὶς Εὐσέβιος ὁ σχολαστικός, ὁ πρῶτος Νεστορίου λαβόμενος, προαχθεὶς εἰς ἐπισκοπὴν τοῦ Δορυλαίου καὶ πρὸς Εὐτύχην τὸν ἀρχιμανδρίτην περὶ πίστεως διαλεγόμενος εὗρεν οὐκ ὀρθὰ φρονοῦντα αὐτόν. πολλὰ δὲ παραινέσας ὠφελῆσαι αὐτὸν οὐκ ἴσχυσεν. τότε ὁ Εὐσέβιος ἀνήγαγε τὰ περὶ αὐτοῦ Φλαβιανῷ τῷ ἐπισκόπῳ, ὅστις συγκροτήσας σύνοδον μ' ἐπισκόπων μεταστέλλεται τὸν Εὐτυχέα καὶ κατὰ πᾶσαν ἀκολουθίαν τῶν ἐκκλη-

153 B

Mal. p. 356, 17 Chron. Pasch. p. 584, 5

86 P

cf. Euagr. Hist. Eccl. I, 9

154 B

---

2 γὰρ ἔχειν] παρέχειν b. — 4 τούτῳ y. — συσκευὴν bh σκευὴν gxy. — 5 καὶ om. hx. — 6 ᾑρημένην g εἰρημένην bhxy. — 7 πλέον b. — ὀχλουμένης f. — 9 ποιῆσαι add. ex b om. xyzA. — 11 παρακαλῶν αὐτὴν om. x. — 12 σε om. b. — 13 post νοήσασα litura unius verbi in b. — 18 μαγίστρος egx. — 19 καὶ ὡραιότατος om. x. — 24 μὰ τὴν σωτ.? — 25 μοι f. — σοι om. b. — 29 Δορυλέου x. — 30 Εὐτύχην by Εὐτυχην sine acc. c Εὐτυχεῖν h Εὐτυχῆ g Εὐτυχή d. — 31 εὗρε διαλεγόμενος c. — ὀρθῶς z. — παρακαλέσας καὶ παραινέσας xz. — 32 ὁ om. h. — 34 Εὐτυχέα b Εὐτύχην y Εὐτυχῆ z Εὐτυχη sine acc. x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιαστικῶν κανόνων ἀνακρίνας καὶ εὑρὼν αὐτὸν αἱρετικὸν καὶ ὕπουλον καθεῖλεν αὐτόν. Χρυσάφιος δέ, ὁ τούτου σύμφρων, τοῦ παλατίου κρατῶν καὶ ταῦτα μαθὼν ἐξάπτεται εἰς ὀργὴν ἐπὶ πλεῖον κατὰ Φλαβιανοῦ καὶ δηλοῖ Διοσκόρῳ τῷ Ἀλεξανδρείας εἰς πάντα αὐτῷ συνεργεῖν τὰ καταθύμια, εἰ ταῖς κατὰ Φλαβιανοῦ καὶ Εὐσεβίου συνδράμῃ αὐτῷ κατηγορίαις καὶ ὑπὲρ Εὐτυχοῦς ἀγωνίσηται. κινεῖ δὲ πρὸς τοῦτο καὶ τὴν αὐγούσταν Εὐδοκίαν τὰ περὶ Πουλχερίας λυπηρὰ κατὰ Φλαβιανοῦ ὑπομιμνήσκων αὐτήν· καὶ παρασκευάζουσιν ἀμφότεροι τὸν βασιλέα θεσπίσαι δευτέραν ἐν Ἐφέσῳ συγκροτηθῆναι σύνοδον, καὶ παρέχουσι Διοσκόρῳ ἐξάρχειν τῆς συνόδου, ἀποστείλαντες αὐτῷ στρατὸν πλεῖστον πρὸς βοήθειαν.

448/9. A. M. 5941

μά. ιδ'. ξ'. β'. ια'. β'. η'.

cf. Euagr. II, 1 Niceph. XIV, 47

Τούτῳ τῷ ἔτει κελεύσει τοῦ βασιλέως Θεοδοσίου ἡ ληστρικὴ καὶ παράνομος συνηθροίσθη σύνοδος ἐν Ἐφέσῳ τοῦ κριθῆναι τὰ περὶ Φλαβιανοῦ καὶ Εὐτυχοῦς· ὑπὸ Διοσκόρου τοῦ δυσσεβοῦς κατὰ παραίνεσιν Χρυσαφίου τοῦ εὐνούχου, τοῦ ἐπίκλην Τζουμᾶ, τὴν τοῦ
155 B βασιλέως κουφότητα παραπείσαντος. συναθροισθέντων δὲ πάντων ἐν Ἐφέσῳ, προκαθίσας ὁ Διόσκορος οὐ συνεχώρησε παρεῖναι νοτάριον ἕτερον τῇ συνόδῳ, ἀλλὰ τοὺς ἰδίους μόνους ἐποίησε γράφειν τὰ πραττόμενα. ζητήσεως οὖν γενομένης ἀπῃτεῖτο Εὐτύχης τὴν ἰδίαν δόξαν ἐκφάναι, καὶ ἀπεκρίνατο λέγων· "ὁμολογῶ ἐκ δύο φύσεων γενέσθαι τὸν κύριον ἡμῶν πρὸ τῆς ἑνώσεως· μετὰ δὲ τὴν ἕνωσιν μίαν φύσιν ὁμολογῶ." τότε Διόσκορος εἶπεν· "καὶ ἡμεῖς τούτοις συντιθέμεθα πάντες." καὶ οἱ μὲν τοποτηρηταὶ τοῦ πάπα Λέοντος Ῥώμης θεασάμενοι τὴν Διοσκόρου ὁρμήν, καὶ ὅτι τὴν ἐπιστολὴν τοῦ πάπα τὴν πρὸς Φλαβιανὸν οὐ συνεχώρησεν ἀναγνωσθῆναι οὔτε τὴν πρὸς τὴν σύνοδον, ἀλλὰ παρωράθησαν, ἔφυγον καὶ κατῆλθον ἐν
87 P Ῥώμῃ. ὁ δὲ Διόσκορος τῷ Εὐτυχίῳ μὲν τὴν ἱερωσύνην ἀποδίδωσιν, Εὐσέβιον δὲ τὸν τοῦ Δορυλαίου καὶ Φλαβιανὸν τὸν Κωνσταντινουπόλεως ἑτοίμως καθεῖλεν. ὃς καὶ πρὸς τῇ καθαιρέσει ὠθισμοῖς καὶ λακτίσμασι τῶν ὑπὸ Διοσκόρου ἐκβαλλόμενος τριταῖος τὸν βίον μετήλ-

---

3 τοῦτο xz. — 3 ἐπὶ πλεῖον ἐξάπτεται εἰς ὀργήν z. — 4 τῷ om. f. — 5 συνδράμει bg συνδράμοι hyz. — 6 κατηγορίας b. — Εὐτυχῆς f. — 7 Αὐγοῦσταν g. — κατὰ Φλαβιανοῦ καὶ Εὐσεβίου h. — 8 αὐτῇ bd. — ἀμφότεροι om. x. — 16 τοῦ] τό xyz. — Τζουμᾶ b Ταϊουμᾶ h Ταϊουμά egmx Ταιόγμᾶ f. — 18 ἐν Ἐφέσῳ add. ex b om. xyz. — παρῆναι bc. — νοτάριν f. — 20 Εὐτύχης em Εὐτυχής fg Εὐτυχης sine acc. c Εὐτυχεῖς h Εὐτύχιος d εὐχῆς b. — 22 γενέσθαι b γεγενῆσθαι dy γεγεννῆσθαι cz. — 24 πάππα g item v. 26. — 25 Ῥώμης om. y. — 27 παρωράθησαν g παροράθησαν bdh παροραθῆσαν f παροραθεῖσαν cem. — 28 Εὐτυχίῳ by Εὐτυχεῖ gx Εὐτυχῇ h. — 29 τὸν om. h. — Δορυλέου d Δορυλλέου c. — 30 ὃς] ὃν b. — πρὸς τῇ καθαιρέσει scr. e coni. πρὸ τῇ καθαιρέσει b πρὸ τῆς καθαιρέσεως xyz. — 31 τῶν b τοῖς xyz. — ἐκβαλόμενος bh ἐκβαλλομένοις y. — τριτταῖος x τριταίως f τριτέως em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λαξεν. καὶ τῇ ἑξῆς βίᾳ στρατιωτῶν καὶ ξιφῶν ὑπογράψαι οἱ ἐπίσκοποι κατηναγκάσθησαν. ὁ δὲ Δόμνος, Ἀντιοχέων ἐπίσκοπος, βίᾳ ὑπογράψας καὶ εἰς ἑαυτὸν ἐλθὼν ἀντέστη Διοσκόρῳ καὶ τοῖς ἄρχουσι καταβοῶν τῶν πραχθέντων καὶ ἀσέβειαν τὴν σύνοδον ὀνομάζων καὶ 156 B
τὴν ἑαυτοῦ ὑπογραφὴν ζητῶν ἀναλαβεῖν. ‖ ταῦτα μαθὼν ὁ πάπας cf. Niceph. XIV, 49
Λέων πρόσεισι τῷ βασιλεῖ Οὐαλεντινιανῷ καὶ ταῖς αὐγούσταις μετὰ δακρύων αἰτῶν ἐπιστολὰς Θεοδοσίῳ τῷ βασιλεῖ, διόρθωσιν γενέσθαι τῶν ἐν Ἐφέσῳ ἀθέσμως καὶ ἀκανονίστως πραχθέντων. ὁ δὲ ἀντιγράφει τῇ θυγατρὶ Εὐδοξίᾳ οὕτως· "τοῦτο τῇ σῇ γλυκύτητι γνωρίσαι βούλομαι, ὅτι ὁ Φλαβιανὸς θείᾳ κρίσει τῶν ἐκκλησιῶν ἐξεβλήθη ὡς ταραχῶν πολλῶν αἴτιος." ‖ ὁ δὲ Διόσκορος καθῆρε καὶ Θεοδώρητον καὶ Ἶβαν καὶ Ἀνδρέαν καὶ Δόμνον τὸν Ἀντιοχείας καὶ ἄλλους ἀνατολικοὺς ἐπισκόπους ἀπόντας. ‖ Θεοδόσιος δὲ ὁ βασιλεὺς εὐρί- cf. Georg. Mon p. 505, 10
πιστος ἦν, παντὶ ἀνέμῳ φερόμενος, ὅθεν καὶ χάρταις ἀπαραναγνώστοις πολλάκις ὑπέγραφεν· ἐν οἷς καὶ Πουλχερία ἡ σοφωτάτη δωρεὰν ὑπέβαλεν ἀπαρανάγνωστον ἐκχωροῦσαν πρὸς δουλείαν Εὐδοκίαν, τὴν γαμετὴν αὐτοῦ, καὶ ὑπέγραψε δεινῶς παρὰ Πουλχερίας ὀνειδισθείς. ‖

‖ Τῷ δ' αὐτῷ ἔτει Γιζέριχος τῷ Οὐανδαλικῷ πλήθει πολὺς cf. Niceph. XIV, 57
γενόμενος καὶ ῥῆγα καλέσας ἑαυτὸν γῆς τε καὶ θαλάσσης καὶ νήσων πολλῶν τοῖς Ῥωμαίοις ὑποτελῶν κατασχὼν ἐλύπει τὸν Θεοδόσιον. καὶ ἀποστέλλει χιλίας ρ' ὁλκάδας μετὰ δυνάμεως Ῥωμαϊκῆς Ἀρεοβίν- 157 B
δου καὶ Ἀνσίλα καὶ Ἰνοβίνδου καὶ Ἀρινθέου καὶ Γερμανοῦ τῶν στρατηγῶν. ταύτης οὖν τῆς δυνάμεως τῇ Σικελίᾳ προσορμισθείσης, καταπλαγεὶς ὁ Γιζέριχος πρεσβεύεται Θεοδοσίῳ περὶ σπονδῶν. ‖

Κωνσταντινουπόλεως ἐπίσκοπος Ἀνατόλιος ἔτη θ'. A. M. 5942 449/50
Ἀντιοχείας ἐπίσκοπος Μάξιμος ἔτη δ'.
μβ'. ιε'. η'. α'. ιβ'. γ'. α'.

88 P
Τούτῳ τῷ ἔτει ἐπιλογισάμενος Θεοδόσιος καὶ γνοὺς ἑαυτὸν ἀπα- cf. Niceph. XIV, 49
τηθέντα ὑπὸ τῆς Χρυσαφίου πανουργίας ἐλυπεῖτο περὶ τῆς εἰς Φλαβιανὸν γεγενημένης ἀσεβείας καὶ τῆς εἰς τοὺς λοιποὺς ἐπισκόπους ἀδικίας. καὶ ἀγανακτήσας σφόδρα πρῶτον μὲν Χρυσάφιον ἐξώρισεν εἴς τινα νῆσον, τῇ δὲ Εὐδοκίᾳ ἐπιφέρεται σφοδρῶς πάντων τῶν κακῶν αἰτίαν αὐτὴν ἀποκαλῶν, ὡς καὶ Πουλχερίαν τῶν βασιλείων

---

1 τῶν στρατιωτῶν f. — 3 ἀνέστη b. — τῷ Διοσκόρῳ f. — 4 ἀσεβῆ xz. — 5 λαβεῖν b. — πάππας g. — 6 μετὰ δακρύων om. x. — 7 τῷ βασιλεῖ Θεοδοσίῳ g. — γραφῆναι post βασιλεῖ add. z. — 10 θείᾳ κρίσει om. x. — 11 καθεῖρεν y. — 12 Ἶβαν d Ἰβᾶν bcg Ἰβᾶν hy. — ἄλλους] τούς z. — 13 ἀπόντας b ἅπαντας xyz. — 14 ἀπαραναγνώστους z Georg. ἀπαραγνώστοις y. — 17 δεινῶς b Georg. om. xyz. — 18 Γηζέριχος c Γιζερίχος f. — 20 ὑποτελῶν] ὑποστέλλων bh. — 21 χιλιάδας y. — Ἀρεβίνδου b. — 22 Ἠνοβίνδου y Ἰννοβίνδου z. — 23 τῆς Σικελίας y. — 24 Γηζέριχος emx. — 25 ἔτη θ'] ἔτη η' b. — 27 μβ'. ιε'. α'. η'. ιβ'. γ'. α'. cy. — 28 ἐπιλογησάμενος bdeg. — 29 εἰς om. h. — 33 βασιλειῶν ehm.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀποδιώξασαν, ἅμα δὲ καὶ τὰ κατὰ τὸν Παυλῖνον ὀνειδίζων αὐτῇ. ἡ δὲ ἀπογνοῦσα παρεκάλεσεν ἐπὶ τὰ Ἱεροσόλυμα ἀπολυθῆναι αὐτήν. καὶ λαβοῦσα μεθ' ἑαυτῆς Σευῆρον τὸν πρεσβύτερον καὶ Ἰωάννην τὸν διάκονον ἦλθεν εἰς Ἱεροσόλυμα. καὶ μαθὼν ὁ βασιλεύς, ὅτι οὗτοι καὶ ἐν τῇ πόλει αὐτῇ ἐσύγχυζον καὶ ἐν Ἱεροσολύμοις μετ' αὐτῆς εἰσιν, καὶ πολλὰ αὐτοῖς δωρεῖται, ἀποστείλας ἀπεκεφάλισεν αὐτούς.

158 B τότε ὁ βασιλεὺς τὴν μακαρίαν Πουλχερίαν πολλὰ παρακαλέσας ἤγαγεν εἰς τὰ βασίλεια· ἥτις εὐθέως ἀποστείλασα εἰς Ἔφεσον ἤγαγε τὸ λείψανον τοῦ ἁγίου Φλαβιανοῦ· καὶ μετὰ δορυφορίας διὰ τῆς Μέσης

cf. Georg. Mon. p. 498, 13 ἐκκομίσασα ἔθαψεν ἐν τοῖς ἁγίοις ἀποστόλοις. ‖ τότε τὴν τῶν Χαλκοπρατείων ἐκκλησίαν τῇ ἁγίᾳ Θεοτόκῳ ἀνήγειρε συναγωγὴν Ἰουδαίων πρότερον οὖσαν. ‖

cf. Nicoph. XIV, 57 Τοῦ δὲ στόλου, ὡς προέφημεν, ἐν Σικελίᾳ ἐκδεχομένου τὴν τῶν πρεσβευτῶν Γιζερίχου ἄφιξιν καὶ τὴν τοῦ βασιλέως κέλευσιν, ἐν τῷ μεταξὺ Ἀττίλας, ὁ Μουνδίου παῖς, Σκύθης, γενόμενος ἀνδρεῖος καὶ ὑπερήφανος, ἀποβαλὼν Βδελλάν, τὸν πρεσβύτερον ἀδελφόν, καὶ μόνος ἄρχων τὸ τῶν Σκυθῶν βασίλειον, οὓς καὶ Οὔννους καλοῦσιν, κατατρέχει τὴν Θράκην. δι' ὃν μάλιστα Θεοδόσιος σπένδεται Γιζέριχον καὶ ἐπανάγει τὸν στόλον ἐκ Σικελίας. ἀποστέλλει δὲ τὸν Ἄσπαρα σὺν τῇ ὑπ' αὐτὸν δυνάμει καὶ Ἀρεόβινδον καὶ Ἀργαγίσκλον ἐπὶ τὸν Ἀττίλαν Ῥατιαρίαν ἤδη καὶ Νάϊσον καὶ Φιλιππούπολιν καὶ Ἀρκαδιούπολιν καὶ Κωνσταντίαν καὶ ἕτερα πλεῖστα πολίσματα καταστρεψάμενον καὶ σὺν αἰχμαλώτοις πολλοῖς ὑπέρογκον συμφορήσαντα λείαν.

159 B τῶν οὖν στρατηγῶν ἐλαττωθέντων σφόδρα ταῖς μάχαις, προῆλθεν Ἀττίλας καὶ μέχρι θαλάσσης ἑκατέρας, τῆς τε τοῦ Πόντου καὶ τῆς πρὸς Καλλιπόλει καὶ Σηστῷ κεχυμένης, πᾶσαν πόλιν καὶ φρούρια

---

1 τὰ *om.* y. — 3 *Σεύηρον* g *Σευῖρον* c. — 5 αὐτῇ] αὐτοί b. — 9 *δωροφορίας* b *δωρυφορίας* h. — 10 *τὴν om.* b. — *Χαλκοπρατίων* yz. — 11 ἁγίᾳ *add. ex* b *om.* xyz. — 13 στόλου b λαοῦ xyz. — ὡς προέφη b ὥσπερ ἔφημεν h. — 14 *Γηζερίχου* emx *item v.* 18 *Γηζέριχον*. — 15 Ἀττίλας b Ἄττιλας dhy Ἀττιλάς g *sine acc.* c. — ὁμουνδίου b ὁμνουδίου emxz ὁμνοδίου f. — 16 *Βδελλάν* b *Βδελλαν sine acc.* c *Βδελάν* y *Βδέλαν* z Bdella A. — 17 *Οὔνους* b. — *κατατρέχειν* b. — 18 δι' ὃν καὶ μάλιστα xz. — *Γιζερίχῳ vel πρὸς Γιζέριχον?* — ἐπαναγάγει y. — 19 ἐκ] εἰς b. — 20 σὺν τοῖς τῇ bef σὺν τοῖς m. — ὑπ' αὐτοῦ c ὑπ' αὐτοῖς y ὑπ' αὐτῆς b. — Ἀρεοβίνδον bd. — Ἀργαγίσκλον b Ἀργαλίσκλον x Ἀργάλισκλον z Ἀργαλήσκλον em Ἀργαλησκλον *sine acc.* f Ἀρναγίσκλον? — 21 Ἄττιλαν (-ειλαν h) dz Ἀττιλαν *sine acc.* c Ἄττιλα y. — Ῥατιαρίαν b Ῥατιάρειαν xz Ῥατηαρίαν em Ῥατηαρεῖαν f. — καὶ Νάϊσον—Ἀρκαδιούπολιν *om.* em. — Νάϊσον b Νάσαν f Νάσσαν dh Νασσάν g Νασσαν *sine acc.* c. — Φιλίππου πόλιν b. — Ἀρκαδίου πόλιν f. — 22 Κωνστάντιαν g. — πτολίσματα d. — 23 συμφωνίσαντα h. — λίαν *codd. praeter* c. — συμφορ. λίαν. τῶν οὖν στρατηγῶν b συμφορ. λίαν, τῶν συστρατηγῶν x συμφ., λίαν τῶν συστρατηγῶν z συμφ., λίαν τῶν στρατηγῶν y. — 24 προσῆλθεν y. — 25 Ἄττιλας dfz *sine acc.* c. — 26 Καλλιπόλει b Καλλίπολιν xyz. — Σειστῷ b Σείστῳ yz Σείστον d Σειστον *sine acc.* c. — πᾶσα b.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δουλούμενος πλὴν Ἀδριανουπόλεως καὶ Ἡρακλείας, τῆς ποτε Περι- V
ρίνθου κληθείσης, ὥστε καὶ εἰς τὸν Ἀθύραν αὐτὸν φρούριον ἐλθεῖν. ἀναγκάζεται οὖν Θεοδόσιος πρεσβεύσασθαι πρὸς Ἀττίλαν καὶ ἑξακισχιλίας χρυσίου λίτρας ὑπὲρ τῆς ἀναχωρήσεως παράσχεῖν, χιλίων δὲ χρυσίου λιτρῶν ἐτήσιον φόρον αὐτῷ ἠρεμοῦντι προσομολογῆσαι τελεῖν. ‖ τότε τοίνυν ἐπανελθούσης τῆς Ῥωμαϊκῆς δυνάμεως ἐκ τοῦ πολέμου τοῦ πρὸς Ἀττίλαν, μετὰ βραχὺ τελευτᾷ Θεοδόσιος ὁ βασιλεὺς μηνὶ Ἰουλίῳ κ', ἰνδικτιῶνι γ'. ‖ ἡ δὲ μακαρία Πουλχερία, μήπω τινὶ τῆς τοῦ βασιλέως τελευτῆς γνωσθείσης, μεταστειλαμένη Μαρκιανόν, ἄνδρα ἐν σωφροσύνῃ καὶ σεμνότητι διαπρέποντα γέροντά τε ὄντα καὶ ἱκανώτατον, λέγει πρὸς αὐτόν· "ἐπειδὴ ὁ βασιλεὺς ἐτελεύτησεν, ἐγὼ δέ σε ἐξελεξάμην ἐκ πάσης τῆς συγκλήτου, ὡς ἐνάρετον, δός μοι λόγον, ὅτι φυλάττεις τὴν παρθενίαν μου, ἣν τῷ θεῷ ἀνεθέμην, καὶ ἀναγορεύω σε βασιλέα." τοῦ δὲ συνθεμένου τοῦτο, μεταστέλλεται τὸν πατριάρχην καὶ τὴν σύγκλητον καὶ ἀναγορεύει αὐτὸν βασιλέα Ῥωμαίων. ‖

cf. Niceph. XIV, 58

cf. Georg. Mon. p. 504, 14

89 P

Κόσμου ἔτη ,εϡμγ'.	Τῆς Θείας σαρκώσεως ἔτη υμγ'.	Ῥωμαίων βασιλεὺς Μαρκιανὸς ἔτη ς'. α'.	Περσῶν βασιλεὺς Ἰσδιγέρδης ἔτη ιζ'. ιε'.	Ῥώμης ἐπίσκοπος Λέων ἔτη κα'. θ'.

A. M. 5943 450/51. 160 B

Κωνσταντ. ἐπίσκοπος Ἀνατόλιος ἔτη θ'. β'.	Ἱεροσολύμων ἐπίσκοπος Ἰουβενάλιος ἔτη λη'. ιγ'.	Ἀλεξανδρείας ἐπίσκοπος Διόσκορος ἔτη ε'. δ'.	Ἀντιοχείας ἐπίσκοπος Μάξιμος ἔτη δ'. β'.

Τούτῳ τῷ ἔτει Μαρκιανὸς ὁ εὐσεβὴς θείᾳ ψήφῳ αὐτοκράτωρ ἀναδειχθεὶς τοὺς ἐν ἐξορίᾳ πάντας ἀνεκαλέσατο. ἡ δὲ μακαρία Πουλχερία τὸν παμμίσητον Χρυσάφιον τὸν εὐνοῦχον ἐκδέδωκεν Ἰορδάνῃ, τῷ παιδὶ Ἰωάννου, τοῦ ἐν Ῥώμῃ τυραννήσαντος καὶ προσχωρήσαντος πρὸς Ἀρδαβούριον καὶ Ἄσπαρα καὶ εἰς τὸ Βυζάντιον ἐλθόντος καὶ τιμῆς ἀξιωθέντος, ἀναιρεθέντος τε δόλῳ ὑπὸ Χρυσαφίου· ὃν λαβὼν Ἰορδάνης ἀνεῖλεν. ‖ ἄξιον δὲ ἐστι καὶ τὴν ἐξ ἀρχῆς τοῦ θεοῦ εἰς Niceph. XV, 1

1 Ἀδριανούπολιν (Ἀνδρ. m) cy Ἀδριανουπόλ z. — Περινθου b Περίνθου xyz. — 2 Ἀθήρα b. — 3 Ἄττιλαν dyz *sine acc.* c *item v.* 7. — 4 χρυσίου b μὲν αὐτῷ xyzA. — 5 χρυσίον *add. ex* b *om.* xyzA. — προσομολογῆσαι b προσομολόγησε dhy προσωμολόγησε cg. — 6 τοίνυν] οὖν g. — 7 ὁ βασιλεὺς *add. ex* b *om.* xyzA. — 8 ἰνδικτιόνι x ἰνδ rell. — 11 τε *add. ex* b *om.* xyz. — καὶ *om.* y. — 12 ὡς ἐνάρετον *om.* h. — 13 μοι οὖν λόγον b. — 14 ἀναγορεύσω fA Georg. — 15 τοῦτο ποιεῖν z. — 16 Ῥωμαίων *om.* y Georg. — 19[4] Ἰσδηγέρδης cf. — 24[3] Διόσκορος *om.* h. — 25[1] ἔτη η' b. — 25[3] ἔτη δ' b. — 26[1] β' *om.* f. — 27 Οὗτος τοίνυν ὁ εὐσεβὴς Μαρκιανὸς θείᾳ ψήφῳ *incipit* d, *qui numeros annorum mundi* ,εϡμγ' *et incarnationis* υμγ' *sequenti anno adscribit.* — 28 ἐν ἐξορίαις b — 31 πρὸς σαρδαβούριον b. — 33 τοῦ θεοῦ *om.* x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μαρκιανὸν τὸν βασιλέα ἐκλογὴν σημᾶναι. ἐν τοῖς παρῳχηκόσι χρόνοις, ἐν οἷς ὁ Περσικὸς ἐκινήθη πόλεμος, στρατιώτης ὢν λιτὸς ὁ Μαρκιανὸς μετὰ τοῦ ἰδίου νουμέρου ἀπὸ τῆς Ἑλλάδος κατὰ Περσῶν ἀπῆει καὶ γενόμενος ἐν Λυκίᾳ ἀρρωστίᾳ περιέπεσεν. καὶ καταλειφθεὶς ἐν πόλει Σιδήμᾳ κἀκεῖσε χρονοτριβήσας προσκολλᾶται δύο ἀδελφοῖς τισιν, Ἰουλίῳ καὶ Τατιανῷ καλουμένοις, οἵ τινες εἰς τὸν ἴδιον οἶκον λαβόντες αὐτὸν διανέπαυον· εἰς θήραν δὲ ἐξελθόντες ἔλαβον αὐτὸν μεθ' ἑαυτῶν. κοπιάσαντες δὲ περὶ μεσημβρίαν ἐκοιμήθησαν. προεξυπνισ-
161 B *θεὶς δὲ ὁ Τατιανὸς θεωρεῖ τὸν Μαρκιανὸν εἰς τὸν ἥλιον κοιμώμενον, καὶ ἀετὸν παμμεγεθέστατον ἐπ' αὐτὸν ἐλθόντα καὶ τὰς ἑαυτοῦ πτέρυγας διαπετάσαντα καὶ σκιὰν ἐπ' αὐτῷ περιποιούμενον. καὶ τοῦτο θεασάμενος ἐγείρει τὸν ἑαυτοῦ ἀδελφὸν καὶ τὸ θαῦμα ὑποδείκνυσιν· καὶ ἐπὶ πολὺ θαυμάζοντες τὴν τοῦ πετεινοῦ εὐνοϊκὴν δουλείαν ἐξυπνίζουσιν αὐτὸν καὶ λέγουσιν· "ἐὰν βασιλεύσῃς, τί ἡμῖν χαρίζῃ;" ὁ δὲ εἶπεν· "τίς γάρ εἰμι, ἵνα εἰς ἐμὲ τοῦτο γένηται;" οἱ δὲ ἐκ δευ-*
90 P *τέρου τὸν λόγον εἶπον. λέγει ὁ Μαρκιανός· "ἐὰν τοῦτο ἐκ Θεοῦ γένηται, πατέρας ὑμᾶς ἀνακηρύξω." τότε διδόασιν αὐτῷ σ' νομίσματα λέγοντες· "πορεύου ἐν Κωνσταντινουπόλει καὶ μέμνησο ἡμῶν, ὅταν ὁ θεός σε ὑψώσῃ." ‖ ὁ δὲ ἀπελθὼν προσκολλᾶται Ἀρδαβουρίῳ καὶ Ἄσπαρι τοῖς στρατηγοῖς Ἀρειανοῖς οὖσιν, καὶ ποιήσας παρ' αὐτοῖς*
cf. Euagr. II, 1 *ιε' χρόνους καὶ δομέστικος αὐτῶν γεγονὼς κατῆλθε μετὰ τοῦ Ἄσπαρος εἰς Ἀφρικὴν παρατάξασθαι πρὸς Γιζέριχον, καὶ ἐν τῷ πολέμῳ ἐκρα-*
cf. Proc. Vand. I p. 325 B. *τήθη ὑπὸ Γιζερίχου· ‖ τοῦ δὲ Γιζερίχου ἐν τῇ ἰδίᾳ αὐλῇ τοὺς αἰχμαλωτισθέντας ἀποκλείσαντος ἐκ τῶν ὑπερῴων κατανοεῖ αὐτούς, καὶ περὶ μεσημβρίαν παρακύψας ὁρᾷ τὸν Μαρκιανὸν καθεύδοντα, καὶ ἀετὸν ἐλθόντα καὶ τὰς πτέρυγας ἐκτείνοντα καὶ σκιάζοντα αὐτόν· καὶ τοῦτον ἰδὼν ὁ Γιζέριχος θείαν εἶναι οἰκονομίαν ἐλογίσατο ταύτην.*
162 B *καὶ μεταπεμψάμενος τὸν ἄνδρα καὶ γνοὺς εἶναι αὐτὸν δομέστικον τοῦ Ἄσπαρος ἔγνω, ὅτι εἰς βασιλείαν ἀνάγεσθαι μέλλει. καὶ ἀποκτεῖναι αὐτὸν οὐκ ἠθέλησε λογισάμενος, ὅτι τὴν τοῦ θεοῦ βουλὴν οὐδεὶς δύναται κωλῦσαι, ὅρκον δὲ αὐτὸν ἀπῄτησεν, ὅτι, εἰ τῷ θεῷ φίλον*

---

2 πόλεμος ἐκινήθη xyz. — 4 *Λυκείᾳ* h *Κιλικίᾳ* b *Λυκαονίᾳ* d. — περιπεσών g. — καταληφθείς bhxy. — 5 *Σιδήμᾳ*] *Σιδήμᾳ* b *Σύδημα rell.* (*εἰς πόλιν Σίδημα* Nic.) — 7 *διανέπαυσαν xyz.* — 8 *προσεξυπνισθείς* b. — 13 *πετεινοῦ*] *εὐνοϊκοῦ* g. — 14 *αὐτὸν*] *τὸν Μαρκιανόν xyz.* — *χαρίζει* bfh. — 16 *τοῦτον τὸν λόγον εἰπόντες* h. — *ἐκ θεοῦ τοῦτο* x. — 17 *διδόασιν* d *δίδωσιν* byz *δίδοσιν* c. — 18 *ὅταν* bd *ὅτε* cyz. — 19 *ὑψώσει* bh. — 20 *τοῖς στρατηγοῖς add. ex* b *om. rell.* — 22 *πρὸς* b *εἰς rell.* — *Γηζέριχον* ehmx *similiterque vv.* 23 *et* 27. — *ἐκρατήθη ὑπὸ Γ. τοῦ δὲ Γ. ἐν τῇ scr. e* b *ἐκρατήθη ὑπὸ Γ. ἐν τῇ* y *ἐκρατήθη· Γ. δὲ ἐν τῇ* xz. — 23 *αἰχμαλώτους* x. — 24 *ἀποκλ. καὶ ἐκ* yz. — *κατανοεῖ* b *κατενόει* xyz. — 26 *ἐκτείναντα* x. — 27 *τοῦτον* b *τοῦτο* xyz. — *ἐλογήσατο* befg. — 29 *τοῦ om.* x. — *εἰς βασιλείαν* b *εἰς βασιλέα* xyz. — 30 *λογησάμενος* ef. — *τὴν τοῦ θεοῦ βουλήν* b *τοῦ θεοῦ τὴν β.* xyz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βασιλεύειν αὐτόν, οὐ πολεμήσει ποτὲ Οὐανδήλοις. καὶ οὕτως ἀβλαβὴς ἀπολυθεὶς ὁ Μαρκιανὸς ἦλθεν εἰς τὸ Βυζάντιον. χρόνου δὲ ὀλίγου διελθόντος, καὶ Θεοδοσίου τελευτήσαντος, βασιλεὺς ἀνεδείχθη, ὡς προέφημεν. ἐγένετο δὲ χρηστὸς περὶ πάντας τοὺς ὑπηκόους. ‖ ὁ δὲ Ἀττίλας ἐπανίσταται τοῖς βασιλεῦσι . . . . . Ῥώμης Οὐαλεντινιανῷ, διότι οὐκ ἔδωκεν αὐτῷ εἰς γυναῖκα τὴν οἰκείαν ἀδελφὴν Ὀνωρίαν· καὶ ἐλθὼν μέχρι πόλεως Αὐρηλίας, συμπλακεὶς Ἀετίῳ, τῷ στρατηγῷ Ῥωμαίων καὶ ἡττηθείς, πλείστους ἀποβαλὼν τῆς δυνάμεως παρὰ Λίγυν ποταμὸν ὑπέστρεψε κατησχυμμένος. ‖ ὁ δὲ Μαρκιανὸς τῆς ἐν Λυκίᾳ γεγενημένης αὐτῷ ἀναμνησθεὶς εὐεργεσίας, Τατιανὸν καὶ Ἰούλιον μεταπεμψάμενος πατέρας αὐτοὺς ἀνεκήρυξεν. καὶ τὸν μὲν Τατιανὸν ἔπαρχον ἐποίησε τῆς πόλεως, τῷ δὲ Ἰουλίῳ τὴν τῶν Λυκίων ἐνεχείρισεν ἀρχήν. ‖ ἡ δὲ μακαρία Πουλχερία πολλὰς μὲν καὶ ἄλλας ἀνήγειρε τῷ Χριστῷ ἐκκλησίας, ἐξαιρέτως δὲ τὴν ἐν Βλαχέρναις τῆς πανυμνήτου δεσποίνης ἡμῶν θεοτόκου ἐν ἀρχῇ τῆς βασιλείας τοῦ εὐσεβοῦς Μαρκιανοῦ. ‖ Λέων δέ, ὁ μακάριος πάπας Ῥώμης, ἔγραψε Μαρκιανῷ αἰτῶν τὰ τολμηθέντα παρὰ Διοσκόρου καὶ Εὐτυχοῦς ἐν Ἐφέσῳ εἰς τὸν ἅγιον Φλαβιανὸν ζητηθῆναι ἐπὶ οἰκουμενικῆς συνόδου· καὶ ἐκέλευσεν ὁ βασιλεὺς συναχθῆναι πάντας τοὺς ἐπισκόπους. ‖

Niceph. XV, 1

163 B Niceph. XV, 2

β'. ιζ'. ι'. γ'. ιδ'. ε'. γ'. A. M. 5944 451/2

Τούτῳ τῷ ἔτει ἡ ἐν Χαλκηδόνι ἁγία τετάρτη γέγονε σύνοδος μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνι ε' μετὰ ἐνιαυτὸν καὶ μῆνας δύο τῆς ἀναγορεύσεως Μαρκιανοῦ· ‖ πάντων δὲ τῶν ἐπισκόπων συνελθόντων ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας Εὐφημίας καὶ τῆς συγκλήτου, καὶ γυμνασθέντων τὰ ἐπὶ τῆς πρώτης ἰνδικτιῶνος κατὰ Εὐτυχοῦς πραχθέντα καὶ τὰ ἐν Ἐφέσῳ ὑπὸ Διοσκόρου νεωτερισθέντα, ἐγκαλούμενος ὁ Διόσκορος περὶ τούτων ἐπὶ τὴν ἄγνοιαν τῶν πεπραγμένων καταφεύγει καὶ μὴ δυνηθεὶς ἐκφυγεῖν τὸν ἐν τοῖς πραχθεῖσιν ἔλεγχον ἠπορεῖτο,

91 F Niceph. XV, 4

---

1 αὐτῷ b. — Οὐανδήλοις g Οὐανδηλοῖς bdh Οὐανδηλοις sine acc. c Οὐανδήλους em Οὐανδηλούς f. — 2 ὁ om. y. — δὲ om. b. — 4 περὶ] παρὰ y. — 5 Ἄττιλας dfg sine acc. c. — τοῖς βασιλεῦσι] τῷ βασιλεῖ sec. m. f. — 6 οἰκείαν b ἰδίαν xyz. — 7 Αὐριλίας dm Ἀβριλίας bcefz. — καὶ συμπλ. xyz. — 9 Λίγυν bch Λήγυν em Λήγην f Λήγουν g Λίγον d. — 10 Λυκείᾳ h Λιβύᾳ g. — ἀναμνησθεὶς b ὑπομνησθεὶς xyz. — 11 καταπεμψάμενος g. — 12 ὕπαρχον xz. — τῆς b om. xyz (τῆς σφῶν πόλεως Nic.). — Λυκίων b Niceph. Λιβύων rell. — 13 ἐνεχείρισε h ἐνεχείρησε rell. — πολλά c. — 14 ἀνήγειρε τῷ Χριστῷ b τῷ Χριστῷ ἀνήγειρεν xyz. — 16 πάππας g. — 22 ἰνδικτιῶνι h ἰῷ rell. — 24 γυμνασθέντων b γυμνασθέντα rell. — 25 ἰῷ bcgy. — κατὰ Εὐτυχοῦς (i. e. contra Eutychen) f. m. 2 quod recepi coll. p. 99, 33 καὶ τὰ Εὐτυχοῦς by καὶ τὰ παρ' Εὐτυχοῦς (Εὐτυχῆ h) z ὑπὸ Εὐτυχοῦς (om. καὶ τὰ) x. discussa sunt quae in prima indictione super Eutychi gesta sunt A. — 26 ἐκκαλούμενος f. — ἐγκαλ. δὲ ὁ b ἐγκαλ. τε ὁ d. — 27 περὶ τούτου f. — ἄγνωσιν b ἀγνωσίαν? — 28 τῶν — ἐλέγχων b. — ἐκφ. τῶν πεπραγμένων ἔλεγχον h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἡ ἀλήθεια παρεγυμνοῦτο. τότε μὴ ἔχων ἀπολογίαν κατησχύνθη. οἱ δὲ συνεδρεύσαντες αὐτῷ ἐν τῇ λῃστρικῇ συνόδῳ ἤλεγχον αὐτῷ τὴν βίαν καὶ τὴν ἀνάγκην, ἣν ὑπέμειναν παρ' αὐτοῦ, καὶ συγγνώμην τῇ συνόδῳ αἰτήσαντες ἐδέχθησαν· ὧν εἷς ὑπῆρχε καὶ Ἰουβενάλιος, ὁ Ἱεροσολύμων ἐπίσκοπος. ἀπορήσας δὲ ὁ Διόσκορος καὶ μὴ ἔχων
164 B ἀπολογίαν οὐκέτι ἐτόλμησεν ἐμφανισθῆναι τῇ συνόδῳ. τότε ἡ σύνοδος, συμπαρόντος καὶ τοῦ βασιλέως Μαρκιανοῦ ἅμα τῇ συγκλήτῳ, ἀπ-
Niceph. XV, 5 εφήναντο κατὰ Διοσκόρου καὶ Εὐτυχοῦς, καὶ τούτους καθεῖλαν. ‖ ὁ δὲ βασιλεὺς τὸν μὲν Διόσκορον εἰς Γάγγραν ἐξώρισεν, ‖ τὴν δὲ σύνοδον ἐπαινέσας εἶπεν· "χάριν μεγίστην ὁμολογῶ τῷ πάντων ἡμῶν θεῷ, ὅτι ἀναιρεθείσης τῆς διχονοίας, εἰς μίαν καὶ τὴν αὐτὴν ὁμολογίαν πάντες συνεληλύθαμεν." καὶ φιλοφρονήσας τοὺς χλ' ἁγίους πατέρας ἀπέλυσεν ἕκαστον εἰς τὰ ἴδια ἐν εἰρήνῃ. ἐχειροτονήθη δὲ Πρωτέριος ἀντὶ Διοσκόρου ἐπίσκοπος Ἀλεξανδρείας.

452/3 A. M. 5945	Κόσμου ἔτη ,εϡμέ'.	Τῆς θείας σαρκώσεως ἔτη υμέ'.	Ῥωμαίων βασιλεὺς Μαρκιανὸς ἔτη ς'. γ'.	Περσῶν βασιλεὺς Περόζης ἔτη κδ'. α'.	Ῥώμης ἐπίσκοπος Λέων ἔτη κα'. ια'.

Κωνσταντ. ἐπίσκοπος Ἀνατόλιος ἔτη θ'. δ'.	Ἱεροσολύμων ἐπίσκοπος Ἰουβενάλιος ἔτη λη'. ιε'.	Ἀλεξανδρείας ἐπίσκοπος Προτέριος ἔτη ς'. α'.	Ἀντιοχείας ἐπίσκοπος Μάξιμος ἔτη δ'. δ'.

Theodor. Lector I, 5 Τούτῳ τῷ ἔτει Πουλχερία ἡ μακαρία καὶ εὐσεβὴς ἐκοιμήθη ἐν κυρίῳ πολλὰ ποιήσασα κατορθώματα καὶ πάντα τὰ ἑαυτῆς πτωχοῖς καταλείψασα· ἅπερ Μαρκιανὸς πλεῖστα ὄντα προθύμως διέδωκεν. ἔκτισε δὲ ἡ αὐτὴ πολλοὺς εὐκτηρίους οἴκους καὶ πτωχεῖα καὶ ξενῶνας καὶ ξενοτάφια, ἐν οἷς καὶ τὸν ναὸν τοῦ ἁγίου μάρτυρος Λαυρεντίου. ‖
165 B τοῦ δὲ Διοσκόρου ἐξορισθέντος καὶ Προτερίου προβληθέντος, οἱ σύμφρονες Διοσκόρου καὶ Εὐτυχοῦς στάσιν μεγίστην ἐποίησαν ἀπειλήσαντες κωλύειν καὶ τὴν σιτοπομπίαν. Μαρκιανὸς δὲ μαθὼν ἐκέλευσεν οὐκ εἰς Ἀλεξάνδρειαν, ἀλλ' εἰς τὸ Πηλούσιον τὸν σῖτον τῆς

---

2 ἤλεγχαν b. — 3 τὴν ante ἀνάγκην om. x. — 4 αἰτῆσαν b. — Ἰουβεννάλιος bg. — 5 καὶ μὴ ἔχων ἀπολογίαν om. f. — 7 ἅμα τῇ συγκλήτῳ bd ἅμα τῆς συγκλήτου cyz. — ἀπεφήναντο — καθεῖλον z protulit — deposuit A. — 8 καθεῖλαν by καθεῖλον xz. — ἐν ᾗ καὶ τελειοῦται post καθεῖλαν add. cyz om. bd in margine sine dubio ad εἰς Γάγγραν adscripta perperam hic inserta sunt. — 9 Δ. ἐξορίσας εἰς Γάγγραν xz. — in Gangris A. — 10 ὁμολογῶ μεγίστην h. — ἡμῶν δεσπότῃ καὶ θεῷ z. — 11 τὴν αὐτήν bA τὴν αὐτοῦ xyz. — 14 Πρωτέριος c. — Ἀλεξανδρείας ἐπίσκοπος em ἐπισκόπου Ἀλεξ. b. — 17⁴ Περόζης b Περόξης c Περώξης yz. — 22² Ἰουβεννάλιος g. — 23¹ ἔτη η' b. — 24² ιε'] ιγ' h. — 25 ἐν κυρίῳ b cf. p. 27, 10; 74, 15 ἐν Χριστῷ rell. A. — 30 καὶ Πρ. προβληθέντος om. f. — 32 σιτοπεμψίαν b. — 33 Πηλούσιον fz Πηλουσίον em πλησίον bx.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἰγύπτου κατάγεσθαι διὰ τοῦ Νείλου, καὶ οὕτως εἰς τὴν βασιλίδα πλωΐζεσθαι. ὅθεν Ἀλεξανδρεῖς λιμώξαντες Προτέριον ᾔτησαν δεηθῆναι 92 P
περὶ αὐτῶν τοῦ βασιλέως, καὶ οὕτω τῆς ἀταξίας ἐπαύσαντο.

Τούτῳ τῷ ἔτει ἐκτίσθη τὸ Διοκλητιανοῦ βαλανεῖον ἐν Ἀλεξανδρείᾳ· ‖ καὶ Ἀττίλας ἔκαυσε τὴν Ἀκυλίαν πόλιν. ‖ Prosper a. 452

‖ Τῷ δ' αὐτῷ ἔτει Θεοδόσιός τις μοναχός, ἀνὴρ λυμεών, κατελ- Niceph. XV, 9
θὼν δρομαῖος μετὰ τὴν ἐν Χαλκηδόνι σύνοδον εἰς Ἱεροσόλυμα καὶ μαθὼν Εὐδοκίαν τὴν αὐγούσταν προσκεῖσθαι Διοσκόρῳ τῷ καθαιρεθέντι ὑπὸ τῆς συνόδου, ἤρξατο καταβοᾶν τῆς συνόδου ὡς τὴν ὀρθὴν διαστρεψάσης πίστιν καὶ συναρπάζει τὴν αὐγούσταν καὶ τοὺς μοναχούς, καὶ ταῖς ἰδίαις μιαιφονίαις χρησάμενος βαρβαρικῷ τρόπῳ τὸν ἀρχιερατικὸν θρόνον ἁρπάζει, καὶ τοὺς τῆς αὐγούστης ἀνθρώπους ὑπουργοὺς ἔχων ἐπισκόπους χειροτονεῖ κατὰ πόλιν, τῶν ἐπισκόπων ἔτι ὄντων ἐν τῇ συνόδῳ. Σευηριανὸν δέ, τὸν ἐπίσκοπον Σκυθοπό- 166 B
λεως, μὴ ὑπαχθέντα τῇ αὐτοῦ κακοδοξίᾳ τῆς πόλεως ἐξαγαγὼν κατασφάττει καὶ ἐγείρει διωγμὸν κατὰ τῶν μὴ κοινωνούντων αὐτῷ, καὶ πολλοὺς μὲν ἐβασάνισεν, ἄλλους δὲ ἐδήμευσε καὶ ἑτέρῳ τοὺς οἴκους πυρὶ παρέδωκεν, ὥστε νομισθῆναι τὴν πόλιν ὑπὸ βαρβάρων ἁλωκέναι. ‖ ἀπέσφαξε δὲ καὶ Ἀθανάσιον, διάκονον τῆς ἁγίας Ἀνα- cf. Nic. XV, 9
στάσεως, ὀνειδίσαντα καὶ ἐλέγξαντα τὴν αὐτοῦ ἀθεΐαν, καὶ τὸ τούτου ἅγιον σῶμα κατὰ τὴν πόλιν πομπεύσας τοῖς κυσὶ παρέδωκεν. Δόμνος δέ, Ἀντιοχείας ἐπίσκοπος, εἰς τὴν ἔρημον ἔφυγε καὶ Ἰουβενάλιος Ἱεροσολύμων. τοῦ δὲ λυμεῶνος Θεοδοσίου ἐπὶ κ' μῆνας τὸν θρόνον Ἱεροσολύμων κρατήσαντος, γνοὺς ὁ βασιλεὺς Μαρκιανὸς ἐκέλευσεν αὐτὸν συλληφθῆναι· ὁ δὲ φυγὰς ᾤχετο ἐπὶ τὸ Σιναῖον ὄρος. τούτου δὲ ἐκποδὼν γεγονότος καὶ τῶν ὑπ' αὐτοῦ χειροτονηθέντων, πάλιν Ἰουβενάλιος τὸν ἴδιον θρόνον ἀπέλαβεν.

---

1 καταγωγιάζεσθαι z — 2 πλωΐζεσθαι z πλοΐζεσθαι bxy.. — ὅθεν b ὅπερ xyz. — Προτερίου y πρότερον g. — 4 ἐκτίσθη by ἀνεκτίσθη cz. — Διοκλητιανοῦ b Διοκλητιανόν rell. — 5 Ἄττιλας hy. — 6 τις add. ex b om. xyzA. — 7 δρομαίως bg δρομέως ehm δρομέος f. — 8 αὐγοῦσταν g item v. 10. — προκεῖσθαι b προσκεκλῖσθαι x προσκεκλεῖσθαι hy προσκεκλῆσθαι g. — 9 καταβοᾶν] καταβίαν b. — 10 διαστρέψας b. — 13 ἐπισκόπους (ἐπίσκοπος c) χειρ. κ. π. bc χειροτ. ἐπισκόπους κ. π. z χειροτονεῖ κατὰ πόλιν (om. ἐπισκόπους) y χειρ. κ. π. ψευδεπισκόπους d. — 14 Σεβηριανόν h. — 15 μὴ ὑπαχθ. — τῆς πόλεως om. f. — 16 καὶ ἐγείρει — αὐτῷ καὶ om. g sec. m. in mg. add. — 17 ἄλλους δὲ ἐδήμευσε b om. xyzA. — 18 τὴν πόλιν ὑπὸ βαρβ. bh ὑπὸ βαρβ. τὴν πόλιν gxy. — 19 καὶ om. h. — 20 ἐξελέγξαντα z. — καὶ τὸ τοῦ ἁγίου σῶμα xz. — 21 Δ. δὲ Ἀντιοχείας ἐπίσκοπος b Δ. δὲ ὁ ἀρχιεπίσκοπος Ἀντιοχείας xyzA. — 22 Ἰουβεννάλιος bg item v. 27. — 23 κρατ. τὸν θρ. Ἱεροσ. f. — 25 Σίναιον b Σηναῖον h. — 27 ἴδιον b αὐτοῦ rell. τὸν θρόνον αὐτοῦ g. — Abhinc usque ad p. 217, 19 B omnia desunt in cod. b item in d usque ad p. 108, 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

453/4. A. M. 5946 Ἀντιοχείας ἐπίσκοπος Βασίλειος ἔτη β'.
δ'. β'. ιβ'. ε'. ις'. β'. α'.

Τούτῳ τῷ ἔτει Οὐαλεντινιανός, ὁ βασιλεὺς ἐν Ῥώμῃ, ὑφορώμενος
167 B τὴν Ἀετίου τοῦ πατρικίου καὶ στρατηγοῦ δύναμιν δολοφονεῖ τοῦτον, 5
Ἡρακλείου τινὸς τῶν εὐνούχων συμπράξαντος αὐτῷ. ὁ δὲ Ἀττίλας
εὐτρεπίζετο πολεμῆσαι Μαρκιανῷ μὴ ἀνεχομένῳ τὸν φόρον αὐτῷ
93 P παρασχέσθαι τὸν ὑπὸ Θεοδοσίου ταχθέντα. μεταξὺ δὲ κόρης εὐπρε-
ποῦς τινος ἐρασθεὶς καὶ τὸν πρὸς αὐτὴν γάμον ἐπιτελῶν οἰνωθείς
τε σφόδρα καὶ ὕπνῳ βαρηθείς, αἵματος ἀθρόου διὰ ῥινῶν τε καὶ
τοῦ στόματος ἐνεχθέντος, τελευτᾷ τὸν βίον. τὴν δὲ τοσαύτην αὐτοῦ 10
δυναστείαν οἱ παῖδες τούτου διαδεξάμενοι καὶ στασιάσαντες πρὸς
Niceph. XV, 15 ἀλλήλους διαφθείρονται. ‖ οἱ μέντοι γε κατὰ τὴν ἑῴαν Ῥωμαῖοι,
Μαρκιανοῦ βασιλεύοντος, πάσης ἀπήλαυον εἰρήνης καὶ δικαιοσύνης
καὶ εὐφροσύνης. καὶ ἦν ἐκεῖνα τὰ ἔτη κυρίως χρυσᾶ τῇ τοῦ βασι-
λέως χρηστότητι, γαλήνης πάντα ἐπικεχυμένης τὰ πράγματα. ‖ 15

454/5 A. M. 5947 ε'. γ'. ιγ'. ς'. ιζ'. γ'. β'.

Niceph. XV, 11 ‖ Τούτῳ τῷ ἔτει Οὐαλεντινιανός, ὁ τῆς Ῥώμης βασιλεύς, τῶν
μὲν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων ἀντελαμβάνετο, πολλῇ δὲ τῇ
παρανομίᾳ ἐν τῇ ἑαυτοῦ ἐκέχρητο διαίτῃ. εὐπρεπεστάτῃ γὰρ γυναικὶ
Εὐδοξίᾳ, τῇ θυγατρὶ Θεοδοσίου τοῦ βασιλέως, συνοικῶν ἀλλοτρίαις 20
δαιμονιωδῶς ἐκέχρητο, ὠμίλει δὲ συνεχῶς καὶ τοῖς τὰ περίεργα
πράττουσιν. διὸ καὶ αἰσχίστῳ παραδίδοται θανάτῳ. Μαξίμου γάρ,
168 B τοῦ ἐπὶ Θεοδοσίου τοῦ μεγάλου τυραννήσαντος, ἔγγων καὶ ὁμώνυμος
ἐν τοῖς κατὰ Ῥώμην πατρικίοις τελῶν, ἔνδον τοῦ παλατίου γενόμενος
τὸν Οὐαλεντινιανὸν ἀπέσφαξε καὶ τῇ Εὐδοξίᾳ βίᾳ συνεγένετο καὶ 25
τῆς βασιλείας ἐκράτησεν· δι' ὧν γάρ τις ἁμαρτάνει, δι' αὐτῶν καὶ
παιδεύεται. ἐπὶ τούτοις ἡ Εὐδοξία ἀχθομένη καὶ μηδεμίαν βοήθειαν
ἐκ τοῦ Βυζαντίου ἔσεσθαι αὐτῇ λογισαμένη, Θεοδοσίου τοῦ πατρὸς
αὐτῆς τελευτήσαντος καὶ Πουλχερίας, μεταπέμπεται Γιζέριχον εἰς
Ῥώμην παρακαλοῦσα λυτρωθῆναι ἐκ τῆς τοῦ Μαξίμου τυραννίδος. 30
Γιζερίχου δὲ στόλῳ μεγάλῳ ἐκπλεύσαντος εἰς Ῥώμην, Μάξιμος φο-
βηθεὶς φυγῇ ἐχρήσατο· οἱ δὲ συνόντες αὐτῷ ἀνεῖλον αὐτὸν βασι-
λεύσαντα ἔτος ἕν. ὁ δὲ Γιζέριχος, μηδενὸς αὐτῷ ἀντιστάντος, εἰσῆλθεν

---

5 Ἄττιλας fh *sine acc.* c. — 8 πρὸς αὐτῇ f πρὸς αὐτῆς m. — 9 ἀθρόου c. — διὰ ῥινός y. — τε *om.* y. — 13 ἀπέλαυον cg ἀπέλαβον h ἀπολαύων y. — 14 κυρίως *om.* cg. — 17 βασιλεύων cz. — 18 πολλῇ δὲ τῇ παρανομίᾳ Combefis πολλὴν δὲ τὴν παρανομίαν *codd.* — 20 τοῦ βασιλ. Θεοδοσίου em. — 21 δὲ *om.* g. — 22 Μαξιμιανοῦ y. — 23 ἔγγον y. — 24 κατὰ τὴν Ῥώμην xz. — 25 βίᾳ xzΔ *om.* y. — 26 διὰ τούτων παιδεύεται x. — 29 αὐτῇ z. — *Post* Πουλχερίας *lacuna fort. statuenda e Niceph. explenda.* — Γηζέριχον ehmx *item v.* 31 Γηζεριχου. — ad urbem Romam A. — 32 βασιλεύσαντος yz. — 33 Γηζέριχος hx.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς Ῥώμην τῇ τρίτῃ ἡμέρᾳ τῆς φαγῆς Μαξίμου καὶ λαβὼν πάντα τὰ χρήματα καὶ τὰ τῆς πόλεως θεάματα εἰς τὰ πλοῖα ἐμβαλών, ἐν οἷς ἦσαν κειμήλια ὁλόχρυσα καὶ διάλιθα ἐκκλησιαστικά, καὶ σκεύη Ἑβραϊκά, ἅπερ ὁ Οὐεσπασιανοῦ Τίτος μετὰ τὴν ἅλωσιν Ἱεροσολύμων εἰς Ῥώμην ἤγαγεν, σὺν τούτοις λαβὼν καὶ Εὐδοξίαν τὴν βασίλισσαν καὶ τὰς θυγατέρας αὐτῆς, εἰς Ἀφρικὴν ἀπέπλευσεν· καὶ τὴν μὲν Εὐδοκίαν Ὀνωρίχῳ, τῷ πρωτοτόκῳ υἱῷ αὐτοῦ, συνέζευξεν, τὴν δὲ Πλακιδίαν ἄνδρα ἔχειν μαθὼν Ὀλύβριον τὸν πατρίκιον μετὰ τῆς μητρὸς ἐφύλαξεν Εὐδοξίας. ‖ μαθὼν δὲ τὸν Μαξίμου θάνατον 169 B
Μαιορῖνος ἐβασίλευσεν ἔτη β', καὶ μετὰ αὐτὸν Ἄβητος τὴν τῆς Ῥώμης βασιλείαν ἐκράτησεν ἐνιαυτοὺς β', καὶ μετὰ τοῦτον Σευῆρος ἔτη γ', καὶ μετὰ τούτους οὐκ ἔστι βασιλεύς, ἀλλὰ Ῥεκίμερ ἐδιοίκει 94 P
τὰ πράγματα στρατηγῶν καὶ μεγάλην περικείμενος δύναμιν.

Τῷ δ' αὐτῷ ἔτει ἐτελεύτησεν Εὐδοκία ἐν Ἱεροσολύμοις πολλὰ καταλείψασα ταῖς ἐκκλησίαις.

Ἀντιοχείας ἐπίσκοπος Μαρτύριος ἔτη ιγ'. A. M. 5948 455/6.

ς'. δ'. ιδ'. ζ'. ιή'. δ'. α'.

‖ Τούτῳ τῷ ἔτει ἑκάη ἡ Ῥάβεννα, καὶ μετ' ὀλίγας ἡμέρας cf. Anon. Cusp. a. 456
ἐσφάγη ὁ πατρίκιος Ῥαμίτος εἰς Κλάσας. ‖ καὶ μεθ' ἡμέρας κθ' ἐνι- cf. Mar. Avent. a. 456
κήθη Ἄμιτος ὑπὸ Ῥεμίκου καὶ γέγονεν εἰς πόλιν Πλακεντίαν εἰς Γαλλίας. ‖

ζ'. ε'. ιε'. η'. ιθ'. ε'. β'. A. M. 5949 456/7.

Τούτῳ τῷ ἔτει Μαρκιανὸς ὁ βασιλεὺς ἐτελεύτησε πρὸ α' καλανδῶν Μαΐων· καὶ ἐβασίλευσε Λέων ὁ μέγας. αὐτῷ δὲ τῷ ἔτει ἀνενεώθη ἐν Ἀλεξανδρείᾳ τὸ Τραϊανὸν βαλανεῖον καὶ ἡ βασιλικὴ ἡ μεγάλη εἰς τὸ Στοιχεῖον. πάνυ δὲ ἦν εὐλαβὴς καὶ φοβούμενος τὸν θεὸν ὁ Μαρκιανός, ‖ ὅστις ἐν ταῖς λιταῖς τοῦ Κάμπου πεζὸς ἐξῄει πολλὰ Theod. L. I, 6 Cram. II, 101
τοῖς δεομένοις εὖ ποιῶν· ὅθεν τοῦτον ὁρῶν ὁ πατριάρχης Ἀνατό- 170 B
λιος καὶ αὐτὸς οὐκέτι φορείῳ φερόμενος κατὰ τὸ ἔθος ἐλιτάνευεν, ἀλλὰ πεζός. ‖

‖ Τούτῳ τῷ ἔτει Τιμόθεος ὁ Ἐλοῦρος μαγγανείᾳ χρησάμενος Theod. L. I, 8 Cram. II, 102
νυκτὸς ἐν τοῖς κελλίοις τῶν μοναχῶν περιήρχετο, ἐξ ὀνόματος καλῶν

---

1 σφαγῆς] φαγῆς e fugae A. — 2 θεάματα] miracula A. — 4 ὁ Οὐεσπασιανοῦ] Οὐεσπασιανός y. — Τίτος h. Τῖτος rell. — 6 ἀπέπλευσεν xA ἀπέπλυσεν yz. — 7 Ὀνορίχῳ h. — 8 Πλακηδίαν h. — Ὀλύβριον em Ὀλύμβριον h. — 9 Εὐδοκίας h. — 9 μαθὼν—21 Γαλλίας om. d. — 10 Μαιόρινος g. — 11 μετ' αὐτόν h. — Σεύηρος g. — 12 οὐκ ἔτι em. — ἀλλὰ Ῥεκήμερ ch ἀλλ' ἀρεκήμερ em ἀλλὰ Ῥεκίβερ g. — 19 Ῥαμίτος g Ῥαμιτός y Ῥάμητος h Ῥαμιτος sine acc. c. — κθ' y ιθ' cz. — 20 Ἄμητος h. — Ῥεμήκου h Ῥεμικίου f. — εἰς πόλεμον y. — γέγονεν ἐπίσκοπος εἰς πόλιν Πλ. coni. Goar. — 21 Γαλλίους codd. — 23 καλάνδων d. — 24 ἀνανεώθη y. — 25 Τραϊανόν c Τραγιανόν y Γρατιανόν g om. h Τραϊανοῦ? — 26 ὁ om. g. — 28 quod intuens A. — 29 φορίῳ hxy. — 31 Ἐλοῦρος z Ἑλοῦρος m Ἐλοῦρος sine spir. cef Ἔλουρος d Helurus A. — μαγγανίᾳ xy. — 32 νυκτὸς] γυμνός x. — κελίοις dhm κελλείοις c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἕκαστον. τοῦ δὲ ἀποκριναμένου ἔλεγεν· "ἐγὼ ἄγγελός εἰμι, καὶ ἀπεστάλην εἰπεῖν πᾶσιν ἀποστῆναι μὲν τῆς κοινωνίας Προτερίου καὶ τῶν ἐν Χαλκηδόνι, Τιμόθεον δὲ τὸν Ἐλοῦρον ἐπίσκοπον προχειρίσασθαι Ἀλεξανδρείας." ‖

Cram. II, 104 Τῷ δ' αὐτῷ ἔτει Εὐδοξία, ἡ θυγάτηρ Θεοδοσίου τοῦ βασιλέως, γυνὴ δὲ Οὐαλεντινιανοῦ τοῦ τρίτου, μετὰ μιᾶς θυγατρὸς Πλακιδίας, γυναικὸς Ὀλυβρίου, ἐπανῆλθεν ἐξ Ἀφρικῆς. ἡ γὰρ Εὐδοκία τῷ υἱῷ Γιζερίχου Ὀνωρίχῳ ἐξεύχθη καὶ οὐκ ἐπανῆλθεν. ‖

457/8. A. M. 5950

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ϡν'.	ἔτη υν'.	Λέων	Περόζης	Λέων
		ἔτη ιζ'.	ἔτη κδ'.	ἔτη κά'.
		ά'.	ς'.	ις'.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἀνατόλιος	Ἰουβενάλιος	Προτέριος	Μαρτύριος
ἔτη θ'.	ἔτη λη'.	ἔτη ς'.	ἔτη ιγ'.
θ'.	κ'.	ς'.	γ'.

Theod. L. I, 7 et II, 65 Cram. II, 102 ‖ Τούτῳ τῷ ἔτει Λέων ἐβασίλευσεν, Θρᾷξ τῷ γένει, τριβοῦνος τὴν ἀξίαν, μηνὶ Φεβρουαρίῳ, ἰνδικτιῶνι ι' στεφθεὶς ὑπὸ Ἀνατολίου τοῦ πατριάρχου. ‖

cf. Enagr. II, 12 Τῷ δ' αὐτῷ ἔτει σεισμοῦ φοβεροῦ γενομένου ἐν Ἀντιοχείᾳ, σχεδὸν πᾶσα ἡ πόλις κατέπεσεν. ἦλθε δὲ ἐν Ἀλεξανδρείᾳ καμηλοπάρδαλις καὶ ταυρέλαφοι καὶ ἄλλα θηρία. ‖ σὺν αὐτοῖς δὲ καὶ Τιμόθεος, ὁ ἐπίκλην Ἐλοῦρος, τὴν Ἀλεξανδρέων πόλιν διετάραττεν. Th. L. I, 9 Cram. Anecd. II, 102

171 B πλήθη γὰρ ἀτάκτων ἀνδρῶν ὠνησάμενος τυραννικῶς τὸν θρόνον Ἀλεξανδρείας ἐκράτησεν, καὶ καθῃρημένος ὢν ὑπὸ δύο καθῃρημένων χειροτονεῖται. ‖ ἐντεῦθεν πάντα τὰ σκάνδαλα ἀνεφύη ἐν Ἀλεξανδρείᾳ. πάντων γὰρ τῶν τῆς οἰκουμένης ἱερέων τὸν ὅρον τῆς ἐν Χαλκηδόνι συνόδου ἀποδεξαμένων, οὗτος ὁ μιαρὸς μετὰ λύττης τινὸς ἀσχέτου ταύτην καθύβριζε καὶ χειροτονίας ἐπισκόπων ἐποίει ἀχειροτόνητος ὢν καὶ βαπτίσματα ἐπετέλει πρεσβύτερος μὴ ὤν. ὁ δὲ μακάριος Προτέριος αἰσθόμενος τὴν κατ' αὐτοῦ σκευαζομένην ὑπὸ τοῦ Ἐλούρου ἐπιβουλὴν δίδωσι τόπον τῇ ὀργῇ καὶ τῷ σεπτῷ προσφεύγει βαπτιστηρίῳ ἐν τῇ πρώτῃ τῆς πασχαλίας ἡμέρᾳ. ὁ δὲ τοῦ Ἀντιχρίστου πρόδρομος

---

1 ἀποκρινομένου x. — 3 Ἐλοῦρον dz Ἐλοῦρον m Ελουρον *sine spir. et acc.* c Ελοῦρον *sine spir.* ef. — 6 τοῦ Οὐαλεντινιανοῦ h. — Πλακηδίας dh. Πλακίδας m. — 7 Ὀλυβρίου cem. — 8 Γηζερίχου ehmx. — Ὀνορίχῳ h. — 11⁴ Περόζης *ubique scripsi* Περόξης c Περώξης yz. — 16² Ἰουβεννάλιος g. — 19 Θρᾷξ d Θρᾴξ cyz. — 20 Φευρουαρίῳ dfmz. — ἰνδικτιῶνι h ἰῒ *rell.* — 21 τοῦ *om.* dem. — Ἔλουρος d Ελούρος *sine spir.* f *sine acc. et spir.* c. — 26 γὰρ *om.* f. — τυραννικός c. — 32 βαπτίσματα x βάπτισμα yz. — 33 Ελούρου *sine spir.* c Ειλούρου *sine spir.* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ αἰδεσθεὶς μήτε τὴν ἁγίαν ἡμέραν, μήτε τοὺς σεβασμίους τόπους, ἀποστείλας κατασφάζει τὸν ἀνεύθυνον ἀρχιερέα ‖ μετὰ καὶ ἄλλων ἐξ Niceph. XV, 16
τῶν σὺν αὐτῷ. καὶ σχοινίοις περισύραντες τούτου τὸ λείψανον ἀπὸ τῆς ἁγίας ἐξέβαλον κολυμβήθρας, καὶ πομπεύσαντες αὐτὸ κατὰ πᾶσαν τὴν πόλιν ἧκιζον αὐτὸ ἀνηλεῶς· τέλος πυρὶ κατέκαυσαν καὶ τὴν σποδὸν τῷ ἀέρι παρέπεμπον. ‖

‖ Τῷ δ' αὐτῷ ἔτει ἠνέχθη τὸ λείψανον τῆς ἁγίας Ἀναστασίας 172 B
ἀπὸ τοῦ Σερμίου καὶ κατετέθη ἐν τῷ ναῷ αὐτῆς ἐν τοῖς Δομνίνου Theod. L. II, 65
ἐμβόλοις. ‖ Τιμόθεος δὲ ὁ Ἐλοῦρος τὰ συγγράμματα Κυρίλλου τοῦ Niceph. XV, 16
μεγάλου μὴ ἐκδοθέντα εὑρὼν ἐνόθευσεν ἐν πολλοῖς τόποις, ὡς ἱστορεῖ Πέτρος, ὁ πρεσβύτερος Ἀλεξανδρείας. ‖

Κωνσταντινουπόλεως ἐπίσκοποι Γεννάδιος ἔτη ιγ'. A. M. 5951 458/9.
Ἀλεξανδρείας ἐκράτησε ληστρικῶς Τιμόθεος ὁ Ἐλοῦρος ἔτη β'.
β'. ζ'. ιξ'. α'. κα'. α'. δ'.

‖ *Τούτῳ τῷ ἔτει μαθὼν Λέων ὁ βασιλεὺς τὸν ἄδικον θάνατον* Cram.
Προτερίου καὶ τὴν τοῦ Ἐλούρου ἄθεσμον προαγωγήν, ‖ πέμψας Anecd. II, 102
Καισάρειον ἐγλωσσοτόμησε καὶ ἀμφοτέρους ἐξώρισεν, ὡς κοινωνήσαντας τῷ φόνῳ Προτερίου· Τιμοθέῳ δὲ τῷ ἀνιέρῳ οὐκ ἐπεξῆλθεν, τὴν 96 P
ἐπ' αὐτῷ κρίσιν ἐπισκόποις εἰπὼν ἁρμόζειν.

Τῷ δ' αὐτῷ ἔτει καὶ Ζήνων ἐζεύχθη Ἀρεάδνῃ, τῇ θυγατρὶ Λέοντος.

γ'. η'. ιη'. β'. κβ'. β'. ε'. A. M. 5952 459/60.

‖ *Τούτῳ τῷ ἔτει γράμματα πρὸς τοὺς ἑκάστης ἐπαρχίας ἀπ-* Niceph. XV, 16
έστειλεν ἐπισκόπους ὁ βασιλεύς, γράψαι αὐτῷ τὴν οἰκείαν γνώμην ἕκαστον, πότερον εἰ τοῖς ἐν Χαλκηδόνι ὁρισθεῖσιν ἀρέσκοιντο, καὶ περὶ τῆς τοῦ Ἐλούρου χειροτονίας τί λέγοιεν; ἐν οἷς καὶ τῷ ἁγίῳ Συμεῶνι τῷ Στυλίτῃ καὶ Βαραδάτῳ μοναχῷ καὶ Ἰακώβῳ θαυματουργῷ, 173 B
διαμαρτυρόμενος ὡς τῷ θεῷ τῶν ὅλων παρέχειν μέλλοντας τὴν κρίσιν τῶν ἀμφισβητουμένων ποιήσασθαι. οἱ δὲ παμψηφεὶ ὁμοφρόνως

---

4 ἐξέβαλλον g. — πᾶσαν *om.* gΛ. — 5 αἴκιζον y. — αὐτὸ *om.* y. — τέλος αἴτὸ κατὰ τὴν πόλιν πυρὶ κατ. g — 6 προσέπεμπον em. — 8 τοῦ *om.* f. — Δομνείνου e Δομνεῖου f Δομνίου m Δομνίκου g. — 9 Ἔλουρος d Ἐλοῦρος *sine spir.* ef Ἐλουρος *sine acc. et spir.* c. — 13 Ἀλεξ. ἐπίσκοπος ἐκρατ. h. — ληστρικός y. — ὁ *om.* cz. — Ἐλοῦρος e Ἐλουρος *sine acc. et spir.* c. — *v.* 14 *om.* f. — 15 Λέων *om.* y. — 17 mittens Caesariam linguis mutilatis exilio relegavit eos, qui Proterii neci communicaverant A. *codicum lectionem tuetur* Reiske ad Const. Porph. II p. 501 Bonn. *Equidem mutilum esse locum statuo.* — Καισάριον x Καισσάριον g. — 19 ἐπίσκοπον c. — 20 Ζήνωνος h. — Ἀριάδνῃ c Ἀρρεάδνῃ h. — 22 ιη' *om.* y. — 23 τῷ δ' αὐτῷ ἔτει d. — 23 ἐπισκόπους ἀπέστειλεν z. — 25 ἕκαστος y. — πρότερον f. — εἰ] ἤ? — 26 Αἰλούρου m Ἐλούρου *sine spir.* cef. — 27 Συμεών cg Συμεῶν d. — Βαραδάτῳ *scr. coll.* Euagr. II, 9 Βάρδᾳ τῷ *codd.* A. — καὶ *om.* y. — 28 τῶν ὅλων κυρίῳ λόγον παρ. μέλλ,? *ex* A: rationem deo cunctorum domino reddituri.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κυροῦσι μὲν τὴν ἐν Χαλκηδόνι σύνοδον ἁγίαν εἶναι, καὶ τὸν ὑπ' αὐτῆς ἐκτεθέντα ὅρον ἀποδέχονται, Τιμοθέου δὲ συμφώνως καταψηφίζονται ὡς φονέως καὶ αἱρετικοῦ. ‖ ἐσπούδασε δὲ καὶ Γεννάδιος πρὸς τὸν βασιλέα ἐκδικῆσαι τὰ τολμηθέντα. ἀντεπράττετο δὲ αὐτῷ Ἄσπαρ ὁ Ἀρειανός. ὁ δὲ εὐσεβὴς βασιλεὺς τὸν μὲν Ἐλοῦρον ἐξώ- 5
Niceph. XV, 16 ρισεν εἰς Γάγγραν, ‖ ἔνθα ποτὲ καὶ Διόσκορος, ὁ τούτου διδάσκαλος. ‖
ὁ αὐτὸς δὲ κἀκεῖ ἤρξατο παρασυναγωγὰς ποιεῖν καὶ ταραχάς, ἃς
cf. Euagr. II, 11 μαθὼν ὁ βασιλεὺς μετεξώρισεν αὐτὸν ἐν Χερσῶνι. Τιμόθεος δὲ ἄλλος, ὁ ἐπίκλην Λευκός, ὁ καὶ Σαλοφακίαλος, ὀρθόδοξος καὶ ἀγαθὸς ἀνήρ, ὑπὸ πάντων φιλούμενος ἐχειροτονήθη ἀντ' αὐτοῦ ἐπίσκοπος 10
Ἀλεξανδρείας.

460/1 A. M. 5953 Ἀλεξανδρείας ἐπίσκοπος Τιμόθεος ὁ Λευκὸς ἔτη ιε'.
δ'. θ'. ιθ'. γ'. κγ'. α'. ς'.

Τούτῳ τῷ ἔτει Ἰουβενάλιος, ὁ ἁγιώτατος ἐπίσκοπος Ἱεροσολύμων,
174 B ἐτελεύτησεν, καὶ ἀντ' αὐτοῦ ἐχειροτονήθη Ἀναστάσιος. καὶ τῷ αὐτῷ 15
χρόνῳ ἐκοιμήθη καὶ Συμεὼν ὁ μέγας Στυλίτης, ὁ τῆς μάνδρας, πρῶτος καταδείξας τὴν τοιαύτην ἀρετὴν καὶ σημειοφόρος γενόμενος.

461/2 A. M. 5954 ε'. ι'. κ'. δ'. κδ'. β'. ζ'.
97 P
Theod. L. I, 23 Τούτῳ τῷ ἔτει ἐμπρησμὸς μέγας γέγονεν ἐν Κωνσταντινουπόλει
Cram. II, 104 τῇ δευτέρᾳ τοῦ Σεπτεμβρίου μηνός, ἰνδικτιῶνος ιε', ἀρξάμενος ἀπὸ 20
τοῦ νεωρίου καὶ φθάσας ἕως τοῦ ναοῦ τοῦ ἁγίου Θωμᾶ τῶν Ἀμαντίου. Μαρκιανὸς δὲ οἰκονόμος ἀνελθὼν εἰς τοὺς κεράμους τῆς ἁγίας Ἀναστασίας, κατέχων τὸ εὐαγγέλιον εὐχαῖς καὶ δάκρυσιν ἀβλαβῆ τὸν οἶκον διεφύλαξεν. ‖

462/3 A. M. 5955 ς'. ια'. κα'. ε'. κε'. γ'. η'. 25
cf. Anon. Cusp. a. 461 ‖ Τούτῳ τῷ ἔτει ἐσφάγη Μαιορῖνος εἰς Ταρτίωνα ὑπὸ Ῥεμικίου πατρικίου, καὶ ἐπήρθη εἰς βασιλέα Σευῆρος καὶ Σερπέντιος νώναις Ἰουλίαις. ‖

Th. L. I, 15 et Fragm. p. 531 Cram. II, 103 ‖ Τῷ δ' αὐτῷ ἔτει ζωγράφου τινὸς τὸν σωτῆρα γράψαι τολμήσαντος καθ' ὁμοιότητα τοῦ Διὸς ἐξηράνθη ἡ χείρ· ὃν ἐξαγορεύσαντα 30
δι' εὐχῆς ἰάσατο Γεννάδιος. φασὶ δέ τινες τῶν ἱστορικῶν, ὅτι τὸ οὖλον καὶ ὀλιγότριχον σχῆμα ἐπὶ τοῦ σωτῆρος οἰκειότερόν ἐστιν. ‖

Th. L. I, 26 Cram. II, 104 τοῦ δὲ Γενναδίου τῇ νυκτὶ εὐχομένου ἐντὸς τοῦ θυσιαστηρίου, ἰδεῖν λέγεται φάντασμα δαιμονίου, ᾧ καὶ ἐπιτιμήσας ἤκουσεν αὐτοῦ κράξοντος, ὡς αὐτοῦ μὲν ζῶντος ἐνδίδωσιν, μετὰ δὲ θάνατον αὐτοῦ 35

---

1 ἁγίαν σύνοδον z — καὶ τῶν — ἐκτεθέντων ὅρων g. — 5 Ἔλουρον em. — 6 apud Gangras A. — ἔνθα — διδάσκαλος om. A. — 9 Λευκός] Βασιλικός Euagr. II, 11. — 14 Ἰουβεννάλιος g. — 16 Συμεῶν f. — ὁ om. h. — 19 τῷ αὐτῷ ἔτει d. — 20 ἰνδικτιόνος h ἰν. rell. — 26 Μαιορίνος y Μαιόρινος g. — Ταρτίονα h. — 27 Σέβηρος z Σεβηρος sine acc. c Σευῆρος ὁ καὶ Σερπ. Combefis. — 32 οὐλόν dh. — ὀλότριχον g. — 33 τοῦ ante θυσ. om. y. — 34 φάσμα δαιμόνιον Th. L. Cram. — ᾧ Th. L. Cram. ὅ codd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρατήσει πάντως τῆς ἐκκλησίας· ὅπερ δείσας Γεννάδιος πολλὰ ὑπὲρ 175 B
τούτου τὸν θεὸν ἐδυσώπει. ‖

‖ Τῷ δ' αὐτῷ ἔτει καὶ Στούδιος τὸν ναὸν ἔκτισε τοῦ Προδρό- Th. L. I. 17. Cram. II, 103
μου καὶ μοναχοὺς ἐκ τῆς μονῆς τῶν Ἀκοιμήτων ἐν αὐτῷ κατέστησεν.
καὶ Γρατίσιμος πραιπόσιτος τὸν ναὸν τοῦ ἁγίου Κυριακοῦ ἔξω τῆς
Χρυσῆς πόρτης ἔκτισε καὶ ἀπετάξατο ἐν αὐτῷ. ‖

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 5956 463/4
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,ϛϡνϛ'.	ἔτη υνϛ'.	Λέων	Περόζης	Ἱλαρίων	
		ἔτη ιζ'.	ἔτη κδ'.	ἔτη ϛ'.	
		ϛ'.	ιβ'.	α'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Γεννάδιος	Ἰουβενάλιος	Τιμόθεος	Μαρτύριος
ἔτη ιγ'.	ἔτη λή'.	ἔτη ιε'.	ἔτη ιγ'.
ϛ'.	κϛ'.	δ'.	θ'.

Τούτῳ τῷ ἔτει Λέων ὁ βασιλεὺς Ζήνωνα τὸν γαμβρὸν στρατη-
γὸν τῆς ἑῴας πάσης πεποίηκε καὶ Βασιλίσκου, τὸν ἀδελφὸν Βερίνης
τῆς αὐγούστης, στρατηγὸν τῆς Θρᾴκης. ‖ Ζήνων δὲ ἐλθὼν εἰς Ἀν- Theod. L. I, 20
τιόχειαν εὗρεν ἐπίσκοπον ἐν αὐτῇ τὸν ἱερὸν Μαρτύριον. Πέτρος δὲ
ὁ Κναφεὺς ἠκολούθει τῷ Ζήνωνι πρεσβύτερος ὢν τοῦ ἐν Χαλκηδόνι
ναοῦ Βάσσης τῆς μάρτυρος· ὃς καὶ πείσας Ζήνωνα συνεργῆσαι αὐτῷ
μισθοῦται τῶν Ἀπολιναρίου τινὰς ὁμοδόξων καὶ θυρύβους μυρίους
ἐγείρει κατὰ τῆς πίστεως καὶ Μαρτυρίου τοῦ ἐπισκόπου. καὶ ἀνα-
θεματίζει τοὺς μὴ λέγοντας τὸν θεὸν σταυρωθῆναι, καὶ σχίσας τὸν
λαὸν Ἀντιοχείας προστίθησιν ἐν τῷ τρισαγίῳ ὕμνῳ τό· "ὁ σταυρω-
θεὶς δι' ἡμᾶς." ‖ ὅπερ ἕως σήμερον ἔκτοτε καιροῦ παρὰ τοῖς Θεο- Niceph. XV, 28 98 P
πασχίταις ἐκράτησε λέγεσθαι. ‖ Μαρτύριος δὲ πρὸς Λέοντα τὸν βασιλέα Theod. L. I, 21 176 B
παρεγένετο, καὶ ἀπεδέχθη μετὰ πολλῆς τιμῆς σπουδῇ Γενναδίου ἐπι-
σκόπου Κωνσταντινουπόλεως. ἐπανελθὼν δὲ εἰς Ἀντιόχειαν καὶ εὑρὼν
τοὺς λαοὺς στασιάζοντας καὶ Ζήνωνα τούτοις συμπράττοντα ἐπ' ἐκκλη-
σίας τῇ ἐπισκοπῇ ἀπετάξατο εἰπών· "κλήρῳ ἀνυποτάκτῳ, καὶ λαῷ
ἀπειθεῖ, καὶ ἐκκλησίᾳ ἐρρυπωμένῃ ἀποτάττομαι, φυλάττων ἑαυτῷ τὸ
ἀξίωμα τῆς ἱερωσύνης." τούτου δὲ ὑποχωρήσαντος, Πέτρος ὁ Κνα-
φεὺς τῷ θρόνῳ Ἀντιοχείας ἐπεπήδησεν, χειροτονήσας εὐθὺς Ἰωάννην

---

3 τούτῳ τῷ ἔτει d. — 4 ἐν αὐτῇ c. — 5 γρατήσιμος cg γρατίσημος dh. — πρεπόσιτος y πραιπώσιτος g. — 9⁴ Περόξης cg Περώξης hy. — 9⁵ Ἱλαρίων g Ἱλαρίων sine spir. c om. y. — 10⁵ ἔτη ϛ' om. y. — 11⁴ ιβ'] α' c. — 11⁵ α' om. y. — 14² Ἰουβεννάλιος g. — 16² κϛ'] κή' cf. — 18 Βερίνας d. — 19 τῆς om. em. — 22 Βάσης h. — 23 τῶν] τόν gy. — 27 Θεοπασχήταις dyz. — 29 σπουδῆς c. — Κωνσταντ. ἐπισκόπου z. — 30 ἐν Ἀντιοχείᾳ xz. — 32 τῇ ἐπισκοπῇ scr. e Theod. τὴν ἐπισκοπήν codd. — 33 ἀπιθεῖ c. — ῥερυπωμένῃ f. — τῷ ἀξιώματι y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπαμείας ἐπίσκοπον ἀπὸ καθαιρέσεως ὄντα. γνοὺς δὲ ταῦτα Γεννάδιος ἅπαντα τῷ βασιλεῖ ἀνατίθεται· καὶ κελεύει Πέτρον τὸν Κναφέα ἐξορισθῆναι. ὅπερ ἀκούσας Πέτρος φυγῇ τὴν ἐξορίαν διέφυγεν· ψήφῳ δὲ κοινῇ Ἰουλιανός τις ἐπίσκοπος Ἀντιοχείας προεχειρίσθη. ‖

Τῷ δ' αὐτῷ ἔτει μετετέθη ἐν Ἀλεξανδρείᾳ ὁ προφήτης Ἐλισσαῖος πρὸ ε' ἰδῶν Μαΐων ἐν τῇ μονῇ Παύλου τοῦ Λεπροῦ. λεπρὸν γὰρ ἰάσατο καὶ λεπρὸν ἐποίησε καὶ εἰς τὰ τοῦ Λεπροῦ ἐτέθη.

464/5 A. M. 5957 ἡ. ιγ'. β'. ζ'. κζ'. ε'. ι'.

177 B Τούτῳ τῷ ἔτει ἐκτίσθη τὸ τετράστωον τοῦ ἁγίου Ἰωάννου ἐν Ἀλεξανδρείᾳ καὶ τὸ ἁγιαστήριον· καὶ Ἑπτάβιζος τὸ δημόσιον βαλα-
Th. L. I, 18 Cram. II, 103 νεῖον ἀπεδόθη τῇ πόλει. ‖ τούτοις δὲ τοῖς χρόνοις καὶ Δανιὴλ ὁ
Cram. II, 104 Στυλίτης ἐν τῷ Ἀνάπλῳ τῷ στύλῳ ἐπέβη, ἀνὴρ θαυμάσιος. ‖ Ἰωάννης δὲ ὁ ὑπατικός, ὁ ἐπίκλην τῶν Βιγκομάλου, δυσωπήσας Βασιανὸν τὸν ὅσιον παρ' αὐτῷ ὡς μοναχὸς ἐτέτακτο. προήρχετο δὲ ἀεὶ ἐν τῷ παλατίῳ εἷς τῶν συγκλητικῶν. καὶ ἀναχωρῶν μέχρι τῆς μονῆς τῶν Βασιανοῦ ὡς ὑπατικὸς ὠψικεύετο· ἔνδον δὲ γενόμενος εὐθὺς μοναδικὴν σισύραν περιβαλλόμενος μαγειρείου καὶ σταύλου καὶ τῶν παραπλησίων τὴν διακονίαν ἐπλήρου. ‖

cf. Cram. II, 104 Τῷ δ' αὐτῷ ἔτει Ἄνθιμος καὶ Τιμοκλῆς, οἱ τῶν τροπαρίων ποιηταί, ἐγνωρίζοντο.

cf. Euagr. II, 16 ‖ Τῷ δ' αὐτῷ ἔτει κατὰ πρεσβείαν τῆς συγκλήτου Ῥώμης ἀπέστειλε Λέων ὁ βασιλεὺς Ἀνθίμιον, τὸν γαμβρὸν Μαρκιανοῦ τοῦ προβασιλεύσαντος, βασιλέα ἐν Ῥώμῃ, ἄνδρα χριστιανικώτατον καὶ εὐσεβῶς τὴν βασιλείαν ἰθύνοντα ἔτη ς'. ‖

465/6. A. M. 5958

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ϡνή'.	ἔτη υνή'.	Λέων	Περόζης	Ἱλαρίων
		ἔτη ιζ'.	ἔτη κδ'.	ἔτη ς'.
		θ'.	ιδ'.	γ'.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Γεννάδιος	Ἰουβενάλιος	Τιμόθεος	Μαρτύριος
ἔτη ιγ'.	ἔτη λή'.	ἔτη ιε'.	ἔτη ιγ'.
ή'.	κή'.	ς'.	ια'.

---

2 Γναφέα em. — 6 εἰδῶν codd. — Μαΐου x Μάϊον h. — 9 τετράστωον g τετράστοον h τετράγονον c τέρας τὸ ὄν y. — 13 Βαστιανόν Cr. — 14 ἀεὶ om. y. — 15 ὡς εἷς sec. m. f cf. Cr. l. l. — εἰς τὸν συγκλητικόν g. — τῶν x τοῦ yz. — 16 Βασσιανοῦ d. — ὕπατος Cr. — ὀψικεύετο y ὠψηκεύετο h. — 17 μαγειρίου y μαγηρίου dh. — στάβλου h. — 19 Ἄνθημος fh. — 19 καὶ Τιμοκλῆς — 21 κατὰ πρεσβείαν om. y et v. 21 post συγκλήτου add. πρεσβείαν. — 22 Ἀνθίμιον c Ἄνθιμον egm Ἄνθημον fh Ἀνθέμιον? ex Euagr. et p. 118, 3 sqq. — 24 ἰθύναντα c. — ἔτη ς' om. g. — 27⁴ Περόξης c Περώξης yz. — 27⁵ Ἱλαρίων gm Ἱλαρίον e Ἱλαρίων sine spir. c. — 32² Ἰουβεννάλιος g. — 33³ ἔτη ις' h. — 34¹ ή' om. c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

‖ *Τούτῳ τῷ ἔτει σημεῖον ἐφάνη ἐν τῷ οὐρανῷ, νεφέλη ὥσπερ* cf. Chron. Pasch. p. 597, 13
σάλπιγγος ἐκτύπωμα ἔχουσα ἐπὶ ἡμέρας μ' καθ' ἑσπέραν. ‖ 99 P

ι'. ιε'. δ'. θ'. κθ'. ξ'. ιβ'. A. M. 5959 466/7.

Τούτῳ τῷ ἔτει ἐστράτευσεν Ἀλεξάνδρεια ἄνδρας τρισχιλίους, 178 B
καὶ ὁ μέγας λάκκος ἐκτίσθη εἰς τὰ Ἰωάννου καὶ τὰ δύο βαλανεῖα, ἡ Ὑγεία καὶ ἡ Ἴασις· καὶ ὁ ποταμὸς ὠρύχθη ἐν Ἀλεξανδρείᾳ ἀπὸ τῆς Χερσαίου ἕως τοῦ Κοπρεῶνος.

ια'. ις'. ε'. ι'. λ'. η'. ιγ'. A. M. 5960 467/8.

‖ *Τούτῳ τῷ ἔτει Ἰσοκάσιος ὁ κναίστωρ, Ἀντιοχεὺς καὶ φιλό-* Malal. p. 369, 17
σοφος, διεβλήθη τῷ βασιλεῖ ὡς Ἕλλην· καὶ ἐκέλευσεν ὁ βασιλεὺς ἐξετασθῆναι αὐτὸν παρὰ τῷ ἐπάρχῳ τῶν πραιτωρίων ἐν Κωνσταντινουπόλει. ἐνεχθέντος δὲ αὐτοῦ ἐν τῷ Ζευξίππῳ δεδεμένου ὀπισθάγκωνα, ἔφη πρὸς αὐτὸν Πουσαῖος ὁ ἔπαρχος· "ὁρᾷς ἑαυτόν, Ἰσοκάσιε, ἐν ποίῳ σχήματι καθέστηκας;" ὁ δὲ εἶπεν· "ὁρῶ, καὶ οὐ ξενίζομαι· ἄνθρωπος γὰρ ὢν ἀνθρωπίναις ἐνέπεσα συμφοραῖς· ἀλλὰ δίκασον ἐπ' ἐμοί, ὡς ἐδίκαζες σὺν ἐμοί." καὶ ταῦτα ἀκούσας ὁ δῆμος εὐφήμησε τὸν βασιλέα. καὶ μαθὼν ὁ βασιλεὺς ἐχάρη καὶ ἀπέλυσεν αὐτὸν εἰς τὴν ἰδίαν χώραν. ‖

Ἀντιοχείας ἐπίσκοποι Ἰουλιανὸς ἔτη ς'. A. M. 5961 468/9.
ιβ'. ιζ'. ς'. ια'. λα'. θ'. α'.

‖ *Τούτῳ τῷ ἔτει Λέων ὁ βασιλεὺς κατὰ Γιζερίχου, τοῦ τῶν* cf. Proc. Vand. I, 335 B Niceph. XV, 27
Ἄφρων κρατοῦντος, στόλον μέγαν ἐξοπλίσας ἀπέστειλεν. ὁ γὰρ 179 B
Γιζέριχος μετὰ τὴν τελευτὴν Μαρκιανοῦ πολλὰ δεινὰ ἐνεδείξατο ἐν ταῖς ὑπὸ τὴν τῶν Ῥωμαίων βασιλείαν χώραις ληϊζόμενος καὶ αἰχμαλωτίζων πολλοὺς καὶ τὰς πόλεις κατασκάπτων. ὅθεν ζήλῳ κινηθεὶς ὁ βασιλεὺς ἐκ πάσης τῆς ἀνατολικῆς θαλάσσης ρ' χιλιάδας πλοίων ἀθροίσας καὶ στρατῶν καὶ ὅπλων ταύτας πληρώσας κατὰ Γιζερίχου ἀπέστειλεν. φασὶ γὰρ αὐτὸν μ' κεντηνάρια δεδαπανηκέναι χρυσίου ἐν τούτῳ τῷ στόλῳ. στρατηγὸν δὲ καὶ ἔξαρχον τοῦ στόλου κατέστησε Βασιλίσκον, τὸν Βερίνης τῆς αὐγούστης ἀδελφόν, ‖ *τῆς ὑπάτου τιμῆς ἤδη μετασχόντα καὶ Σκύθας πολλάκις νικήσαντα ἐν*

---

2 *κατεσπέραν* ex *om.* f. — 4 *Ἀλεξάνδρεια* Combefis *Ἀλεξανδρείᾳ* y *ἐν Ἀλεξανδρείᾳ* cz. — 6 *ὑγία* hy *ὑγεία pr. m. corr. ex ὑγία* c. — *ἡ ante ἴασις om.* cy. — *ἀπὸ τῆς—Κοπρεῶνος om.* m. — 7 *Χερσαίου* h *Χερσέου* ef *Χέρσου* cg. — *Κόπρωνος* g *Κοπρωνος sine acc.* c. — 9 Cassius A. — *κναίστωρ* dem *κνέστωρ* efh *κοιαίστωρ* g *κοιαιστώριος* Mal. — *Ἀντιοχεύς* d Antiochenus A *Ἀντιοῦ* c *Ἀντιοχείας* yz. — *ὁ καὶ* cz. — 11 *ὑπάρχῳ* xz. — 13 *Πουσαῖος scr. e* Mal. *Πούσεος* emz *Πουσέως* d *Πούσεως* f *Πουσεως sine acc.* c. — *ὕπαρχος* xz. — *σεαυτόν* dg. — 15 *ἐνέπεσον* x *περιέπεσα* Mal. — 21 *Γηξερίχου* hxy. — 23 *Γηξέριχος* hxy. — 24 *τὴν om.* y. — 26 *τῆς om.* z. — 27 *ταῦτα* em. — *Γηξερίχου* ehmx. — 28 *γὰρ*] *γοῦν* Proc. — *κεντινάρια* h. — 29 *κατέστησε τοῦ στόλου* x. — 31 *μετασχόντος—νικήσαντος* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῇ Θράκῃ. ὃς δή, συνδραμούσης αὐτῷ καὶ ἐκ τῆς ἑσπερίου οὐκ
100 P ὀλίγης δυνάμεως, συμπλακεὶς εἰς ναυμαχίας πολλάκις τῇ Γιζερίχου
*μετὰ τῶν νηῶν τῷ βυθῷ παραδούς, εἶτα καὶ αὐτὴν ἡδυνήθη Καρ-
χηδόνα κρατῆσαι. ὕστερον δὲ δώροις ὑπὸ Γιζερίχου καὶ πλείστοις
χρήμασι δελεασθεὶς ἐνέδωκε καὶ ἡττήθη ἑκών, ὡς Περσικὸς ἱστόρη-
cf. Proc. Vand. I p. 336 B. σεν ὁ Θρᾷξ. ‖ φασὶ δέ τινες, ὅτι Ἄσπαρ καὶ Ἀρδαβούριος, Ἀρειανοὶ
ὄντες καὶ εἰς βασιλείαν ἐλθεῖν διὰ τοῦτο μὴ δυνάμενοι, ‖ κουράτορα
αὐτῶν ὄντα Λέοντα βασιλέα πεποίηκαν, αὐτοὶ προσδοκῶντες διοικεῖν
180 B τὸ βασίλειον. τοῦ δὲ βασιλέως μὴ καταδεδεγμένου τοῦτο, ἠγωνίζοντο
διαστρέφειν τὰ ὑπ' αὐτοῦ καλῶς διοικούμενα καὶ Βασιλίσκῳ συνέθεντο
δοῦναι τὴν βασιλείαν, εἰ προδώσει τὸν τοῦ βασιλέως στόλον τε καὶ
λαὸν τῷ Γιζερίχῳ, Ἀρειανῷ ὄντι καὶ ὁμόφρονι αὐτῶν. καὶ τούτου
cf. Proc. Vand. I p. 338 B. χάριν προδεδωκέναι τὸν Βασιλίσκον φασίν. ‖ τότε Γιζέριχος τεχνασά-
μενος σκάφη τῶν πολεμίων τινὸς ὕλης ἐμπλήσας καυστικῆς, νυκτὸς
ἐπιστὰς καὶ τῶν Ῥωμαίων ἀφυλάκτως ὑπνούντων, ταύτας ἐπαφῆκεν
ἀπὸ τῆς χέρσου μετὰ πνεύματος ἀπογείου κατὰ τοῦ Ῥωμαϊκοῦ στόλου.
καὶ καταφλέγουσι μὲν πολλὰ τῶν σκαφῶν, τὰ δὲ ἄλλα τὸν κίνδυνον
φεύγοντα εἰς Σικελίαν ἐπανῆλθον. τότε λοιπὸν καὶ ὁ Βασιλίσκου
δόλος ἠλέγχθη μηδένα λαθὼν τοῦ στρατοπέδου.

Τῷ δ' αὐτῷ ἔτει Πατρίκιος, ὁ υἱὸς Ἄσπαρος, ὃν καίσαρα ὁ
βασιλεὺς Λέων πεποίηκε διὰ τὸ ἑλκῦσαι τὸν Ἄσπαρα ἐκ τῆς Ἀρειανικῆς
δόξης καὶ εὐνοεῖν τῷ βασιλεῖ, παρεγένετο ἐν Ἀλεξανδρείᾳ
μετὰ μεγάλης φαντασίας, ἐν ᾧ ἐστερεώθη τὸ Κορεῖον βαλανεῖον.

469/70 A. M. 5962 Ῥώμης ἐπίσκοποι Συμπλίκιος ἔτη ιδ'.
ιγ'. ιή'. α'. ιβ'. λβ'. ί. β'.

Τούτῳ τῷ ἔτει Λέων ὁ βασιλεὺς Ζήνωνα, τὸν στρατηλάτην
181 B τῆς ἑῴας καὶ γαμβρὸν αὐτοῦ, ἀπέστειλεν ἐν τῇ Θράκῃ ἐπί τινα
χρείαν πολεμικὴν κελεύσας παραδοῦναι αὐτῷ στρατὸν ἐκ τῶν ἰδίων
πρὸς συμμαχίαν. οἵ τινες κατὰ παραίνεσιν Ἄσπαρος μικροῦ δεῖν
τὸν Ζήνωνα διεχειρίζοντο, εἰ μὴ προγνοὺς τὴν ἐπιβουλὴν εἰς Σερ-
δικὴν ἀπεσώθη φυγών, πόλιν τῆς Θράκης. ἐκ τούτου ὕποπτος
γίνεται Ἄσπαρ Λέοντι τῷ βασιλεῖ.

---

1 ὃς x ὡς gy ᾧ ὡς h. — αὐτῷ] οὕτω y. — 2 συμπλακείσης ναυμαχίας d συμπλακεὶς ναυμαχίας (om. εἰς) y. — πολλοὺς τοῦ Γιζ. coni. Combefis. — Γηζερίχου ehmx. — 3 μετά] τμ' scrib. coni. Classen. Equidem ante μετὰ lacunam subesse suspicor. — 4 δώροις om. y. — Γηζερίχου hxy. — 5 ὥσπερ σικὸς y ὡς Πρίσκος leg. esse subindicat Goar recte et sic corr. in m sec. m. — 6 Θρᾴξ codd. — 7 διὰ τοῦτο om. y. — κουράτορα g. — 8 πεποιήκασιν xz. — 10 διαστρέφειν om. g post ὑπ' αὐτοῦ collocat h. — 11 προδόσει gm προδώσῃ ef. — 12 Γηζερίχῳ hxy item v. 13 Γηζέριχος. — αὐτῷ h. — 13 τὸν Βασιλ. προδεδωκέναι φασίν x. — 14 τῶν om. f. — 15 ταύτης g. — 23 φαντασίας om. f. — 24 Συμπλίκιος h Συμπλήκιος fg. — 27 τῆς ἑῴας om. y. — ἐν om. c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ιδ'. ιθ'. β'. ιγ'. λγ'. ια'. γ'. A. M. 5963 470/1.

Τούτῳ τῷ ἔτει ἀπέστειλε Λέων ὁ βασιλεὺς κατὰ Γιζερίχου 101 P
Ἡράκλειον τὸν Ἐδεσηνόν, υἱὸν Φλώρου τοῦ ἀπὸ ὑπάτων, καὶ Μάρσον Ἴσαυρον, ἄνδρας δραστηρίους, καὶ στρατὸν ἐξ Αἰγύπτου καὶ Θηβαΐδος καὶ τῆς ἐρήμου. οἵ τινες προσπεσόντες ἀδοκήτως τοῖς Οὐανδήλοις Τρίπολίν τε καὶ ἄλλας παρεστήσαντο πόλεις τῆς Λιβύης πολλὰς καὶ πλέον, τῆς Βασιλίσκου ναυμαχίας ἡνίασαν τὸν Γιζέριχον, ὥστε παρασκευάσαι αὐτὸν περὶ εἰρήνης πρεσβεύσασθαι πρὸς Λέοντα τὸν βασιλέα· καὶ ταύτης τυγχάνει παρὰ Λέοντος χρήζοντος τότε Βασιλίσκου καὶ Ἡρακλείου καὶ Μάρσου εἰς τὴν κατὰ Ἄσπαρος ἐπιβουλήν. ὕποπτος γάρ, ὡς προέφην, γενόμενος τῷ βασιλεῖ ὁ Ἄσπαρ καὶ πολλὴν περικείμενος δύναμιν δόλῳ παρὰ τοῦ βασιλέως φονεύεται μετὰ βραχὺ σὺν τοῖς αὐτοῦ παισίν, Ἀρδαβουρίῳ καὶ Πατρικίῳ, ὃν 182 B
καίσαρα ὁ βασιλεὺς πεποίηκε πρότερον, ἵνα τὴν Ἄσπαρος εὔνοιαν ἔχῃ.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 5964 471/2
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,ϛϡξδ'.	ἔτη υξδ'.	Λέων	Περόζης	Σιμπλίκιος	
		ἔτη ιζ'.	ἔτη κδ'.	ἔτη ιδ'.	
		ιε'.	κ'.	γ'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἀκάκιος	Ἰουβενάλιος	Τιμόθεος	Ἰουλιανὸς
ἔτη ιζ'.	ἔτη λή'.	ἔτη ιε'.	ἔτη ϛ'.
α'.	λδ'.	ιβ'.	δ'.

Τούτῳ τῷ ἔτει Ἄσπαρος καὶ Ἀρδαβουρίου καὶ Πατρικίου, τῶν υἱῶν αὐτοῦ, φονευθέντων ὑπὸ Λέοντος, Ὀστρύς, ὁ ὑπασπιστὴς Ἄσπαρος, καὶ Θευδέριχος, ὁ Τριαρίου παῖς, τῆς δὲ Ἄσπαρος γαμετῆς ἀδελφός, ἐπῆλθε μετὰ δυνάμεως τῇ πόλει τοὺς πεφονευμένους ἐκδικῆσαι· καὶ εἰ μὴ προλαβὼν ὁ Βασιλίσκος ἐκ τῆς ἀπὸ Σικελίας ἐπανόδου, καὶ Ζήνων ἀπὸ Χαλκηδόνος, ὃς ἦν ἐκεῖ τὸν Ἄσπαρος ἀναμένων φόνον, ἐβοήθησαν τῇ πόλει καὶ διέσπειραν τοὺς ἐπαναστάντας, πολὺς ἂν ἐγένετο τοῖς πράγμασι τάραχος. ὁ δὲ νεώτατος Ἄσπαρος παῖς Ἀρμενάριχος ὑποκλαπεὶς γνώμῃ τοῦ Ζήνωνος ἐκφεύγει σταλεὶς ἐν Ἰσαυρίᾳ καὶ νόθου Ζήνωνος παιδὸς γαμβρὸς καθίσταται,

---

2 ὁ βασιλεὺς Λέων h. — Γηζερίχου hxy *item v.* 7 Γηζέριχον. — 3 Ἡρακλεῖν h. — Ἐδεσινόν g Αἰδεσινόν hxy. — Φλώρου g Φλόρου hxy. — ἀπὸ τῶν ὑπάτων ef. — 6 Οὐανδηλοῖς ch Οὐϊνδαλοῖς d. — 7 ἐνίασαν em ἐνήασαν f. — 8 πρεσβεύσασθαι hx πρεσβεῦσαι gy. — 9 τότε] τε g. — 10 Ἄσπαρ fm Ἄσπαρα e. — 13 καὶ μετὰ βραχύ y. — 14 ἔχει dh. — 17⁴ Περόξης c Περώξης yz. — 17⁵ Συμπλίκιος f Σιμπλήκιος ch. — 22² Ἰουβεννάλιος g. — 24¹ α'] ιδ' z. — 26 Ὀστρύς dhy Ὄστρις g Ὀστρύς *sine spir.* c. — 27 Τριαρείου ef. — 28 πεφοβημένους g. — 29 ἀπὸ Σικελίαν *codd.* — 33 Ἀρμενάριχος ch Ἀρμενάρχος g Ἀρμενίαρχος dy. — τοῦ] τῇ x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὃς μετὰ τὴν Λέοντος τελευτὴν ἐπανελθὼν εἰς τὸ Βυζάντιον μέχρι τέλους εὐδαιμόνως ἐβίω. ἐν Ἰταλίᾳ δὲ Ῥεκίμερ ὁ στρατηγός, οὗ καὶ πρώην ἐμνήσθην, γαμβρὸς δὲ Ἀνθεμίου, τοῦ εὐσεβῶς ἐν Ῥώμῃ βασιλεύσαντος, ἐπανίσταται τῷ ἰδίῳ κηδεστῇ. καὶ πολέμου κρατοῦντος τὴν χώραν, λιμώττουσιν οὕτως αἱ τοῦ βασιλέως δυνάμεις, ὡς καὶ βυρσῶν καὶ ἄλλων ἀηθῶν ἅψασθαι βρωμάτων, αὐτὸν δὲ
183 B τὸν βασιλέα Ἀνθέμιον ἕβδομον ἔτος ἔχοντα τῆς ἀρχῆς ἀναιρεθῆναι. τὸ τηνικαῦτα Λέων διὰ τοὺς ἔτι συνεστῶτας ἐν Ῥώμῃ θορύβους
102 D Ὀλύβριον, τὸν τῆς Πλακιδίας σύζυγον, ἐκπέμπει τῇ Ῥώμῃ καὶ ἀναγορεύει τοῦτον αὐτοκράτορα. ὁ δὲ Ῥεκίμερ μετὰ τὴν Ἀνθεμίου σφαγὴν τρεῖς μῆνας μόνους διαζήσας νόσῳ τελευτᾷ, συναπελθόντος
cf. Proc. Vand. p. 340 αὐτῷ Ὀλυβρίου ἀρρωστίᾳ σωματικῇ. τούτων δὲ τελευτησάντων, Μαϊορῖνος τὴν βασιλείαν διεδέξατο, ἀνὴρ φρενήρης καὶ πολέμων ἔμπειρος. οὗτος τὰς πόλεις ὑπὸ Γιζερίχου πεπορθημένας εὑρὼν εἰσέβαλεν εἰς* Λιανήν, καὶ καταλαβὼν τὴν Λιγουρίαν φοβερὸς τοῖς Οὐανδήλοις ὤφθη· καὶ μέλλων τὴν νίκην ἀναδήσασθαι, ἐν τῷ μεταξὺ νόσῳ δυσεντερίας ληφθεὶς ἐτελεύτησεν. ὁ δὲ στρατηγὸς * διαβὰς Πάτμον ἀπεσώθη. ἐν τούτοις οὖν ἀσχολουμένων τῶν περὶ
Nicep. h. XV, 12 Γιζέριχον, ‖ ἡ νήπιος Εὐδοκία καὶ Θεοδοσίου ἐγγόνη δέκα ἔξ χρόνους ἐν τῇ Ἀφρικῇ ποιήσασα μετὰ τοῦ ἀνδρὸς αὐτῆς Ὀνωρίχου καὶ παῖδα ἐξ αὐτοῦ Ἱλδέριχον γεννήσασα, δυσφοροῦσα κατὰ τοῦ ἀνδρὸς ὡς Ἀρειανοῦ ὄντος, ἄδειαν εὑροῦσα καὶ φυγῇ χρησαμένη ἦλθεν εἰς Ἱεροσόλυμα, καὶ προσκυνήσασα τοὺς σεβασμίους τόπους καὶ ἀσπασαμένη τὸν τάφον ⟨Εὐδοκίας⟩, τῆς ἑαυτῆς μάμμης, ὀλίγας ἡμέρας
184 B διατρίψασα ἐν τῇ ἁγίᾳ πόλει ἐτελεύτησεν ἐν εἰρήνῃ, πάντα τὰ αὐτῆς καταλείψασα ἐν τῇ ἁγίᾳ Ἀναστάσει, ‖ παραθεμένη καὶ Βοῦρκον σὺν τοῖς τέκνοις αὐτοῦ τῷ ἀρχιεπισκόπῳ Ἱεροσολύμων, ὡς συνεργῷ αὐτῆς γενομένῳ καὶ πιστῷ εἰς τὸ ἐκφυγεῖν Ὀνώριχον Ἀρειανόν, τὸν ἄνδρα αὐτῆς.

---

1 *τὴν τοῦ Λέοντος* h. — 2 *εὐδαίμονος* c. — 2 *ἐν Ἰταλίᾳ* — 18 *περὶ Γιζέριχον om.* d. — *Ῥεκήμερ* cy *Ῥεκῆμερ* h *Ῥεκίβερ* g. — 9 *Ὀλύβριον* cem. — *Πλακηδίας* h *Πλακίδας* e. — 10 *Ῥεκήμερ* cf *Ῥεκῆμερ* h *Ῥεκίβερ* egm. — *τὴν τοῦ Ἀνθεμίου* h. — 12 *Ὀλυβρίου* ce. — 14 *Γηζερίχου* chy *item v.* 19 *Γηζέριχον.* — 15 *εἰσέβαλλεν* g. — *εἰς Λιανήν* z *εἰς Λιάνην* e *εἰς λίαν ἣν* (*ἣν* f) y *εἰς τὴν ἐναλίαν coni.* Classen. — *Λιγγουρίαν* cz *Δηγγουρίαν* y *Λιγουρίαν* Classen *cf.* Proc. l. l. — 16 *Οὐανδηλοῖς* h *Οὐανδήλοις sine acc.* c *Ἀνδήλοις* em. — 18 *Πάτμον*] *Πάδον vel πορθμόν coni.* Goar. *Πάδον probat* Combefis. — 19 *δέκα ἓξ om.* h. — 20 *ποιήσασα ἐν τῇ Ἀφρικῇ* h. — *Ὀνορίχου* b *Ὠνορίχου* m. — *παῖδας* y. — 21 *Ἱλδ. ἐξ αὐτοῦ* x. — *Ἠλδέριχον* hy Gilderichum Λ. — 24 *Εὐδοκίας add. ex* Λ *om. codd.* — *ἑαυτῆς* cm. — 26 *Βούρκωνα* d *Κοῦρκον* g. — 27 *Ἱεροσολύμων*] *Ἐφέσου μων* (*sic*) d. — *συνέργῳ* cy. — 28 *Ὀνώριχον* f *Ὀνόριχον* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 5965 472/3
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*	
ϛϡξε΄.	*ἔτη υξε΄.*	*Λέων*	*Περόζης*	*Σιμπλίκιος*	
		ἔτη ιζ΄.	*ἔτη κδ΄.*	*ἔτη ιδ΄.*	
		ις΄.	*κα΄.*	*δ΄.*	

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*	
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*	
Ἀκάκιος	*Ἰουβενάλιος*	*Τιμόθεος*	*Ἰουλιανὸς*	
ἔτη ιζ΄.	*ἔτη λη΄.*	*ἔτη ιε΄.*	*ἔτη ϛ΄.*	
β΄.	*λε΄.*	*ιγ΄.*	*ε΄.*	

Τούτῳ τῷ ἔτει Λέων ὁ βασιλεὺς Λέοντα, τὸν Ζήνωνος υἱὸν καὶ Ἀρεάδνης τῆς ἰδίας θυγατρός, τὸν ἑαυτοῦ ἔγγονα, στέψας βασιλέα ἀνηγόρευσεν. ‖ *μετὰ δὲ τὸν Ὀλυβρίου θάνατον καὶ Ῥεκίμερ καὶ* cf. Euagr. II, 16 *Μαϊορίνου, Γλυκέριος Ἰταλίας ἀναγορεύεται βασιλεύς, ἀνὴρ οὐκ ἀδόκιμος, ὃν ε΄ μῆνας κρατήσαντα Νεποτιανὸς Δαλμάτης ἐκβάλλει τῆς ἀρχῆς καὶ βασιλεύει καὶ αὐτὸς χρόνον ὀλίγον, Ὀρέστου τινὸς ἐκβαλόντος αὐτόν, ὃν οἰκεῖος παῖς Ῥώμυλος, ἐπίκλην Αὐγούστουλος, διαδεξάμενος καὶ δύο μόνους ἄρξας ἐνιαυτοὺς αὐτοκράτωρ τῆς ἐν Ἰταλίᾳ βασιλείας καθίσταται μετὰ ϡατ΄ ἔτη τοῦ Ῥωμύλου, τοῦ τὴν* τῆϛ
Ῥώμην κτίσαντος, βασιλείας. καὶ σημειωτέον, ὡς ἀπὸ Ῥωμύλου ἡ τῆς ἑσπέρας ἀκμάσασα βασιλεία πάλιν ἐπὶ Ῥώμυλον μετὰ τοσούτους ἐπαύσατο χρόνους, Ὀδοάκρου λοιπὸν Γότθου μὲν τὸ γένος, ἐν Ἰταλίᾳ δὲ τραφέντος, χειρωσαμένου δυνάμει βαρβαρικῇ τὴν ἀρχήν· ὃς τὴν τοῦ 103 P
ῥηγὸς ἑαυτῷ περιθέμενος προσηγορίαν ‖ *πᾶσαν ἀρχὴν κατὰ τὸν πάτριον* 185 B
νόμον τοῖς Ῥωμαίοις προχειρισάμενος ἐπὶ ι΄ χρόνους τῆς ἀρχῆς ἐκράτησεν. ᾤκει δὲ ἐν Ῥαβέννῃ τῇ πόλει τῆς Ἰταλίας παρὰ τὴν θάλασσαν εὐδαίμονα οὖσαν καὶ καλήν.

ιζ΄. κβ΄. ε΄. γ΄. λϛ΄. ιδ΄. ϛ΄. A. M. 5966 473/4

‖ *Τούτῳ τῷ ἔτει ἡ κόνις κατῆλθε πυρακτούντων τῶν νεφῶν* Theod. L. I, 24 Cram. II, 105 Malal. p. 372, 6
προφανέντων, ὡς πάντας νομίζειν, ὅτι πῦρ βρέχει. ‖ *καὶ πάντες ἔτρεμον λιτανεύοντες. ἐπὶ δὲ παλαιστῆς ὕψους ἐτέθη ἐν τοῖς κεράμοις. καὶ πάντες ἔλεγον, ὅτι πῦρ ἦν καὶ ἐσβέσθη καὶ γέγονε κόνις τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ.* ‖

1⁴ *Περόξης* c *Περώξης* yz. — 1⁵ *Σιμπλήκιος* c *Σημπλήκιος* h *Συμπλίκιος* g. — 8² *Ἰουβεννάλιος* g. — 10¹ *β΄*] *ιε΄* z. — 12 *Ἀριάδνης* c. — 13 *μετὰ* — 27 *καλὴν om.* d. — *Ῥεκήμερ* cy *Ῥεκῆμερ* h *Ῥεκήβερ* g. — 15 *μῆνας*] *ἔτη* Euagr. — *Νεοποτιανός* em. — 16 *χρόνον καὶ αὐτός* c. — *οὐκ ὀλίγον* y. — 17 *ἐκβαλλόντος* hm. — *Ῥωμυλος sine acc.* c *Ῥώμυλλος* hy *Ῥωμῦλλος* g. — *ὁ ἐπίκλην*? — *Αὐγούστολος* c. — 19 *τῆς Ῥωμ.*? — *Ῥωμύλου* c *Ῥωμύλλου* yz *item v.* 20. — *τὴν om.* c. — 20 *ἡ τῆς—Ῥώμυλον om.* c. — *Ῥώμυλον* e *Ῥώμυλλον* fhm *Ῥωμύλλον* g. — 22 *Ὀδοάκρου* cgy. — 23 *χειρωσάμενος* yz. — *ὃς τοῦ* (*om. τὴν*) y. — 24 *κατὰ τῶν πατρίων νόμον* ef *κατὰ τῶν πατρίων νόμων* m *κατὰ τὴν τῶν πατρίων νόμων* cz. — 26 *Ῥαβέννῃ* h. — 27 *εὐδαιμονοῦσαν οὖσαν* (*οὖν* m *οὖ* e) y *εὐδαίμονα οὖσα* h *εὐδαίμονι οὔσῃ καὶ καλῇ*?. — 29 *τῷ αὐτῷ δὲ ἔτει* d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

cf. Cram. Anecd. II, 105 ‖ Τῷ δ' αὐτῷ ἔτει Λέων ὁ βασιλεὺς ἐν Βυζαντίῳ ἀρρωστήσας τελευτᾷ, Λέοντα, τὸν Ζήνωνος υἱὸν καὶ Ἀρεάδνης, νήπιον ἔτι ὄντα βασιλέα προχειροτονήσας κατέλιπε μηνὶ Ἰαννουαρίῳ, ἰνδικτιῶνι ιβ', καὶ τῷ Φεβρουαρίῳ μηνὶ ἔστεψε Ζήνωνα τὸν ἴδιον πατέρα ἐν τῷ καθίσματι τοῦ ἱπποδρομίου, Βερίνης καὶ Ἀρεάδνης συναραμένων αὐτῷ. δέκα δὲ μόνους μῆνας τοῦ μικροῦ Λέοντος συμβασιλεύσαντος τῷ ἰδίῳ πατρὶ Ζήνωνι νόσῳ τελευτᾷ, ‖ καὶ βασιλεύει μόνος Ζήνων Niceph. XVI, 24 ἔτη ιζ' καὶ μῆνας β', ‖ συναριθμουμένων καὶ τῶν κ' μηνῶν τοῦ Βασι- cf. Euagr. III, 2 Niceph. XVI, 1 λίσκου τῆς τυραννίδος. ‖ χαλεπῶς δὲ ὁ Ζήνων μεταχειρισάμενος τὴν ἀρχήν, ἐν προοιμίοις Μεσοποταμίαν μὲν Σαρακηνοί, Θράκην δὲ V 186 B κατέδραμον Οὖννοι σφόδρα τοῖς πράγμασι λυμαινόμενοι, τοῦ βασιλέως ἡδοναῖς ἀτόποις καὶ πράξεσιν ἀδίκοις σχολάζοντος. ‖

474/5 A. M. 5967

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ϡξξ'.	ἔτη υξξ'.	Ζήνων	Περόζης	Σιμπλίκιος
		ἔτη ιζ'.	ἔτη κδ'.	ἔτη ιδ'.
		α'.	κγ'.	ς'.

Κωνσταντιν.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος λθ'.
Ἀκάκιος	Ἰουβενάλιος	Τιμόθεος	Πέτρος τὸ α'
ἔτη ιζ'.	ἔτη λη'.	ἔτη ιε'.	ἔτη γ'.
δ'.	λζ'.	ιε'.	α'.

Th. Lect. I, 27 Cram. II, 105 ‖ Τούτῳ τῷ ἔτει Λέων ὁ μικρὸς δέκα μόνους μῆνας συμβασιλεύσας Ζήνωνι τῷ ἰδίῳ πατρὶ καὶ προελθὼν ὡς ὕπατος ἐτελεύτησεν, Theod. L. I, 28 καὶ μόνος ἐκράτησε τῆς βασιλείας ὁ Ζήνων. ‖ Βασιλίσκος δέ, ὁ Βερίνης ἀδελφός, πενθερᾶς Ζήνωνος, ἐν Ἡρακλείᾳ διατρίβων τῆς Θράκης, συνεργούσης αὐτῷ καὶ Βερίνης καί τινων τῆς συγκλήτου, ἐστασίασε κατὰ Ζήνωνος· ὃν φοβηθεὶς ὁ Ζήνων σὺν Ἀρεάδνῃ τῇ ἰδίᾳ γαμετῇ 194 F καὶ χρήμασιν ἱκανοῖς φεύγει εἰς Ἰσαυρίαν ‖ κατά τι φρούριον ἰσχυρὸν Οὐρβὰ καλούμενον, εἴς τε Σβίδην ἐκεῖθεν μετέστη * δι' αἰτίαν ταύτην μετὰ τῆς γυναικὸς Ἀρεάδνης, Ἴλλου καὶ Τροκούνδου πολιορ-

---

2 *Λέοντά τε τόν?*. — 3 Ἰανουαρίῳ mz. — *ἰνδικτιῶνι* h *ἰνδ. rell.* — 4 *Φευρουαρίῳ* demz. — 5 *ἱπποδρομείου* ce. — *Βρίνης* em *Βερί*νης* f. — Ἀριάδνης c. — *συναράμεναι* y *συναιρουμένων* d. — 6 *μῆνας om.* h, — 11 *κατέλαβον* f. — *Οὔννοι* x *Οὖνοι* fg *Οὐννοι sine acc.* em. — 16⁴ *Περώξης* yz. — 16⁵ *Σημπλήκιος* h *Σιμπλήκιος* c. — 20⁴ *λθ' om.* yz. — 21³ Ἰουβεννάλιος g. — 28 *τινων* d Theod. *τινος* cy *τις* z. — 29 Ἀριάδνῃ c. — 30 Ἰσαυρίαν *scr. e Theod. Συρίαν codd.* — 31 *Οὐρβά* em Ὄρβᾶ f *Οὐαρά* (-ρᾶ h) z *Οὔαρα* d *Οὐαρα sine acc.* c. — *εἰς τεσβίδην* em *εἴς τε σβίδη* f *εἴς τε σαΐδην* h *εἴς τε σαϊδήν* d *εἰστε σαιδην sine acc.* c *εἰστεσσαϊδήν* g. — *δι' αἰτίαν ταύτην om.* d. — *Pro δι' αἰτίαν codicum sine dubio διετίαν scribendum et post ταύτην addendum οἰκῶν vel simile quid.* — 32 Ἀριάδνης c. — Ἴλλοῦ z Ἴλου c. — *Προκούνδου* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κούντων αὐτὸν εὐνοίᾳ τέως τῇ Βασιλίσκου. ‖ Βασιλίσκος δὲ ἐν τῷ Theod. L. I, 29
Κάμπῳ ἀνηγορεύθη βασιλεύς, Μάρκον τε τὸν υἱὸν καίσαρα ἐποίησε
καὶ Ζηνωδίαν τὴν ἑαυτοῦ γαμετὴν αὐγούσταν ἔστεψεν· καὶ εὐθέως 187 B
κατὰ τῆς πίστεως παρετάξατο, Ζηνωδίας μάλιστα παρορμώσης αὐτὸν
εἰς τοῦτο. Τιμόθεον δὲ τὸν Ἐλοῦρον ἀνεκαλέσατο διὰ τύπου, καὶ
Πέτρον τὸν Κναφέα κρυπτόμενον ἐν τῇ μονῇ τῶν Ἀκοιμήτων, καὶ
ὅσοι ἄλλοι ἐχθροὶ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου ἐπαρρησιάζοντο
κατὰ τῆς ἀληθείας. ὁ δὲ Ἐλοῦρος συναγαγὼν ἀτάκτους Ἀλεξανδρεῖς
ἐνδημοῦντας ἐν Βυζαντίῳ, ἐκ τοῦ παλατίου λιτανεύων ἦλθεν εἰς
τὴν ἐκκλησίαν ἐποχούμενος ὄνῳ. ἐλθὼν δὲ εἰς τὴν λεγομένην Ὀκτά- cf. Euagr. III, 11
γωνον, πτωθεὶς συνετρίβη τὸν πόδα, καὶ μετ' αἰσχύνης ἀνέστρεψεν.
Βασιλίσκος δὲ τοῦτον εἰς Ἀλεξάνδρειαν μετὰ τύπων κατὰ τῆς συνο-
όδου ἐξέπεμψεν, καὶ Πέτρον Κναφέα εἰς Ἀντιόχειαν, κατὰ τῆς ἀλη-
θείας ἐνισχύσας ἀμφοτέρους. ‖ Τιμόθεος δὲ ὁ Σαλοφακίαλος, ἐπίσκο- Cram. An. II, 105
πος Ἀλεξανδρείας, μαθὼν Τιμόθεον τὸν Ἐλοῦρον παραγενέσθαι
ὑπεχώρησεν ἐν τοῖς μοναστηρίοις τοῦ Κανώπου, ὧν ἐγεγόνει καὶ
τῆς ἀσκήσεως. ‖ πολλοὺς δὲ κακώσας ὁ Ἐλοῦρος Τιμόθεον βλάψαι
οὐκ ἴσχυσε διὰ τὸ ὑπὸ πάντων ἀγαπᾶσθαι αὐτόν. εἰσερχομένῳ δὲ
τῷ Ἐλούρῳ ἐν Ἀλεξανδρείᾳ ἐπεφώνουν τὸ αἰσχρὸν ἐκεῖνο οἱ σπου-
δασταὶ αὐτοῦ· "ἐψώμισας τοὺς ἐχθρούς σου, ὁ πάπας." ὁ δὲ ἀνίε- 188 B
ρος ἀντεφώνει. "ναί· ὄντως ἐψώμισα". οὗτος ὁ δυσσεβὴς καὶ τὴν
ἐν Χαλκηδόνι σύνοδον ἀνεθεμάτισεν. Ἰουλιανὸς δέ, ὁ ἐπίσκοπος
Ἀντιοχείας, τέθνηκεν ἀπὸ λύπης τῶν γινομένων. Πέτρος δὲ ὁ Κνα-
φεὺς καταλαβὼν τὸν θρόνον εἰς ἀναθέματα καὶ ταραχὰς ἐχώρησεν.
ὅθεν φόνοι καὶ ἁρπαγαὶ διὰ τὴν προσθήκην τοῦ τρισαγίου γεγόνα-
σιν. ‖ Βασιλίσκος δὲ τύπῳ γενικῷ τὴν ἐν Χαλκηδόνι σύνοδον ἐξέβα- Theod. L. I, 32
λεν, καὶ Ἀκάκιον τὸν Κωνσταντινουπόλεως κελεύσας τὸ αὐτὸ ποιῆσαι.
ἀλλ' ἡ πόλις ἅπασα σὺν γυναιξὶ καὶ τέκνοις εἰς τὴν ἐκκλησίαν κατὰ
Βασιλίσκου συνελθοῦσα τοῦτο ἐκώλυσεν. Ἀκάκιος δὲ μελανειμονήσας
τὸν θρόνον καὶ τὸ θυσιαστήριον μελανοῖς ἡμφίασεν. Δανιὴλ δὲ ὁ
μέγας ἀποβὰς τοῦ στύλου δι' ἔνθεου ζῆλον Ἀκακίῳ τέως καὶ τῷ λαῷ

---

1 αὐτῶν ἐννοίᾳ g. — τε ὡς y. — 3 Zenobiam A Ζηνωνίδα? cum Theod. L. et vell. scriptoribus omnibus. — αὐγοῦσταν g. — 4 Ζην. δὲ μάλιστα yz. — 5 δέ] τε? que A. — Ἔλουρον m Ἕλουρον e Ἐλούρου f Ἐλουρον sine acc. c. — 7 ἁγίας om. y habet etiam A. — 8 Ἔλουρος m Ἕλουρος e Ἐλουρος sine acc. c. — 9 ἐνδημοῦντας om. x. — ἐν τῷ Βυζ. z. — 11 πτωηθεὶς fh. — ἀντέστρεψεν y ὑπέστρεψεν d. — 12 μετὰ τύπων εἰς Ἀλεξάνδρειαν z. — 13 τὸν Κναφέα?. — 14 ἐνισχύσας ἀμφ.] confortans utrumque A ἀμφ. ἐνισχύσας d ἐνίσχυσεν ἀμφοτέρους vell. — Σαλοφακίολος c Σαλοφακίουλος g. — 16 Κανωποῦ y. — ὧν] ὃν ef ᾧ g. — γεγόνει gx. — 17 Ἔλουρος sine acc. c. — 19 ἐκείνῳ y. — 20 πάππας g. — ἀνίερος om. x. — 22 ὁ om. h. — 26 Καλχηδόνι g. — 27 Ἀκάκ. δὲ (om. καί) cz. — 30 μελάνοις c. — 31 τοῦ στύλου ἀποβάς g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Niceph. XVI, 36 cf. Proc. Pers. I, 3 105 P συνεκκλησίασεν. ‖ Περόζης δὲ ἐπεστράτευσε κατὰ τῶν Νεφθαλιτῶν Οὔννων, καὶ τρέψας αὐτοὺς ἐδίωκεν. αὐτοὶ δὲ ἐν στενοῖς τόποις τὴν φυγὴν ποιούμενοι κατ' ὀλίγον ἐν τοῖς ὄρεσιν, δεξιᾷ τε καὶ ἀριστερᾷ ὑποχωροῦντες, ἐξοπίσω τούτων γενηθέντες ἀφυλάκτους αὐτοὺς ἀπέκλεισαν. στενωθεὶς δὲ Περόζης ᾐτεῖτο εἰρήνην. ὁ δὲ τῶν Νεφ- 5
189 B θαλιτῶν βασιλεὺς οὐ πρότερον τοῦτο ποιῆσαι, πρὶν πεσὼν τοῦτον προσκυνήσῃ καὶ ὅρκοις πληροφορήσῃ, μηκέτι κατὰ Νεφθαλιτῶν στρατεῦσαι. ὁ δὲ τῇ βίᾳ συνεχόμενος τοῦτο δρᾶσαι ἠναγκάσθη καὶ ἐν πολλῇ ἀτιμίᾳ ὑπέστρεψεν. ὅθεν μὴ φέρων τὴν αἰσχύνην πάλιν κατ' αὐτῶν ἐστράτευσε τοὺς ὅρκους ἀθετήσας. ‖ 10

475/6. Α. Μ. 5968

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ϵϡξη΄.	ἔτη υξη΄.	Ζήνων	Περόζης	Σιμπλίκιος
		ἔτη ιζ΄.	ἔτη κδ΄.	ἔτη ιδ΄.
		β΄.	κδ΄.	ζ΄.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκ. Τιμόθεος	ἐπίσκ. Πέτρος
Ἀκάκιος	Ἰουβενάλιος	ὁ Ἐλοῦρος	ὁ Κναφεὺς
ἔτη ιζ΄.	ἔτη λη΄.	ἔτη β΄.	ἔτη γ΄.
ε΄.	λη΄.	α΄.	β΄.

Τούτῳ τῷ ἔτει τοῦ κλήρου καὶ τῶν μοναχῶν Κωνσταντινουπόλεως ὑπερμαχούντων τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου, φοβηθεὶς Ἀκάκιος τὰ πλήθη ὁμοφρονεῖν αὐτοῖς ὑπεκρίνατο· ὅθεν ἐπὶ ἄμβωνος κατὰ Βασιλίσκου καὶ Ζήνωνος προσεφώνει. Βασιλίσκος δὲ μαθὼν
Theod. L. I, 33 ταῦτα καὶ ‖ φοβηθεὶς τὸ θερμὸν τοῦ λαοῦ τῆς πόλεως ἐξῆλθεν, 25 κελεύσας τῇ συγκλήτῳ μηδένα συντυχεῖν Ἀκακίῳ· ἔμελλε γὰρ ὁ λαὸς ἐμπυρίζειν τὴν πόλιν. Δανιὴλ δέ, ὁ θαυμάσιος Στυλίτης, παραλαβὼν τοὺς μοναστὰς καὶ τοῦ λαοῦ τοὺς ζηλωτὰς ἐξῆλθε πρὸς Βασιλίσκον καὶ μετὰ πολλῆς παρρησίας αὐτῷ διελέχθη· ‖ ἀλλ' οὐ προσήκατο αὐτούς. 30

Niceph. XVI, 36 cf. Proc. bell. Pers. I, 4 ‖ Τῷ δ' αὐτῷ ἔτει Περόζης πάλιν ἐπιστρατεύσας πρὸς τοὺς Λευκοὺς Οὔννους, τοὺς λεγομένους Νεφθαλίτας, ἀπώλετο πανστρατί.

---

1 Περώζης f Περόξης cegm Περώξης h. — Νεφαλιτῶν y *item v.* 5; 7. — 2 Οὔννων *om.* h. — 3 δεξιά τε (τε *om.* m) καὶ ἀριστερὰ egm δεξιᾶ τε καὶ ἀριστερά *ut vid.* c. — 4 γενηθέντες y. — 5 Περώζης f Περόξης cem Περώξης z. — 6 ποιῆσαι ἐδέξατο? *sive* κατένευσε?. — 7 προσκυνήσει — πληροφορήσει yz προσκυνῆσαι — πληροφορήσῃ c. — κατὰ τῶν *N.* z κατὰ τὰ *N.* e. — καταστρατεῦσαι f. — 9 κατ' αὐτῶν ἐστράτευσε πάλιν c. — 13⁴ Περόξης c Περώξης yz. — 13⁵ Σιμπλήκιος c Σημπλήκιος h. — 17⁸ Τιμόθεος *om.* y. — 18⁸ ὁ *om.* cy. — Ἔλουρος *sine acc.* c. — 22 ὑπερμαχοῦντες y. — ἁγίας *om.* em. — Καλχηδόνι g. — 24 Ζήνωνος] Ζηνωδίας? *sive potius* Ζηνωνίδος?. — 29 αὐτῷ παρρησίας g. — διελέγχθη fg διηλέχθη h. — 31 Περόζης c Περόξης dem Περώξης fz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὀρύξαντες γὰρ τάφρον βαθεῖαν καὶ καλάμους ἐπιθέντες καὶ γῆν ἐπι- 190 B
χώσαντες ἔμειναν ἔνδον. ὀλίγους δὲ ὑπαντῆσαι τούτοις ἀποστείλαντες καὶ αὖθις εἰς φυγὴν τραπέντες καὶ καθ' ἕνα τὰ στενὰ διαβάντες ὁμοῦ τοῖς ἄλλοις ἔφυγον. οἱ δὲ Πέρσαι μηδὲν δεινὸν ὑποπτεύσαντες ἀκρατῶς τούτους ἐδίωκον, καὶ πάντες ὁμοῦ σὺν τῷ Περόζῃ καὶ τοῖς αὐτοῦ παισὶν εἰς τὸ βάραθρον ἐμπεσόντες ἀπώλοντο. ὁ δὲ Περόζης αἰσθόμενος τοῦ δεινοῦ τὸν μάργαρον, ὃν αὐτὸς εἶχε λευκότατον καὶ μέγαν, εἰς ὑπερβολὴν ἔντιμον, ἐξ ὠτὸς τοῦ δεξιοῦ ἀφελόμενος ἔρριψεν, ὅπως μή τις αὐτὸν ὀπίσω αὐτοῦ φορέσῃ, ἐπεὶ ἀξιοθέατος ὑπερφυῶς ἦν, οἷος οὔπω πρότερον ἑτέρῳ βασιλεῖ γέγονεν. οὕτω μὲν Περόζης διεφθάρη σὺν πάσῃ τῇ στρατιᾷ. ὅσοι δὲ Περόζῃ μὴ συστρατεύσαντες, Καβάδην βασιλέα εἵλαντο, τὸν Περόζου νεώτερον υἱόν. ἦρξαν 106 P
δὲ Περσῶν οἱ βάρβαροι χρόνους δύο εἰς φόρου ἀπαγωγήν. ‖ Καβά- cf. Proc. bell. Pers. I, 5
δης δὲ ἐπὶ τὸ βιαιότερον τῇ ἀρχῇ χρώμενος κοινὰς τὰς γυναῖκας ἐνομοθέτησεν ἔχειν· ὅθεν οἱ Πέρσαι τοῦτον τῆς ἀρχῆς παρέλυσαν καὶ δήσαντες εἰς φυλακὴν ἀπέθεντο, Βλάσην δέ, τὸν καὶ Οὐαλᾶν, ἀδελφὸν Περόζου, βασιλέα ἐποίησαν διὰ τὸ μὴ εἶναι ἄλλον υἱὸν Περόζου. ‖ ἡ δὲ γυνὴ Καβάδου διηκόνει αὐτῷ ἐν τῇ φρουρᾷ. ὁ δὲ cf. Proc. bell. Pers. I, 6
τῆς εἱρκτῆς ἄρχων ἤρξατο ἐρᾶν τῆς γυναικὸς εὐπρεποῦς οὔσης. ὁ 191 B
δὲ Καβάδης παρεκάλεσε τὴν γυναῖκα ἐνδοῦναι τῷ ἀνθρώπῳ, εἴ πως δυνηθῇ ἐκφυγεῖν τοῦ φρουρίου. τούτου δὲ γενομένου, ἀκωλύτως ἡ γυνὴ πρὸς Καβάδην εἰσιοῦσα τοῦτον ἐθεράπευεν. φίλος δὲ Καβάδου τις, ὀνόματι Σεόσης, διὰ τῆς γυναικὸς τῷ Καβάδῃ ἐδήλου, ὅτι ἵππους τε καὶ ἄνδρας ἐμπαρασκεύους ἔχειν ἔν τινι χωρίῳ. ὁ δὲ Καβάδης, νυκτὸς ἐπιλαβούσης, πείθει τὴν γυναῖκα ἐσθῆτα μὲν αὐτῷ τὴν οἰκείαν δοῦναι, τὰ δὲ αὐτοῦ ἱμάτια φορέσαι αὐτὴν καὶ ἐπὶ τῆς εἱρκτῆς καθέζεσθαι. οὕτω μὲν οὖν Καβάδης ἐξελθὼν τοῦ δεσμωτηρίου, τοὺς φύλακας διαλαθὼν πόρρω που τοῦ δεσμωτηρίου τῷ ἵππῳ ἐπιβὰς σὺν τῷ Σεόσῃ εἰς Οὔννους τοὺς Νεφθαλίτας ἀφίκετο. καὶ τούτῳ τὴν θυγατέρα ὁ βασιλεὺς γυναῖκα δίδωσιν, οὕτω τε στράτευμα πολὺ τούτῳ δοὺς ἐπὶ Πέρσας συνέπεμψεν. οἱ δὲ φύλακες κατιδόντες τὴν

---

1 ἐπιχώσαντες] ἐπιθέντες g. — 2 τούτους y. — 3 καθ' ἕνα scr. e corr. καθά em καθᾶ f καθεῖς hx καθ' εἷς g. — 5 Περόζῃ x Περώζῃ f Περόξῃ em Περώξῃ z item vv. 6. 10. — 9 αὐτῷ (αὐτῶι g) codd. — φορέσῃ h φορέσει y φορήσῃ g φορήσει (φωρ. c) x. — 10 οἷος om. y. — 11 συμπάσῃ g. — 11 ὅσοι δὲ — p. 124, 6 ἔτη ἕνδεκα om. d. — Περόζῃ ce Περώζῃ f Περόξῃ m Περώξῃ z item v. 12. — 12 εἵλαντο h εἵλαντο egm ἥλαντο f εἵλοντο c. — 13 φόρου codd. χρόνου codd. — 14 βιαίτερον f βιώτερον em. — τῆς ἀρχῆς c. — 15 ἔχειν ἐνομοθέτησεν cz. — 16 Βλάσιν em Βλάσιον f m. 2 in lit. — Οὐαλὰν emz sine acc. c. — 17 Περόζου cem Περώζου f Περώξου z item v. 18. — 19 ἐρᾶν] πειρᾶν Proc. — 22 ἐθεράπευεν e ἐθεράπευσεν yz. — 23 Σεόσης cem Proc. Σεώσης f Σεῶσις z. — 27 ἐξ. ἐκ τοῦ f ἐξ. που τοῦ em. — τοὺς φύλακας — δεσμωτηρίου add. ch om. gy. — 29 Σεώσῃ efg Σεσώῃ h. — Οὔνους h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γυναῖκα ὑπετόπαξον Καβάδην εἰς τὸ δεσμωτήριον εἶναι τοῖς ἱματίοις Καβάδου ἠμφιεσμένην ἐπὶ ἡμέρας ἱκανάς. ὁ δὲ Καβάδης σὺν τῷ Οὐννικῷ στρατῷ εἰς Περσίδα εἰσβαλὼν πόνῳ οὐδενὶ τήν τε βασιλείαν ἐκράτησε καὶ Βλάσην, τὸν Οὐαλᾶν, ἐξετύφλωσε καὶ ἐν φυλακῇ εἶχεν, τὴν δὲ βασιλείαν ἀσφαλῶς διεφύλαξεν. ἦν γὰρ ἀγχίνους τε
192 B καὶ δραστήριος. ἐκράτησε δὲ μετὰ ταῦτα ἔτη ια'.

ψπϛ/7. A. M. 5969 Περσῶν βασιλεὺς Οὐαλᾶς ἔτη δ'.
Ἱεροσολύμων ἐπίσκοπος Ἀναστάσιος ἔτη ιή'.
γ'. α'. η'. ϛ'. α'. β'. γ'.

cf. Nic. XVI, 8 Τούτῳ τῷ ἔτει Ἴλλος καὶ Τροκοῦνδος, οἱ πολιορκοῦντες Ζήνωνα, ὡς Βασιλίσκου τὰ ὑποσχεθέντα αὐτοῖς μὴ πληροῦντος, καὶ τῆς συγκλήτου βουλῆς βαρυνομένης τῇ ἀρχῇ Βασιλίσκου διὰ μοχθηρίαν τρόπων καὶ ἄνοιαν καὶ γραφούσης πρὸς αὐτούς, φιλιωθέντες τῷ Ζήνωνι ὅ τε Ἴλλος καὶ Τροκοῦνδος καὶ λαβόντες αὐτὸν ἐπὶ τὴν
cf. Mal. p. 379, 4 βασιλεύουσαν ἐπανήρχοντο. τοῦτο δὲ μαθὼν ὁ Βασιλίσκος Ἁρμάτιον, τὸν ἴδιον ἀνεψιόν, στρατηγὸν ὄντα τῆς Θράκης, μετὰ πάσης τῆς στρατιᾶς αὐτοῦ καὶ τοῦ λαοῦ Κωνσταντινουπόλεως ἀπέστειλε κατὰ
107 P Ζήνωνος, ὁρκίσας αὐτὸν εἰς τὸ ἅγιον βάπτισμα μὴ προδοῦναι. ὁ δὲ Ἁρμάτιος συναντήσας τῷ Ζήνωνι κατὰ Νίκαιαν τῆς Βιθυνίας οὕτως αὐτὸν κατέπληξεν, ὡς μικροῦ δεῖν ἀναστρέψαι μετὰ τῆς Ἰσαυρικῆς βοηθείας πάσης. ἀλλὰ δώροις τοῖς παρὰ Ζήνωνος καὶ οὗτος ὡς ἐπὶ πολὺ τυφλωθεὶς καὶ ὑποσχέσει ἀδιαδόχου στρατηλατίας, καὶ τὸν υἱὸν αὐτοῦ Βασιλίσκον καίσαρα ποιῆσαι καὶ συγκάθεδρον αὐτοῦ, σὺν
193 B αὐτῷ κατὰ Βασιλίσκου ἐπανῆλθεν. τοῦ δὲ Ζήνωνος σὺν Ἀρεάδνῃ τὴν βασιλεύουσαν καταλαβόντος, ἐδέχθη ὑπὸ τοῦ λαοῦ καὶ τῆς συγ-
Theod. L. I, 35 κλήτου. ‖ ὁ δὲ Βασιλίσκος ἐλθὼν ἐν τῇ ἐκκλησίᾳ καὶ τὸν βασιλικὸν ἀποθέμενος στέφανον ἐν τῇ θείᾳ τραπέζῃ ἐν τῷ βαπτιστηρίῳ προσέφυγε σὺν Ζηνωδίᾳ, τῇ κακοδόξῳ αὐτοῦ γυναικί. ὁ δὲ Ζήνων καταλαβὼν εἰς τὴν ἐκκλησίαν παρεγένετο καὶ οὕτως εἰσῆλθεν εἰς τὰ βασί-
Mal. p. 380, 7 λεια. ‖ ἀποστείλας δὲ εἰς τὴν ἐκκλησίαν ἔλαβε τὸν Βασιλίσκον, δοὺς αὐτῷ λόγου μὴ ἀποκεφαλίζειν αὐτόν τε καὶ τὰ τέκνα αὐτοῦ· ὃν ἀποστείλας εἰς Κουκουσὸν τῆς Καππαδοκίας ἀποκλεισθῆναι προσέταξεν

---

3 *Οὐννικῷ* fh. — 4 *Βλάσην* z Proc. *Βλάσιν* x *Βλάσιον* y. — *Οὐαλὰν* chm *Οὐλᾶν* g. — 5 *δὲ*] *τε* c. — 6 *μετά* om. h. — 7 *Οὐαλάς* fh *Οὐάλας* em *sine acc.* c. — *v.* 9 om. cy. — 10 *Ἴλλος* g *Ἰλλὸς* dh *Ἴλλους* y. — *Τροκοῦνδος* g *item v.* 14. — 13 *ἄγνοιαν* d. — *καὶ γράφουσιν* d. — *φιλωθέντες* f *φιλιωθέντας* h. — 14 *ὅ τε καὶ Ἰλλ.* g. — *Ἴλλος* g *Ἰλλὸς* h *Ἴλος* e. — 15 *Ἁρμάτιον* def *sine spir.* h. — 17 *στρατείας* ef. — 19 *Ἁρμάτιος* df. — *Νικαίαν* y. — 21 *παρὰ*] *ὑπό* x. — *οὕτως* efh. — *ὡς* om. f. — *ἐπὶ τὸ πολύ* hx. — 22 *ἀδιαδόχου* Vales. ad Euagr. III, 24 *διαδόχου codd.* — *στρατηλατείας* xy. — 24 *Ἀριάδνῃ* c. — 27 *θείᾳ*] *ἁγίᾳ* x. — 29 *εἰς τὴν ἐκκλησίαν* om. c *εἰς τὴν ἐκκλ.* — *οὕτως* om d. — 30 *ἀποστείλας* — 32 *Καππαδοκίας* om. y.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς ἕνα πύργον σὺν γυναιξὶ καὶ τέκνοις καὶ τῇ λιμῷ διαφθαρῆναι· ‖ τινὲς δέ φασιν, ὅτι ἀπαγόμενος ἀποσφάττεται. ‖ εὐθέως δὲ ἱππικὸν cf. Euagr. II, 8 Mal. p. 381, 14 Niceph. XVI, 8
ποιήσας Βασιλίσκον, τὸν Ἀρματίου υἱόν, προβάλλεται ὁ Ζήνων καίσαρα κατὰ τὰς ὑποσχέσεις, καὶ συνεκάθισε τῷ βασιλεῖ ἐν τῷ σένζῳ καὶ ἐτίμα τοὺς ἡνιόχους σὺν τῷ βασιλεῖ. ὁ δὲ Ζήνων ἀναλογισάμενος, ὅτι "ὡς οὐκ ἐφύλαξεν Ἀρμάτιος πιστὰ τῷ Βασιλίσκῳ ὁμόσας, οὐδὲ ἐμοὶ φυλάξει· ἀλλ' ἐὰν ἀνδρειωθῇ ὁ καῖσαρ, ὁ καὶ υἱὸς αὐτοῦ, ἐπαναστήσεταί μοι· ἐγὼ δὲ ἃ συνεθέμην αὐτῷ ἐπλήρωσα καὶ αὐτὸν ἐποίησα στρατηλάτην καὶ τὸν υἱὸν αὐτοῦ καίσαρα·" ἐκέλευσε σφαγῆναι αὐτὸν ὡς ἐπίορκον· καὶ ἐσφάγη εἰς τὸν κοχλίαν τοῦ παλατίου, ὡς ἀνήρχετο εἰς τὸ ἱπποδρόμιον, τὸν δὲ υἱὸν αὐτοῦ τὸν καίσαρα 194 B
ἐχειροτόνησεν ἀναγνώστην· Ἀρεάδνη γὰρ αὐτὸν ὡς ἐξάδελφον διέσωσεν. ὃς μετὰ ταῦτα Κυξίκου ἐπισκόπησεν ἄριστα. ‖ ὁ δὲ Ζήνων Πέτρον τὸν Κναφέα ἀπεστράφη διὰ τὸ συντρέχειν αὐτὸν τῷ Βασιλίσκῳ. ψήφῳ δὲ τῆς ἀνατολικῆς συνόδου καθῃρέθη, καὶ ἀντ' αὐτοῦ Ἰωάννης, ὁ μετὰ τρίμηνον ἐκβληθείς, καὶ μετ' αὐτὸν Στέφανος ἀνὴρ εὐλαβὴς προεβλήθη Ἀντιοχείας ἐπίσκοπος. ὁ δὲ Πέτρος εἰς Πιτυοῦσσαν ἐξοριζόμενος, ἀπατήσας τοὺς ἀπάγοντας προσέφυγεν εἰς τὸν ἅγιον Θεόδωρον Εὐχαΐτων. Τιμόθεος δὲ ὁ Ἐλοῦρος ἐν τούτοις θνήσκει, ἀντ' αὐτοῦ δὲ Πέτρος ὁ Μογγὺς εἰσάγεται, ἀνὴρ κακοῦργος καὶ τῆς ἀληθείας ἐχθρός, προκαθῃρημένος ἤδη· ‖ χειροτονεῖται δὲ ὑπὸ ἑνὸς cf. Nic. XVI, 11
ἐπισκόπου καὶ αὐτοῦ καθῃρημένου. τούτῳ κατὰ θεοῦ ξῆλον ἐπελθόντες οἱ μοναχοὶ λϛ' μόνας ἡμέρας ληστρικῶς κρατήσαντι τῆς ἐπι- 108 P
σκοπῆς ἀπελαύνουσι καὶ Τιμόθεον πάλιν τὸν Σαλοφακίαλον ἀποκαθιστῶσιν ἀξίως τῷ θρόνῳ. ‖

Ἀλεξανδρείας ἐπίσκοπος πάλιν Τιμόθεος ὁ Σαλοφακίαλος ἔτη δ'. A. M. 5970 477/8.
Ἀντιοχείας ἐπίσκοπος Στέφανος ἔτη γ'.
δ'. β'. θ'. ζ'. β'. α'. α'.

‖ Τούτῳ τῷ ἔτει ἐγένετο σεισμὸς φοβερὸς ἐν Κωνσταντινουπόλει cf. Cram. Anecd. II, 112
μηνὶ Σεπτεμβρίῳ κε', ἰνδικτιῶνι α', καὶ ἔπεσον ἐκκλησίαι πολλαὶ οἰκίαι 195 B

1 γυναικί? — τῷ λιμῷ gm. — 2 δέ post εὐθέως om. f. — 3 Ἀρματίου def sine spir. c. — ὁ om. c. — 4 καὶ om. g. — τῷ] αὐτῷ g σὺν τῷ h. — ἐν τῷ σένζῳ x ἐν τῷ σένσῳ z ἐντῶς ἔνσῳ em ἐν τῷ σέντζῳ f τζ m 2 in lit. — 5 ἀναλογησάμενος dy. — 6 Ἀρμάτιος df sine spir. c. — Βασιλίσκῳ] βασιλεῖ g. — ὁμόσας om. y. — 7 ἀνδριωθῇ fh. — καίσαρ dfhm. — καὶ ὁ υἱός ef ὁ υἱός dm. — 8 στρατηλάτην αὐτὸν ἐποίησα xz. — 11 ἱπποδρομεῖον xy. — τὸν ante καίσαρα om. chm. — 12 Ἀριάδνη c. — 13 ὃς] ὡς h. — ἐπισκόπησεν fh ἐπεσκόπησεν degm ἐπεσκόπευσεν c. — 14 αὐτῷ g. — 15 ἀντ' αὐτοῦ] cum eo A. — 16 Ἰωάννην c. — 17 Πιτυοῦσσαν scr. ex A Pityussam Πιτυοῦς hx Πιτυοὺς g Πυτυούς y. — 19 Εὐχαΐτων g Εὐχαϊτῶν hy sine acc. c εἰς Εὐχάϊταν d. — Ἐλοῦρος m sine spir. cef. — 19 ἐν τούτοις — 20 εἰσάγεται om. em. — 22 τοῦτο y. — 23 λϛ'] triginta A. — κρατήσαντος y. — 24 Σαλοφακίολον d. — 26 Τιμόθεος om. ef. — ὁ om. hm. — 29 φοβερός om. f. — 30 ἰνδικτιῶνι h ἰν. rell. — ἔπεσαν gy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε καὶ ἔμβολοι ἕως ἐδάφους, κατεχώσθη δὲ πλήθη ἀναρίθμητα ἀνθρώπων· ἔπεσε δὲ καὶ ἡ σφαῖρα τοῦ ἀνδριάντος τοῦ Φόρου καὶ ἡ στήλη τοῦ μεγάλου Θεοδοσίου, ἡ εἰς τὸν κίονα τοῦ Ταύρου, καὶ τὰ ἔσω τείχη ἐπὶ διάστημα ἱκανόν· καὶ ἐκράτησεν ὁ σεισμὸς χρόνον πολύν, ‖ ὥστε τὴν πόλιν ἐποξέσαι. Στέφανος δὲ ψήφῳ κοινῇ προ- 5
βληθεὶς εἰς Ἀντιόχειαν ὑπὸ τῶν Πέτρου τοῦ Κναφέως ὁμοφρόνων ὡς Νεστοριανὸς πρὸς Ζήνωνα κατηγορήθη. ἀλλὰ τοῦτον ἀνατολικὴ σύνοδος εἰς Λαοδίκειαν συνελθοῦσα κελεύσει τοῦ βασιλέως ὡς ἀνεύθυνον τῷ θρόνῳ ἀπεκατέστησεν.

Τῷ δ' αὐτῷ ἔτει Θευδέριχος ὁ Τριαρίου, ὁ καὶ Στραβός, ἀδελ- 10
φόπαις τῆς γαμετῆς Ἄσπαρος, τοῦ ὑπὸ Λέοντος ἀναιρεθέντος, ἐπανέστη τῷ Ζήνωνι μετὰ πλήθους βαρβάρων, οἰκειωθεὶς τῷ Βασιλίσκῳ καὶ
cf. Enagr. III, 25 στρατηγὸς ὑπ' αὐτοῦ γεγονώς. ‖ μετὰ δὲ τὴν ἐπάνοδον Ζήνωνος εἰς τὴν Θράκην ἐξελθὼν ἐκεῖθεν ἐπανέστη καὶ τὰ περὶ τὸ Βυζάντιον πάντα μέχρι τοῦ στομίου τοῦ Πόντου ληϊσάμενος, εἶτα καὶ μέλλων 15
ὑπὸ τῶν οἰκείων προδίδοσθαι, αἰσθόμενος τῆς ἐνέδρας καὶ ἐπανελ-
196 B θὼν ἀναιρεῖ τοὺς τοῦτο βουλευομένους. τελευτᾷ δὲ αὐτὸς δύρατι περιπεσὼν πρὸ τῆς αὐτοῦ σκηνῆς ἑστῶτι αἰφνιδίως ἐν τῷ περιβαίνειν τὸν ἵππον. ‖

478/9. A. M. 5971

Κόσμου	Τῆς Θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ε∅οα'.	ἔτη υοα'.	Ζήνων	Οὐαλᾶς	Σιμπλίκιος
		ἔτη ιζ'.	ἔτη δ'.	ἔτη ιδ'.
		ε'.	γ'.	ι'.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἀκάκιος	Ἀναστάσιος	Τιμόθεος	Στέφανος
ἔτη ιζ'.	ἔτη ιη'.	ἔτη δ'.	ἔτη γ'.
η'.	γ'.	β'.	β'.

Th. L. I, 37
cf. Enagr. III, 26
109 P ‖ Τούτῳ τῷ ἔτει Μαρκιανός, ὁ παῖς Ἀνθεμίου τοῦ κατὰ τὴν Ῥώμην βασιλεύσαντος, ἀνὴρ δὲ Λεοντίας, τῆς Βερίνης μὲν θυγατρός, ἀδελφῆς δὲ Ἀρεάδνης τῆς βασιλίδος, ἐπανίσταται κατὰ τὸ Βυζάντιον Ζήνωνι τῷ βασιλεῖ, ὡς μετὰ τὴν βασιλείαν Λέοντος γεννηθείσης Λεοντίας, τῆς αὐτοῦ γαμετῆς· ἡ γὰρ Ἀρεάδνη πρὸ τοῦ βασιλεῦσαι αὐτὸν ἐτέχθη. πολέμου δὲ κραταιοῦ μεταξὺ Ζήνωνος καὶ Μαρκιανοῦ κροτηθέντος, νικᾷ Μαρκιανὸς κατὰ κράτος πάντας συνελάσας τοὺς

3 ἡ om. codd. add. sec. m. f. — 4 *Fortasse post χρόνον πολὺν inserendum est καὶ ἀπέθανε πλῆθος πολύ vel simile quid.* — 5 ἐπιζέσαι *vel* ὑποζέσαι coni. Classen. — 6 εἰς Ἀντιόχειαν] Ἀντιοχείας y ad Antiochenum episcopatum A. — 8 Λαοδικείαν em Λαοδικίαν f. — ἐλθοῦσα y. — 11 γυναικός z. — 12 τῷ Βασιλίσκῳ Goar. ἐν τῷ Βασιλίσκῳ xz ἐν τῷ βασιλικῷ y. — 14 ἐκεῖθέν τε dz. — 22⁴ Οὐάλας em Οὐαλάς fz *sine acc* c. — 22⁵ Σιμπλήκιος ch. — 29² γ' om. ef. — 31 δέ om. h. — 32 Ἀριάδνης ch. — 34 Ἀριάδνη cz. — 36 κρατηθέντος h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περὶ Ζήνωνα εἰς φρουρὰν εἰς τὰ βασίλεια, συμμαχούντων αὐτῷ Ῥωμύλου καὶ Προκοπίου τῶν ἀδελφῶν αὐτοῦ, καὶ μικροῦ δεῖν τὸ βασίλειον κατέσχεν. ὀλιγωρήσας δὲ τῶν πραχθέντων καὶ εἰς δεῖπνα καὶ ὕπνον τραπεὶς πολλούς τε διὰ τῆς νυκτὸς ἀφαιρεθεὶς τῶν αὐτῷ συμμάχων ὑπὸ Ἴλλου μαγίστρου δώροις αὐτοὺς ὑποπείσαντος, ἐλαττοῦται τῇ μάχῃ κατὰ τὴν ἐφεξῆς τοσοῦτον, ὡς εἰς τὸ τῶν ἀποστόλων εὐκτήριον καταφυγεῖν καὶ ὑπὸ Ἀκακίου χειροτονηθῆναι πρεσβύτερον κατὰ κέλευσιν Ζήνωνος· καὶ ἐξορίζεται εἰς τὸ Παπυρίου καστέλλιν εἰς Καππαδοκίαν. Προκόπιος δὲ καὶ Ῥώμυλος, οἱ ἀδελφοὶ αὐτοῦ, τῇ 197 B
νυκτὶ λουόμενοι εἰς τὸν Ζεύξιππον ἐχειρώθησαν ὑπὸ Ἴλλου, οἳ καὶ διαφυγόντες τὴν Ῥώμην κατέλαβον. ‖

ϛ΄. δ΄. ια΄. θ΄. δ΄. γ΄. γ΄. A. M. 5972 479/80.

‖ Τούτῳ τῷ ἔτει ἐβουλεύσατο Ἴλλος ὁ μάγιστρος τῷ βασιλεῖ Mal. p. 385, 15 ff. cf. Herm. VI, 370
Ζήνωνι, ὅπως Βερίναν, τὴν πενθερὰν αὐτοῦ, ἐκβάλῃ τῆς πόλεως. ‖ καὶ δόλῳ τινὶ πέμψας αὐτὴν εἰς Χαλκηδόνα μετ' ὀλίγον δὲ εἰς τὸ Παπυρίου καστέλλιν ταύτην ἀπέστειλε συνδιάγειν Μαρκιανῷ καὶ Λεοντίᾳ τῇ ἰδίᾳ θυγατρί. ‖ ἡ δὲ ἔγραψε πρὸς τὴν ἰδίαν θυγατέρα Mal. p. 387, 1 ff. cf. Hermes ibid
Ἀρεάδνην παρακαλοῦσα ἀνακληθῆναι τῆς ἐξορίας· καὶ παρεκάλει ἡ βασίλισσα τὸν Ζήνωνα. ὁ δὲ ἔφη αὐτῇ· "αἴτησαι τὸν πατρίκιον Ἴλλον περὶ αὐτῆς." ἡ δὲ μεταστειλαμένη ᾔτησεν αὐτὸν μετὰ δακρύων. ὁ δὲ οὐκ ἐπείσθη εἰπών· "ζητεῖς ἵνα ποιήσῃς καὶ ἄλλον βασιλέα κατὰ τοῦ σοῦ ἀνδρός." τότε θυμωθεῖσα Ἀρεάδνη εἶπε τῷ βασιλεῖ, ὅτι "ἢ Ἴλλος ἔχει εἶναι εἰς τὸ παλάτιον, ἢ ἐγώ·" καὶ εἶπεν αὐτῇ ὁ βασιλεύς, ὅτι "ἐγὼ σὲ θέλω. εἴ τι δύνῃ εἰς αὐτόν, ποίησον. ἡ δὲ κατεσκεύασε φονευθῆναι αὐτόν, καὶ κελεύει Οὐρβικίῳ κουβικουλαρίῳ προτρέψασθαί τινα τοῦ ἀνελεῖν τὸν Ἴλλον. καὶ ἀνερχομένου αὐτοῦ εἰς τὸν κοχλίαν τοῦ ἱππικοῦ, σχολάριος ὀνόματι Σπανίκιος ἐπιτραπεὶς κατὰ τῆς κεφαλῆς αὐτοῦ ἤγαγε τὸ ξίφος. προσεσχηκὼς δὲ τούτῳ ὁ σπαθάριος τοῦ μαγίστρου ἐδέξατο αὐτὸ εἰς τὸν βραχίονα αὐτοῦ, τὸ 198 B
δὲ ἄκρον τοῦ ξίφους ἀπέτεμε τὸ ὠτίον τοῦ Ἴλλου τὸ δεξιόν. τοῦτον

---

1 Ῥωμύλλου h Ῥομύλλου f. — 3 καὶ εἰς ὕπνον c. — 4 τε] δέ d. — αὐτοῦ hx. — 5 Ἴλλου em Ἰλλοῦ h. — αὐτοῖς g. — ὑποπιάσαντος f. — 6 τὸ om. y. — 8 Παπυρίου f Παπουρίου h Παπορίου egm Παπωρίου x. — 9 Ῥωμύλος dgm Ῥώμυλλος fh. — 10 λουομένου g. — τόν x τό yz. — Ἰουλίου y. — 12 ϛ΄] β΄ cef. — 13 Ἴλλος g Ἴλλος m Ἰλλὸς h item v. 23. — μάγιστρος f μαγίστρος xz μαίστρος em. — 14 Βερίναν om. h. — ἐκβάλλῃ g ἐκβάλλει h. — 15 ἔπεμψεν?. — 16 Παπορίου g Παπουρίου h eras. in c. — 17 οἰκείαν cz. — 18 Ἀριάδνην cz. — παρακαλοῦσαν h. — 19 πατρίκιον] μαγίστρον h. — 20 Ἴλλον g Ἰλλόν h Ἴλλον m Ἴλον c. — 22 Ἀριάδνη ch. — 23 ἢ ante Ἴλλος om. fh. — 24 ὅτι om. c. — εἴ τι (τε h) δὲ δύνῃ (-νει h) xz. — 25 αὐτόν y τὸν Ἴλλον xz. — κουβηκουλαρίῳ em κουβουκουλαρίῳ g. — 26 τὸν Ἴλλον (Ἴλλον m) y αὐτόν xz. — 28 προεσχηκώς cy. — τοῦτο hy om. d. — 29 σπαθάρης ὁ τοῦ μαγ. h. — 30 Ἰλλοῦ h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

110 P δὲ Ζήνων ἀναιρεῖ· πείθων τὸν μάγιστρον Ἴλλον μὴ συνεγνωκέναι τὸ γεγονός, τῇ δὲ ἀληθείᾳ, ὅτι μὴ περιγέγονε τοῦ σκοποῦ. ἰαθεὶς δὲ τὴν πληγὴν ἐφόρει καμελαύκιον. καὶ ἠτήσατο τὸν βασιλέα ἐπὶ τὴν ἀνατολὴν ἀπελθεῖν διὰ τὸ τοὺς ἀέρας ἀλλάξαι, ὅτι ἠσθένει ἐκ τῆς πληγῆς. ὁ δὲ βασιλεὺς θέλων αὐτὸν πληροφορῆσαι ἐποίησεν αὐτὸν στρατηγὸν τῆς ἑῴας ἁπάσης, δοὺς αὐτῷ ἐξουσίαν πᾶσαν, ὥστε καὶ δοῦκας ποιεῖν. ὁ δὲ παραλαβὼν μεθ' ἑαυτοῦ τὸν πατρίκιον Λεόντιον, ‖ Σύρον τῷ γένει, ἄριστον δὲ κατὰ παιδείαν καὶ πολέμων
Mal. p. 388, 15 cf. Herm. VI, 371 ἐμπειρίαν ἡγούμενόν τε τῆς ἐν Θρᾴκῃ στρατιᾶς, ‖ καὶ σὺν αὐτῷ Μάρσον καὶ Παμπρέπιον τὸν συγκλητικόν, τὸν ἐπὶ μαγγανείᾳ διαβαλλόμενον· καὶ πλείστην ἁπλῶς περιβαλλόμενος δύναμιν, ἐν Ἀντιοχείᾳ ἐλθὼν τῆς Συρίας σαφῶς ἔδειξε τὴν τυραννίδα. ‖

480/81. A. M. 5973 Περσῶν βασιλεὺς Καβάδης ἔτη ια'.

Ἀντιοχείας ἐπίσκοπος Στέφανος ἕτερος ὁ διφεὶς εἰς τὸν Ὀρόντην ποταμὸν ἔτος α'.

ξ'. α'. ιβ'. ι'. ε'. δ'. α'.

cf. Euagr. III, 10 Τούτῳ τῷ ἔτει Στεφάνου τοῦ ἐπισκόπου Ἀντιοχείας κοιμηθέντος, Στέφανον ἕτερον ἀντ' αὐτοῦ ἐχειροτόνησαν κελεύσει τοῦ βασιλέως
199 B Ζήνωνος, ὃν οἱ ἐχθροὶ τῆς πίστεως τῇ πρὸς τὸν Κναφέα εὐνοίᾳ ἐν τῇ κολυμβήθρᾳ τοῦ ἁγίου μάρτυρος Βαρλαὰμ καλάμοις ὀξυνθεῖσιν ἀποσφάξαντες εἰς τὸν Ὀρόντην ποταμὸν ἔρριψαν τῷ θυμῷ τὴν ἄνοιαν καθοπλίσαντες. Ζήνων δὲ διὰ τὰ τολμηθέντα εἰς Στέφανον ἐκέλευσεν Ἀκάκιον τὸν Κωνσταντινουπόλεως χειροτονῆσαι ἐπίσκοπον Ἀντιοχείας· καὶ ἐχειροτόνησε Καλανδίωνα. ἦσαν δὲ καὶ οἱ Ἀντιοχεῖς χειροτονήσαντες κατὰ ἄγνοιαν Ἰωάννην, τὸν λεγόμενον Κωδωνάτον, ὃν Καλανδίων εἰς Τύρου πρωτόθρονον Ἀντιοχείας μετενεθρονίασεν.

Cram. Anecd. II, 105 ‖ Τῷ δ' αὐτῷ ἔτει καὶ ἐν Ἀλεξανδρείᾳ Τιμόθεος ὁ Σαλοφακίαλος ἐτελεύτησεν, καὶ ἐχειροτονήθη Ἰωάννης ὁ Ταβεννησιώτης, ὅσιος ἀνὴρ καὶ τῶν ὀρθῶν δογμάτων ὑπέρμαχος, πρεσβύτερος ὢν καὶ οἰκονόμος τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας. ‖ ὁ δὲ πατρίκιος
Mal. p. 388, 17 cf. Hermes VI p. 371 Ἴλλος σὺν Λεοντίῳ καὶ τοῖς λοιποῖς παραγίνεται εἰς τὸ Παπυρίου καστέλλιν καὶ ἐξαγαγὼν Βερίναν τὴν αὐγούσταν εἰς Ταρσὸν τῆς

---

1 μαγίστρον deh *sine acc.* c. — Ἴλλον g Ἰλλόν h Ἶλον c. — 3 καμελαύκιον y καμελαύκιν c καμελαύκην d καμηλαύκιν g καμαλαύκιν h. — 9 στρατείας y. — 10 Παμπρέμπιον g Παμπρέντιον x. — μαγίᾳ x. — 11 περιβαλόμενος dm. — 12 τὴν *om.* h. — 14 Ὀρέντιν y Ὀρεν̄. g. — 15 ἔτη ια' h. — *v.* 16 *om.* f. — 21 Ὀρέντιν cy. — 24 Καλανδίονα ehm Κλαυδίονα f. — 25 Κωδονάτον ehm. — 26 μετενεθρονίασεν Goar. μετενθρονίασεν cefz μετεθρόνισεν m. — 27 Σαλοφακίολος g. — 28 Ταβεννισιώτης z. — 29 ἀνὴρ ὅσιος z. — ὀρθοδόξων δογμ. h. — 30 πατρίκιος] μαγίστρος h. — 31 Ἴλλος g Ἰλλός h Ἴλλος m Ἶλος c. — 31 Παπυρίου d Παπορίου z. — 32 τήν *om.* z. — τὴν αὐγούσταν *om.* y. — αὐγοῦσταν g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κιλικίας ἐποίησεν αὐτὴν στέψαι ἔξω τῆς πόλεως εἰς τὸν ἅγιον Πέτρον βασιλέα Λεόντιον τὸν πατρίκιον. καὶ ἔγραψεν ἡ δέσποινα Βερίνα 111 P
σάκραν τοῖς Ἀντιοχεῦσι Σύροις εἰς τὸ δέξασθαι τὸν Λεόντιον βασιλέα, καὶ πρὸς πάντας δὲ τοὺς τῆς ἀνατολῆς ἄρχοντας καὶ τῆς Αἰ- 200 B
γύπτου καὶ Λιβύης ἐποίησε σάκρας, ὥστε δέξασθαι Λεόντιον βασιλέα καὶ μὴ ἀντιστῆναι.

Ἀλεξανδρείας ἐπίσκοπος Ἰωάννης ὁ Ταβεννησιώτης ἔτη γ'. A. M. 5974 481/2.
Ἀντιοχείας ἐπίσκοπος Καλανδίων ἔτη δ'.
η'. β'. ιγ'. ια'. ϛ'. α'. α'.

Mal. in Herm. VI, p. 371

Τούτῳ τῷ ἔτει καταλαβουσῶν τῶν σακρῶν τῆς δεσποίνης Βερίνης καὶ ἀναγνωσθεισῶν, ὧν ἡ περιοχὴ οὕτως· "Βερίνα αὐγούστα τοῖς ἡμετέροις ἄρχουσι καὶ φιλοχρίστοις λαοῖς χαίρειν. ἴστε ὅτι τὸ βασίλειον ἡμέτερόν ἐστιν, καὶ ὅτι μετὰ τὴν ἀποβίωσιν τοῦ ἐμοῦ ἀνδρὸς Λέοντος προεχειρισάμεθα βασιλέα Τρασκαλισσαῖον, τὸν μετακληθέντα Ζήνωνα, ὥστε τὸ ὑπήκοον ἐπιβελτιωθῆναι. ὁρῶντες δὲ νῦν τὴν πολιτείαν κατόπιν φερομένην ἐκ τῆς αὐτοῦ ἀπληστίας, ἀναγκαῖον ἐλογισάμεθα βασιλέα ὑμῖν στέψαι χριστιανὸν εὐσεβείᾳ καὶ δικαιοσύνῃ κεκοσμημένον, ἵνα τά τε τῆς πολιτείας περισώσῃ πράγματα καὶ τὸ πολεμικὸν ἡσύχως ἄξῃ. ἐστέψαμεν δὲ Λεόντιον τὸν εὐσεβέστατον βασιλέα Ῥωμαίων, ὃς πάντας ὑμᾶς προνοίας ἀξιώσει." οἱ δὲ ἀποδεξάμενοι εὐφήμησαν τὸν Λεόντιον βασιλέα.

θ'. γ'. ιθ'. ιβ'. ζ'. β'. β'. A. M. 5975 482/3

Τούτῳ τῷ ἔτει Ἴλλος καὶ Λεόντιος Λογγῖνον, τὸν ἀδελφὸν Ζήνωνος, καὶ τὴν μητέρα αὐτοῦ ἐκ τοῦ καστελλίου ἀπέλυσαν. Βερίνα δὲ ἐκεῖ νοσήσασα ἐτελεύτησε καὶ μετὰ χρόνον ἀνεκομίσθη εἰς τὸ Βυζάντιον ὑπὸ Ἀρεάδνης. 201 B

Ῥώμης ἐπίσκοπος Φίλιξ ἔτη θ'. A. M. 5976 483/4.
ι'. δ'. α'. ιγ'. η'. γ'. γ'.

Mal. p. 389, 2 cf. Herm. VI, 372

Τούτῳ τῷ ἔτει εἰσῆλθε Λεόντιος ἐν Ἀντιοχείᾳ ὡς βασιλεὺς μηνὶ Ἰουνίῳ κϛ' ἰνδικτιῶνι ζ', καὶ προεβάλετο ἔπαρχον πραιτωρίων Αἰλιανόν, καὶ ἐξελθὼν ἐπολέμησε Χαλκίδι, πόλει αὐτοῦ. ὁ δὲ Ζήνων Ἰωάννην τὸν Σκύθην ἀπέστειλε κατὰ Ἴλλου καὶ Λεοντίου μετὰ

---

3 *σάκραν* c *et* d *pr. m. corr. ex σάκρας.* — 7 *Ἰωάννης om.* em. — *Ταβεννησιώτης* m *Ταβεννισιώτης* g. — *ἔτη γ'*] *ἔτη ε'* yz. — 8 *Καλάνδων* g. — 10 *καταλαβόντων* yz. — *σάκρων* ef *sine acc.* cm. — 11 *ὧν*] *ἣν* f. — *αὐγοῦστα* cg. — 14 *προεχειρησάμεθα* y. — *Στρακωδισσεων sine acc. cod.* Mal. — 15 *τὸ om.* g. — *νῦν om.* y. — 16 *κατώπιν* y *κάτω που* h *καὶ τὸ ποῦ* g. — 18 *περισώσει* hy. — 19 *ἄξει* yz. — *ἔστεψα* f. — 23 *Ἴλλος* g *Ἰλλὸς* h *Ἴλλος* dm *Ἶλος* c. — *τὸν om.* z. — 24 *Βερῖνα* ef *Βερίνη* g. — 26 *Ἀριάδνης* cz. — 28 *ι'. δ'. ιε'. ιγ'. η'. γ'. γ'. α'. α'.* f *ι' δ'. ιε'. ιγ' η'. γ'. γ'. et in mg. α'. α'.* e *ι'. δ'. ιε'. ιγ'. η'. γ'. γ'. α'.* c. — 29 *καὶ τῷ αὐτῷ ἔτει Λεόντιος εἰσῆλθεν ἐν Ἀντ.* d. — 30 *κζ'* y *ιζ'* xz. — *ἰνδικτιόνι* h *ἰν. rell.* — *προεβάλλετο* mz. — *ὕπαρχον* xz. — 31 *Αἰλιανόν* Mal. — *Χαλκήδι* x. — 32 *Ἰλλοῦ* h *Ἴλου* c *item p.* 130 *v.* 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

112 P πλείστης δυνάμεως ‖ κατά τε γῆν καὶ θάλασσαν. πολέμου δὲ συρραγέντος σφοδροῦ, Ἴλλος τε καὶ Λεόντιος ἡττηθέντες εἰς τὸ Παπυρίου καστέλλιν ἔφυγον σὺν Παμπρεπίῳ μαγίστρῳ, γόητι λεγομένῳ εἶναι. τότε καὶ Τροκοῦνδον, τὸν ἀδελφὸν Ἴλλου, ἐπὶ συλλογῆς βαρβάρων ἀπιόντα Ἰωάννης συλλαβὼν ἀπέτεμεν. τοῦτον δὲ Ἴλλος καὶ Λεόντιος ἐπὶ τέσσαρα ἔτη φρουρούμενοι ἀνέμενον ἀπατώμενοι ὑπὸ Παμπρεπίου μαγίστρου τοῦ γόητος. ὅθεν τὴν τούτου ἀναίρεσιν μαθόντες Παμπρέπιον ὡς ἀπατεῶνα ἀποτεμόντες τοῦ τείχους κατεκρήμνισαν.

202 B Τῷ δ' αὐτῷ ἔτει οἱ Πέτρου τοῦ Μογγοῦ σπουδασταὶ διὰ χρημάτων καὶ φενακισμῶν ἔπεισαν Ζήνωνα ἐκβληθῆναι Ἰωάννην, τὸν ἐπίσκοπον Ἀλεξανδρείας, τὸν Ταβεννησιώτην, ὡς παρὰ γνώμην αὐτοῦ χειροτονηθέντα, καὶ Πέτρον τὸν Μογγὸν πάλιν εἰς Ἀλεξάνδρειαν ἀπὸ Εὐχαΐτων ὑποστρέψαι. τότε καὶ ἑνωτικὸν ἐποίησε Ζήνων καὶ πανταχοῦ ἐξέπεμψεν, ὑπὸ Ἀκακίου τοῦ Κωνσταντινουπόλεως ὑπαγορευθέν, ὥς φασί τινες. Πέτρῳ δὲ τῷ Μογγῷ πρὸ τῆς εἰς Ἀλεξάνδρειαν ἐπανόδου ἐκέλευσε Ζήνων κοινωνῆσαι Σιμπλικίῳ τῷ Ῥώμης καὶ Ἀκακίῳ. ὅστις καὶ ἔγραψεν Ἀκάκιος τοῖς Ἀλεξανδρεῦσι δέξασθαι τὸν Μογγὸν καὶ Ἰωάννην ἀποβαλέσθαι. Ἰωάννης δὲ ἀκούσας τὴν Πέτρου παρουσίαν, τοῦ κλήρου σὺν τῷ λαῷ δεομένων αὐτοῦ μὴ ἐξελθεῖν ὡς ἑτοίμως ἐχόντων ὑπεραποθνήσκειν αὐτοῦ, ὁ δὲ τὰ μέλλοντα τολμᾶσθαι Πέτρῳ διανοούμενος σοφῶς καὶ ἀταράχως ἐξῆλθεν.

ϡξν/ϛ A. M. 5977

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ϛϡοζ'.	ἔτη νοζ'.	Ζήνων	Καβάδης	Φίλιξ
		ἔτη ιζ'.	ἔτη ια'.	ἔτη θ'.
		ια'.	ε'.	β'.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἀκάκιος	Ἀναστάσιος	Πέτρος ὁ Μογγὸς	Καλανδίων
ἔτη ιζ'.	ἔτη ιή'.	ἔτη ϛ'.	ἔτη δ'.
ιδ'.	θ'.	α'.	δ'.

cf. Euagr. III, 27 Τούτῳ τῷ ἔτει Θευδέριχος ὁ Οὐαλάμερος, οὗ πολὺς ἐν βαρβά-

1 συρραγέντες c. — 2 Ἴλλος g Ἰλλὸς h Ἶλος c *item v.* 5. — Παπύριον hy Παπόριον g. — 3 καστέλλειν f καστέλλιον hx. — προσέφυγον g κατέφυγον f. — Παπρεπίῳ h Παμπρεντίῳ x Παμπρενσίῳ g. — 4 Τρόκουνδον em Τροβοῦνδον z. — ἐπὶ συλλογήν cz ἐπὶ συλλογῇ d. — 5 τουτο *v* c (*sic*) τούτῳ y. — 6 Παπρεπίου h Παμπρεντίου x Παμπρεμπίου g. — 7 ὅθεν μαθόντες τὴν τούτου ἀναίρεσιν x. — 8 Παπρέπιον h Παμπρέντιον x Παμπέμπριον g. — κατεκρήμνησαν cem κατεκρίμνησαν fz. — 9 τῷ ,ϛοζ' ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκ. νοζ' ἔτει d. — διὰ χρήματα καὶ φενακισμόν (φαιν. ef) y. — 11 Ταβεννισιώτην g. — 13 Εὐχαϊτῶν dby *sine acc.* c. — 13 καὶ πανταχοῦ — 16 Ζήνων *om.* h. — 16 Σιμπληκίῳ c. — 17 τοῖς Ἀλεξανδρεῦσι] Alexandrinis A τοῖς ἐν Ἀλεξανδρεῦσι y τοῖς ἐν Ἀλεξανδρείᾳ xz. — 19 αὐτοῦ *sec. m.* f αὐτόν x αὐτῷ z αὐτῶν y. — 20 αὐτῷ cz. — 24[4] Καράδης g. — 31[1] ιδ'] ιε' cy. — *v.* 32—*p.* 131, 17 *om.* d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ροις τε καὶ Ῥωμαίοις λόγος ὡς ἀνδρείου τε καὶ προμηθοῦς καὶ οὐδὲ λόγων ἀμοίρου· κατὰ γὰρ τὸ Βυζάντιον ὁμηρεύσας ποτὲ τοῖς ἀρί- 203 B
στοις τῶν διδασκάλων ἐφοίτησεν, τοῦ πατρὸς αὐτοῦ Οὐαλάμερος μετὰ τοὺς Ἀττίλα παῖδας ἡγησαμένου τῶν Γότθων ἐπὶ τῆς Λέοντος βασιλείας. τοῦτον οὖν ὁ Ζήνων ἐκ Θράκης μετακαλεσάμενος εἰς τὸ Βυζάντιον καὶ ὕπατον ἀναδείξας καὶ Θράκης ἡγούμενον, μετὰ Ἰωάννου τοῦ Σκύθου κατὰ τοῦ Ἴλλου ἐξέπεμψεν· ὃς καὶ μετὰ τὸ ἀποκλεισθῆναι Ἴλλον καὶ Λεόντιον εἰς τὸ Παπυρίου καστέλλιν καταλιπὼν Ἰωάννην πολιορκοῦντα αὐτοὺς αὐτὸς πρὸς Ζήνωνα ἦλθεν. καὶ ἐξελθὼν ἐν τῇ Θράκῃ καὶ στρατοπεδευσάμενος ἐπέρχεται τῷ Βυζαντίῳ· καὶ μόνῃ φειδοῖ τῇ περὶ τὴν πόλιν, ὥς φασι, κρατηθεὶς ἐπανέρχεται 113 P
εἰς τὴν Θράκην καὶ προτραπεὶς ὑπὸ Ζήνωνος κατέρχεται εἰς Ἰταλίαν. καὶ Ὀδοάκρου μάχῃ μεγάλῃ κρατήσας τὸ ῥηγὸς ἐν Ῥαβέννῃ περιτίθεται σχῆμα. ‖ ἐχειρώσατο δὲ καὶ ἄλλους πλείστους τῶν βαρβάρων, Nic. XVI, 23
μάλιστα καὶ τοὺς Οὐανδήλους ὑπηγάγετο μηδὲ ὅπλα κατ' αὐτῶν κινήσας, Γιζερίχου τελευτήσαντος ἤδη πρὶν ἢ ἐκεῖνον ἐλθεῖν εἰς Ῥώμην· ἐκράτησε δὲ καὶ Ῥώμης καὶ πάσης τῆς ἑσπερίου. ‖

Ἀντιοχείας ἐπίσκοποι μγ΄ Πέτρος ὁ Κναφεὺς τὸ β΄ ἔτη γ΄. A. M. 5978 485/6.
ιβ΄. ϛ΄. γ΄. ιε΄. ι΄. β΄. α΄.

‖ Τούτῳ τῷ ἔτει οἱ τῆς ἀνατολῆς ἐπίσκοποι ἔγραψαν Ἀκακίῳ Cram. An. II, 105
μέμψεις διὰ τὸ δέξασθαι τὸν Μογγὸν εἰς κοινωνίαν. ‖ ὁ δὲ μὴ προσχὼν αὐτοῖς πάντας ἀναιδῶς κοινωνεῖν τῷ Μογγῷ κατηνάγκαζεν. 204 B
οἱ δὲ τῆς βασιλίδος καὶ τῆς ἑῴας ἐδεήθησαν Φίλικος μετὰ θάνατον Σιμπλικίου τοῦ Ῥώμης ἐπισκόπου σημαίνοντες Ἀκάκιον εἶναι αἴτιον τῶν κακῶν. ἐν οἷς καὶ Ἰωάννης ὁ Ἀλεξανδρείας τὰ αὐτὰ λέγων τὴν Ῥώμην κατέλαβεν. Φίλιξ δὲ σύνοδον ἐν τῷ ναῷ τοῦ κορυφαίου ἀποστόλου Πέτρου ποιήσας δύο ἐπισκόπους καὶ ἔκδικον ἔπεμψεν ἐν Κωνσταντινουπόλει, γράψας Ζήνωνι καὶ Ἀκακίῳ ἐκβαλεῖν Πέτρον τὸν Μογγὸν ὡς αἱρετικὸν τῆς Ἀλεξανδρείας.

ιγ΄. ζ΄. δ΄. ιϛ΄. ια΄. γ΄. β΄. A. M. 5979 486/7.

Τούτῳ τῷ ἔτει τῶν ἀπὸ Ῥώμης πεμφθέντων ἐν Ἀβύδῳ κρατηθέντων γνώμῃ Ζήνωνος καὶ Ἀκακίου καὶ τῶν γραμμάτων ἀφαιρε-

---

2 ἀμηρεύσας f. — 4 Ἄττιλα yz *sine acc.* c. — 5 βασιλεῖ c. — ὁ *om.* h. — 5 μετακαλεσάμενος — 6 Θράκης *om.* h. — τὸ y *om.* cg. — 7 Ἰλλοῦ h Ἴλου c. — 8 Ἴλλον g Ἰλλόν h Ἴλον c Ἴλον m. — τό *add. sec. m.* f *om. codd.* — Παπορίου g. — καστέλλειν m *et ut vid.* f καστέλλιον ch. — 11 τῇ c τῆς yz. — 11 φησί g. — 13 Ὀδοάκρου cem. — τό c τοῦ yz. — 15 Οὐανδηλοὺς eh *sine acc.* c Ἀνδήλους m. — 16 Γηζερίχου cehm. — Γ. δὲ τελ. ἤδη — ἐκράτησε καὶ z Γ. δὲ τελ. ἤδη — ἐκράτησε δὲ καὶ c. — 17 τῆς Ῥώμης z. — 18 μγ΄ *om.* yz. — 19 ιβ΄. ϛ΄. γ΄. ιϛ΄. ι΄. β΄. α΄. cm β΄. ϛ΄. γ΄. ιϛ΄. ι΄. β΄. α΄. e β΄. ϛ΄. γ΄. ιϛ΄. γ΄. ιβ΄. α΄. f. — 23 βασιλίδος x βασιλείας yz ex regia urbe A. — 24 Σιμπληκίου x. — 25 Ἀλεξανδρεὺς y Ἀλεξανδ. g. — τῷ αὐτῷ f. — 27 Πέτρου ἀποστόλου y. — 29 τῆς Ἀλεξανδρείας xzA τῆς ἐκκλησίας y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θέντων καὶ ἐν φρουρᾷ βληθέντων, ἠπείλησε Ζήνων τούτους ἀνελεῖν, εἰ μὴ κοινωνῶσιν Ἀκακίῳ καὶ Πέτρῳ τῷ Μογγῷ.

487/8. A. M. 5980

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ε͡φπ΄.	ἔτη υπ΄.	Ζήνων	Καβάδης	Φίλιξ
		ἔτη ιζ΄.	ἔτη ια΄.	ἔτη θ΄.
		ιθ΄.	η΄.	ε΄.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος μγ΄.
Ἀκάκιος	Ἀναστάσιος	Πέτρος ὁ Μογγὸς	Πέτρος
ἔτη ιζ΄.	ἔτη ιη΄.	ἔτη ϛ΄.	ἔτη γ΄.
ιζ΄.	ιβ΄.	δ΄.	γ΄.

Theod. L. II, 4 114 P ‖ Τούτῳ τῷ ἔτει Ἴλλος καὶ Λεόντιος μετὰ πολλοὺς πολέμους ἐπὶ τέσσαρα ἔτη φρουρούμενοι ἐν τῷ Παπυρίου καστελλίῳ ἐχειρώθησαν προδοσίᾳ τοῦ ἀδελφοῦ τῆς γαμετῆς Τροκούνδου, δόλῳ πεμφ- 15
Mal. p. 389, 11 cf. Herm. VI, 373 θέντος ὑπὸ Ζήνωνος· καὶ ἀπετμήθησαν, ‖ καὶ αἱ κεφαλαὶ αὐτῶν ἐπέμφθησαν τῷ Ζήνωνι καὶ εἰσηνέχθησαν εἰς κοντοὺς ἐν τῷ ἱππικῷ
205 B κἀκεῖθεν ἐπάγησαν πέραν ἐν Συκαῖς πρὸς Θρίαμβον. ‖ ὁ δὲ Ζήνων τῇ βουλῇ Ἀκακίου τοὺς κατὰ τὴν ἑῴαν ἐπισκόπους ἐβιάζετο ὑπογράψαι τῷ ἑνωτικῷ καὶ κοινωνῆσαι Πέτρῳ τῷ Μογγῷ· τοὺς δὲ 20
ἀποκρισιαρίους Φίλικος τοῦ Ῥώμης μεταχειρισάμενος καὶ χρήμασι δελεάσας Ἀκακίῳ κοινωνῆσαι παρὰ τὰ ἐνταλθέντα αὐτοῖς ἔπεισεν· καίτοι τῶν ὀρθοδόξων ἐκ τρίτου διαμαρτυραμένων αὐτοῖς, πρῶτον μὲν ἀγκίστρῳ περιθέντων σχοινίον, καὶ ἑνὸς αὐτῶν δημοσίᾳ ἐξαρτησάντων· δεύτερον δὲ τὴν βίβλον ἐνέβαλον· καὶ τρίτον κοφίνῳ 25
λαχάνων ἐνέθηκαν. Φίλιξ δὲ μαθὼν τὰ ὑπὸ τῶν ἀποκρισιαρίων
Niceph. XVI, 17 αὐτοῦ πραχθέντα καθῃρεν αὐτοὺς ‖ γράψας Ἀκακίῳ καθαίρεσιν. ὁ δὲ ταύτην ἐπιφερόμενος διαδρὰς τοὺς ἐν Ἀβύδῳ κατέλαβε τὴν Δίου μονήν. οἱ δὲ τῆς Δίου μοναχοὶ τῇ κυριακῇ εἰς τὸ ἱερατεῖον ἐπέδωκαν Ἀκακίῳ τὴν ἐπιστολήν· οἱ δὲ περὶ Ἀκάκιον ἀνεῖλόν τινας τῶν ἐπι- 30
δεδωκότων μοναχῶν, ἄλλους δὲ τιμωρήσαντες καθεῖρξαν. Ἀκάκιος δὲ ἀναισθήτως ἔσχε περὶ τὴν καθαίρεσιν καὶ τὸ ὄνομα Φίλικος ἐξῆρε τῶν διπτύχων. ‖

---

1 αὐτούς y illos A. — 2 κοινωνήσωσιν dz. — 9⁴ μγ΄ om. yz. — 10⁴ Παλλάδιος y. — 11³ ἔτη δ΄ codd. — 11⁴ ἔτη ι΄ y. — 12⁴ α΄ cy. — 13 Ἴλλος g Ἰλλός h Ἶλος c. — πολλοὺς τοὺς πολ. z. — 14 Παπορίου g. — 15 δόλῳ om. f. — πεμφθέντες h. — 17 εἰσηνέχθησαν cz Mal. εἰσήχθησαν dy. — εἰς] ἐπί x. — 18 πέρα h. — 19 ὑπογράψαι d γράψαι rell. subscribere A. — 21 τῆς Ῥώμης yz. — μεταχειρησάμενος y. — 23 διαμαρτυρομένων c. — 23 πρῶτον — 26 ἐνέθηκαν om. d. — 24 ἄγκιστρον c. — σχοινίον coni. Classen funem A σχοινίῳ chy σχοινίων g. — et unum eorum publice instruentibus A. *Pro ἑνός malim scrib.* ἕν. — 25 in librum A τῇ βίβλῳ? *s.* εἰς τὴν βίβλον?. — ἐνέβαλλον z. — καὶ om. y. — τρίτον dh τρίτῳ gy tertium A. — 29 ἀπέδωκαν f. — 31 δὲ om. f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κωνσταντινουπόλεως ἐπίσκοποι Φραυΐτας μῆνας γ'. A. M. 5981 **488/9.**
ιε'. θ'. ς'. α'. ιγ'. ε'. [*γ'*].

‖ *Τούτῳ τῷ ἔτει Καλανδίων, ἐπίσκοπος Ἀντιοχείας, ἦγαγε τὸ* 206 B Theod. L. II, 1
λείψανον Εὐσταθίου τοῦ μεγάλου ἀπὸ Φιλίππων, ἔνθα καὶ ἐξόριστος
ἐκοιμήθη ὁ ἅγιος· καὶ μετὰ πολλῆς τιμῆς ἀπὸ δέκα μιλίων ἡ πόλις
Ἀντιοχέων ὑπήντησεν. οἱ δὲ ἀποσχίζοντες τῆς ἐκκλησίας διὰ τὸν
ἅγιον ἠνώθησαν μετὰ ρ' ἔτη τῆς κοιμήσεως αὐτοῦ. ‖ *Ἀκακίου δὲ* Niceph. XVI, 19
τελευτήσαντος Φραυΐτας τρίμηνον τῆς ἐπισκοπῆς κρατήσας ἔγραψε
Φίλικι, ὡς αὐτῷ μὲν κοινωνεῖ, Πέτρῳ δὲ τῷ Μογγῷ οὐ κοινωνεῖ·
τῷ δὲ Μογγῷ ἔγραψεν, ὡς αὐτῷ μὲν κοινωνεῖ, Φίλικα δὲ τὸν Ῥώμης
ἀποστρέφεται. Φίλιξ δὲ τὰ ἴσα τὰ πρὸς τὸν Μογγὸν πεμφθέντα ἐδέ-
ξατο παρὰ τῶν ὀρθοδόξων προλαβόντα, καὶ φθασάντων τῶν ἀπο-
κρισιαρίων Φραυΐτα μετὰ τῶν συνοδικῶν ἀτίμως τούτους ὁ Φίλιξ 115 P
ἀπέπεμψεν. ‖ *τοῦ δὲ Φραυΐτα τελευτήσαντος, Εὐφήμιος, πρεσβύτερος* cf. Georg. Mon. p. 521, 2
καὶ πτωχοτρόφος Νεαπόλεως, τὴν ἐπισκοπὴν Κωνσταντινουπόλεως
ἐκράτησε καὶ εὐθέως ἰδίαις χερσὶ τὸ ὄνομα τοῦ Μογγοῦ τῶν διπτύ-
χων ἀπήλειψεν· καὶ οὕτως ἐκάθισεν εἰς τὸν θρόνον ‖ *καὶ τὸ τοῦ*
Φίλικος τῆς Ῥώμης ἐνέταξεν.

					A. M. 5982 **489/90.**
Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*	
ϛϡπβ'.	*ἔτη υπβ'.*	*Ζήνων*	*Καβάδης*	*Φίλιξ*	
		ἔτη ιζ'.	*ἔτη ια'.*	*ἔτη θ'.*	
		ις'.	*ι'.*	*ζ'.*	

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Εὐφήμιος	*Ἀνάστάσιος*	*Πέτρος ὁ Μογγὸς*	*Παλλάδιος*
ἔτη ζ'.	*ἔτη ιή'.*	*ἔτη ς'.*	*ἔτη ί.*
α'.	*ιδ'.*	*ς'.*	*α'.*

Τούτῳ τῷ ἔτει Πέτρος ὁ Μογγὸς ἀπέθανεν ἐν Ἀλεξανδρείᾳ,
καὶ Ἀθανάσιος ἀντ' αὐτοῦ ἐχειροτονήθη, ὁ ἐπίκλην Κηλίτης. Ζήνων 207 B
δὲ ὁ βασιλεὺς ἀνεθεὶς τῶν τυράννων ἐξέβαλε τῆς ἐκκλησίας Ἀντιο-
χέων Καλανδίωνα καὶ ἐξώρισεν εἰς Ὄασιν, Πέτρον δὲ τὸν Κναφέα

a) γρ. προλαβών

2 α'] μῆνας γ' z. — γ' *del. videtur.* — 5 δέκα] ι' xA ιβ' yz ιή' Theod. — μιλίων hxy. — 8 Φραυΐτας c. — τριμήνου g. — κρατήσας *om.* h. — 9 ὡς αὐτῷ μὲν κοινωνεῖ Φίλικι, τῷ Μογγῷ δὲ οὐ κοινωνεῖ y. — 9 Πέτρῳ—10 κοινωνεῖ *om.* g. — 10 δὲ *post* Φίλικα *om.* f. — 11 ἀποστρέφεται c ἀποστρέφεσθαι dyz. — τὰ ἴσα τὰ] τὰ εἰς αὐτόν h. — 14 Φραυΐτα c. — Εὐφήμιος x Εὐθύμιος yz. — 17 ἐξήλειψεν h. — οὕτος g. — 18 ἐνέταξεν x ἔταξεν yz. — 23[5] ζ'] ς' cef. — 26[1] Εὐφήμιος c Εὐθύμιος yz. — 26[4] Παλάδιος hm. — 28[4] α'] γ' em *om.* f. — 30 Κιλίτης ehm Κιλήτης f. — 31 τῶν τυράννων] a barbaris A. — ἐξέβαλλε g. — Ἀντιοχέων *om.* x. — 32 Καλανδίονα h. — Ὄασιν emz Ὤασι f Ὤασαν x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Niceph. XVI, 10 κατέστησεν· ‖ *Νέστορα δὲ* ⟨*Ταρσοῦ, Κύρου Ἱεραπόλεως, Ἰωάννην Κυρεστῶν*⟩, *Ῥωμανὸν Χαλκηδόνος, Εὐσέβιον Σαμοσάτων, Ἰουλιανὸν Μοψουεστίας, Παῦλον Κωνσταντίνης, Μάνον Ἡμερίας καὶ Ἀνδρέαν Θεοδοσιουπόλεως,* ‖ *προφάσει μὲν τῆς πρὸς τοὺς τυράννους εὐνοίας, τῇ δὲ ἀληθείᾳ διὰ τὸ* a) *ἑνωτικὸν Ζήνωνος* ⟨*μὴ δέξασθαι τῶν ἰδίων ἀπελαθῆναι προσέταξεν ἐκκλησιῶν*⟩. *Πέτρος δὲ ὁ Κναφεὺς εἰσελθὼν εἰς Ἀντιόχειαν πολλὰ κακὰ πέπραχεν, ἀναθεματισμοὺς τῆς συνόδου καὶ ἐκβολὰς ἐπισκόπων ἀνεπιλήπτων ἀντεισαγωγάς τε καὶ χειροτονίας*
Cram. II, 105 Theod. L. II, 47 *ἀθέσμους καὶ τὰ τούτοις ὅμοια.* ‖ *πρότερον δὲ τῷ τρισαγίῳ προσέθηκεν, "Χριστὲ βασιλεῦ ὁ σταυρωθεὶς δι' ἡμᾶς." Πέτρος δὲ πάλιν*
Cram. II, 109 Theod. L. frgm. p. 529 Read. *ἐλθὼν περιεῖλε τό, "Χριστὲ βασιλεῦ".* ‖ *Ξεναΐας δέ, ὁ δοῦλος τοῦ Σατανᾶ, τὴν δεσποτικὴν εἰκόνα καὶ τῶν ἁγίων ἐδίδασκε μὴ δέ-*
Niceph. XVI, 27 *χεσθαι.* ‖ *Πέρσης μὲν γὰρ ἦν τῷ γένει, δοῦλος δὲ τὴν τύχην, φυγὼν τοῦ ἰδίου δεσπότου ἐπὶ Καλανδίωνος τὰς περὶ Ἀντιόχειαν κώμας ἀνεστάτου ἀπὸ τῆς πίστεως, ἀβάπτιστος ὢν καὶ κληρικὸν ἑαυτὸν*
208 B *λέγων. τοῦτον Καλανδίων ἀπήλασεν, Πέτρος δὲ ὁ Κναφεὺς ἐπίσκοπον Ἱεραπόλεως αὐτὸν χειροτονήσας Φιλόξενον μετωνόμασεν. μαθὼν δὲ ὕστερον ἀβάπτιστον αὐτὸν εἶναι ἀρκεῖν αὐτῷ τὴν χειροτονίαν*
cf. Georg. Mon. p. 521, 8 Nic. XVI, 26 *ἀντὶ βαπτίσματος ἔφησεν.* ‖ *Εὐφήμιος δὲ ὁ ὀρθοδοξότατος Ἀναστάσιον σιλεντιάριον, τὸν κακῶς μετὰ ταῦτα βασιλεύσαντα, τῆς ἐκκλησίας ἐδίωκεν ὡς αἱρετικὸν καὶ ὁμόφρονα Εὐτυχοῦς, ὃν ὀχλοποιοῦντα ὁρῶν τὴν ἐν τῇ ἐκκλησίᾳ καθέδραν αὐτῷ ἀνέτρεψεν, ἀπειλήσας αὐτῷ, ὡς, εἰ μὴ παύσοιτο, ἀποκεῖραι τὴν κεφαλὴν αὐτοῦ καὶ τοῖς ὄχλοις αὐτὸν θριαμβεῦσαι. ἐνεκάλεσε δὲ καὶ Ζήνωνι καὶ τὴν κατ'*
116 P Mal. p. 390, 4 cf. Chron. Pasch. p. 606, 3 *αὐτοῦ ἐξουσίαν ἔλαβεν.* ‖ *Ζήνων δὲ ἠρώτησε Μαυριανόν, τὸν σοφώτατον κόμητα,* ⟨*ἦν γὰρ μυστικά τινα εἰδὼς καὶ προέλεγεν αὐτῷ*⟩ *ὅτι, "τίς μετ' ἐμὲ βασιλεύσει"; ὁ δὲ εἶπεν αὐτῷ, ὅτι "καὶ τὴν βασιλείαν σου καὶ τὴν γυναῖκά σου διαδέχεταί τις ἀπὸ σιλεντιαρίων."* ⟨*ὁ δὲ Ζήνων συνέσχε Πελάγιον τὸν ἀπὸ σιλεντιαρίων*⟩ *πατρίκιον,* [*δὲ*] *γενόμενον ἄνδρα σοφὸν καὶ εὐσεβῆ καὶ συνετὸν καὶ ἐνάρετον,*

a) τὸ τὸ

1 *Νέστορα*—6 *ὁ Κναφεὺς om.* d. — *Νέστωρα* f *Νεστόριον* Nic. — *Ταρσοῦ*—*Κυρεστῶν add. ex* A *om. codd.* — *Νέστορα δὲ καὶ Ῥωμανὸν* h. — 2 *Σαμοσατῶν* f *Σαμωσάτων* z *Σαμωσάτου* em *Σαμωσατων sine acc.* c. — 3 *Μουμψουεστίας* f. — *Μάνον* f *Μανόν* emz *sine acc.* c. — *Ἡμερίας*] Hermeniensem A. — 5 *μὴ δέξασθαι*—*ἐκκλησιῶν add. ex* A; sed veritate propter non receptum enoticon e suis abigi praecepit ecclesiis. — *δὲ om.* h. — 7 *τῆς συνόδου*] synodi Chalcedonensis A. — 8 *τε*] *δέ* x. — 9 *πρότερον δὲ Καλανδίων τῷ τρ. προσέθ.*? *coll.* Cram. l. l. *nisi plura desunt.* — 15 *ἀνεστάτου* e *ἀνεστάτει* f. — 16 *ἐπίσκοπος* c. — 18 *αὐτῷ*] *αὐτόν* chy. — 19 *Εὐθύμιος* z. — *ὁ om.* xy. — 20 *σιλεντιάριον* y *σιλιντιάριον* c. — 23 nisi cessasset a talibus A. — 25 *Μαυριανόν scr. e* Mal. Chron. Niceph. Kall. XVI, 24 *Μαριανόν codd.* — 27 *ὅτι om.* f. — *τις*—*ὅτι om.* em. — 28 *σιλεντιαρίων* em *σιλιντιαρίων* c *σελεντιαρίων* f. — 29 *Verba ὁ δὲ Ζήνων*—*ἀπὸ σιλεντιαρίων et sententiae et verborum consecutioni necessaria addidi ex* Chron. Pasch. *om. codd.* — 30 *δὲ del. vid.* — *εὐγενῆ* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὃν δημεύσας ἀδίκως καὶ εἰς φρουρὰν ἐμβαλὼν ὑπὸ τῶν φυλαττόντων ἐκσκουβιτόρων ἀναιρεθῆναι προσέταξεν. τούτου δὲ γενομένου ἀκούσας ὁ ἔπαρχος Ἀρκάδιος ἐλοιδόρησε τὸν βασιλέα· καὶ ἀκούσας ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν εἰσερχόμενον εἰς τὸ παλάτιον σφαγῆναι· ὁ δὲ ἔπαρχος μαθὼν τοῦτο προσέφυγε τῇ ἐκκλησίᾳ. καὶ ἐρρύσθη τοῦ πικροῦ θανάτου· τὸν δὲ οἶκον αὐτοῦ ἐδήμευσεν. ‖ 209 B

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 5983 490/1.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,εϡπγ΄.	ἔτη υπγ΄.	Ζήνων	Καβάδης	Φίλιξ	
		ἔτη ιζ΄.	ἔτη ια΄.	ἔτη θ΄.	
		ιξ΄.	ια΄.	η΄.	

Κωνσταντιν.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Εὐφήμιος	Ἀναστάσιος	Ἀθανάσιος	Παλλάδιος
ἔτη ζ΄.	ἔτη ιη΄.	ἔτη ζ΄.	ἔτη ι΄.
β΄.	ιε΄.	α΄.	β΄.

‖ Τούτῳ τῷ ἔτει τὰ συνοδικὰ Εὐφημίου Φίλιξ ἀπεδέξατο καὶ ὡς ὀρθοδόξῳ αὐτῷ προσετέθη, ἐπίσκοπον δὲ αὐτὸν οὐκ ἐδέξατο διὰ τὸ μὴ ἐκβαλεῖν τὸ ὄνομα Ἀκακίου ἐκ τῶν διπτύχων καὶ τοῦ μετ' αὐτὸν Φραυίτα. ‖ Nic. XVI, 19

‖ Τῷ δ' αὐτῷ ἔτει καὶ Πέτρος ὁ Κναφεὺς τέθνηκεν, καὶ προεβλήθη ἐπίσκοπος Παλλάδιος, πρεσβύτερος τῆς ἐν Σελευκείᾳ ἐκκλησίας τῆς ἁγίας πρωτομάρτυρος Θέκλης. συνεψηφίσθη δὲ Παλλαδίῳ καὶ Ἰωάννης ὁ Κωνσταντίνου καὶ Ἀναστάσιος σιλεντιάριος, ὁ κακῶς ⟨μετὰ ταῦτα⟩ βασιλεύσας. ‖ ὁ δὲ Ζήνων ἐπαρθεὶς τῇ τῶν τυράννων ἀναιρέσει πρὸς δημεύσεις καὶ φόνους ἀδίκους χωρεῖ. [καὶ] πάντα ἄνθρωπον αἰτιώμενος ὡς ἐκείνοις ἢ συμμαχήσαντα ἢ συμβουλεύσαντα τὴν ἐπίθεσιν. ἀναιρεῖ δὲ καὶ Κοττάϊν ἀλόγως, τὸν ἅμα Ἰωάννῃ τῷ Σκύθῃ πολιορκίᾳ περιγενόμενον Ἴλλου καὶ Λεοντίου, καὶ τὸν θαυμαστὸν καὶ περὶ ποίησιν ἐπῶν ἀξιόλογον Πελάγιον τὸν πατρίκιον, ὡς φρόνιμον καὶ δίκαιον· ‖ καὶ ἐπὶ τούτοις τελευτᾷ Ζήνων ἐπιληψίᾳ κατασχεθεὶς καὶ ἐπὶ στόματος φέρων ἀπαύστως τὴν Πελαγίου προσηγορίαν τοῦ παρ' αὐτοῦ φονευθέντος ἀδίκως· ‖ παῖδα μὲν μὴ καταλιπών, Λογγῖνον δὲ τὸν ἀδελφόν, ὃς μὲν ὑπατεύσαντα καὶ τῆς συγκλήτου βουλῆς πάσης ἡγούμενον, ἀνόητον δὲ καὶ βαρὺν καὶ ἀκόλαστον ὄντα· Nic. XVI, 20 Niceph. XVI, 27 210 B cf. Euagr. III, 29

2 ἐκσκουβητόρων h ἐκσουβιτόρων f. — 3 ὕπαρχος xz *item v.* 5. — 6 τὸν δὲ οἶκον αὐτ. ἐδήμ. *om.* h. — 11⁵ η΄] ζ΄ m *om.* ef. — 14¹ Εὐθύμιος g. — 16⁴ β΄] α΄ cy. — 17 Εὐθυμίου f. — Φίληξ *ut vid.* f. — 24 σιληντιάριος y σιλιντιάριος c. — 25 μετὰ ταῦτα *add. ex* A *om. codd. cf. p.* 134, 20. — 26 καὶ *del. videtur.* — 27 ἐκεῖνος y. — ἢ] ἤ y. — συμβουλεύσαντα] συμβασιλεύσαντα emz ἢ συμβουλ. *om.* f. — 28 Κοττάην f Κοττάγην em Κόττᾶϊν z Κώτταϊν (-ιν *in lit.*) d Κοτταΐν *sine acc.* c. — 29 τῇ πολιορκίᾳ x. — γενόμενον f. — Ἰλλοῦ h Ἴλου c. — 34 τὸν ἀδελφὸν αὐτοῦ xz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

117 P ὃς καὶ πολλοὺς Ἰσαύρους ἐν Βυζαντίῳ ἔχων καὶ τὸν Λογγῖνον, τὸν μάγιστρον ὄντα καὶ φίλον αὐτοῦ, καὶ τούτοις θαρρήσας ἀπονητὶ τὴν βασιλείαν ἔχειν ᾤετο. τῆς δὲ Ἀρεάδνης καὶ τῆς συγκλήτου βουλῆς καὶ τοῦ στρατεύματος παντὸς Ἀναστάσιον τὸν σιλεντιάριον
Theod. L. II, 6 ἀναγορευσάντων βασιλέα, τῆς ἐλπίδος ὁ Λογγῖνος ἠστόχησεν. ‖ βα- 5
σιλεύσας οὖν ὁ Ἀναστάσιος ἔγγραφον ἠπαιτήθη ὁμολογίαν παρὰ Εὐφημίου πατριάρχου πρὸς τὸ μὴ σαλεῦσαί τι τῆς ἐκκλησίας καὶ τῆς πίστεως, ἀνάξιον αὐτὸν ἀποκαλῶν τῶν Χριστιανῶν καὶ τῆς βασιλείας. βιαζομένης δὲ αὐτὸν τῆς βασιλίδος Ἀρεάδνης καὶ τῆς συγκλήτου, ἔλαβεν αὐτοῦ τὸ ἰδιόχειρον, ὡς ἀποδέχεται εἰς ὅρον πίστεως 10
Niceph. XVI, 25 τὰ δόγματα τῆς ἐν Χαλκηδόνι συνόδου. ‖ καὶ οὕτω στεφθεὶς [ὑπ' αὐτοῦ] Ἀρεάδνην ἄγεται εἰς γάμον, οὔπω πρότερον γαμετῇ συνοι-
Theod. L. II, 7 κήσας. ‖ Μανιχαῖοι δὲ καὶ Ἀρειανοὶ ἔχαιρον ἐπὶ Ἀναστασίῳ, Μανιχαῖοι μὲν ὡς τῆς μητρὸς τοῦ βασιλέως ζηλωτρίας οὔσης καὶ προσ-
211 B φιλοῦς αὐτῶν, Ἀρειανοὶ δὲ ὡς Κλέαρχον, τὸν θεῖον αὐτοῦ, ἀδελ- 15
cf. Euagr. III, 29 φὸν τῆς αὐτῆς κακόφρονος μητρός, ὁμόδοξον ἔχοντες. ‖ τοῦτο δὲ τὸ ἔτος, ἐν ᾧ Ζήνων τέθνηκε καὶ Ἀναστάσιος ἐβασίλευσεν, ἀπὸ
cf. Mal. p. 391, 5 Ἀδὰμ μὲν κατὰ Ῥωμαίους ,εϡϟ', κατὰ δὲ τὸν ἀκριβῆ καὶ ἀληθινὸν ψῆφον Ἀλεξανδρέων ,εϡπγ', ἀπὸ δὲ τῆς ἀρχῆς Διοκλητιανοῦ σξ', τῆς δὲ θείας σαρκώσεως υπγ', ἰνδικτιῶνος ιδ'. ἐστέφθη δὲ Ἀναστά- 20
cf. Mal. p. 392, 4 σιος τῇ προγεγραμμένῃ ιδ' ἰνδικτιῶνι, μηνὶ Ἀπριλλίῳ ιδ', ἡμέρᾳ πέμπτῃ τῇ μεγάλῃ τοῦ πάσχα ἐν τῷ καθίσματι τοῦ ἱπποδρομίου.

491/2. A. M. 5984

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	25
,εϡπδ'.	ἔτη υπδ'.	Ἀναστάσιος	ὁ Περόζου παῖς	Φίλιξ	
		ἔτη κζ'.	Ζάμασφος	ἔτη ϑ'.	
			ἔτη δ'.		
		α'.	α'.	ϑ'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας	
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	30
Εὐφήμιος	Ἀναστάσιος	Ἀθανάσιος	Παλλάδιος	
ἔτη ζ'.	ἔτη ιή'.	ἔτη ζ'.	ἔτη ί'.	
γ'.	ις'.	β'.	γ'.	

---

2 μαγίστρον deg *sine acc.* c. — θαρρήσας] καθαρίσας h. — 3 Ἀριάδνης cz *item vv.* 9. 12. — 4 σιληντιάριον em σιληντηάριον f σιλιντιάριον c. — 5 βασιλέα *om.* x. — 6 ὁ *om.* dh. — ἠπετήθη m ἀπητήθη f *m.* 2; *prima manus non dignoscitur.* — 8 τῆς *prius om.* g. — καὶ *add. ex* xA *om.* yz. — 11 ὑπ' αὐτοῦ z ὑπὸ Ἀρεάδνης y *om.* xA. — 14 μέν] δέ y. — 15 τόν] τήν f. — 19 επγ' h. — 20 τῆς δὲ θείας x δὲ *om.* yz. — ἰν. ιδ' xz *om.* y. — 21 ἰνδικτιόνι h ἰν. *rell.* — ἰν. ιδ' dhm. — Ἀπριλίῳ hm. — ιδ'] δ' d. — 22 ἱπποδρομείου x. — 25[1] εϡπγ' y. — 25[2] υπγ' y. — 25[3] Περώξου g Παιρόξου em Περώξης f Περσῶν βασ. Καβάδης (*rell. om.*) h. — 26[4] Ζαμασφος *sine acc.* cef Ζάμας m. — 28[5] ϑ' *om.* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τούτῳ τῷ ἔτει βασιλεύσαντος Ἀναστασίου τοῦ Δοραχιτιανοῦ τοῦ Δικόρου, ἐστασίασε κατ' αὐτοῦ Λογγῖνος, ὁ Ζήνωνος ἀδελφός, ὃν χειρωσάμενος ἐπ' Αἴγυπτον πέμπει ἐξόριστον ἐν Ἀλεξανδρείᾳ καὶ ἐκέλευσε χειροτονηθῆναι αὐτὸν πρεσβύτερον. ἐπταετίαν δὲ ἐπι-
βιοὺς ἐν Ἀλεξανδρείᾳ ἐτελεύτησεν. ‖ *ὑποψίαν δὲ ἔχων καὶ περὶ* cf. Euagr. III, 2
Λογγῖνον τὸν μάγιστρον ὁ βασιλεὺς καὶ τοὺς ἐπιδημοῦντας Ἰσαύ-
ρους παύει τὸν Λογγῖνον τοῦ μαγιστρίου. ‖ *Πέτρου δὲ τοῦ Κναφέως*
ἐν Ἀντιοχείᾳ ὄντος ἐκ τῆς ἐξορίας ἐπανελθεῖν εἰς τὸν ἴδιον θρόνον
[δυσωποῦντος,] ὁ βασιλεὺς τῆς ἐξορίας μὲν τοῦτον ἀνεκαλέσατο, εἰς 212 B
δὲ Ἀντιόχειαν ἀπελθεῖν οὐ κατεδέξατο. Παλλάδιον δὲ χειροτονηθῆναι
ἐν Ἀντιοχείᾳ ἐποίησεν. Εὐφήμιος δὲ ὁ Κωνσταντινουπόλεως συναγα-
γὼν τοὺς ἐνδημοῦντας ἐπισκόπους τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον
ἐκύρωσεν. ‖ *Ἰωάννης δὲ ὁ Ταβεννησιώτης ἐν Ῥώμῃ ὢν ἤκουσεν* 118 P
Niceph. XVI, 26
ὅτι Ἀναστάσιος ἐβασίλευσεν, καὶ ἦλθεν εἰς τὸ Βυζάντιον ἀγαθὰς
ἀμοιβὰς ἐλπίζων παρ' αὐτοῦ, ἀνθ' ὧν ἦν ἐν Ἀλεξανδρείᾳ πεποιηκὼς
αὐτῷ οἰκονομίαν, ὃν καὶ γυμνὸν ἀπὸ ναυαγίου δεξάμενος καὶ συγκρο-
τήσας οὕτως, ὡς ἀναίσθητον αὐτὸν ποιῆσαι τῆς συμφορᾶς. Ἀνα-
στάσιος δὲ ἀκούσας, ὅτι παρεγένετο, ἀγνωμοσύνῃ πολλῇ τοῦτον
ἐξορισθῆναι προσέταξε μηδ' ὅλως αὐτὸν δεξάμενος. Ἰωάννης δὲ
τοῦτο προγνοὺς ἐπὶ Ῥώμην φεύγων διεσώθη. ‖

Ῥώμης ἐπίσκοπος Γελάσιος ἔτη ε'. A. M. 5985 **492/3**

β'. β'. α'. δ'. ιζ'. γ'. δ'.

‖ *Τούτῳ τῷ ἔτει Ἀναστάσιος ὁ βασιλεὺς τοὺς ἐν Κωνστα-* Theod. L. II, 9
τινουπόλει Ἰσαύρους διὰ πολλὰς ἀτοπίας ἐδίωξεν, οἳ ἐξελθόντες τυ- cf. Nic. XVI, 36
ραννίδα ἐμελέτησαν. ‖ *Λογγῖνος δὲ ὁ ἀπὸ μαγίστρων συλλαβὼν τού-*
τους τε καὶ ἄλλην δύναμιν βαρβάρων καὶ ληστῶν ὡς ιε' μυριάδας,
ὅπλων τε καὶ χρημάτων εὐπορίᾳ θαρρῶν ἐν Ἰσαυρίᾳ παρὰ Ζήνωνος 213 B
τεθειμένων, παραγίνεται εἰς τὴν τῶν Ἰσαύρων χώραν, ἐνδεδωκότος
τοῦ βασιλέως τὴν ἔξοδον, καίτοιγε ὑποτοπάζοντος τὴν ἐπίθεσιν.
παραχρῆμα δὲ ἐπανίσταται καὶ μέχρι Φρυγίας καὶ τοῦ Κοτυαείου

---

1 *Δοραχιτιανοῦ* x (*Δορραχηνός* Malalas *p.* 392, 2) *Δοραχιτιάνου* y *Δυραχιτιάνου* h *Δυρραχιτιάνου* g. — 2 *ὁ Λογγῖνος* g. — 6 *μαγίστρον* deh *sine acc.* c. — 7 *μαγιστρείου* d. — 8 *ἐν Ἀντιοχείᾳ ὄντος* (*ὄντως* fm) *ἐκ τῆς ἐξ. ἐπαν. εἰς τ. ἴδ. θρ. ἐκέλευσεν* (*ἔκελευ* c). *ὁ δὲ βασιλεὺς κ. τ. λ.* y *eademque* A *legisse videtur. ἐν Ἀντιοχείᾳ ἐκ τῆς ἐξ. ἐπαν. εἰς τ. ἴδ. θρ. δυσωποῦντος, ὁ βασιλεὺς κ. τ. λ.* xz. *Equidem ἐκέλευσε et δὲ in* yA *et δυσωποῦντος in* xz *interpolata et pro ὄντος codicum* yA *θέλοντος vel simile quid legendum esse crediderim.* — 9 *εἰς δὲ Ἀντ.* — 10 *κατεδέξατο om.* h. — *ἀπελθεῖν* yzA *ἐπανελθεῖν* x. — 12 *σύνοδον ἁγίαν* x. — 13 *Ταβεννισιώτης* g. — 16 *αὐτὸν οἰκόνομον? ex* A. — *αὐτῷ om.* f. — *καὶ συγκροτήσας οὕτως*] sustentare curavit ita A. — 18 fide rupta multaque ingratitudine usus A. — *τοῦτον*] *τοῦ* c. — 20 *γνούς* c. — 26 *καὶ βαρβάρων* c. — *ιε' χιλιάδας* Sarrazin de Theod Lect. p. 222 *cum* Niceph. *ε' μυριάδας, si quid mutandum, praefero.* — 28 *τεθημένων* dfh *τεθημένον* e *τετημένων* m *τεθειμμένον* g. — 30 *Κοτυαῖον* y *Κοτυάγου* z *Κωτυαγίου* d *Κοττυαγίου* c.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

χωρεῖ, πόλεις τε πολλὰς ληΐζόμενος, πλὴν οὐκ αὐτὸς ἡγούμενος τοῦ στρατεύματος. Νινίλιγγις γὰρ ἦν, ὁ τῆς Ἰσαυρίας ἡγεμὼν ἐπὶ Ζήνωνος καταστάς, ἀνὴρ θρασύτατος, καὶ Ἀθηνόδωρος, ἁπλούστατος ἄνθρωπος, εἷς τῶν συγκλητικῶν, καὶ Κόνων, ὁ τῆς Ἀπαμείας ἐπίσκοπος, καταλιπὼν μὲν τὸν θρόνον, εἰς ὁπλίτην δὲ καὶ στρατηγὸν ἐξ ἱερέως μεταταξάμενος. τούτοις ἀνθίστησι στράτευμα Ῥωμαϊκὸν Ἀναστάσιος, ἡγουμένου ὄντος Ἰωάννου τε τοῦ Σκύθου, τοῦ τὴν Ἴλλου καὶ Λεοντίου τυραννίδα καθελόντος, καὶ Ἰωάννου τὸ ἐπίκλην Κυρτοῦ, ἀμφοτέρων τοῦ Θρᾳκῴου στρατεύματος ἡγουμένων, καὶ Διογένους (οὗτοι κόμητες σχολῶν ἐτύγχανον ὄντες) καὶ ἑτέρων τινῶν ἐπαινετῶν ἀνδρῶν. μάχης δὲ περὶ τὸ Κοτυάειον γενομένης, Νινίλιγγις μὲν ὁ στρατηγὸς ἀποσφάττεται, μικροῦ δὲ τὸ πλεῖστον Ἰσαυρικὸν ἀπολλύμενον μόλις ἐπὶ τὰ σφέτερα διεσώθη. καὶ εἰ μὴ περὶ τὰ σκῦλα τοῖς Ῥωμαίοις γέγονε σχολή, τελείως ἂν ἐκράτησαν
119 P τοῦ πολέμου. ἀλλ' ἐκείνων ἐν τούτοις ἀποσφαλέντων, φρουρίου
214 B τινὸς ἐπὶ τῆς ἄκρας τοῦ Ταύρου κρατήσαντες οἱ Ἴσαυροι τρίτον ἔτος ἤρκεσαν πολεμοῦντες ὠχυρωμένοι τῇ θέσει τῶν ὑπὲρ τοῦ Ταύρου πολισμάτων τε καὶ φρουρίων.

493/4. A. M. 5986 γ'. γ'. β'. ε'. ιη'. δ'. ε'.

Τούτῳ τῷ ἔτει ληφθείσης Κλαυδιουπόλεως ὑπὸ Διογένους τῆς μεταξὺ τῶν δύο Ταύρων ἐν πεδίῳ κειμένης, οὐκ ἐνεγκόντες οἱ Ἴσαυροι καταβαίνουσι τοῦ Ταύρου καὶ ἐπὶ πολὺ πολιορκοῦσι τὸν Διογένην, ὡς καὶ λιμῷ κινδυνεῦσαι καὶ φθαρῆναι τὸ στράτευμα. πλὴν Ἰωάννης ὁ Κυρτὸς ὑπερβὰς τὰ στενὰ τοῦ Ταύρου καὶ τοὺς φύλακας ἑλών, αἰφνιδίως αὐτοῖς ἐπιστὰς διέφθειρε τὸ στράτευμα τῶν πολιορκούντων, ἐπεξελθόντος καὶ Διογένους. τότε καὶ Κόνων ὁ ἐπίσκοπος πληγεὶς μετὰ βραχὺ τελευτᾷ, καὶ γίνεται τοῖς Ῥωμαίοις αὕτη δευτέρα καὶ μεγίστη νίκη.

Τῷ δ' αὐτῷ ἔτει Ζαμάσφης, ὁ υἱὸς Περόζου βασιλέως Περσῶν, ἐξεώσας Καβάδην ἐκράτησεν ἔτη δ' ἐκ τῶν αὐτοῦ τῆς βασιλείας τῶν Περσῶν.

494/5 A. M. 5987 Ἱεροσολύμων ἐπίσκοπος Μαρτύριος ἔτη η'.

δ'. δ'. γ'. ς'. α'. ε'. ς'.

---

1 τε *del. vid.* — 2 Νινιλίγγις em *sine acc.* f. — 3 θρασύστατος c. — 4 Κώνων d. — 8 Ἴλλοῦ h Ἴλου c Ἴλλου m. — τό] τοῦ f. — 10 καὶ Διογένους καὶ τοῦ *seq. lacuna dimidii fere versus* c Διογένους καὶ Πατρικίου? *ex* Mal. (Exc. Escor.). — ἐτύγχανον ὄντες x τυγχάνοντες yz. — 11 Κοτυάειον g Κοτυάϊον y Κοτύαον h Κοτύαγον c Κωτυάγιον d. — 12 Νινιλίγγις f Νινιλίγγης em. — 13 Ἰσαυρικῶν ἀπολλυμένων g. — 15 φρούριόν τινος y. — 19 γ'. γ'. β'. β'. ε'. ιη'. δ'. ε' cz ε'. γ'. β'. β'. ε'. ιη'. δ'. ε'. y. — 23 κινδυνεῦσαι καταφθαρῆναι?. — 26 ἐπεξελθόντος x ὑπεξελθόντος yz. — Κώνων mx. — 29 Ζάμασφος f. — Περόζου c Περώξου yz. — 30 τῶν *ante* Περσῶν *add. ex* y *om.* cz. — 33 δ'. δ'. γ'. γ'. ς'. α'. ε'. ζ'. cefg δ'. δ'. γ'. ς'. α'. ε'' ζ'. m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τούτῳ τῷ ἔτει Λογγῖνός τις, ὁ λεγόμενος Σελινούντιος, τὴν Ἀντιόχειαν τῆς Ἰσαυρίας οἰκῶν ἐπί τινος ὄρους κειμένην ὑψηλοῦ κατὰ τὴν μεσημβρινὴν τῆς χώρας θάλασσαν εἰσῆγε τοῖς Ἰσαύροις 215 B
ὁλκάσι πολλαῖς ἐμπορευόμενος πανταχόθεν τὰ τρόφιμα, καὶ ἐν ταύταις ταῖς δυσχωρίαις διῆγον Λογγῖνος ὁ μάγιστρος καὶ Ἀθηνόδωρος. ‖ ἀποκαμὼν δὲ ὁ βασιλεὺς ἐν τῷ χρονίζειν τὸν πόλεμον ἐθάρρησεν Εὐφημίῳ τῷ ἐπισκόπῳ, ὡς εἰρήνης ἐφίεται, καὶ συνάξαι τοὺς ἐνδημοῦντας ἐπισκόπους προσέταξε παρακαλέσοντας δῆθεν περὶ τῶν Ἰσαύρων. Εὐφήμιος δὲ τὸ μυστήριον ἐξήγαγε πρὸς Ἰωάννην πατρίκιον, πενθερὸν Ἀθηνοδώρου τοῦ ἐξάρχου τῆς τυραννίδος. ὁ δὲ δραμὼν τῷ βασιλεῖ ἀπήγγειλεν, ὅπερ εἰς ἀδιάλλακτον ἔχθραν κατ' Εὐφημίου τὸν βασιλέα Ἀναστάσιον ἤγειρεν. ‖ ὅθεν ⟨καὶ⟩ τὰς τῶν Theod. L. II, 12
Ἰσαύρων ἐπιβουλὰς Εὐφημίῳ ἐπέγραφεν. ‖ Εὐφημίῳ δέ τινες ἐπι- Theod. L. II, 11
βουλεύοντες ὑπέθεντό τινι πρὸ τοῦ Μαρτυρίου ξίφος ἐλάσαι κατὰ τῆς κεφαλῆς αὐτοῦ. Παῦλος δέ, ὁ ἔκδικος τῆς ἐκκλησίας, ὑπερ- 120 P
ωμίας ὢν τὴν πληγὴν κατὰ τῆς κεφαλῆς ἐδέξατο καὶ ἐκινδύνευσεν· τὸν δὲ ἐπίβουλον τῇ λεγομένῃ σειρᾷ ἀνεῖλεν. ‖ πάλιν ἐν τῇ συνάξει τοῦ ὄρους ἐνήδρευσαν ἀνελεῖν Εὐφήμιον, ὃς ἰδιωτικῷ σχήματι διαφυγὼν ἐσώθη. ‖ Ἀναστάσιος δὲ ὁ βασιλεὺς τὴν ὁμολογίαν αὐτοῦ Theod. L. II, 8
παρὰ Εὐφημίου μετὰ βίας ἀφείλατο. ‖

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 5985 495/6
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	216 B
,ϡπη'.	ἔτη υπη'.	Ἀναστάσιος	Καβάδης	Γελάσιος	
		ἔτη κζ'.	ἔτη λ'.	ἔτη ε'.	
		ε'.	α'.	δ'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Εὐφήμιος	Μαρτύριος	Ἀθανάσιος	Παλλάδιος
ἔτη ζ'.	ἔτη η'.	ἔτη ζ'.	ἔτη ι'.
ζ'.	α'.	ϛ'.	ζ'.

Τούτῳ τῷ ἔτει Ἰωάννης ὁ Σκύθης πολιορκῶν παρέλαβε τόν τε Λογγῖνον, τὸν ἀπὸ μαγίστρων, καὶ Λογγῖνον τὸν Σελινούντιον καὶ Ἀθηνόδωρον καὶ τοὺς λοιποὺς τυράννους. καὶ τούτους ἀποτεμὼν

---

1 Σεληνούντιος mz Σεληνοῦντος y. — 2 κειμένου xy. — 4 ἐκπορευόμενος y. — 5 μαγίστρος dez sine acc. c. — 7 καὶ om. f. — συνάξας f. — 8 προσέταξεν om. c. — παρακαλέσαντας g παρακαλέσαντος c. — 9 Ἰωάννην τὸν π. xz τὸν om. y Theod. — πατρίκιον om. h. — 12 καὶ add. ex A om. codd. — 13 Εὐφημίῳ prius om. f. — 14 μαρτυρίου] μιτατωρίου Theod. L. — 15 ὁ om. h. — 17 ἐπιλεγομένῃ f. — σέρᾳ Theod. L. — Iterum ergo in collecta insidiati Euphemium consiliati sunt interimere A. — 19 αὐτοῦ om. y. — παρὰ Εὐφ. τὴν ὁμολ. αὐτοῦ c. — professionem suam, de qua praedictum est A. — 20 μετὰ βίας om. hy. — ἀφείλατο z ἀφέλετο x ἀνείλατο f ἀνεῖλεν ἀνείλατο em. — 28[1] Εὐφήμιος om. h. — 29[2] ἔτη δ'. z. — 30[1] ζ' om. y. — 32 Σεληνούντιον efz Σεληλούντιον m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰς κεφαλὰς αὐτῶν εἰς τὸ Βυζάντιον ἔπεμψεν Ἀναστασίῳ τῷ βασιλεῖ. Ἀναστάσιος δὲ ἱππικὸν ἐπιτελέσας τὰς κεφαλὰς τῶν τυράννων καὶ τοὺς πεμφθέντας δεσμίους τῶν Ἰσαύρων ἐθριάμβευσεν, καὶ ἐπὶ σκολόπων ἐν Συκαῖς ταύτας ἀναρτήσας πᾶσιν ἐδημοσίευσεν, τὸ δὲ πλῆθος τῶν Ἰσαύρων εἰς τὴν Θρᾴκην μετῴκισεν. Ἰωάννην δὲ τὸν Σκύθην καὶ τὸν ἕτερον Ἰωάννην τὸν Κυρτὸν ὑπατείας καὶ τιμῆς

Theod. L. II, 10 ἠξίωσε μεγάλης· ‖ Εὐφημίῳ δὲ τῷ ἐπισκόπῳ ἐδήλωσε δι' Εὐσεβίου

cf. Georg. Mon. p. 522, 15 μαγίστρου· "αἱ εὐχαί σου, ὁ μέγας, τοὺς φίλους σου ἠσβόλωσαν. ‖

Theod. L. II, 12 συναγαγὼν δὲ ὁ βασιλεὺς τοὺς ἐνδημοῦντας ἐπισκόπους κατὰ Εὐφημίου ἐνεκάλει, οἳ καὶ χαριζόμενοι τῷ βασιλεῖ ἀκοινωνησίαν καὶ καθαίρεσιν αὐτοῦ ἐψηφίζοντο. προχειρίζεται δὲ ὁ βασιλεὺς Μακεδόνιον ἐπίσκοπον Κωνσταντινουπόλεως, σκευοφύλακα ὄντα ⟨τότε τῆς αὐτῆς ἐκκλησίας⟩. ὁ μέντοι λαὸς διὰ τὸν Εὐφήμιον ἐστασίαζεν· καὶ εἰς τὸ ἱπποδρόμιον ἔδραμον λιτανεύοντες, ἀλλ' οὐδὲν ὠνῆσαι ἴσχυσαν,

217 B τοῦ βασιλέως κακῶς νικᾶν σπεύδοντος. Μακεδόνιος δὲ κακῶς πεισθεὶς Ἀναστασίῳ ὑπέγραψε τῷ ἑνωτικῷ Ζήνωνος. ‖

496/7. A. M. 5989 Κωνσταντινουπόλεως ἐπίσκοπος Μακεδόνιος ἔτη ις'.
ξ'. β'. ε'. α'. β'. ζ'. η'.

Theod. L. II, 15 ‖ Τούτῳ τῷ ἔτει Εὐφήμιον Ἀναστάσιος εἰς Εὐχαΐτα ἐξόριστον

121 P ἀπέστειλεν. ὁ δὲ λύγον ᾔτησε διὰ Μακεδονίου λαβεῖν, ἀνεπιβούλευτον μεῖναι ἐν τῷ ἀπάγεσθαι. ἐπιτραπεὶς δὲ Μακεδόνιος δοῦναι τὸν λύγον, εἰσερχόμενος ἐν τῷ βαπτιστηρίῳ πρὸς τὸν Εὐφήμιον ἀφελεῖν ἀπ' αὐτοῦ τὸ ὠμόφορον τῷ ἀρχιδιακόνῳ προσέταξεν, καὶ οὕτω λιτὸς πρὸς Εὐφήμιον εἰσελθὼν δανεισάμενός τε χρήματα δέδωκεν Εὐφημίῳ, ‖ ὡς παρὰ πολλῶν ἐπαινεθῆναι κατὰ τοὺς δύο

Theod. L. II, 14 τρόπους. ‖ ἀσκητικὸς γὰρ ἦν καὶ ἱερός, ὡς ὑπὸ Γενναδίου τραφείς, οὗ καὶ ἀδελφιδοῦς ὑπῆρχεν. ‖

Τῷ δ' αὐτῷ ἔτει Ἀθανασίου, τοῦ ἐπισκόπου Ἀλεξανδρείας, τελευτήσαντος, ἐχειροτονήθη ἀντ' αὐτοῦ Ἰωάννης ὁ Μονάζων, πρεσβύτερος καὶ οἰκονόμος, ὁ ἐπίκλην Ἡμοῦλα.

497/8. A. M. 5990 Ῥώμης ἐπίσκοπος Ἀναστάσιος ἔτη β'.
Ἀλεξανδρείας ἐπίσκοπος Ἰωάννης ἔτη θ'.
ζ'. γ'. α'. β'. γ'. α'. θ'.

---

3 καὶ ἐπὶ Σκύθας ταύτας ἀναρτήσας y. — 4 πᾶσιν] ταύτας c *om.* d. — τῷ δὲ πλήθει cm τὰ δὲ πλήθει f. — 5 μετῴκησεν *codd.* — 6 τὸν ἕτερον z ἕτερον cy *om.* d. — ὑπατίας yz. — 7 μεγάλης ἠξίωσεν xz. — 8 ὁ μέγας *om.* g. — ἠσκόλωσαν cm. — 12 τότε τῆς αὐτῆς ἐκκλησίας *add. ex* A *om. codd.* — 13 ἐστασίαζον g. — 14 ἱπποδρομεῖον efx. — 19 τῷ δ' αὐτῷ ἔτει d. — Εὐχάϊτα Theod. Εὐχάϊταν dz Εὐχαΐταν cy. — ἐξόρ. ἀπέστειλεν] ἐξώρισεν y. — 20 λαλεῖν g. — 21 ἀγαπᾶσθαι f. — 22 πρὸς Εὐφ. f. — 23 ὠμοφόριον c Theod. ὠμόφορον *rell.* — 24 εἰσελθὼν πρὸς Εὐφήμιον x. — 26 ὡς] ὧν y. — 27 ἀδελφός f ἀδελφόπαις d. — 28 Ἀναστασίου y. — 30 Ἡμούλα cm Ἡμοῦλας Bentley *ep. ad Millium in edit. Malalae Bonn p. 746.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τούτῳ τῷ ἔτει ἐπιδρομῆς τῶν λεγομένων Σκηνιτῶν Ἀράβων ἐν cf. Euagr. III, 36
Εὐφρατησίᾳ γενομένης ἐν Βιθραψᾷ καλουμένῳ χωρίῳ πρώτῳ τῆς 218 B
Συρίας, Εὐγενίου στρατηγοῦ τῶν ἐκεῖσε κατ' αὐτῶν παραταξαμένου,
ἀνδρὸς λόγῳ καὶ ἔργῳ σπουδαίου, ἐκράτησε τῆς μάχης. οἱ δὲ νικη-
θέντες Περσῶν ὑπόσπονδοι ἦσαν τῆς Νααμάνου τοῦ φυλάρχου
φυλῆς. τότε καὶ Ῥωμανὸς τῆς ἐν Παλαιστίνῃ δυνάμεως ἄρχων,
ἀνὴρ ἄριστος, εὐβουλίᾳ καὶ στρατηγίᾳ χειροῦται εἰς πόλεμον Ὤγα-
ρον, τὸν τοῦ Ἀρέθα, τοῦ τῆς Θαλαβάνης ὀνομαζομένου παιδός, σὺν
αἰχμαλώτων πλήθει πολλῷ. κατηγωνίσατο δὲ καὶ ἐφυγάδευσε πρὸ
τῆς μάχης ἐκείνης ὁ Ῥωμανὸς καὶ ἕτερον Σκηνίτην, Γαβαλᾶν ὀνό-
ματι, καταδραμόντα τὴν Παλαιστίνην πρὸ τῆς αὐτοῦ παρουσίας.
τότε καὶ τὴν νῆσον Ἰωτάβην, κειμένην ἐν τῷ κόλπῳ τῆς ἐρυθρᾶς
θαλάσσης καὶ ὑποτελῆ φόροις οὐκ ὀλίγοις ὑπάρχουσαν βασιλεῖ Ῥω-
μαίων, κατασχεθεῖσαν δὲ μεταξὺ ὑπὸ τῶν Σκηνιτῶν Ἀράβων, μά-
χαις ἰσχυραῖς ὁ Ῥωμανὸς ἠλευθέρωσεν, αὖθις τοῖς Ῥωμαίοις πραγ-
ματευταῖς δοὺς αὐτονόμως οἰκεῖν τὴν νῆσον καὶ τὰ ἐξ Ἰνδῶν
ἐκπορεύεσθαι φορτία, καὶ τὸν τεταγμένον βασιλεῖ φόρον εἰσάγειν.

η'. δ'. β'. γ'. δ'. β'. ι'. A. M. 5991 **498/9**

Τούτῳ τῷ ἔτει Μακεδόνιος γνώμῃ τοῦ βασιλέως ἑνῶσαι τὰ 122 V
μοναστήρια τῆς βασιλίδος ἔσπευδεν ἀποσχίζοντα διὰ τὸ ἑνωτικὸν
Ζήνωνος. ἀδυνατῶν δὲ τοῦτο ποιῆσαι συνεβούλευσε τῷ βασιλεῖ 219 B
τοὺς ἐνδημοῦντας ἐπισκόπους συνελθεῖν καὶ τὰ ἐν Χαλκηδόνι καλῶς
δογματισθέντα ἐγγράφως βεβαιῶσαι, ὅπερ καὶ γέγονε δι' ἐγγράφου
πράξεως. καὶ προετρέπετο τὰ μοναστήρια πρὸς ἕνωσιν, μάλιστα δὲ
τὴν Δίου μονὴν καὶ Βασιανοῦ καὶ τῶν Ἀκοιμήτων καὶ Ματρώνης,
ἅ τινα μᾶλλον καὶ ἀπέσχιζον τῶν δεχομένων τὸ ἑνωτικὸν Ζήνωνος
καὶ ἐξορίας προθύμως ὑπέμενον. ἐνστάντων οὖν αὐτῶν, συνεῖδε
Μακεδόνιος τῇ προαιρέσει αὐτῶν καταλιπεῖν αὐτούς, ἢ διωγμὸν

A v. 1 *in ordinem redit* b. — *Σκηνιτῶν* z *Σκηνητῶν* bxy. — 2 *Εὐφρασίᾳ* b. — *γενομένης* b. — *Βιθράψᾳ* b *sine acc.* c. — 3 *παραταξαμένου — ἐκράτησε om.* em. — 4 *ἀνδρὸς λόγῳ καὶ ἔργῳ* x *ἀνδρὸς ἔργῳ καὶ λόγῳ* z *ἀνδρὸς καὶ ἔργῳ* f *ἀδρὸς καὶ ἔργῳ* b. — 5 *Νααμάλου* b *Νααμάτου* d *cf.* Euagr. VI, 2. — 6 *ἐν Παλαιστίνης* b. — 7 *εὐβουλίᾳ scr. e coni. ἐν βουλίᾳ* b *ἐν βουλῇ* xyz. — *εἰς om.* b *χειρ. πολέμῳ?.* — *Ὄγαρον* b *Ἄγαρον rell.* — 8 *Θαλαβάνης* bz *Χαλαβάνης* d *Χαλβάνης* c *Φαλαβάνης* ef *Βαλάνης* m. — *ὀνομαζομένης* x. — *παῖδα?* — 10 *ἐκεῖνος* y *om.* h. — *Σκηνίτην* g *Σκηνήτην* bhx *Σκηνητήν* y. — *Γαβαλάν* b (*cf.* Proc. Pers. I, 18 *p.* 89) *Γάμαλον* emz *Γαμαλόν* f *Γαμάλανον* x. — 12 *Ἰωτάβην τὴν νῆσον* xyz. — *Ἰωτάβιν* b. — 13 *ὑπὸ τέλη* b *ὑποτελλει sine acc.* h *ὑποτελεῖς* y. — *ὑπάρχουσιν* y. — *βασιλεῖς* b. — 14 *δὲ om.* b. — *Σκηνιτῶν* z *Σκηνητῶν* bxy. — 16 *αὐτονόμως* x *αὐτὸν ὅμως* y *αὐτῶν ὅμως* b *αὐτὸν ὁμοίως* z. — 17 *ἐμπορεύεσθαι* x. — *βασιλέα* b *τῇ βασιλείᾳ* x. — 21 *ἀδυνάτων* h *ἀδύνατον* b. — 22 *εἰσελθεῖν* b. — 24 *προέτρεπε* yz. — 25 *Βασγιανοῦ* b *Βασσιανοῦ* c. — 27 *ἐξορίαν* x. — *αὐτῶν om.* y. — *συνεῖδεν* b *συνῆκεν* xz *συνεῖ καὶ* em *σὺν εἶν καί* f. — 28 *ἢ] εἰ* b.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐγεῖραι κατ' αὐτῶν. Ματρῶνα δὲ ἡ ὁσία ἔτι ζῶσα καὶ μὴ κοινωνοῦσα σὺν ταῖς σὺν αὐτῇ ἀσκητρίαις διὰ τὸ ἑνωτικὸν Ζήνωνος παράδοξα πολλὰ ἐνεδείξατο, Χρυσαορίου, διακόνου τῆς ἐκκλησίας, αὐτὴν ἀναγκάζοντος. καὶ ἄλλη δέ τις Σοφία καλουμένη ἐπίσημος ἐν μοναζούσαις πολλὰ παθοῦσα μεγάλην ὑπομονὴν ἐνεδείξατο. ‖ 5
Theod. L. II, 18 Cram. Anecd. II 106 Θευδέριχος δὲ ὁ Ἄφρος διάκονον ἔχων ὀρθόδοξον πάνυ ἀγαπώμενον ὑπ' αὐτοῦ, μεταθέμενον δὲ εἰς Ἀρειανισμόν, χαριζόμενον Θευδερίχῳ ἀρειανίζοντι, ἀπέτεμεν αὐτὸν ξίφει εἰπών· "εἰ τῷ θεῷ πίστιν οὐκ ἐφύλαξας, οὐδὲ ἐμοὶ φυλάξεις." ‖ Παλλαδίου δὲ τοῦ ἐπισκόπου Ἀντιοχείας τελευτήσαντος, Φλαβιανὸν πρεσβύτερον καὶ ἀποκρισιάριον 10
220 B τῆς ἐκκλησίας Ἀντιοχέων ὁ βασιλεὺς ἐψηφίσατο. φασὶ δὲ Φλαβιανὸν Cram. Anecd. II, 106 cf. Theod. Lect. frg. p. 532 τοῖς ἐν Χαλκηδόνι δόγμασιν ἀντικεῖσθαι. ‖ Ὀλύμπιος δέ τις Ἀρειανὸς ἐν τῷ Ἑλενιανῶν βαλανείῳ λουόμενος, δεινῶς βλασφημήσας ἐλεεινῶς ἐν τῇ νεροφόρῳ τέθνηκεν· ὅπερ ἐν εἰκόνι ἐγράφη. Εὐτυχιανὸς δέ τις πρῶτος τῶν διαιταρίων δώροις πεισθεὶς ὑπὸ τῶν Ἀρειανῶν τὴν 15
ἀνατεθεῖσαν εἰκόνα τοῦ Ὀλυμπίου καθεῖλεν· καὶ ἐξετάκη δεινῶς τὸ σῶμα ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἀπέθανεν. ‖

499/500 A. M. 5992

Κόσμου ἔτη ,ε͵ϡβ'.	Τῆς θείας σαρκώσεως ἔτη υϡβ'.	Ῥωμαίων βασιλεὺς Ἀναστάσιος ἔτη κζ'. Θ'.	Περσῶν βασιλεὺς Καβάδης ἔτη λ'. ε'.	Ῥώμης ἐπίσκοπος Ἀναστάσιος ἔτη δ'. γ'.

Κωνσταντ. ἐπίσκοπος Μακεδόνιος ἔτη ις'. δ'.	Ἱεροσολύμων ἐπίσκοπος Μαρτύριος ἔτη η'. ε'.	Ἀλεξανδρείας ἐπίσκοπος Ἰωάννης ἔτη Θ'. γ'.	Ἀντιοχείας ἐπίσκοπος Φλαβιανὸς ἔτη νγ'. α'.

123 F Theod. L. II, 16 ‖ Τούτῳ τῷ ἔτει Φῆστος, συγκλητικὸς Ῥώμης, ἀποσταλεὶς πρὸς Ἀναστάσιον διά τινας χρείας πολιτικὰς τὰς μνήμας τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου πανηγυρικώτερον ἐπιτελεῖσθαι ἠτήσατο, 30
ὃ καὶ κρατεῖ μέχρι νῦν. Μακεδόνιος δὲ πρὸς Ἀναστάσιον, ἐπίσκο-

---

1 *Ματρώνα* ehm *sine acc.* c. — *ὁσία*] *ἁγία* x. — 2 *σὺν αὐτῇ*] *σὺν αὐταῖς* y. — 3 *Χρυσαορίου* d *Χρυσαωρίου* m. — 4 *αὐτῆς* b. — 6 *δὲ om.* bm. — *Ἄφρός* b. — 7 *περιθέμενον* ef *περιθέμενος* m. — *χαριζόμενος* dhy. — *Θευδερίζῳ* b. — 8 *πίστιν* b Cr. Th. *τὴν πίστιν* xyz. — 10 *τὸν πρεσβύτερον* f. — 12 *ἀντίκεισθαι* bcf. — 13 *Ἑλενιανῶν* z *Ἑλενιανὸν* b *Ἑλενιανῷ* d *Ελενιανῶν sine spir.* e *Ἑλινιανῶν* m *Ελινιανῶν sine spir.* e *Ἑλιανῶν* f Helianensium A. — *ἐλεεινός* b. — 14 *νεροφόρῳ* b. — *Ἐντυχιανός* b. — 15 *διεταρίων* b *διαταρίων* d. — *πλησθεὶς* f. — *τῶν om.* h. — 16 *τῶν Ὀλυμπίου* c *et ut vid.* d *τοῦ Εὐτυχιανοῦ* b. — *τὸ σῶμα αὐτοῦ* y. — 25[2] *Ἠλίας* bz *Ἠλίας* cy *cf. dissert. de codd. Theoph.* — 26[2] *ἔτη Θ'* bcy *ἔτη ς'* g *ἔτη γ'*. h. — 27[2] *ε'*. b *α'*. cz *om.* y. — 27[3] *γ'*. *om.* y. — 28 *Φήστος* em *Φηστος sine acc.* f *Φίστος* b *Φίστος* h. — 30 *ἠτήσαντο* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

που Ῥώμης, συνοδικὰ διὰ Φήστου πέμψαι βουληθεὶς ἐκωλύθη παρὰ τοῦ βασιλέως. ‖

ι΄. ς΄. δ΄. ε΄. ς΄. δ΄. β΄. A. M. 5993 500/1

‖ Τούτῳ τῷ ἔτει Φῆστος ἀπερχόμενος ἐν Ῥώμῃ συνέθετο τῷ βασιλεῖ Ἀναστασίῳ πείθειν Ἀναστάσιον τὸν πάπαν δέξασθαι τὸ ἑνωτικὸν Ζήνωνος. τοῦτον δὲ οὐ κατέλαβε ζῶντα. ὑποφθείρας δὲ διὰ χρημάτων πολλοὺς ψηφίζεται παρὰ τὸ ἔθος Ῥωμαίων ἐπίσκοπον Λαυρέντιόν τινα, ὃς καὶ ἐχειροτονήθη ὑπὸ τοῦ ἑνὸς μέρους. οἱ δὲ ὀρθοδοξότεροι διαιρεθέντες χειροτονοῦσι Σύμμαχον ἕνα ὄντα τῶν διακόνων. ἔνθεν λοιπὸν ἀταξίαι πολλαὶ καὶ φόνοι καὶ ἁρπαγαὶ γεγόνασιν ἐπὶ τρία ἔτη, ἕως οὗ Θευδέριχος ὁ Ἄφρος κρατῶν τηνικαῦτα Ῥώμης, καίπερ Ἀρειανὸς ὤν, σύνοδον κροτήσας τοπικήν, Σύμμαχον μὲν ἐπίσκοπον Ῥώμης ἐκύρωσεν, Λαυρέντιον δὲ εἰς Νοκέρειαν τὴν πόλιν ἐπισκοπεῖν προσέταξεν. ὁ δὲ μὴ ἡσυχάσας, ἀλλὰ στάσεις κινῶν ὑπὸ Συμμάχου καθαιρεῖται καὶ εἰς ἐξορίαν πέμπεται. καὶ οὕτω κατεπαύθη ἡ στάσις. ‖ Theod. L. II, 17 221 B

‖ Τῷ δ' αὐτῷ ἔτει Ἀναστάσιος ἀνέστειλε τὸ χρυσάργυρον καὶ τὰ κυνήγια καὶ τὰς ἀρχὰς ὠνίους οὔσας δωρεὰν προεβάλλετο. ‖ Theod. L. II, 58 Cram. II, 109

Ῥώμης ἐπίσκοπος Σύμμαχος ἔτη ιβ΄. A. M. 5994 501/2

ια΄. ζ΄. α΄. ς΄. ζ΄. ε΄. γ΄.

Τούτῳ τῷ ἔτει γέγονε πάλιν Σαρακηνῶν ἐπιδρομὴ ἐν τε Φοινίκῃ καὶ Συρίᾳ καὶ Παλαιστίνῃ, μετὰ τὴν Ὠγάρου τελευτὴν Βαδιχαρίμου, τοῦ ἀδελφοῦ αὐτοῦ, δίκην θυέλλης ἐπιδραμόντος τοῖς τόποις, καὶ ὀξύτερον, ἥπερ ἐπέδραμεν, μετὰ τὴν λείαν ἐπαναδραμόντος, ὥστε μηδὲ ἐπιδιώξαντα Ῥωμανὸν καταλαβεῖν τοὺς ἐχθρούς. cf. Euagr. III, 36 222 B

Τῷ δ' αὐτῷ ἔτει καὶ οἱ καλούμενοι Βούλγαροι τῷ Ἰλλυρικῷ καὶ Θρᾴκῃ ἐπιτρέχουσι καὶ ἐπανατρέχουσι πρὶν γνωσθῆναι αὐτούς.

---

1 *συνοδικά* b Th. *συνοδικόν rell.* A. — *διὰ Φίστου* fh *διὰ Φείστου* g *διὰ Φῖστου* b. — 3 *ι΄. ς΄. δ΄. ε΄. β΄. δ΄. β΄.* z *om.* f. — 4 *Φήστος* f *Φῖστος* b *Φίστος* h. — 5 *πάππαν* g. — 8 *τοῦ om.* f. — 9 *ὀρθόδοξοι* y. — 11 *ἐπὶ ἔτη γ΄.* b. — *Ἄφρὸς* b. — 12 *τοπικόν* g. — 13 *ἐκύρωσεν* — 14 *ἐπισκοπεῖν προσ. om.* em. — *ἐκύρωσεν om.* c. — *Νοκέριαν* h *Νοβερεῖαν* f *Νοκερὰς* b. — 14 *ἐπισκοπεῖν* b *ἐπίσκοπον* cz *om.* f locari praecepit episcopum A. — *ἄλλας στάσεις* b. — 15 *καθαίρεται* b. — *vv.* 17. 18 b *in mg. colore rubro appictos exhibet.* — 17 *τὸ* b Cr. Theod. *τὸν rell.* — 18 *ἀρχὰς ὀνίους* b *ἀρχιωνίους* cg *ἀρχιονίους* h *ἀρχιωνίας* y. — *προσεβάλλετο* b *προεβάλετο* y. — 19 *ἔτη β΄* cf. — 20 *ια΄. ζ΄. α΄. ς΄. γ΄. ε΄. γ΄.* z *ια΄. ζ΄.* (*ιξ΄.* f) *α΄. ς΄. ζ΄. ε΄. β΄.* y. — 21 *τε*] *τοι* g. — 22 *καὶ Παλαιστίνῃ add. ex* b Euagr. *om.* xyzA. — *Ὀγάρου* b *Ἀγάρου rell.* A. — *Βαδιχάρμου* b. — 23 *καὶ ὀξύτερον om.* g. — 24 *ἥπερ* c *εἴπερ* bdyz. — *λείαν* cg *λίαν* bdhy. — *ἐπαναδραμόντος* b *ἐπιδραμόντος* xyz. — 25 *μηδὲ add.* b *om.* xyz. — *καταβαλεῖν* g. — 26 *τῷ δ' αὐτῷ ἔτει* bd *τούτῳ τῷ ἔτει* cyz hoc etiam anno A. — *Βούλγαροι* b *et sec. m.* f *Βούλγαρεις* dz *Βούλγαρις* em *Βουλγαρεις sine acc.* c. — *τὸ Ἰλλυρικὸν καὶ Θρᾴκην* b. — 27 *καὶ ἐπανατρέχουσι add. ex* b *om.* xyzA.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

502/3 A. M. 5995 Ἱεροσολύμων ἐπίσκοπος να΄ Σαλούστιος ἔτη η΄.
ιβ΄. η΄. β΄. ζ΄. α΄. ϛ΄. δ΄.

124 P Τούτῳ τῷ ἔτει σπένδεται πρὸς Ἀρέθαν Ἀναστάσιος, τὸν Βαδιχαρίμου καὶ Ὠγάρου πατέρα, τὸν τῆς Θαλαβάνης λεγόμενον, καὶ λοιπὸν πᾶσα ἡ Παλαιστίνη καὶ Ἀραβία καὶ Φοινίκη πολλῆς γαλήνης καὶ
Theod. L. II, 54 Cram. II, 109 εἰρήνης ἀπήλαυον. ‖ ἐν Νεοκαισαρείᾳ δὲ μέλλοντος γίνεσθαι σεισμοῦ, στρατιώτης ὀδεύων ὡς δύο στρατιώτας ἐπ' αὐτὴν εἶδε καὶ ὄπισθεν ἄλλον κράζοντα· "φυλάξατε τὸν οἶκον, ἐν ᾧ ἡ θήκη Γρηγορίου ἐστίν." γενομένου δὲ τοῦ σεισμοῦ, τὸ πλεῖστον μέρος τῆς πόλεως ἐπτώθη πλὴν τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ. ‖

503/4 A. M. 5996

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ε϶ϡϛ΄.	ἔτη υϛ΄.	Ἀναστάσιος	Καβάδης	Σύμμαχος
		ἔτη κζ΄.	ἔτη λ΄.	ἔτη ιβ΄.
		ιγ΄.	θ΄.	γ΄.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Μακεδόνιος	Σαλούστιος	Ἰωάννης	Φλαβιανὸς
ἔτη ιϛ΄.	ἔτη η΄.	ἔτη ϑ΄.	ἔτη ιγ΄.
η΄.	β΄.	ζ΄.	ε΄.

Theod. L. II, 52 Cram. II, 109 ‖ Τούτῳ τῷ ἔτει Καβάδης, ὁ τῶν Περσῶν βασιλεύς, χρήματα ἀπαιτεῖ Ἀναστάσιον. ὁ δὲ Ἀναστάσιος, εἰ μὲν δανείσασθαι βούλοιτο, ἔγγραφον ὁμολογίαν ἔλεγε ποιῆσαι, εἰ δὲ ἄλλῳ τρόπῳ, μὴ διδόναι. ‖
cf. Euagr. III, 37 Procop. Pers. I, 7 ὅθεν παρασπονδήσας τὴν γενομένην πρὸς Θεοδόσιον τὸν νέον ἐμπροσ-
223 B θεν εἰρήνην ἐπέρχεται μετὰ πλήθους πολλοῦ Περσικοῦ τε καὶ ἐπεισάκτου πρότερον μὲν Ἀρμενίαν καὶ λαμβάνει Θεοδοσιούπολιν, Κωνσταντίνου προδόντος αὐτήν, ἀνδρὸς συγκλητικοῦ τε καὶ Ἰλλυρίων ἄρξαντος ταγμάτων. εἶτα εἰς Μεσοποταμίαν ἐλθὼν Ἀμιδαν ἐπολιόρκει, Ῥωμαϊκοῦ στρατεύματος ἀξιολόγου μήπω τοῖς τόποις ἐνδημοῦντος, Ἀλυπίου δὲ μόνου βοήθειαν ἔχοντος ὀλίγην, ἀνδρὸς πανταχόθεν ἐπαινετοῦ καὶ φιλοσοφίας ἐραστοῦ, μάλιστα τὴν ἐνδεχομένην περί τε τὴν φυλακὴν τῶν πόλεων καὶ τὰ ἀπόθετα τῶν τροφῶν ἐπιμέλειαν

---

1 Ἱερ. ἐπ. Νασαλούστιος b Ἱερ. ἐπ. Ἀναστάσιος *rell.* — 4 Ὠγάρου b Ἀγάρου *rell.* — 6 ἀπέλαυον c. — 10 πλὴν τοῦ ναοῦ τοῦ ἁγ. Γρ. z. — τοῦ Θαυματουργοῦ *add. ex* bA Cr. Th. *om.* xyz. — 13[1] ,ε϶ϡϛ΄ *codd.* — 13[2] υϛ΄ *codd.* — 18[2] Σαλούστιος Ἠλίας cy. — 19[2] ἔτη ιη΄ β. — 20[1] η΄] ζ΄ b. — 20[2] β΄ *om.* bcy. — 21 τῶν *om.* b. — 22 ἀπαιτεῖ bd ἀπῄτει xz. — 23 τρόπῳ—γενομένην *om.* f. — 25 ἐπισάκτου gy. — 26 εἰς Ἀρμενίαν yz εἰς *om.* bx. — Θεοδοσιούπολιν em Θεοδοσίου πόλιν f Θεοδοσούπολιν b Θεοδοσόπολιν dz Θεοδοσύπολιν *s.* Θεοδοσιόπολιν c. — 27 τε *om.* d δὲ f. — καὶ *om.* yz. — 28 ταγμάτων b τάγματος *rell.* — ἐλθόντος h. — πόλιν Ἀμ. y. — Ἀμιδαν em Ἀμίδαν bz Ἀμιδὰν df *sine acc.* c. — ἐπολιώρκει g. — 29 μήπω τοῖς b μήπω *om.* xz μήπω τοῖς *om.* y. — 30 ἔχοντες b. — 31 ἐπαινετοῦ] αἰτοῦ g. — δεχομένην g. — 32 τὴν *om.* x. — ἐπιμέλεια b ἐπιμελεία m ἐπιμελία ef.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιουμένου. ᾤκει δὲ αὐτὸς ἐν Κωνσταντίνῃ, σταδίοις φξ′ κατὰ δύσιν ἀφεστώσης Νισίβης, * ὅσισοι καὶ ἡ Ἄμιδα πρὸς ἄρκτον. ἀλλὰ χρόνου τινὸς μεταξὺ ῥεύσαντος, καί τινων μερικῶν συμπλοκῶν Πέρσαις τε καὶ Ῥωμαίοις γενομένων, καθ' ἃς ποτὲ μὲν ἐλάττους, ποτὲ δὲ ἐπικρατέστεροι τῶν ἐθνῶν ἐν διαφόροις τόποις γεγόνεισαν οἱ Ῥωμαῖοι, τέλος Ἄμιδα προδίδοται τοῖς Πέρσαις, πολιορκηθεῖσα μὲν ὑπὲρ τοὺς τρεῖς μῆνας παρὰ τῶν βαρβάρων, προδοθεῖσα δὲ νύκτωρ ἐξ ἑνὸς 195 P
τῶν πύργων ὑπὸ μοναχῶν φυλαττομένων. κλίμαξιν οἱ πολέμιοι χρησάμενοι καὶ οὕτως ἔσω τῆς πόλεως γεγονότες λῃΐζονται πᾶσαν καὶ καθαιροῦσι καὶ πλοῦτον λαμβάνουσι πολύν, Κουάδου τοῦ βασιλέως 224 B
ἐπὶ ἐλέφαντος εἰς αὐτὴν ἐλθόντος μετὰ τρίτην ἡμέραν τῆς προδοσίας καὶ πλοῦτον μὲν ἀφελομένου πολύν, Γλώνην δὲ καταλιπόντος τῇ πόλει φύλακα, Κουάδου εἰς Νισίβιν ἐπαναζεύξαντος τὴν πόλιν, καὶ τῆς Περσικῆς δυναστείας μεταξὺ Ἀμίδης καὶ Κωνσταντίας διατριβούσης.

ιδ′. ι′. δ′. θ′. γ′. η′. ϛ′. A. M. 5997 5904/5.

Τούτῳ τῷ ἔτει στέλλεται παρὰ τοῦ βασιλέως Ἀναστασίου στρατιὰ cf. Proc. Pers. I, 8
Γότθων τε καὶ Βέσσων καὶ ἑτέρων Θρᾳκίων ἐθνῶν, στρατηγοῦντος τῆς ἕω καὶ ἐξαρχοῦντος αὐτῆς Ἀρεοβίνδου, τοῦ Δαγαλαΐφου παιδός, ὑπάτου γεγονότος ὀρδιναρίου, (τούτου πρὸς πατρὸς ἐγένετο πάππος Ἀρεόβινδος, ὁ κατὰ τὸν Θεοδοσίου τοῦ νέου χρόνον εὐδοκιμήσας κατὰ Περσῶν· ἐτέχθη δὲ Ἀρεόβινδος τῷ Δαγαλαΐφῳ ἀπὸ Γοδισθέας, τῆς Ἀρδαβουρίου θυγατρὸς τοῦ παιδὸς Ἄσπαρος, οὗ πρόσθεν ἐμνημονεύσαμεν) ἐπὶ δυναστείᾳ μεγάλῃ. συναπεστάλησαν δὲ τῷ Ἀρεοβίνδῳ

1 ἐν Κωνστ. b Κωνσταντίνης xyz. — σταδίοις φξ′. b σταδίοις νξ′. ch σταδίους νξ′. dy σταδίοιν ξ′. g. — κατὰ δύσης h. — 2 ἀφεστώσης bgx ἐφεστώσης hy. — Νίσιβις g. — Νισ. ὅσισοι καὶ ἡ Ἀμ. b Νισ. καὶ Ἄμ. xyz ἀφεστώσῃ Νισίβιος ὡς ἴσοις καὶ ἡ Ἄμ.? — Ἄμιδα gy Ἄμηδα h Ἀμίδα b Ἀμιδὰ d sine acc. c. — 4 καθ' ἃς μέν ποτε μὲν y. — 5 τόποις add. ex b om. xyz. — γεγόνεισαν bd γεγόνασιν vell. — οἱ om. x. — 6 Ἀμιδὰ προδίδοται τ. Π. πολιορκηθεῖσα — προδοθεῖσα b Ἄμιδα προδίδωσι τοῖς Π. πολιορκηθεῖσαν — προδοθεῖσα h Ἄμιδαν προδίδωσι τ. Π. πολιορκηθεῖσαν — προδοθεῖσαν g Ἄμιδαν προδίδωσί τις τ. Π. πολιορκηθεῖσαν — προδοθεῖσα (προδοθεῖσαν x) xy. — 7 παρ' αὐτῶν βαρβάρων g. — 8 φυλαττομένου y. — κλίμαξιν b καὶ μάξιν dz καὶ μάζην y καὶ seq. lacuna c καὶ κλίμαξιν? — 10 καθαίρουσι bf sine acc. c. — καὶ om. f. — Κουάδου b Καβάδου xyz item v. 13. — 11 μετὰ γ′ ἡμέρας c μετὰ τὴν τρίτην ἡμέραν g. — 12 ἀφελομένου b οὐ xyz. — Γλώνην scr. e p. 147, 8 coll. Proc. Pers. I, 7 Γλώνη bxz Γλόην y. — τῇ πόλει (τὴν πόλιν h) καταλιπόντος xyz. — 13 Νίσιβιν g Νισιβιν sine acc. c Νισίβην h. — τήν om. g. — Ἀμίδης b Ἀμίδας d Ἄμιδας yz Ἀμιδας sine acc. c. — 17 στρατιὰ d στρατία bcem στρατεία h. — 18 Βεσσῶν f Βεσσων sine acc. c Βέσων h. — Θρᾳκίων b Θρᾳκῴων x Θρᾳκῶν yz. — 19 τῆς ἑῴας yz. — ἐξαρχοῦντος byz ἐξάρχοντος x ἐξάρχον ὄντος?. — Δαλαγαΐφου yz. — 20 ὑπατίου h. — πρός] πρὸ c. — 21 Ἀρέσβινδος em Ἀρσέβινδος f. — 22 Δαλαγαΐφῳ yz. — Γοδισθέας x Γοδησθέας ehm Γόδης θέας b Γοσδησθέας f Δυαγησθέας g. — 23 Ἀρδαβαρίου f. — 24 δὲ om. b. — Ἀρεσβίνδῳ em Ἀρεοβίνδῳ sed eo in lit. sec. m. f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἕτεροι πλεῖστοι στρατηγοί, ὧν οἱ περιφανέστατοι Πατρίκιος
ἦν καὶ Ὑπάτιος, ὁ Σεκουνδίνου καὶ τῆς ἀδελφῆς Ἀναστασίου τοῦ
βασιλέως υἱός, καὶ Φαρισμάνης, ὁ Ζουνᾶ πατήρ, τὸ γένος Λαζός, καὶ
Ῥωμανὸς ὁ προειρημένος ἐξ Εὐφρατησίας συναφθεὶς τῷ στρατεύματι,
225 B καὶ Ἰουστῖνος ὁ βασιλεύσας μετὰ ταῦτα, καὶ Ζήμαρχος καὶ ἕτεροί τινες, τῆς δυνάμεως συνελθούσης ἐν Ἐδέσῃ, πόλει τῆς Ὀσροηνῆς, καὶ Σαμοσάτοις, πόλει τῆς Εὐφρατησίας. καὶ οἱ μὲν περὶ Ὑπάτιον καὶ Πατρίκιον ἠσχολοῦντο τὴν Ἄμιδαν ἐλευθερῶσαι τῆς Περσικῆς φυλακῆς, Ἀρεόβινδος δὲ μετὰ Ῥωμανοῦ καὶ Ἀσουάδου τοῦ φυλάρχου καί τινων ἑτέρων στρατοπεδευσάμενος ὡς πρὸς αὐτὸν Κουάδην τότε εἰς τὸ Νισίβιος διατρίβοντα διαφόροις μάχαις καταγωνίζεται τὸ Περσικὸν καὶ τοῦ Νισίβιος Κουάδην ἀπελαύνει καὶ πολλοῖς διαστήμασιν εἴσω χωρῆσαι τῆς χώρας πεποίηκεν. ἀνεῖλε δὲ καὶ στρατηγὸν μέγιστον τῶν Περσῶν ἐν μιᾷ συμπλοκῇ, οὗ καὶ τὸ ξίφος καὶ τὸ βραχιάλιον ἠνέχθη Ἀρεοβίνδῳ παρὰ τοῦ ἀνελόντος αὐτὸν Σκύθου, καὶ ἀξιόλογον ὡς μάλιστα φανὲν σύμβολον τῆς νίκης ἑστάλη τῷ βασιλεῖ. τῆς οὖν Περσικῆς στρατιᾶς ἐλαττωθείσης οὕτω τοῖς Ῥωμαϊκοῖς στρατηγοῖς παρασκευασάμενος Κουάδης εἰσπέμπει στράτευμα πλεῖστον κατὰ τῶν
226 B Ῥωμαίων, ὥστε Ἀρεόβινδον προτρέψαι τοὺς περὶ Ὑπάτιον καὶ Πατρίκιον, ἀπὸ τῶν περὶ Ἄμιδαν τόπων εἰς συμμαχίαν αὐτῷ συνδραμεῖν. ἐκείνων δὲ παραιτησαμένων διὰ φθόνον, ὑποχωρῆσαι ἠβουλήθη Ἀρεόβινδος καὶ εἰς τὸ Βυζάντιον εἰσελθεῖν, εἰ μὴ μόλις Ἀππίων ὁ Αἰγύπτιος, ὕπαρχος τότε τοῦ στρατεύματος ὢν καὶ τῆς δαπάνης καὶ τῆς ἐποψίας πάντων προεστηκώς, ἐπέσχεν αὐτὸν ἐν τοῖς τόποις. διαφερομένων δὲ τῶν στρατηγῶν πρὸς ἀλλήλους, Κουάδης εἰς Νισίβιν

1 περιφανέστατοι bg περιφανέστεροι hxy. — 3 Φαρισμάνης b Φαρασμάνης fhx Φαρασμανῆς g Φαρασβάνης em (Φαρεσμάνης Proc. Pers. I, 8. Vand. II, 19). — Ζουνᾶ] Ζάννα Proc. Vand. II, 19. — 4 Εὐφρασίας g. — 5 βασιλεύς f. — 6 μετελθούσης h. — Ἐδέσῃ em Ἐδέσει b Αἰδέσῃ dh Αἰδέσει g Αἰδέσσῃ c Ἐδέσσῃ f. — τῇ πόλει dg. — Ὀσροϊνῆς (Ὀσρω. d) dz Ὀσροίνης by Ὀσροινης sine acc. c. — 7 Σαμοσάτοις bg Σαμωσάτοις hxy. — φρατησίας z. — ὕπατον y. — 8 Ἀμιδὰν bdg sine acc. c. — 9 Ἀρσέβινδος y hic et aliis locis, item Ἀρέσβινδος haud raro. Ἀρεοβίνδος b hic et plerisque locis. — τοῦ φυλάρχου b φυλάρχων xyz. — 10 ὡς] ὃς f. — Κουάδην b Καβάδην xyz item v. 12. — 11 εἰς τὸ Νισίβιος scr. coll. v. 12 εἰς τὸν Νισίβην b εἰς τὴν Νισίβιν dy εἰς τὴν Νισίβην ch εἰς τὴν Νίσιβιν g. — τὸ Περσικόν b τὸν Περσικόν y τῶν Περσικῶν z τῶν Περσῶν x. — 12 τοῦ Νισίβιος b τοῦ Νίσιβος em et ut vid. pr. m. f τῆς Νισίβης hx τῆς Νίσιβις g. — 13 εἴσω χωρῆσαι y εἰς εὐχωρῆσαι b ὑποχωρῆσαι xz. — μέγιστον om. f. — 14 βραχιάλιον be βραχιόλιον fxz βραχιονάλιον m. — 16 φανὲν b φαμὲν xyz. — 17 στρατίας cef στρατείας dh. — 18 Καβάδης codd. — στρατεύματα πλείστων b. — τῶν om. z. — 19 Ἀρεσβοῦνδον em Ἀρεσβούντον f. — τούς b τοῖς xyz. — 20 ἀπὸ τὸν—τόπον b. — Ἄμιδαν dh Ἀμίδαν b Ἄμιδαν sine acc. c Ἄμιδα g Ἀμίνδα em Ἀμινδὰν f. — 21 διαφθόνον b. — διὰ φθόνον ὑποχωρῆσαι, ἠβ. y. — 22 Ἀρέσβιος f. — καὶ om. y. — τὸ add. bd om. cyz. — μόνος z. — Ἀπίων b Ἀππήων h Ἀππίον cf. — 23 τότε] τε g. — καὶ om. c. — 24 προεσχηκώς g. — 25 Καβάδης codd. — Νίσιβιν g Νισίβην hx.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλθὼν καὶ τὰ τῆς διχονοίας τῶν στρατηγῶν μαθὼν αὐτός τε πολὺς ὢν τῷ πλήθει καὶ πολλαχοῦ τὴν ἑαυτοῦ στρατιὰν κατακερματίζων πᾶσαν ὡς εἰπεῖν τὴν Ῥωμαϊκὴν κατέδραμε γῆν καὶ ἐδίωξε μέχρι Συριῶν αὐτῶν, πολλοὺς μεταξὺ πρὸς Ἀρεόβινδον ὑπὲρ εἰρήνης ἐκπέμψας πρέσβεις καὶ ἐπὶ χρήμασι καταλύειν τὸν πόλεμον λέγων. οὕτω τοίνυν καὶ τὰ περὶ τὴν Ἔδεσαν μάλιστα καταδραμών, καθ' ἣν ὁ Ἀρεόβινδος ἦν· πλὴν οὐ πράξας ἐκεῖ δεξιῶς, ἀλλὰ παρ' ἐλπίδας ἐλαττοῦται τῆς Ἀρεοβίνδου μάχης. γνοὺς δὲ καὶ τὸν Ἀμίδης φύλακα Γλώνην, τὸν στρατηγὸν αὐτοῦ, διαφθαρῆναι μηχανώμενον, ἐπανέρχεται κακωθεὶς διὰ ἑτέρας ὁδοῦ, καταφρονήσας τῶν ὁμήρων, οὓς δεδώκει τῷ Ἀρεοβίνδῳ κατὰ τοὺς εἰρήνης λόγους· καὶ κατέσχον παρὰ τὰς συνθήκας Ἀλύπιόν τε τὸν χρηστὸν ἐκεῖνον καὶ Βασίλειον τὸν Ἐδεσηνόν· ὥστε μετὰ τὴν ἀναχώρησιν αὐτοῦ τὴν ἐπὶ τὰ οἰκεῖα, χειμῶνος ἤδη καταλαβόντος, τοὺς μὲν στρατηγοὺς Ῥωμαίων ἐν διαφόροις τῆς Εὐφρατησίας καὶ Ὀσροηνῆς καὶ Μεσοποταμίας καὶ Σύρων καὶ Ἀρμενίων διαιρεθῆναι πολίσμασι τὸν χειμέριον αὐλισθησομένους καιρόν. 227 P

‖ Τῷ δ' αὐτῷ ἔτει ἱππικοῦ ἀγομένου, ἀταξία γέγονε τῶν δύο μερῶν, καὶ πολλοὶ ἀπέθανον ἐξ ἀμφοτέρων, ἐν οἷς καὶ ὁ υἱὸς Ἀναστασίου τοῦ βασιλέως, ὃν εἶχεν ἀπὸ παλλακῆς· καὶ σφόδρα λυπηθεὶς Ἀναστάσιος πολλοὺς ἐτιμωρήσατο καὶ ἄλλους ἐξορίαις παρέπεμψεν. ‖ Mal. in Herm. VI p. 374

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 5998 505/6.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,ε϶ϑη΄.	ἔτη υϑη΄.	Ἀναστάσιος	Καβάδης	Σύμμαχος	
		ἔτη κζ΄.	ἔτη λ΄.	ἔτη ιβ΄.	
		ιε΄.	ια΄.	ε΄.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Μακεδόνιος	Σαλούστιος	Ἰωάννης	Φλαβιανὸς
ἔτη ις΄.	ἔτη η΄.	ἔτη ϑ΄.	ἔτη ιγ΄.
ι΄.	γ΄.	ϑ΄.	ζ΄.

Τούτῳ τῷ ἔτει Κέλαρα τὸν μάγιστρον ὑπὸ τοῦ βασιλέως πεμφθέντα μετὰ τῆς σὺν αὐτῷ πλείστης δυνάμεως, καὶ τὴν ὅλην σχεδὸν

---

1 καὶ τά] κατὰ g. — 2 στρατειάν h στρατίαν dy. στρατιαν *sine acc.* c. — 3 ἐδηΐωσε gx. — Συρίων bd Συριων *sine acc.* cg Συρίας by. — 4 πολλὰς — πρεσβείας x. — ὑπέρ] περί x. — 6 Αἴδεσαν z Αἴδεσσαν c. — ὁ *add. ex* b *om.* xyz. — 8 Ἀμύδης b (ης *in cod. evanuit*) Ἀμήδης c. — Γλώνην cz Γλόνην em Γλώην d *et ut vid.* b Γλόην f. — 9 μηχανευόμενον f. — 10 τὸν ὅμηρον b. — Ἀρεβίνδῳ b. — 11 κατὰ *om.* xyz *addidi vestigia evanescentis scripturae cod.* b *secutus in quo hodie cernitur* κ . . .΄. — 12 τε] δέ b. — ἐκεῖνοι yz. — Ἐδεσινόν b Αἰδεσινόν dyz Αἰδεσινόν c. — 15 Ὠσροήνης d Ὀσροϊνῆς z Ὀσροΐνης bcy. — 16 πολίσμασι xz παλαίσμασι by. — αὐλιζομένους b. — 17 ἀγομένου b γενομένου xyz. — 29[3] ἔτη ϑ΄ *om.* h. — 30[3] ϑ΄ *om.* hy. — 31 τούτῳ τῷ ἔτει—*p.* 148, 23 ἐξωνήσασθαι *om.* d. — 31 Κέλαρα b Κέλωρα chy Κέλλωρα *pr. m.* e Κέλωρα *corr.* g. — μαγίστρον e *sine acc.* cg.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξουσίαν παρειληφότα σὺν Ἀρεοβίνδῳ τῷ στρατηγῷ, τούτοις κατε-
πίστευσεν ὁ βασιλεὺς τὴν τοῦ παντὸς πολέμου διοίκησιν. Ἀππίωνα
δὲ καὶ Ὑπάτιον μεταπέμπεται σπουδαίως εἰς τὸ Βυζάντιον, οὐκ ἀναγ-
127 P καίους ἡγησάμενος εἶναι τῷ στρατοπέδῳ διὰ τὴν πρὸς Ἀρεόβινδον
τὸν στρατηγὸν ἔχθραν, Καλλιόπιον δὲ τὸν στρατηγὸν ἐπιστήσας τῇ
τοῦ δαπανήματος ἀρχῇ. τοῦ Κέλαρος τοίνυν ἄριστα τὸν πάντα πόλεμον
ἅμα τῷ Ἀρεοβίνδῳ καὶ Πατρικίῳ καὶ Βωνόσῳ καὶ Τιμοστράτῳ καὶ
Ῥωμανῷ καὶ τοῖς λοιποῖς κατὰ διαφόρους τόπους οἰκονομήσαντος· (ἦν
228 B γὰρ ὁ ἀνὴρ μετὰ λόγου καὶ παιδείας πάσης χάριτος πολλῆς θεοῦ
πεπληρωμένος καὶ ἀνδρείως, Ἰλλύριος μὲν τὸ γένος, ὅθεν καὶ Ἀνα-
στάσιος ὥρμητο·) πολλὰ μὲν τῆς Περσικῆς χώρας καὶ φρούρια * ἐπι-
δρομάς, τὰ μὲν πυρί, τὰ δὲ καὶ ἄλλοις καθῃρέθη τρόποις· ὥστε καὶ
αὐτὴν Νισίβιν μικροῦ δεῖν ὑπὸ Ῥωμαίους γενέσθαι· ἐκράτει γὰρ
καὶ λιμὸς τῶν Περσῶν τηνικαῦτα· εἶτα καὶ ἐπανάστασις αὐτοῖς
ἐπισυμβέβηκεν ἐθνικὴ τῶν λεγομένων Καδουσίων καὶ ἑτέρων ἐθνῶν,
καὶ οὕτως ἁπλῶς ἐπικρατοῦσι τῶν Περσικῶν πραγμάτων Ῥωμαῖοι,
ὡς ἀποστεῖλαι Κουάδην Ἀσπέτιον τὸν στρατηγὸν περὶ εἰρήνης ἐσπου-
δασμένως διαλεχθῆναι Ῥωμαίοις, καὶ ἢ μηδὲν ἢ ὀλίγον τι κομιζόμενον
ἀποδοῦναι καὶ Ἄμιδαν αὐτοῖς, οὕπω δυνηθεῖσι μετὰ μυρίων πόνων
καὶ λιμὸν ἤδη πολὺν ἐπικρατήσαντα τῶν φυλάκων ἀπὸ Περσῶν αὐτὴν
ἐξελέσθαι, καὶ διὰ τὴν τοῦ τόπου θέσιν καὶ τὸ τῶν τειχῶν ἀκατά-
λυτον. πλὴν οἱ στρατηγοὶ χειμῶνα πάλιν ὁρῶντες ἐπιόντα καὶ αἱρε-
τώτερον εἶναι κρίναντες ὀλίγων ταλάντων ἐξωνήσασθαι τὸ Ῥωμαϊκὸν
στρατόπεδον ἐκ τοῦ δυσχειμερίου τῶν τόπων, ἐν οἷς οἱ πρὸς Ἀσπέ-
229 B τιον ἐγίνοντο λόγοι, τρία τάλαντα παρασχόντες καὶ ἀναλαβόντες
Βασίλειον τὸν Ἐδεσηνόν, ὁμηρεύοντα παρὰ Πέρσας ἔτι, (Ἀλύπιος
γὰρ ὁ χρηστὸς ἐτεθνήκει νόσῳ καμὼν παρ' ἐκείνοις,) καὶ ἀναδόντες

---

1 *σὺν Ἀρεβίνδῳ τῷ στρ.* b *σὺν δῷ τῷ στρ.* y *σὺν Θεοδότῳ* (-*δώτῳ* h) *στρ.* cz. — 2 *Ἀπίων* b. — 4 *τὴν*] *τό* y. — 5 *Καλλιώπιον* cy *Καλιώπιον* b. — 6 *Κέλωρος* ch *Κέλλωρος* egm. *Κέλλορος* b *Κέλλωνος* f. — *ἄριστα om.* b. — 7 *Βονούσῳ* emz *Βονούσσῳ* b *Βουνούσῳ* f *Βουνόσῳ* c. — 8 *κατὰ διαφόρους τόπους* cy. — 9 *χάρ. θεοῦ πολλῆς* g *θεοῦ om.* y. — 10 *τὸ γένος* b *τῷ γένει* (*γέννει* h) *rell.* — 11 *ὥρμειτο* b. — *πολλὰ*] *πολλαί* ef *πολλάς* g. — *ἐπιδρομάς* b *ἐπιδραμών* cz *ἐπιδρομὰς ἔπαθον* y *πολλὰ μὲν τῆς Π. χ. φρούρια ἐπιδρομαῖς παρειλημμένα πυρί? vel simile quid.* — 13 *Νισίβιν* b *Νίσιβιν* gm *Νισίβην* cefh. — *κρατεῖ* y. — 14 *λοιμός* cef. — *τῶν Περσικῶν* g. — *ἐπαναστάσεις* b. — 16 *περικρατοῦσι* h. — 17 *Κουάδην* b *Καβάδην* cyz. — *Ἀσπέβεδον* Procop. — *περὶ εἰρήνης om.* c. — 18 *εἰ μηδὲν ἢ ὀλίγον* b *εἰ μηδὲν ὀλίγον rell.* — *κομιζόμενος* y. — 19 *Ἀμιδαν sine acc.* c *Ἀμηδαν* h *Ἀμιάδαν* b. — 20 *λιμὸν ἤδη πολὺν* (*πολὺν om.* cz) *ἐπικρατήσαντα τῶν φυλάκων* bcz *λιμῶν* (*λιμῷ* f) *ἤδη ἐπικρατησάντων φυλάκων* y. — 24 *δυσχειμερίου* b *χειμερίου* xyz. — 25 *τριάκοντα* z. — 26 *Ἐδεσινόν* bem *Αἰδεσινόν* xz *Αἰδέσιον* f. — *ὁμηρεύοντα* x *ὃν ὁμηρεύοντα* yz *ὃν μὴ εὑρόντα* b. — *παρὰ Πέρσαις* x. — 27 *νόσῳ καμὼν παρ' ἐκ. om.* d. — *παρ' ἐκείνοις* yz *περικείμενος* bc.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὓς εἶχον ὁμήρους, Ἀμιδάν τε ἀπολαμβάνουσι καὶ τὰς περὶ τῆς εἰρήνης ποιοῦνται συνθήκας, ἐν μεθορίοις γενόμενοι τοῦ Ἀμμουδίας καὶ τοῦ Μάρδης φρουρίου, καὶ γράμμασι αὐτὰ βεβαιώσαντες. καὶ τοῦτο τέλος ἔσχεν ὁ Περσικὸς Ἀναστασίου πόλεμος κατὰ τὸ πεντεκαιδέκατον ἔτος τῆς αὐτοῦ βασιλείας. τριετίαν μὲν κρατήσας, μᾶλλον δὲ τῶν ἔμπροσθεν πολέμων τὴν Περσῶν λυμηνάμενος γῆν, εἰς τοῦτο τὸ τέλος τοῦ πεντεκαιδεκάτου ἔτους τῆς Ἀναστασίου βασιλείας ἔληξεν. Ἰωάννου δὲ τοῦ ἐπισκόπου Ἀλεξανδρείας τελευτήσαντος, Ἰωάννης ὁ Νικαιώτης ἐχειροτονήθη ἀντ' αὐτοῦ.

‖ Τῷ δ' αὐτῷ ἔτει ἐκέλευσεν Ἀναστάσιος, καὶ ἐχωνεύθησαν Mal. p. 400, 22
πολλὰ χαλκουργήματα, ἐξ ὧν ἔστησεν ὁ μέγας Κωνσταντῖνος. ἐποίησε 128 P
δὲ ἐξ αὐτῶν στήλην ἰδίαν, ἣν ἔστησεν εἰς τὸν κίονα τοῦ Ταύρου. ἡ γὰρ πρώην ἑστῶσα Θεοδοσίου τοῦ μεγάλου ἔπεσεν ἀπὸ σεισμοῦ καὶ συνετρίβη. ‖

Κόσμου ἔτη ,εϡϟθ'.	Τῆς θείας σαρκώσεως ἔτη υϟθ'.	Ῥωμαίων βασιλεὺς Ἀναστάσιος ἔτη κξ'. ις'.	Περσῶν βασιλεὺς Καβάδης. ἔτη λ'. ιβ'.	Ῥώμης ἐπίσκοπος Σύμμαχος ἔτη ιβ'. ς'.	A. M. 5999 ς'θ/ζ'.

Κωνσταντ. ἐπίσκοπος Μακεδόνιος ἔτη ις'. ια'.	Ἱεροσολύμων ἐπίσκοπος Σαλούστιος ἔτη η'. δ'.	Ἀλεξανδρείας ἐπίσκ. Ἰωάννης ὁ Νικαιώτης ἔτη ια'. α'.	Ἀντιοχείας ἐπίσκοπος Φλαβιανὸς ἔτη ιγ'. η'.

‖ Τούτῳ τῷ ἔτει Ἀναστάσιος ἀνεθεὶς τῶν πολέμων Μακεδόνιον 230 B
τὸν πατριάρχην διαστρέψαι ἐκ τῆς ὀρθοδόξου πίστεως ἔσπευδεν. ‖ Theod. L. II, 20
πολλοὶ δὲ τῶν ἐπισκόπων Ἀναστασίῳ χαριζόμενοι τῇ ἐν Χαλκηδόνι συνόδῳ ἀντέπιπτον, ὧν πρώτιστος ἦν Ἐλευσίνιος ὁ Σασίμων. Μανιχαῖον δέ τινα ζωγράφον Συροπέρσην ἀπὸ Κυζίκου Ἀναστάσιος ἤγαγεν ἐν σχήματι πρεσβυτέρου, ὃς ἀλλότρια τῶν ἐκκλησιαστικῶν ἁγίων εἰκόνων ἐτόλμησε γράψαι φασματώδη ἐν τῷ παλατίῳ Ἑλενιανῶν καὶ ἐν τῷ ἁγίῳ Στεφάνῳ Αὐρηλιανῶν γνώμῃ τοῦ βασιλέως χαίροντος

---

1 εἶχεν y. — Ἀμίδαν bz. — 2 ποιοῦνται bg ποιοῦντα m. — μεθόροις ef μεθόδοις m. — γινόμενοι g. — 3 Μαρδῆς gy sine acc. ch. — χωρίου xz. — αὐτάς? — 4 Ἀναστασίου ὁ Περσικὸς π. z. — κατὰ τὸ ε' ἔτος h. — 5 δέ] μέν c. — τὸν ἔμπρ. πόλεμον b. — 8 Νικαιότης codd. — 9 ἐχειροτονήθη b χειροτονεῖται xyz. — 11 ὁ μέγας ἔστησε yz. — 12 ἦν b καί xyz — 13 ὑπὸ b. — vv. 15—24 Ἀλεξανδρείας ἐπίσκοπος Ἰωάννης ὁ Νικαιότης ἔτη ια'. ις'. ιβ'. ς'. ια'. δ'. α'. η'. reliquis omissis b. Etiam d annorum mundi et incarnationis numeros omittit, sed habet A. — 22³ Νικαιότης codd. — 25 τὸν πόλεμον b. — 26 ἐκ om. x. — 27 τὴν — σύνοδον b. — 28 πρώτιστος b πρῶτος xyz. — Ἐλευσίνιος b Ἐλεύσιος rell. A cf. Vales. ad Euagr. H. eccl. III, 31. — Σασίμων bA Ἀσίμων h Ἀσήμων gxy. — 29 ἤγαγεν Ἀναστάσιος x. — 31 φασμάδωδὴ (sic) b. — Ἑλενιανῶν] Helenianensium A Ἑλινιανῶν b Ἑλληνιανῶν dyz Ἑλληνιανῶν sine spir. c. — 32 καὶ ἐν τῷ ἁγ. Στ. Αὐρ. add. ex b om. xyzA. — Αὐριλιανῶν b. — χαίρων b.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Theod. L. II, 21 τοῖς *Μανιχαίοις*, ὅθεν καὶ στάσις τοῦ λαοῦ γέγονε μεγάλη. ‖ τὸν ἔπαρχον ἐν ταῖς συνάξεσι καὶ ἐν ταῖς λιταῖς τότε ἐπενόησεν ἀκολουθεῖν ὁ βασιλεύς. ἐφοβεῖτο γὰρ τῶν ὀρθοδόξων τὰς ἐπαναστάσεις· καὶ ἐγένετο εἰς ἔθος. ‖ Ξεναΐαν τὸν μανιχαιόφρονα ἤγαγεν Ἀναστάσιος εἰς τὸ Βυζάντιον, τὸν καὶ Φιλόξενον, ὡς ὁμόφρονα. *Μακεδόνιος* δὲ οὔτε κοινωνίας οὔτε λόγου αὐτὸν ἠξίωσεν, τοῦ κλήρου καὶ τῶν μοναχῶν καὶ τοῦ λαοῦ κατ' αὐτοῦ ταραττομένων. ὅθεν καὶ λάθρα
Theod. L. II, 22 τῆς πόλεως αὐτὸν ἐξήγαγεν Ἀναστάσιος. ‖ Ἀχόλιον δέ τινα *Μακεδόνιος* σπασάμενον κατ' αὐτοῦ μάχαιραν ἐξ ὑποβολῆς τῶν ἐχθραινόντων
231 B αὐτόν, μηνιαίας ἀνόνας προσέταξεν αὐτὸν λαμβάνειν, ἐπαινεθεὶς τῆς πραότητος. τοῦτο δὲ καὶ εἰς ἐνδεεῖς ἱεροσύλους ἔπραξεν. ‖

Mal. p. 395, 6 ‖ Τῷ δ' αὐτῷ ἔτει ἀνεφάνη τις ἀνὴρ χυμευτὴς ὑπάρχων φοβερός, Ἰωάννης ὀνόματι, ἐν Ἀντιοχείᾳ ἐπιθέτης, ὃς λάθρα εἰσερχόμενος εἰς τὰ ἀργυροπρατεῖα ὑπεδείκνυε τοῖς ἀργυροπράταις χεῖρας ἀνδριάντων χρυσᾶς καὶ πόδας καὶ ἄλλα ζώδια λέγων· ὅτι "θησαυρὸν εὗρον γέμοντα ταῦτα"· καὶ ἠπάτησε πολλοὺς καὶ ἐκόμβωσεν ἐπαρὼν πολλὰ χρήματα· καὶ λαθὼν ἔφυγε καὶ εἰσελθὼν ἐν Κωνσταντινουπόλει ἐκόμβωσε κἀκεῖ πολλούς· ὥστε γνόντα τὸν βασιλέα κρατῆσαι αὐτόν. ὁ δὲ προσήνεγκε τῷ βασιλεῖ χαλινὸν ἵππου ὁλόχρυσον διὰ μαργαριτῶν· καὶ τοῦτον λαβὼν ὁ βασιλεὺς λέγει αὐτῷ· "ὄντως ἐμὲ
129 P οὐ κομβώνεις". καὶ ἐξώρισεν αὐτὸν εἰς τὴν Πέτραν, τὸ φρούριον τῆς Ἀσίας, καὶ ἐκεῖ ἐτελεύτησεν. ‖

507/8 A. M. 6000 ,ξ'. φ'. ιζ'. ιγ'. ξ'. ιβ'. ε'. β'. Θ'.

Mal. p. 399, 13 ‖ Τούτῳ τῷ ἔτει Ἀναστάσιος ὁ βασιλεὺς ἐτείχισε τὸ Δαρᾶς χωρίον ὂν τῆς Μεσοποταμίας μέγα καὶ ὀχυρόν, μέσον τῶν ὅρων κείμενον Ῥωμαίων τε καὶ Περσῶν, καὶ ἐποίησεν ἐκκλησίας καὶ ὅρια ἀπόθετα σίτου καὶ κιστέρνας ὑδάτων καὶ ἐμβόλους, ὀνομάσας αὐτὸ
232 B Ἀναστασιούπολιν. ἔκτισε δὲ καὶ δύο δημόσια λουτρὰ καὶ ἔδωκεν αὐτῇ δίκαια πόλεως. ‖

---

2 ὕπαρχον cz. — 4 Ξεναΐαν egm Ξενάϊον h. — μανηχαιόφρονα c μανιαχόφρονα z. — 7 κατ' αὐτοῦ *add. ex* b *om.* xyzA. — ταραττομένου yz. — 8 Ἀθανάσιος g. — 9 τῶν ἐχθρωνόντων c. — 10 μηναίας d. — τῇ πραότητι z. 14 ἀργυροπρατία bz. — 16 εὗρεν f. — ἐπαρὼν—κἀκεῖ *add. ex* b Mal. *om.* xyz. — 21 κομβώνης ef h κομβώσης m. — 24 Δάρας bdh Δαρὰς cemz. — 25 ὄντα b. — μέγαν h μέγα ὄντα b. — ὅρων x ὁρῶν bg ὁρῶν hy. — 26 ὅρια bd ὁρία f ὁρία e ὁρια *sine acc.* c ὁρεῖα h ὡρία m ὡρεῖα g. — 27 κινστέρνας d γηστέρνας chy γιστέρνας g. — αὐτό b αὐτήν xyz. — 28 Ἀναστασίου πόλιν bf.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 6001 508/9.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,ϛα'.	ἔτη φα'.	Ἀναστάσιος	Καβάδης	Σύμμαχος	
		ἔτη κξ'.	ἔτη λ'.	ἔτη ιβ'.	
		ιή'.	ιδ'.	ή'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Μακεδόνιος	Σαλούστιος	Ἰωάννης	Φλαβιανὸς
ἔτη ιϛ'.	ἔτη ή'.	ἔτη ια'.	ἔτη ιή'.
ιή'.	ϛ'.	γ'.	ί'.

Τούτῳ τῷ ἔτει Ἀναστάσιος ὁ βασιλεὺς Φλαβιανόν, τὸν Ἀντιοχείας ἐπίσκοπον, ἠνάγκασε τῷ ἑνωτικῷ Ζήνωνος ὑπογράψαι· ὃς ποιήσας σύνοδον τῶν ὑπ' αὐτὸν ἐπισκόπων πολύστιχον ἐπιστολὴν ἔγραψεν, τὴν ἐν Νικαίᾳ καὶ Κωνσταντινουπόλει καὶ Ἐφέσῳ ὁμολογῶν συνόδους, τὴν ἐν Χαλκηδόνι παρασιωπήσας. ἀπεκήρυξε δὲ Διόδωρον καὶ Θεόδωρον, ὑποτάξας κεφάλαια δ', δι' ὧν μὴ συνᾴδων τῇ ἐν Χαλκηδόνι φαίνεται συνόδῳ, μάλιστα δὲ τῇ φωνῇ τῇ, "ἐν δύο φύσεσιν," ἀπομάχονται. φασὶ δὲ αὐτά τινες Ἀκακίου τοῦ Κωνσταντινουπόλεως εἶναι. ὁ δὲ Φλαβιανὸς ἰδιάζουσαν ἐπιστολὴν ἔγραψεν Ἀναστασίῳ τῷ σκοπῷ αὐτοῦ ἑπόμενος· ὁμοίως καὶ Ξεναΐας ὁ δυσσεβής, ὅστις καὶ αὐθεντήσας προσέθηκε τούτοις τοῖς κεφαλαίοις ἀνάθεμα κατὰ τοῦ θειοτάτου Λέοντος Ῥώμης καὶ τῆς συνόδου καὶ τῶν ὁμοφρόνων αὐτῶν. Κωνσταντῖνος, ἐπίσκοπος Σελευκείας, τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἀνεθεμάτισε γράψας τὸ αὐτὸ καὶ Ξεναΐᾳ. Φλαβιανὸς δὲ ὡς διαβάλλων αὐτοὺς ἔγραψε τῷ βασιλεῖ μηνύων 233, B
ταῦτα. ὁ δὲ βασιλεὺς ἠγανάκτησε κατ' αὐτοῦ, Κωνσταντῖνον καὶ Ξεναΐαν μᾶλλον ἀποδεξάμενος. ‖ Ἠλίᾳ, τῷ ἐπισκόπῳ Ἱεροσολύμων, Theod. L. II, 23
ἔγραψεν Ἀναστάσιος κελεύων κατὰ τῆς ἐν Χαλκηδόνι συνόδου ψηφίσασθαι. Ἠλίας δὲ ἀντέγραψε τῷ βασιλεῖ ἀναθεματίζων Νεστόριον καὶ Εὐτυχέα, Διόδωρον δὲ καὶ Θεόδωρον καὶ τὴν ἐν Χαλκηδόνι σύνοδον ἀποδεχόμενος. ‖ 130 P

Τῷ δ' αὐτῷ ἔτει ἐγένετο ἐν Ἀλεξανδρείᾳ ταραχὴ μεταξὺ Ἰωάννου τοῦ ἐπισκόπου τοῦ Νικαιώτου καὶ Δαγαλαΐφου κόμητος περὶ Γενναδ

8[2] Ἰωάννης ef. — 9[2] ἔτη ιή' b ἔτη ια' ef. — 10[2] ϛ' om. ef. — 12 τὸ ἑνωτικόν bh. — 13 ὑπ' αὐτῶν cf ὑπ' αὐτῷ b. — 14 καὶ Κωνσταντινουπόλεως y καὶ Κωνσταντινούπολιν c. — 15 δὲ καὶ Διόδ. f. — 16 καὶ Θεόδωρον add. ex b om. xyzA. — 17 ἐν δευτέρᾳ φύσεσι b. — 18 φασὶ—εἶναι om. f. — αὐτά τινες b τινὲς ταῦτα rell. — τοῦ] τῶν g. — 20 ὁμοίως δὲ καὶ h. — Ἐναΐας g. — 21 αὐθεντίσας ehm αὐθεντεῖας ut vid. f. — 23 αὐτῶν b illis A αὐτοῦ xyz. — Σελευκίας bh. — 24 τὸ αὐτό b ταῦτα m ταύτην rell. — 25 ὡς] ὁ h. — αὐτάς g. — 26 ταῦτα om. y. — κατὰ τοῦ Κωνσταντίνου c. — Κωνστ. μᾶλλον καὶ Ξεν. y. — 27 Ἠλίᾳ b. — Ἱεροσολύμων om. h. — 29 Ἠλίας bh. — 30 Εὐτύχεα b. — δὲ καὶ Θεόδωρον add. ex b Theod. om. rell. A. — 31 σύνοδον om. y. — ἀποδεχόμενος om. b. — 33 Νικαιότου bfxz Νικιώτου e. — καὶ Δαλαγαΐφου b καὶ Δαλαΐφου cz καὶδ f κα ΐδ em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δίου τοῦ Φικοπτέρου· καὶ ἐγένετο στάσις ἐπὶ τῆς πόλεως ἐπὶ ἡμέρας πολλάς· καὶ ἐνεπύρισαν τὴν οἰκίαν τοῦ ἐπισκόπου Ἰωάννου οἱ στρατιῶται, ὑπὸ δὲ τῶν πολιτῶν ἡ οἰκία Φικοπτέρου· καὶ ἔστησαν οἱ Ἀλεξανδρεῖς στήλην τοῦ βασιλέως ἐν τῷ Ἀντικανθάρῳ.

509/10 A. M. 6002 ιθ'. ιε'. θ'. ιδ'. ζ'. δ'. ια'.

Rev. arch. 26 p. 396 ‖ Τούτῳ τῷ ἔτει μοναχοί τινες αἱρετικοὶ σ' ἐλθόντες ἀπὸ ἀνατολῆς ἐν τῷ Βυζαντίῳ ἅμα Σευήρῳ τῷ δυσσεβεῖ κατὰ Μακεδονίου καὶ τῆς συνόδου ἐσπούδαζον. τούτους Ἀναστάσιος ἐντίμως ἐδέξατο
234 B ὡς ἐχθροὺς τῆς ἀληθείας καὶ ταράξαντας τὴν ἀνατολὴν καὶ ὧδε τὰ αὐτὰ πράσσοντας. Ἰωάννης δέ, ὁ ἐπίσκοπος Ἀλεξανδρείας, δισχιλίας λίτρας χρυσίου δίδειν ὑπέσχετο τῷ βασιλεῖ, εἰ τὴν ἐν Χαλκηδόνι σύνοδον ἐκβάλῃ τελείως. ὁ δὲ βασιλεὺς ἠνάγκαζε Μακεδόνιον κοινωνῆσαι τοῖς ἀποκρισιαρίοις Ἰωάννου καὶ Ἰωάννην δέξασθαι μὴ δεχόμενον μηδὲ ἐκβάλλοντα τὴν σύνοδον. Μακεδόνιος δὲ ἀντέστη εἰπὼν μὴ κοινωνεῖν αὐτοῖς, εἰ μὴ ὁμολογήσωσι μητέρα καὶ διδάσκαλον
Theod. L. II, 25 τὴν ἐν Χαλκηδόνι σύνοδον. ‖ Δευτέριος δὲ ὁ ἐπίσκοπος τῶν Ἀρειανῶν τοῦ Βυζαντίου βαπτίζων τινὰ Βάρβαν λεγόμενον, παρὰ τὴν δεσποτικὴν παράδοσιν ἐτόλμησεν εἰπεῖν· "βαπτίζεται Βάρβας εἰς ὄνομα πατρὸς δι' υἱοῦ ἐν ἁγίῳ πνεύματι". καὶ εὐθέως ἐξηράνθη ἡ κολυμβήθρα. ὁ δὲ Βάρβας ἔμφοβος γενόμενος ἔφυγε καὶ πᾶσιν ἐγνώρισε
Theod. L. II, 24 τὸ θαῦμα. ‖ ὁ δὲ βασιλεὺς Μακεδόνιον τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον ἠνάγκαζεν ἀναθεματίσαι τὴν ἐν Χαλκηδόνι σύνοδον, καθάπερ καὶ Ἠλίας ὁ Ἱεροσολύμων· ὁ δὲ Μακεδόνιος χωρὶς οἰκουμενικῆς συνόδου ἐχούσης πρόεδρον τὸν Ῥώμης ἐπίσκοπον ἀδύνατον ποιῆσαι τοῦτο ἔλεγεν. ὅθεν ἐχθράνας αὐτῷ ὁ βασιλεὺς τοὺς προσφεύγοντας
235 B τῇ ἐκκλησίᾳ ἀποσπᾶσθαι ἐκέλευσε βιαίως, καὶ ταῖς ἐκκλησίαις τῶν
Rev. arch. 26, 396 αἱρετικῶν ὅρους ἀσυλίας παρέσχετο. ‖ ὅσοι δὲ κληρικοὶ καὶ λαϊκοὶ αἱρετικοὶ ἐτύγχανον ἐν τῷ Βυζαντίῳ, τῷ Σευήρῳ καὶ τοῖς αἱρετικοῖς μοναχοῖς ἀνατολικοῖς ἐσχόλαζον κατὰ Μακεδονίου σπουδάζοντες. ‖
ib. 397 οἱ δὲ κατὰ τὴν Παλαιστίνην θεοφόροι μοναχοὶ ζήλῳ θείῳ κινηθέντες ἦλθον εἰς τὸ Βυζάντιον κατὰ Σευήρου καὶ τῶν σὺν αὐτῷ μοναχῶν.
131 P Δωρόθεος δέ, μοναχὸς Ἀλεξανδρεύς, πολύστιχον βίβλον ἔγραψεν

---

1 Φικοπτέρου b Φικοπέτρου *rell. item v.* 3. — 2 ἐνεπύρησαν f ἐνέπρησαν b. — 3 Φικοπέτρου καὶ αὐτή (αὕτη c) ὁμοίως y. — 4 ἔν τῷ ἀντὶ καὶ θάρῳ f ἐν τῷ καιθάρῳ cm. — 8 ἑτοίμως f. — 9 ταράξαντες b ταράξας y. — καὶ ὧδε τὰ αὐτὰ πράσσ. bA καὶ ὡς ταῦτα πρ. c καὶ τοὺς ταῦτα πρ. yz *om.* d. — 11 διδεῖν ce *sine acc.* m. — 12 ἐκβάλει b ἐκβαλεῖ f ἐκβάλλει h. — 14 δεχόμ. αὐτὸν μηδέ z. — μηδὲ *om.* c. — ἐκβάλοντα b. — 17 Βάρβαν b Th. L. βάρβαρον xyzA *et sic deinceps.* — 22 ἐπίσκοπον *add. ex* b *om.* xyz. — 23 Ἠλίας bfh. — 24 ἀθάνατον b. — 25 προσφυγόντας f. — 26 ἀποσπάσασθαι h. — 29 μοναχοῖς b Rev. *Μανιχαίοις* (*Μανηχ.* gx) xyzA *cf. v.* 6. — 30 οἱ δὲ b ὅθεν οἱ xyz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπὲρ τῆς ἐν Χαλκηδόνι συνόδου, ἣν δέδωκε Μάγνᾳ, τῇ νύμφῃ Ἀναστασίου ἐπ' ἀδελφῷ, ὀρθοδόξῳ οὔσῃ. αὕτη δὲ Ἀναστασίῳ τὴν βίβλον προσήνεγκεν ἐλπίζουσα δι' αὐτῆς μετατίθεσθαι αὐτόν. ὁ δὲ ἐντυχὼν αὐτῇ καὶ παρὰ γνώμην αὐτοῦ εὑρὼν οὖσαν, Δωρόθεον μὲν εἰς Ὄασιν ἐξορίζει καὶ τὴν βίβλον ἐξουθενεῖ διὰ τὸ ἐπιγράφειν, "Τραγῳδία, ἥγουν προφητεία τῆς νῦν καταστάσεως". ὥσπερ τῷ μεγάλῳ Βασιλείῳ φασὶν εἰρῆσθαι κατὰ Ἰουλιανοῦ. ‖ ὁ δὲ Μακεδόνιος Φλαβιανὸν τὸν Ἀντιοχείας καὶ πάντας τοὺς τολμῶντας λέγειν τι κατὰ τῆς συνόδου ἀνεθεμάτιζεν, καὶ τοὺς ἀποκρισιαρίους Φλαβιανοῦ ἐλθόντας πρὸς αὐτὸν διά τινας χρείας ἀνεθεμάτισε καὶ ἐδίωξεν. ‖ Cram. II, 106 Rev. arch. 26, 396

κ'. ις'. ί. ιε'. η'. ε'. ιβ'. A. M. 6003 510/511.

Τούτῳ τῷ ἔτει σύνοδον κροτηθῆναι ἐν Σιδῶνι Ἀναστάσιος ἐθέσπισεν. Σωτήριχος γάρ, ὁ ἐπίσκοπος Καισαρείας Καππαδοκίας, 236 B ὑπὸ Μακεδονίου χειροτονούμενος ἐγγράφως ὡμολόγησε δέχεσθαι τὰ δόγματα τῆς ἐν Χαλκηδόνι συνόδου ὡς ὅρον πίστεως. μετὰ δὲ ταῦτα πολεμιώτατος γέγονεν οὕτως, ὡς ἀπελθεῖν εἰς ἀνατολὴν καὶ τῷ δυσσεβεῖ Ξεναΐᾳ κοινολογήσασθαι, καὶ ἄμφω σύνοδον γενέσθαι εἰς Σιδῶνα τὸν βασιλέα αἰτήσασθαι ἐπὶ τελείᾳ ἐκβολῇ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου· ἥτις καὶ συνέστη καὶ θᾶττον διελύθη, τοῦ βασιλέως πέμψαντος εἰς τοῦτο Εὐτρόπιον τριβοῦνον, ὃς καὶ διαλύσας αὐτὴν Φλαβιανὸν τὸν Ἀντιοχείας καὶ Ἠλίαν τὸν Ἱεροσολύμων σὺν τοῖς ἐπισκόποις αὐτῶν τὰ πρὸς ἡδονὴν γράψαι τῷ βασιλεῖ παρεσκεύασεν. Φλαβιανὸς δὲ τὰς τρεῖς μόνας συνόδους καὶ τὸ Ζήνωνος ἑνωτικὸν δέχεσθαι ἔγραψεν, τῆς ἐν Χαλκηδόνι μνήμην μὴ ποιησάμενος. Ἠλίας δὲ ὁ Ἱεροσολύμων καὶ τὴν ἐν Χαλκηδόνι ἔγραψεν ἀποβάλλεσθαι. Σωτήριχος δὲ ὁ Καισαρείας καὶ Ξεναΐας κατὰ Φλαβιανοῦ καὶ Ἠλία ἀνήγαγον τῷ βασιλεῖ, ὅτι διὰ τὸ μὴ θέλειν αὐτοὺς τρανῶς κατὰ τῆς συνόδου τῆς ἐν Χαλκηδόνι ἀποφήνασθαι οὐ συνῆλθον ἀλλήλοις. Ἀναστάσιος δὲ ὀργισθεὶς ὑπέθετο μοναχοῖς τισι ψευδωνύμοις συνελ- 237 B θεῖν ἐν Ἀντιοχείᾳ καὶ κατὰ Φλαβιανοῦ στασιάσαι, αἰτοῦντας αὐτὸν ἀναθεματίσαι τὴν ἐν Χαλκηδόνι σύνοδον καὶ Διόδωρον καὶ Θεόδω-

---

1 *Μάγνῳ* f. — 2 *αὐτῇ* z *αὕτη* ef *ταύτη* b. — 4 *αὐτήν* b. — *Ὄασιν codd.* — 7 *φησὶν* fm. — 12 *τούτῳ τῷ ἔτει—p.* 154, 2 *συνόδῳ om.* d. — *ἐν Σιδωνίᾳ* (*Σιδον.* h) cz. — *Ἀναστάσιος add.* b *om rell.* — 14 *ὁμολόγησε* bh. — 15 *δὲ om.* h. — 16 *πολεμιώτατα* cyz. — *οὕτος* b. — *ἀπελθεῖν*] *ἀποθανεῖν* yA. — 18 *Σιδόνα* h. — *τῷ βασιλεῖ* b. — *ἐπιτελείᾳ* b *ἐπὶ τῇ τελείᾳ* xyz. — 21 *Ἠλίαν* bh. — *τὸν Ἱεροσ.* e *τῶν Ἱερ. rell.* — 22 *πρὸς ἡδονήν* b *πρὸς σιδονίαν* (*σιδων.* c) ch *πρὸς σιδόνιον* y *παρὰ σιδωνίαν* g quae apud Sidoniam gesta fuerant A. — 24 *μὴ om.* g. — *Ἠλίας* bh. — 25 *ἀποβαλέσθαι* bf *ἀποβαλλέσθαι* h. — 26 *ὁ Καισαρ. Καππαδοκίας* z. — *καὶ Ξεναΐας om.* y. — *Ἠλία* bh. — 27 *ἀνήγαγεν* g. — 28 *οὐ συνῆλθον* b *οὐ om.* xyzA. — 29 *συνδιελθεῖν* g. — 30 *ἐν om.* b. — *αἰτοῦντος* h. — *αὐτούς* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

132 P ρον καὶ Ἰβᾶν καὶ Θεοδώρητον· ὃ καὶ ἐποίησε μικροψυχήσας Φλαβιανὸς καὶ ἐπ' ἐκκλησίας αὐτοὺς ἀνεθεμάτισε σὺν τῇ συνόδῳ.

Theod. Lect. II, 26. 27 Cram. II, 107 Rev. arch. 26, 397

‖ Τῷ δ' αὐτῷ ἔτει καὶ κατὰ Μακεδονίου ὁ βασιλεὺς συνεσκεύαζεν· καὶ οἱ ἀποσχισταὶ μετὰ μισθωτῶν ὄχλων ἐν τῷ Ἀρχαγγέλῳ τοῦ παλατίου καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ψάλλοντες ἐν κυριακῇ τὸ τρισάγιον προσετίθουν τό, "ὁ σταυρωθεὶς δι' ἡμᾶς," ὥστε τοὺς ὀρθοδόξους ἐξ ἀνάγκης μετὰ πληγῶν αὐτοὺς ἐλάσαι. ὁ δὲ βασιλεὺς προφανῶς διὰ τῶν ἀποσχιστῶν μοναχῶν καὶ κληρικῶν καὶ Ἰουλιανοῦ τοῦ Καρίας ποτὲ ἐπισκόπου, ἔπειτα δὲ Ἁλικαρνασσοῦ καὶ Σενήρου τοῦ δυσσεβοῦς ἔτι μοναχοῦ ὄντος ἐπολέμει τὸν Μακεδόνιον ὕβρεσιν αὐτὸν δημοσίαις αἰσχραῖς συμβάλλων. τὰ δὲ πλήθη σὺν γυναιξὶ καὶ τέκνοις ἡγουμένοις τε τῶν ὀρθοδόξων μοναχῶν ἔκραζον ἀθροισθέντα· "καιρὸς μαρτυρίου, Χριστιανοί, μὴ καταλείψωμεν τὸν πατέρα ἡμῶν·" ὑβρίζοντες τὸν βασιλέα Μανιχαῖον καὶ τοῦ κράτους ἀνάξιον. ὁ δὲ φοβηθεὶς ἀπέκλεισε τὰς θύρας τοῦ παλατίου, καὶ πλοῖα πρὸς
238 B τὸ φυγεῖν εὐτρέπισεν. τὸν δὲ Μακεδόνιον ὁμόσας μηκέτι θεάσασθαι τότε παρεκάλει ἰδεῖν, φοβηθεὶς τὰ πλήθη. τούτου δὲ ἐρχομένου πρὸς αὐτόν, ὁ λαὸς τοῖς ἡγουμένοις καὶ μοναχοῖς διεμαρτύρατο λέγων· "τὸν πατέρα παρ' ὑμῶν ἔχομεν." καὶ οἱ τῶν σχολῶν εὐφήμουν αὐτὸν διερχόμενον. εἰσελθὼν δὲ πρὸς Ἀναστάσιον ἤλεγξεν αὐτὸν ὡς πολέμιον τῆς ἐκκλησίας. ὁ δὲ ὑπεκρίθη πρὸς τὴν ὥραν ἑνοῦσθαι αὐτῷ. ‖

511/512 A. M. 6004

Ἱεροσολύμων ἐπίσκοπος νβ' Ἠλίας ἔτη κγ'.

ϛδ'. φδ'. κα'. ιζ'. ια'. ις'. α'. ϛ'. ιγ'.

Rev. arch. 26, 398

‖ Τούτῳ τῷ ἔτει Μακεδόνιον ἠπάτησεν ὁ βασιλεὺς διὰ Κέλαρος μαγίστρου ὑπομνηστικὸν ποιήσας πρὸς αὐτόν, ἐν ᾧ τὴν πρώτην καὶ δευτέραν σύνοδον ὁμολογεῖ δέχεσθαι, τὴν δὲ ἐν Ἐφέσῳ καὶ Χαλκηδόνι εἴασεν· ὅπερ μέμψιν μεγάλην τῷ Μακεδονίῳ προσήγαγεν. διὰ γὰρ τούτου καὶ τὸ ἑνωτικὸν Ζήνωνος ἐδέξατο, ᾧ τινι καὶ χειρο-

---

1 Ἰβὰν b Ἰβαν sine acc. c Ἰαβᾶν g. — Θεοδώριτον b. — 2 ἀναθεματίσαι c. — 3 καὶ om. x. — κατεσκεύαζεν hx κατεσκεύασεν g. — 4 ἀποσχίσται xyz. — 9 Καρύας b Καρείας h Βαρείας c. — ποτέ] tunc A. — Ἁλικαρνασσοῦ xz Ἁλικαρνάσου y Ἁλικάρνασου b. — 10 ἐπολέμει] ἐπόλει b. — 11 δέ om. g. — 12 ὀρθοδόξων καὶ μοναχῶν b. — 13 μαρτυρίου καιρός x. — Χριστιανοί om. yz. — 15 ἀποκλεῖσαι b κατέκλεισε f. — 16 ηὐτρέπησεν b εὐτρέπιζεν cz ηὐτρέπιζεν dy praeparabat A. — 17 ἐπαρεκάλει prior è eras. f. — 18 διεμαρτύρετο x. — 19 παρ' ὑμῶν] a vobis A (πρὸς ὑμᾶς Rev.) παρ' ἡμῶν b (πρὸς ἡμᾶς Th. L.) ἡμῶν (om. παρ') xyz. — 19 οἱ] οὗτοι h. — 22 αὐτῷ b αὐτόν xyz. — 23 Ἠλίας νβ' b νβ' om. cyz. — Ἠλίας bh. — ἔτη ια' em. — 24 ϛδ'. φδ'. κζ'. ιζ'. ια'. ϛ'. α'. ϛ'. ιγ'. c ϛδ'. φδ'. κζ'. ια'. ις'. α'. ϛ'. (ϛ'. om. f) ιγ'. fz ϛδ'. φδ'. κζ'. ις'. α'. ιγ'. em. — 25 ἠγάπησεν b. — Κέλαρος scr. e p. 147, 31. 155, 13 Κέλερος b Celerem A Κέλωρος chy Rev. Κέλλωρος g. — 27 καὶ δευτέραν om. y. — ὡμολόγει (ὁμ. h) czA ὁμολογῆ f. — 28 ἔασεν mz ἔασαν f. — τὸν Μακεδόνιον b. — 29 τὸ om. y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τονούμενος ὑπέγραψεν. ὁ δὲ Μακεδόνιος ἀπελθὼν εἰς τὴν Δαλμάτου μονὴν τοῖς μοναχοῖς καὶ κληρικοῖς ζηλωταῖς σκανδαλισθεῖσιν εἰς αὐτὸν ἀπελογήσατο διὰ προσφωνητικοῦ, ὅτι δέχεται τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον καὶ τοὺς μὴ δεχομένους αὐτὴν αἱρετικοὺς ἔχει· καὶ συνελειτούργησαν αὐτῷ. ὁ δὲ βασιλεὺς δώροις ἔπεισε τοὺς ὁμόφρονας αὐτοῦ μοναχοὺς καὶ κληρικοὺς ἄλλον ἐπίσκοπον ψηφίσασθαι, ὅπερ καὶ Ἀρεάδνην καὶ τοὺς τῆς συγκλήτου μεγάλως ἐλύπει· ἠγαπᾶτο γὰρ Μακεδόνιος καὶ διὰ τὸ καθαρὸν τοῦ βίου καὶ διὰ τὸ ὀρθὸν τῶν δογμάτων, εἰ καὶ ἠπατήθη. παρεσκεύασε δὲ ὁ βασιλεὺς δύο φαύλους τινὰς κατηγορῆσαι Μακεδόνιον ὡς παιδεραστὴν καὶ αἱρετικόν, ἐπιδοῦναί τε ταῦτα ἐγγράφως τῷ ἐπάρχῳ καὶ τῷ μαγίστρῳ· ὁμοίως δὲ καὶ κατὰ πρεσβυτέρων καὶ διακόνων ὀρθοδόξων. ἐκέλευσε δὲ Κέλαρα τὸν μάγιστρον καταγαγεῖν αὐτὸν τοῦ ἐπισκοπείου βιαίως, βοῶντος Μακεδονίου, ἑτοίμως ἀπολογεῖσθαι οὐ μόνον ἐν τῷ πραιτωρίῳ, ἀλλὰ καὶ ἐν τῷ θεάτρῳ. πολλοὶ δὲ τῶν κληρικῶν εἰς φυλακὰς ἐβλήθησαν· ἄλλοι δὲ φυγεῖν ἰσχύσαντες ἐν Ῥώμῃ καὶ Φοινίκῃ διεσπάρησαν. ὁ δὲ ἀσεβὴς βασιλεὺς τὸν αὐθεντικὸν χάρτην τῶν πεπραγμένων ἐν Χαλκηδόνι διὰ τοῦ μαγίστρου λαβεῖν παρὰ Μακεδονίου πρὸς διάρρηξιν ἔσπευδεν. Μακεδόνιος δὲ σφραγίσας αὐτὸν ἐν τῷ θυσιαστηρίῳ ἀπέθετο. Καλοπόδιος δὲ ὁ εὐνοῦχος, οἰκονόμος ὢν τῆς μεγάλης ἐκκλησίας, κλέψας αὐτὸν τῷ βασιλεῖ ἀπεκόμισεν. ‖ τότε Μακεδόνιον νυκτὸς ἐξαγαγὼν ὁ βασιλεὺς βιαίως εἰς Χαλκηδόνα κἀκεῖθεν ἐν Εὐχαΐτοις ἐξορισθῆναι προσέταξε μηδὲν τῶν κατ' αὐτοῦ ζητηθῆναι τολμήσας, φοβηθεὶς τὰ πλήθη. τῇ δὲ ἑξῆς προὐβάλετο ἐπίσκοπον Τιμόθεόν τινα, πρεσβύτερον καὶ σκευοφύλακα τῆς ἐκκλησίας, τὸ ἐπίκλην Λιτροβούλην καὶ Κήλωνα διά τινας πράξεις προσφόρους τοῖς ὀνόμασιν, ‖ ὅστις εἰσιὼν ἐν ταῖς ἐκκλησίαις πρότερον τὰς Μακεδονίου εἰκόνας κατέφερε καὶ οὕτως ἐλειτούργει· Ἰωάννην δὲ τὸν Ἀλεξανδρείας ἐν τοῖς διπτύχοις ἐνέταξε τὸν Νικαιώτην καὶ συνοδικὰ πρὸς αὐτὸν ἔγραψεν. ‖ Ἀναστάσιος δὲ ἐννοηθείς, ὅτι χωρὶς

133 P
239 B
Theod. L. II, 28
Rev. arch. p. 399
240 B
Th. L. II, 29 et frg. p. 531
R. arch. p. 399
Rev. arch. p. 399

2 τοῖς κληρικοῖς καὶ μον. ζηλωταῖς cyzA τοῖς ζηλ. κληρικοῖς καὶ μοναχοῖς d. — εἰς αὐτόν] ὑπ' αὐτῶν f. — 3 προσφωνητικοῦ b Rev. προφωνητικοῦ cyz. — λόγου post προσφ. add. xyzA om. b Rev. — ἁγίαν om. g. — 4 ἔχειν yz. — 6 κληρικοὺς καὶ μοναχούς xyzA. — 7 Ἀριάδνην z. — καὶ τοὺς λοιποὺς συγκλητικούς h. — μεγάλως bch (οὐ μετρίως Rev.) μεγάλους dgyA. — 9 καὶ παρεσκ. ὁ βασ. xyz. — 10 Μακεδονίου g. — παιδεράστην d παιδαράστην bcyz. — 11 ἐπιδιδοῦναι b ἀποδοῦναι y. — τε] δέ xyz. — ὑπάρχῳ xz. — 12 ἐκέλ. δὲ ὁ βασιλεὺς Κέλ. y. — 13 Κέλαρα b Κέλωρα hxy Κέλλωρα g. — μαγίστρον e sine acc. c. — ἐπισκοπίου bdfz. — 17 ἀσεβὴς om. f. — 19 πρὸς διάρρηξιν b Rev. καὶ διαρρῆξαι xA διαρρῆξαι yz. — 20 Καλαπόδιος b. — 23 ἐν Εὐχαΐτοις Th. L. Rev. ἐν Εὐχαΐταις b εἰς Εὐχαΐταν cgy εἰς Εὐχάϊταν dh apud Euchaïtem A. — 24 προὐβάλετο b Th. L. Rev. προβάλλεται xyzA. — 26 Λιτροβούλβιν Rev. Λιτροβούλβην ut vid. Th. L. Χυτροβούλβην Miller Rev. 26, 280. — Κίλωνα b. — 29 Νικαιότην bz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καθαιρέσεως τὸν Μακεδόνιον ἀκρίτως ἐξώρισεν, πέμψας μαγιστριανὸν ἔστησεν αὐτὸν ἐπέκεινα Κλαυδιουπόλεως τῆς Ὀνωριάδος. αὐτοὶ δὲ δικασταὶ καὶ μάρτυρες καὶ κατήγοροι ὄντες ἅπαντα καθαιροῦσι τὸν ἐκβληθέντα πρὸ κρίσεως, δι' ἐπισκόπων τε πέμπουσι τὴν καθαίρεσιν
134 P καὶ πρεσβυτέρου Κυζικηνοῦ. τούτους ἰδὼν Μακεδόνιος, πρὶν αὐτοὺς λαλῆσαί τι, ἠρώτα, εἰ δέχονται τὴν ἐν Χαλκηδόνι σύνοδον; τῶν δὲ
Nic. XVI, 26 εἰπόντων· "τίς γὰρ εἴη τούτου;" αὐτὸς ἔφη· "Σαββατιανοὶ ‖ ἢ
241 B Μακεδονιανοὶ εἰ ἔφερόν μοι καθαίρεσιν, ἔδει με δέξασθαι." καὶ οὕτως ὑπέστρεψαν ἄπρακτοι· καὶ αὐτὸς κατέλαβε τὰ Εὐχάϊτα. ‖ τότε καὶ Φλαβιανὸν ἐσπούδασε τοῦ θρόνου Ἀντιοχείας ἐκβαλεῖν ὁ παράνομος βασιλεὺς καὶ Σευῆρον τὸν προφανῆ τῆς ἀληθείας ἐχθρὸν ἀντεισαγαγεῖν. ἐπέθεντο δὲ κατηγοροῦντες αὐτὸν ὅτι στόματι μόνον τὴν σύνοδον ἀνεθεμάτισεν, καὶ οὐ καρδίᾳ. λοιπὸν καὶ συνεβούλευον αὐτῷ οἱ πεμφθέντες ἄρχοντες παρὰ τοῦ βασιλέως τοῦ ἐξεῶσαι αὐτὸν ὀλίγον ὑποχωρῆσαι διὰ τὸν τάραχον. τούτου δὲ εἰς Πλατάνους ἐξελθόντος, εὐθέως τὸν δυσσεβῆ Σευῆρον ἐχειροτόνησαν προσμονάσαντα ἐν τῇ μονῇ τῶν ἀποσχιστῶν πλησίον τοῦ Μαϊουμᾶ Γάζης. Φλαβιανὸν δὲ ἐν Πέτραις ἐξώρισαν καὶ ἄλλους πολλοὺς ἐπισκόπους σιδηρωμένους
Cram. Anecd. II, 108 καὶ κληρικοὺς καὶ μοναχούς. ‖ Ἠλίας δὲ ὁ Ἱεροσολύμων ἀναγκαζόμενος ὑπὸ τοῦ βασιλέως ἢ Σευήρῳ κοινωνῆσαι ἢ τῆς ἐπισκοπῆς ἐκβληθῆναι, τῶν μοναχῶν ὀχυρωσάντων αὐτόν, τῆς ἐπισκοπῆς μᾶλλον ἠρετίσατο ἐκβληθῆναι, ‖ καὶ ἐχειροτονήθη Ἰωάννης ἀπὸ σταυροφυλάκων συνθέμενος ποιεῖν ὅσα θέλωσιν. χειροτονηθεὶς δὲ οὐδέτερον ἐποίησεν.

---

1 *μαγιστριανόν* b Rev. *μάγιστρον* cfh *μαγίστρον* degm misso magistro A. — *Κλαυδίου πόλεως* fm. — *Ὀνοριάδος* behm. — 3 *καθαίρουσι* by *sine acc.* x. — 4 *δι' ἐπισκόπων τε* b *καὶ δι' ἐπισκόπων* xyz. — 5 *Κυζικινοῦ* bdhy. — *ὁ Μακεδόνιος* f. — *πρὶν*] *πλήν* g. — 6 *τι add. ex* b *om.* xyzA. — 7 *εἴη scr. ex* Rev. *εἶ codd.* — *τί γὰρ εἶ*; *τότε* Goar. quis enim es? tunc ipse ait A. — 9 *τὰ Εὐχάϊτα* b Niceph. *τὴν Εὐχάϊταν* dz *τὴν Εὐχαΐταν* em *τὴν Εὐχαιταν sine acc.* c *τὴν Εὐχαΐτας* f ad Euchaïtem A. — 10 *ἐσπούδαξε* fm festinabat A. — 11 *Σεύηρον* g *item v.* 16. — *ἀντεισαγαγεῖν* bd *ἀντεισάγει* cyz. — 13 *συνεβούλευον αὐτῷ* b *συνεβουλεύοντο* xyz. — 14 *καὶ ὀλίγον* xyzA *καὶ om.* b. — 16 *προμονάσαντα* xyz. — 17 *Μαϊουμὰ* g *sine acc.* c. — *Μαϊουμαγάζης* b. — 18 *ἀποσχίστων* f. — *σεσιδηρωμένους* d Classen *σιδηρομένους* hy. — 19 *Ἠλίας* bh *sine spir.* g. — 20 *ἢ ante Σευήρῳ add. ex* b *om.* xyz. — 21 *μᾶλλον ἠρετίσατο om.* g. — *ἠρετήσατο* df *ἠρετίσατο* h *ἠρετήσατο* cem. — 23 *θέλουσιν* xyz — *οὔτερον* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 6005	512/13
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*	242 B	
ϛε΄.	*ἔτη φε΄.*	*Ἀναστάσιος*	*Καβάδης*	*Σύμμαχος*		
		ἔτη κζ΄.	*ἔτη λ΄.*	*ἔτη ιβ΄.*		
		κβ΄.	*ιή΄.*	*ιβ΄.*		
	Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*		
	ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*		
	Τιμόθεος	*Ἠλίας*	*Ἰωάννης*	*Σευῆρος*		
	ἔτη ϛ΄.	*ἔτη κγ΄.*	*ἔτη ια΄.*	*ἔτη ζ΄.*		
	α΄.	*β΄.*	*ζ΄.*	*α΄.*		

Τούτῳ τῷ ἔτει Βιταλιανόν, τὸν υἱὸν Πατρικιόλου κόμητος Φοιδεράτων, οἱ ἐν Σκυθίᾳ καὶ Μυσίᾳ καὶ λοιπαῖς χώραις ὀρθόδοξοι παρεκάλουν κινηθῆναι κατὰ Ἀναστασίου τοῦ δυσσεβοῦς. ὁ δὲ κινηθεὶς πολλὰς μυριάδας ἀνεῖλε στρατοῦ τῶν ὑπὲρ Ἀναστασίου μαχομένων, χρυσόν τε εἰς ῥόγας αὐτῶν πεμπόμενον πλεῖστον καὶ ὅπλα εἰς συμμαχίαν καὶ δαπάνας καὶ ὅσα ἄλλα ἐχειροῦτο. φασὶ δὲ ὅτι ἐν μιᾷ συμβολῇ ξε΄ χιλιάδας στρατοῦ βασιλικοῦ ἐκρήμνισε σὺν Ὑπατίῳ στρατηγοῦντι αὐτῶν, υἱῷ ἐξ ἀδελφῆς Ἀναστασίου καὶ Σεκουνδίνου πατρικίου, ὃν καὶ πιάσας ζῶντα ἐν φρουρᾷ εἶχεν. Ἀναστάσιος δὲ ὁ παράνομος βασιλεύς, καὶ Τιμόθεος, ὁ ἀνίερος ἐπίσκοπος Κωνσταντινουπόλεως, πολλὰ κακὰ τοῖς ὑπὲρ Μακεδονίου καὶ τῆς συνόδου μοναχοῖς τε καὶ κληρικοῖς καὶ λαϊκοῖς ἐπεδείξαντο· ὥστε καὶ εἰς Ὅασιν τῆς Θηβαΐδος ἐξώρισαν πολλούς. Τιμοθέου δὲ τὰ συνοδικὰ καὶ Μακεδονίου τὴν καθαίρεσιν τοῖς κατὰ πόλιν ἐπισκόποις ὑπογράψαι ἔπεμψαν· ὧν οἱ μὲν ἀνδρειότεροι πρὸς ἄμφω ἀντέστησαν· οἱ δὲ παράφοροι φόβῳ τοῦ βασιλέως ἀμφοτέροις ὑπέγραψαν· οἱ δὲ μέσοι τῇ καθαιρέσει Μακεδονίου οὐχ ὑπέγραψαν, εἰ μὴ μόνον τοῖς συνοδικοῖς Τιμοθέου, ὅπερ ταὐτὸν ἦν, εἰ καὶ διαφέρειν αὐτοῖς 135 R 243 B *ἐδόκει. Τιμόθεος δὲ τὸ ὄνομα Σευήρου βουληθεὶς ἐντάξαι τοῖς διπτύχοις καὶ τὸ Φλαβιανοῦ ἐκβάλαι ὑπὸ τοῦ λαοῦ ἐκωλύθη. Σευήρου γὰρ τὴν κοινωνίαν πάντες οἱ ὀρθόδοξοι ἔφυγον, μάλιστα οἱ μοναχοί, οὓς μετὰ πλήθους ἀγροικικοῦ τιμωρῶν πολλοὺς ἐφόνευσε τὰ θυσιαστήρια ἀνατρέπων καὶ τὰ ἱερὰ σκεύη τῶν ὀρθοδόξων χωνεύων ὁ ἱερόσυλος. Ἰουλιάνα δὲ ἡ περιφανεστάτη, ἡ κτίσασα τὸν ἱερὸν ναὸν*

8^2 *Ἠλίας* b *Ἰωάννης* cyz. — 8^4 *Σεύηρος* g. — 10^2 *α΄ codd.* — 11 *φοιδερατῶν* b *φυδεράτων* dyz *φυδερατων sine acc.* c. — 14 *τῶν δὲ ὑπὲρ* y. — 15 *πεμπομένων πλείστων* y. — 17 *ἐκρήμνησε* bcy *ἐκρίμνησε* dh. — 18 *υἱῷ δέ* xyz. — *ἐξ ἀδελφῆς* f *ἐξαδέλφης rell. cf.* Mommsen Herm. vol. VI p. 340 not. 4. — 19 *εἶχεν ἐν φρουρᾷ* xyz. — 22 *λαϊκοῖς καὶ κληρικοῖς* xyz. — *ἐπεδείξατο* dem. — 23 *Ὅασιν codd.* — *Τιμοθέου — ἔπεμψαν* b *Τιμόθεος — ἔπεμψεν* xyzA. — 26 *ἀμφότεροι* y. — 27 *μέσοι*] *ὅσοι* b. — 30 *ἐκβάλει* b. — *ὑπὸ τοῦ λαοῦ*] *ὑπὸ Φλαβιανοῦ* c *om.* d. — 32 *ἀγροικικοῦ* b *ἀγροίκου* cy *ἀγροίκων* dz. — 33 ut sacrilegus A. — 34 *Ἰουλιανάδε* b *Ἰουλιανα (sine acc.) δὲ* c *Ἰουλιανὸν δέ* g. — *ἱερόν add. ex* b *om.* xyzA.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς θεοτόκου ἐν τοῖς Ὀνωράτοις, ἀντεποιεῖτο σφόδρα τῆς ἐν Χαλκηδόνι συνόδου, ὡς καὶ τὸν βασιλέα πολλὰς αὐτῇ διαστροφὰς ἐφευρόντα μὴ πεῖσαι κοινωνῆσαι τῷ Τιμοθέῳ. καὶ αὐτὸς δὲ Τιμόθεος πολλάκις πρὸς αὐτὴν ἀπελθὼν οὐκ ἔπεισεν αὐτήν. Πομπήϊον, τὸν ἀνεψιὸν αὐτοῦ, ὁ βασιλεὺς καὶ τὴν τούτου γαμετὴν κοσμίαν οὖσαν καὶ εὐποιΐαις σχολάζουσαν πολλαῖς περιστάσεσιν ἐταπείνου, ὡς ζηλωτὰς τῆς συνόδου καὶ ὡς χορηγοῦντας Μακεδονίῳ ἐν τῇ ἐξορίᾳ τὰ πρὸς χρείαν. οἱ δὲ σταλέντες παρὰ Τιμοθέου ἐν Ἀλεξανδρείᾳ πρὸς Ἰωάννην τὸν Νικαιώτην ἐπ' ἄμβωνος τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἀν-
Theod. L. II, 33 εθεμάτισαν. ‖ τοῦ ἡγουμένου τῆς Λίου μονῆς τελευτήσαντος, ἦλθε Τιμόθεος προβαλέσθαι ἡγούμενον. ὁ δὲ μέλλων προβιβάζεσθαι ἔφη
244 B μὴ δέχεσθαι εὐλογίαν παρὰ ἀνδρὸς ἀθετοῦντος τὴν ἐν Χαλκηδόνι σύνοδον. Τιμόθεος δὲ ἔφη· "ἀνάθεμα παντὶ ἀνθρώπῳ τῷ μὴ δεχομένῳ τὴν ἐν Χαλκηδόνι σύνοδον." καὶ οὕτω προχειρισθῆναι ὑπ' αὐτοῦ κατεδέξατο ὁ ἡγούμενος. Ἰωάννης δέ, ὁ ἀρχιδιάκονος Τιμοθέου, Μανιχαῖος ὤν, ὑβρίσας Τιμόθεον τῷ βασιλεῖ ἐμήνυσεν. ὁ δὲ βασιλεὺς ἀτιμάσας Τιμόθεον χαλεπῶς κατὰ πρόσωπον ἀρνούμενον εὗρε καὶ πάλιν ἀναθεματίζοντα τοὺς δεχομένους τὴν ἐν Χαλκηδόνι σύνοδον. ‖ Ἰωάννης δὲ ὁ Ἀλεξανδρείας ὁ δυσσεβὴς ἐκώλυσε τοὺς Αἰγυπτίους ἀνέρχεσθαι εἰς Ἱεροσόλυμα διὰ τὸ μὴ κοινωνεῖν ἐν τῇ ὑψώσει
136 P τῇ ἐν Χαλκηδόνι συνόδῳ. φοβερά δέ τινα ὑπὸ δαιμονιώντων ἐγένετο
Niceph. XVI, 34 τότε εἰς Ἱεροσόλυμα. ‖ Ἀναστάσιος δέ τις ἐπιθυμῶν γενέσθαι δοὺξ Παλαιστίνης ὑπέσχετο τῷ βασιλεῖ, "εἰ μὴ πείσω Ἰωάννην, τὸν μετὰ Ἥλιαν ἐπίσκοπον Ἱεροσολύμων, κοινωνῆσαι Σευήρῳ, δίδειν τ' λίτρας χρυσίου." λαβὼν οὖν τὴν ἀρχὴν ἦλθεν εἰς Ἱεροσόλυμα καὶ Ἰωάννην
245 B μὴ πειθόμενον εἰς φρουρὰν ἐνέβαλεν. Ζαχαρίας δέ τις ἄρχων Παλαιστίνης, θεοφιλὴς ἀνήρ, ὑπέθετο τῷ ἐπισκόπῳ ζήλῳ θείῳ φερόμενος ὑποσχέσθαι τῷ δουκὶ ποιεῖν τὰ δοκοῦντα αὐτῷ, εἰ ἀποκατασταθῇ εἰς τὸν θρόνον αὐτοῦ. τοῦ δὲ ἀπολύσαντος αὐτὸν καὶ ἀποκαταστήσαντος, συναγαγὼν τὰ μοναστήρια εἰς τὸν ναὸν τοῦ ἁγίου Στεφάνου καὶ ἀνελθὼν ἐπ' ἄμβωνος ἀνεθεμάτισε Νεστόριον καὶ Εὐτυχέα καὶ Σευῆρον καὶ Σωτήριχον τὸν Καισαρείας, ἀναγορεύσας τὰς ἁγίας καὶ

Ὀνωράτοις d Ονωράτοις sine spir. c Ὀνοράτοις hy. — 2 διατροφάς h. — 4 πρὸς] εἰς xyz. — Πομπήϊον b Πόμπιον xz Πόμψιον y. — Π. δὲ τὸν dz. — 7 Μακεδόνιον b. — πρὸς τὴν χρείαν xyz τὴν om. b. — 9 Νικαιότην bz. — 10 τοῦ δὲ ἡγ. xyz δὲ om. b. — τῆς μονῆς τῶν Στουδίου Theod. Niceph. XVI, 35. — 12 μὴ δέχεσθαι — 13 ἔφη om. b. — 13 Τιμόθεος — 14 σύνοδον om. ef. — 13 Τιμόθεος — 15 ἡγούμενος om. m. — 15 οὐ κατεδέξατο ef. — ὁ post δὲ om. h. — 17 ἀρνούμενος b. — 19 ὁ ante δυσσεβής om. b. — 20 εἰς τὰ Ἱεροσ. z. — 21 τῆς ἐν Χ. συνόδου g. — δαιμονιόντων bdhy. — 22 εἰς Ἱεροσόλυμα τότε xyz. — τις add. ex b om. xyzA. — 23 πείσοι coni. Classen nisi persuaderet A. — 24 Ἥλιαν bh. — δίδειν cy. — 25 οὖν b ergo A δέ xyz. — 26 ἐνέβαλλεν g. — 27 ἀνὴρ θεοφιλὴς y. — 28 ἀποκατασταθείη d. — 32 Σεύηρον g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἰκουμενικὰς τέσσαρας συνόδους· ‖ παρῆν δὲ καὶ Ὑπάτιος, ὁ ἀδελφιδὸς τοῦ βασιλέως, μὴ κοινωνῶν Σευήρῳ τὸ σύνολον· οὗτος κοινωνήσας Ἰωάννῃ τότε χρυσίου λίτρας ρ΄ δέδωκε Θεοδοσίῳ τῷ ὁσίῳ, ἐξάρχῳ ὄντι τῶν μοναστηρίων, εἰς διανομὴν τῶν ὑπὲρ τῆς ὀρθῆς πίστεως καὶ τῆς ἐν Χαλκηδόνι συνόδου ζηλούντων μοναχῶν. ὁ δὲ βασιλεύς τινας τῶν ἀρχόντων προσέταξεν εἰς τὸν ναὸν τοῦ ἁγίου Θεοδώρου τῶν Σφωρακίου ἐπ' ἄμβωνος τὴν προσθήκην τοῦ τρισαγίου ὑποβάλλειν· ὥστε τὰ πλήθη ἀγανακτοῦντα ἐξελθεῖν κατὰ τὴν ἡμέραν τῆς λιτῆς γινομένης ἐν τῷ Τρικόγχῳ διὰ τὴν κόνιν· ἡνίκα καὶ Τιμόθεος δι' ἐγγράφου ὑπομνηστικοῦ πάσαις ταῖς ἐκκλησίαις τῆς πόλεως προσέταξε τὸ τρισάγιον ἐν ταῖς λιταῖς μετὰ τῆς προσθήκης εἰπεῖν. ὅπερ πολλοὶ φοβούμενοι ἐποίησαν. οἱ δὲ μοναχοὶ ἄλλον ψαλμὸν ἦλθον ψάλλοντες. τούτους δὲ ἰδὼν ὁ λαὸς ἔκραζεν· "καλῶς ἦλθον οἱ ὀρθόδοξοι". στάσις τε πολλὴ γέγονε καὶ ἐμπρησμὸς οἰκων πολλῶν καὶ φόνοι μυρίοι, τοῦ ὄχλου καταβοῶντος Ἀναστασίου, καὶ 246 B
ἄλλον βασιλέα αἰτούντων, Βιταλιανὸν δὲ πάντων εὐφημούντων ὡς αὐτοκράτορα· ὥστε φυγεῖν Ἀναστάσιον καὶ κρυβῆναι ἐν προαστείῳ ἐγγὺς Βλαχερνῶν, ὑπ' αὐτῆς δὲ Ἀρεάδνης ὑβρισθῆναι ὡς πολλῶν κακῶν αἴτιον Χριστιανοῖς. ‖ Ἀλαμουνδάρῳ δέ, τῷ φυλάρχῳ τῶν Theod. L. II, 35
Σαρακηνῶν, βαπτισθέντι Σευῆρος ὁ δυσσεβὴς δύο ἐπισκόπους ἔπεμψε τῆς λώβης αὐτοῦ μεταδοῦναι αὐτῷ. θεοῦ δὲ προνοίᾳ ὑπὸ τῶν ὀρθοδόξων ὁ ἀνὴρ ἐβαπτίσθη τῶν δεχομένων τὴν σύνοδον. τῶν δὲ ἐπισκόπων Σευήρου διαστρέφειν τὸν φύλαρχον τοῦ ἀληθοῦς δόγματος σπευδόντων, θαυμαστῶς αὐτοὺς ἤλεγξεν Ἀλαμούνδαρος δραματουργίᾳ τοιαύτῃ. ἔφη γὰρ πρὸς αὐτούς· "γράμματα," φησίν, "ἐδεξάμην σήμερον σημαίνοντά μοι ὅτι Μιχαὴλ ὁ ἀρχάγγελος τέθνηκεν." τῶν δὲ εἰπόντων ἀδύνατον εἶναι τοῦτο, ἔφη ὁ φύλαρχος· "καὶ πῶς θεὸς γυμνὸς ἐσταυρώθη καθ' ὑμᾶς, εἰ μὴ δύο φύσεων ἦν ὁ Χριστός, εἴπερ μηδὲ ἄγγελος ἀποθνήσκει; καὶ οὕτω μετ' αἰσχύνης ἀνεχώρησαν

---

1 ὁ *om.* b. — ἀδελφιδοῦς g ἀδελφός y. — 2 κοινωνόν by. — Σευῆρον b. — οὕτως cy. — 3 τῷ Ἰωάννῃ z. — δέδωκεν *hic omittunt et v.* 5 *post* μοναχῶν *inserunt* xyz. — ὁσίῳ *om.* y. — 5 λαλούντων f. — 7 Σφωρακίου x Σφορακίου b Σφαρακίου yz Spharacii A *cf.* Codin. de aedif. p. 82 ed. Bonn. — 8 ὑποβάλειν b ὑποβαλεῖν d. — 11 τῆς πόλεως *add ex* b *om. rell.* A. — 13 ἔκραξεν b ἔκραξεν *rell.* clamavit A. — 15 Ἀναστασίου b Ἀναστασίῳ xyz. — 17 κρυβῆναι b. — 18 Ἀριάδνης c. — 19 ἄλλα Μουνδάρῳ b. — Ἀλαμουνδάρου (ἀλλὰ μουνδαρίου m) δέ, τοῦ φυλάρχου — βαπτισθέντος xyz. — 20 Σεύηρος g. — ἐπισκόπους *om.* f. — 23 Σευήρου δὲ διαστρ. (*om.* τῶν δὲ ἐπισκ.) h. — διατρέφειν b. — 24 Ἀλαμούνδαρος. δραμ. τοιαύτῃ ἔφη πρὸς αὐτούς b. — 25 ἔφη γὰρ πρὸς αὐτούς *om.* x. — γάρ *om.* h. — 26 σημαίνοντά μοι *add. ex* b (μηνύοντα Theod.) *om.* xyzA Georg. Mon. p. 518. — ὁ ἀρχάγγελος *om.* y. — τέθνηκε σήμερον cz. — 27 ἔφη πρὸς αὐτούς xz. — 28 καθ' ἡμᾶς b δι' ἡμᾶς d. — 29 ἀποθνήσκῃ hx.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Rev. arch. 26, 402 οἱ τοῦ Σευήρου ἐπίσκοποι. ‖ Κουάδης δέ τινας τῶν ἐν Περσίδι Χριστιανῶν ἠγκυλοκόπησεν, οἳ μετὰ ταῦτα περιεπάτησαν. ‖

513 | 4. A. M. 6006 247 B

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ςς΄.	ἔτη φς΄.	Ἀναστάσιος	Καβάδης	Ὁρμίσδας
		ἔτη κξ΄.	ἔτη λ΄.	ἔτη ι΄.
		κγ΄.	ιθ΄.	α΄.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Τιμόθεος	Ἡλίας	Ἰωάννης	Σευῆρος
ἔτη ς΄.	ἔτη κγ΄.	ἔτη ια΄.	ἔτη ζ΄.
β΄.	γ΄.	η΄.	β΄.

Mal. p. 402, 8 ‖ Τούτῳ τῷ ἔτει Βιταλιανὸς παραλαβὼν πᾶσαν τὴν Θρᾴκην καὶ Σκυθίαν καὶ Μυσίαν, ἔχων μεθ' ἑαυτοῦ πλῆθος Οὔννων καὶ Βουλγάρων παρέλαβε τὴν Ἀγχίαλον καὶ τὴν Ὀδυσσόπολιν, πιάσας καὶ Κύριλλον, τὸν στρατηλάτην Θρᾴκης, καὶ ἦλθε πραιδεύων ἕως τοῦ Βυζαντίου. φειδόμενος δὲ τῆς πόλεως ἐν τῷ Σωσθενίῳ ἐστρατοπέδευσεν. ‖ Ἀναστάσιος δὲ ἀπογνοὺς πέμπει τινὰς τῆς συγκλήτου παρακαλῶν εἰρηνεῦσαι αὐτὸν καὶ ὁμόσαι σὺν τῇ συγκλήτῳ, τούς τε ἐξορισθέντας ἐπισκόπους ἀνακαλεῖσθαι ..... ἐν Ἡρακλείᾳ τῆς Θρᾴκης. ὁ δὲ Βιταλιανὸς προσέθηκεν, ἵνα καὶ οἱ πρίγκιπες ἑκάστης σχολῆς τοῦτο ὀμόσωσιν, καὶ Μακεδόνιος καὶ Φλαβιανὸς οἱ ἀδίκως ἐκβληθέντες ἀπολάβωσι τοὺς ἰδίους θρόνους, ὁμοίως καὶ πάντες οἱ λοιποὶ ἐπίσκοποι, καὶ οὕτω κροτηθῇ ἡ σύνοδος, ἐρχομένου καὶ τοῦ Ῥώμης καὶ πάντων τῶν ἐπισκόπων, καὶ κοινῇ κρίσει δοκιμασθῇ τὰ κατὰ τῶν ὀρθοδόξων τολμηθέντα. τοῦ δὲ βασιλέως καὶ τῆς συγκλήτου καὶ τῶν λοιπῶν ἀρχόντων τε καὶ λαῶν ὁμοσάντων καὶ βεβαιωσάντων ταῦτα οὕτω γίνεσθαι, εἰρήνη γέγονεν· καὶ ἐπανέζευξεν ἐπὶ τὰ ἴδια. Σεκουνδῖνος δὲ ὁ πατρίκιος, γαμβρὸς Ἀναστασίου ἐπ' ἀδελφῇ, πατὴρ δὲ Ὑπατίου,
248 B εἰς τοὺς πόδας Βιταλιανοῦ προσπεσὼν πολλοῖς δάκρυσιν Ὑπάτιον τὸν ἴδιον υἱὸν ἐκ τῶν ἐν Μυσίᾳ δεσμῶν ζῶντα ἀπέλαβεν. Ὁρμίσδας δέ, ὁ ἐπίσκοπος Ῥώμης, ὀχλούμενος ὑπὸ Θευδερίχου χαριζομένου

---

1 Κουάδης b Καβάδης xyz. — 5[5] Ὁρμίσδας bcem. — 10[2] Ἡλίας b Ἰωάννης cyz. — 10[4] Σεύηρος eg. — 11[2] ἔτη ια΄ y. — 12[2] β΄ *codd.* — 13 Βιταλλιανός b *hic et passim in sqq.* — 14 πλῆθος b Mal. πλήθη (πλήθει fh) xyz. — Οὔνων h. — 15 Ἀγχιαλόν b. — Ὀδυσόπολιν bh. — 16 τὸν Κύρ. στρατηλάτην b. — παρεδρεύων b. — 17 τῷ *add. ex* b *om.* xyz. — Σωσθενείῳ b Σοσθενείῳ y. — 19 αὐτῷ b. — καὶ ὁμώσαι b καὶ ὦμοσεν xyz. — σὺν αὐτῇ τῇ συγκλ. x. — 20 *Post* ἀνακαλεῖσθαι *lacunam subesse statuo sic fere explendam* καὶ σύνοδον οἰκουμενικὴν συγκαλεῖσθαι. — 21 πρίγκιπαις b πρίγκηπες (πρινκ. fm) hxy. — 22 ὁμόσωσι τοῦτο xyz. — 23 ἀπολάβωσι — ὁμοίως *om.* f. — πάντες *om.* f. — 24 καί *ante* τοῦ Ῥώμης *om.* dm. — 25 ἑτοιμασθῇ y. — 28 Σεκουνδῖνος b Σεκουνδιανός xyz. — 30 Ὑπάτιον *om.* y. — 31 υἱόν *om.* b. — Ὁρμίσδας bdfm. — 32 χαριζόμενος xy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Βιταλιανῷ Ἐννόδιον τὸν ἐπίσκοπον ἔπεμψε καὶ Βιταλιανὸν ἀρχιδιάκονον εἰς τὸ κροτηθῆναι τὴν ἐν Ἡρακλείᾳ σύνοδον. ἦλθον δὲ ἐπί- 138 P
σκοποι ὡς διακόσιοι ἐκ διαφόρων τόπων· οἵ τινες ἐμπαιχθέντες ὑπὸ τοῦ παρανόμου βασιλέως καὶ Τιμοθέου ἐπισκόπου Κωνσταντινουπόλεως ἀνεχώρησαν ἄπρακτοι. ὁ γὰρ ἀσεβὴς βασιλεὺς παραβὰς τὰς συνθήκας λάθρα ἐδήλωσε τῷ πάπᾳ Ῥώμης μὴ παραγενέσθαι. τῷ γὰρ Βιταλιανῷ σάκραν ἦν πέμψας τοῦ πέμψαι αὐτὴν εἰς Ῥώμην πρὸς τὸ παραγενέσθαι τὸν πάπαν ἐπὶ τὸ κροτηθῆναι τὴν σύνοδον ἐν Ἡρακλείᾳ. πᾶς δὲ ὁ λαὸς καὶ ἡ σύγκλητος παρρησίᾳ ἐλοιδόρουν Ἀναστάσιον ὡς ἐπίορκον. ὁ δὲ παράνομος ἀναιδῶς ἔλεγε νόμον εἶναι κελεύοντα βασιλέα κατ' ἀνάγκην ἐπιορκεῖν καὶ ψεύδεσθαι. ταῦτα ὁ παρανομώτατος μανιχαιόφρων.

κδ'. κ'. β'. γ'. δ'. θ'. γ'. A. M. 6007 514/5

Τούτῳ τῷ ἔτει Βιταλιανὸς ἀγανακτήσας κατὰ Ἀναστασίου διὰ τὴν ἐπιορκίαν πολλὰ κακὰ τοῖς ὑπὸ Ἀναστάσιον στρατοπέδοις καὶ τῇ λοιπῇ πολιτείᾳ ἐπεδείκνυτο, ἀναιρῶν καὶ ἁρπάζων καὶ ἀφοπλίζων· 249 B
καὶ τέλος πρὸς ὕβριν ἕκαστον στρατιώτην μιᾶς φόλλεως ἐπίπρασκεν.

	Κόσμου	*Τῆς Θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης* A. M. 6008 515/6
	ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*
	ϛῃ'.	*ἔτη φη'.*	*Ἀναστάσιος*	*Καβάδης*	*Ὁρμίσδας*
			ἔτη κζ'.	*ἔτη λ'.*	*ἔτη ι'.*
			κε'.	*κα'.*	*γ'.*

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Τιμόθεος	*Ἥλίας*	*Ἰωάννης*	*Σευῆρος*
ἔτη ϛ'.	*ἔτη κγ'.*	*ἔτη ια'.*	*ἔτη ζ'.*
δ'.	*ε'.*	*ι'.*	*δ'.*

‖ *Τούτῳ τῷ ἔτει Οὖννοι οἱ λεγόμενοι Σαβὴρ περάσαντες τὰς* Niceph. XVI, 26
Κασπίας πύλας τὴν Ἀρμενίαν ἐξέδραμον, Καππαδοκίαν τε καὶ Γαλατίαν καὶ Πόντον ληϊζόμενοι, ὡς καὶ Εὐχαΐτα μικροῦ παραστήσασθαι. ὅθεν καὶ φυγὼν ὁ ἱερὸς Μακεδόνιος κινδυνεύων σχεδὸν εἰς Γάγγραν διεσώθη. ὅπερ μαθὼν Ἀναστάσιος πικρῶς αὐτὸν κἀκεῖ προσέταξε φυλάττεσθαι, πέμψας, ὥς φασι, καὶ τὸν ἀναιρήσοντα αὐτόν. τελειωθεὶς

---

1 *Βιταλιανόν* f *Βιταλιανών* e *Βιταλιανῶν* m. — *Ἐνόδιον* yz. — 2 *δὲ καὶ ἐπίσκ.* xyz. — 3 *ὡς om.* y. — 5 *παραλαβών* b. — 6 *πάππᾳ* g *item v.* 8 *πάππαν.* — 10 *ὁ δὲ παράν. βασιλεύς* em. — 13 *κδ'. κ'. β'. γ'. γ'. θ'. γ'.* b *κδ'. κ'. β'. γ'. θ'. γ'.* cz *κδ'. κβ'. γ'. θ'. γ'.* y. — 15 *ὑπὸ Ἀναστασίου* bx *ὑπὲρ Ἀναστασίου* y. — 17 *φόλεως* bdz. — *vv.* 18—27 *sic exhibet* b: *Κόσμου ἔτη ϛῃ'. τῆς θείας σαρκ. ἔτη φη'. κε'. κα'. γ'. δ'. δ'. ι'. δ'. rell. omissis.* — 20[5] *Ὁρμίσδας* cg *sine spir.* ef. — 21[4] *ἔτη κα'.* f. — 25[2] *Ἰωάννης* cyz. — 25[4] *Ἥλίας Σευῆρος* (*Σεύηρος* g) efg. — 26[2] *ἔτη ια'.* em. — 27[2] *δ'.* cyz. — 28 *Οὔννοι* bceg *Οὖνοι* fhm. — *Σαβὴρ* xy Nic. *Σαβὴρ* h *Σαβὴν* g *Σαβῆρες* b. — 30 *Εὐχαΐτα* h *Εὐχαΐτα* g *Εὐχαϊτα sine acc.* c *Εὐχαΐταν* by. — *μικροῦ* bx *μικροῦ δεῖν* gy *μικροῦ δεῖ* h. — 32 *κἀκεῖ* b *ἐκεῖ rell.* — 33 *ἀναιρήσοντα* b *ἀναιροῦντα* xyz

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ ἐν Γάγγραις κατετέθη ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Καλλινι-
Theod. L. II, 36 κου ἐγγὺς τῶν λειψάνων αὐτοῦ πολλὰς ἰάσεις ἐπιτελῶν. ‖ Μακεδονίου νεκροῦ κειμένου φασὶ τῇ χειρὶ κατασφραγίσασθαι τῷ σταυρῷ. Θεόδωρος δέ τις τῶν συνόντων αὐτῷ εἰς ὄναρ εἶδε Μακεδόνιον λέγοντα αὐτῷ· "ἔκλαβε, καὶ ἀπελθὼν ἐπανάγνωθι Ἀναστασίῳ, καὶ εἰπέ· ἐγὼ μὲν ἀπέρχομαι πρὸς τοὺς πατέρας μου, ὧν τὴν πίστιν τετήρηκα, οὐ παύσομαι δὲ ὀχλῶν τῷ δεσπότῃ ἄχρις οὗ ἔλθῃς, καὶ εἰς δίκην εἰσέλθωμεν." ‖

139 P Cram. Anecd. II, 108 250 B ‖ Τῷ δ' αὐτῷ ἔτει ἐν Ἀλεξανδρείᾳ πλεῖστοι ἄνδρες καὶ γυναῖκες καὶ νήπια δεινῶς πληγέντες ὑπὸ δαιμόνων ἀθρόως ὑλάκτουν· καθ' ὕπνους δέ τις εἶδέ τινα φοβερὸν λέγοντα, ὅτι διὰ τοὺς ἀναθεματισμοὺς τῆς συνόδου ταῦτα πάσχουσιν. ‖

Τῷ δ' αὐτῷ ἔτει καὶ Ἀρεάδνη ἡ βασίλισσα ἐτελεύτησεν. οἱ δὲ μοναχοὶ τῆς ἐρήμου θείῳ ζήλῳ κινούμενοι, τέσσαρας διαμαρτυρίας συντάξαντες δύο μὲν ἐπεμψαν τῷ βασιλεῖ, μίαν δὲ τοῖς ἄρχουσι τῆς χώρας, καὶ μίαν τῷ ἐπισκόπῳ Ἱεροσολύμων Ἰωάννῃ, διαμαρτυρόμενοι, μήτε τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου παρεξελθεῖν, μήτε τῷ δυσσε-
Rev. arch. p. 399 βεῖ Σευήρῳ κοινωνῆσαι· ‖ ἑπεὶ πρὸς θάνατον ἑτοίμως ἔχουσιν, ἐμπυρίζοντες καὶ τοὺς ἁγίους τόπους. τοῦ δὲ ἐπισκόπου Θεσσαλονίκης διὰ φόβον τοῦ βασιλέως κοινωνήσαντος Τιμοθέῳ τῷ Κωνσταντινουπόλεως ἐπισκόπῳ, μ' ἐπίσκοποι τοῦ Ἰλλυρικοῦ καὶ τῆς Ἑλλάδος συνελθόντες εἰς ἓν δι' ἐγγράφου ὁμολογίας ὡς ἀπὸ ἰδίου μητροπολίτου ἀπέστησαν ἀπ' αὐτοῦ, καὶ εἰς Ῥώμην πέμψαντες τῷ Ῥώμης κοινωνεῖν ἐγγράφως συνέθεντο. τὸν δὲ Θεσσαλονίκης ἐπίσκοπον Θεόδωρος ὁ ἱστορικὸς πατριάρχην ὀνομάζει ἀλόγως, μὴ εἰδὼς τὸ διατί. ‖

516/7 A. M. 6009 κς'. κβ'. δ'. ε'. ς'. ια'. ε'.

Rev. arch. p. 399 ‖ Τούτῳ τῷ ἔτει Ἰωάννου τοῦ Νικαιώτου, ἐπισκόπου Ἀλεξανδρείας αἱρετικοῦ, ἀποθανόντος, Διόσκορος ὁ μικρός, Τιμοθέου τοῦ
251 B Ἑλούρου ἀνεψιός, προεβλήθη ἐπίσκοπος Ἀλεξανδρείας. ἐλθὼν δὲ ἐν τῷ Βυζαντίῳ ὑπὲρ Ἀλεξανδρέων πρὸς τὸν βασιλέα πρεσβεύσασθαι διὰ τὸν φόνον τοῦ υἱοῦ Καλλιοπίου τοῦ αὐγουσταλίου, ὑπὸ τῶν ὀρθοδόξων δημοσίως ὑβρίζετο κατὰ πρόοδον νομιζόντων αὐτὸν κατὰ

---

2 ἔγγιστα z. — 4 εἶδεν εἰς ὄναρ cyz εἶδε κατ' ὄναρ d. — *Μακεδόνιον add. ex* bd *om.* cyz. — 5 ἔκβαλε fm. — 7 εἰς δίκην bx εἰς τὴν δίκην yz. — εἰσέλθομεν bdh. — 10 νήπια b Cr. *παιδία* xyz. — πληγέντες bcz πληγέντα dy. — 13 Ἀριάδνη cz. — 16 διαμαρτυράμενοι z διαμαρτυρούμενοι y. — 19 Θεσαλονίκης bh Θεσσαλονικίας g. — 20 διὰ φόβον f. — 23 ἀπ' *om.* b. — 24 δέ *add. ex* bm *om.* cefz. — Θεσαλονίκης b. — ὁ *add. ex* b *om.* cyz. — 25 πατρ. αὐτὸν ὀνομάζει b. — 26 ς'] ε' mz *om.* cef. — 27 Νικαιότου bz. — 28 ὁ μικρός *om.* f. — 29 Αἰλούρου bem. — 31 διὰ τὸν φόνον πρεσβ. πρὸς τὸν βασ. τὸν τοῦ υἱοῦ Καλλ. c. — φόβον y. — Καλλιωπίου cegm Καλλωπίου b. — ὑπό b ἀπό *rell.* — 32 αὐτῶν bemz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ὀρθῶν δογμάτων ἐληλυθέναι. πρεσβεύσας οὖν διὰ τὸν φόνον μετὰ σπουδῆς ἀνεχώρησεν. ‖ ἡ δὲ τοῦ φόνου αἰτία γέγονεν αὕτη. χειροτονηθέντος Διοσκόρου, ἀνεχώρησαν τὰ πλήθη τῶν κληρικῶν λέγοντες· ὅτι "εἰ μὴ καθὼς περιέχουσιν οἱ κανόνες τῶν ἁγίων ἀποστόλων, οὐ καθέζεται ἐπίσκοπος." ἦσαν γὰρ οἱ ἄρχοντες ἐνθρονίσαντες αὐτόν. ὁ δὲ Διόσκορος ἦλθεν εἰς τὸν ἅγιον Μάρκον. καὶ ἐλθόντες οἱ κληρικοὶ ἐνέδυσαν αὐτὸν ἐκ δευτέρου καὶ πάλιν ἐχειροτόνησαν. καὶ οὕτως ἐλθὼν εἰς τὸν ἅγιον Ἰωάννην ἐπετέλεσε τὴν σύναξιν. ὄντος δὲ ἐκεῖ Θεοδοσίου, τοῦ υἱοῦ Καλλιοπίου τοῦ αὐγουσταλίου, καὶ Ἀκακίου στρατηλάτου, ἀτακτήσαντες οἱ ὄχλοι ἤρξαντο ὑβρίζειν τὸν αὐγουστάλιον διὰ τὸ ἐπαινεῖν τὸν βασιλέα Ἀναστάσιον. τῆς δὲ ἀηδίας κινουμένης, εἰσπηδήσαντές τινες ἀπὸ τοῦ θρόνου καθεῖλαν τὸν υἱὸν τοῦ αὐγουσταλίου καὶ ἀνεῖλον αὐτόν. ὁ δὲ στρατηλάτης Ἀκάκιος, ὅσους ἠδυνήθη πιάσαι, ἀνεῖλεν. καὶ ἀκούσας ὁ βασιλεὺς ὠργίσθη κατ' αὐτῶν. ὁ δὲ Διόσκορος πρεσβεύσας κατεπράϋνεν αὐτόν. ‖ μεταξὺ δὲ Ἰνδῶν καὶ Περσῶν κάστρον ἐστὶν ὀνόματι Τζουνδαδεέρ, ἔνθα πολλὰ χρήματα καὶ λίθους τιμίους εἶναι πολλοὺς Κουάδης μαθὼν ἐπεζήτει τοῦτο λαβεῖν. δαίμονες δὲ τῷ τόπῳ παρεδρεύοντες ἐκώλυον αὐτὸ χειρωθῆναι. πᾶσαν οὖν κινήσας τῶν παρ' αὐτῷ μάγων ἐπίνοιαν, ἔπειτα δὲ καὶ Ἰουδαίων, καὶ τοῦ σκοποῦ μὴ ἐπιτυχών, πεισθεὶς διὰ τῆς πρὸς θεὸν εὐχῆς τῶν Χριστιανῶν τούτου κυριεῦσαι, ἐπίσκοπόν τινα Χριστιανῶν τῶν ἐν Περσίδι περὶ τούτου παρεκάλεσεν, ὃς σύναξιν ἐπιτελέσας καὶ τῶν θείων μυστηρίων μεταλαβών, προσελθὼν τῷ τόπῳ τοὺς ἐκεῖσε δαίμονας ἐξεδίωξε καὶ τῷ Κουάδῃ τὸ κάστρον ἀπόνως παρέδωκεν· τούτῳ Κουάδης καταπλαγεὶς τῷ σημείῳ πρωτοκαθεδρίᾳ τὸν ἐπίσκοπον ἐτίμησεν, ἕως τότε Μανιχαίων καὶ Ἰουδαίων προκαθεζομένων, ἄδειαν δὲ παρέσχε καὶ τοῖς βουλομένοις βαπτίζεσθαι. ‖

cf. Mal. p. 401, 20

140 P

252 B

Theod. L. II, 34

Ἀλεξανδρείας ἐπίσκοπος Διόσκορος ἔτη γ'. A. M. 6010 517/8
κζ'. κγ'. ε'. ς'. ζ'. α'. ς'.

‖ Τούτῳ τῷ ἔτει Ἀναστάσιος ὁ βασιλεὺς εἶδεν ἐν ὁράματι ἄνδρα φοβερὸν βαστάζοντα κώδικα· καὶ τοῦτον ἀναπτύξας καὶ εὑρὼν

Mal. p. 408, 12 cf. Chron. Pasch. p. 610, 10

253 B

---

1 φόβον y. — 3 κληρικῶν b χωρικῶν cyz. — 5 οἱ ἄρχοντες om. f. — ἐνθρονίσαντες z ἐνθρονήσαντες b ἐνθρονιάσαντες cy. — 9 Καλλιωπίου cem Καλλωπίου b. — 10 τοῦ στρατηλάτου cyz τοῦ om. b. — 11 τόν ante βασιλέα om. h. — 12 τῆς δὲ ἀηδίας κινουμένης bc τῆς δὲ ἀδείας (ἀδίας f) γινομένης y ἀδείας δὲ γενομένης z. — τινες om. y. — καθεῖλαν b καθεῖλον cyz. — 13 τοῦ om. c. — 16 αὐτούς h. — Τζουνδαδεέρ (-δέερ b) b Theod. Τζουβδαδεέρ yz Τζουβδαδέρ x. — 17 Κουάδης by Καβάδης xz item v. 25. — 19 πάσας y. — παρ' αὐτῶν bem παρ' αὐτοῦ f. — 22 Χριστιανῶν hx Χριστιανόν bgy. — τόν y om. h — 24 ἐδίωξεν cy. — 25 Κουάδῃ by Καβάδῃ xz. — τοῦτο z. — 26 πρωτοκαθεδρίαν τὸν ἐπίσκοπον g πρωτοκαθεδρίαν τῶν ἐπισκόπων y. — 30 κζ'.] ,σι'. φι'. κξ'. f. — 32 κώδηκα c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ τοῦ βασιλέως ὄνομα εἶπεν αὐτῷ· "ἰδού, διὰ τὴν κακοπιστίαν σου ἀπαλείφω ιδ'". καὶ ἀπήλειψεν αὐτά. διυπνισθεὶς δὲ καὶ προσκαλεσάμενος Ἀμάντιον τὸν πραιπόσιτον εἶπεν αὐτῷ τὸ ὅραμα. ὁ δὲ εἶπεν· "κἀγὼ ἐθεασάμην ταύτῃ τῇ νυκτί, ὅτι παρισταμένου μου τῷ κράτει σοῦ, χοῖρος μέγας ἐλθὼν καὶ δραξάμενός μου τῆς χλαίνης κατέρραξέ με εἰς τὴν γῆν καὶ ἀνήλωσεν." προσκαλεσάμενος δὲ Πρόκλον τὸν ὀνειροκρίτην ἐξεῖπεν αὐτῷ τὰ ὁραθέντα. ὁ δὲ εἶπεν αὐτοῖς· ὅτι
Rev. arch. p. 400 "ἀμφότεροι οὐ μετὰ πολὺ τελειοῦσθε." ‖ τοῦ δὲ ἐπισκόπου Κωνσταντινουπόλεως Τιμοθέου ἀποθανόντος, Ἰωάννην τὸν Καππαδόκην, πρεσβύτερον καὶ σύγκελλον Κωνσταντινουπόλεως, ἐπίσκοπον ὁ βασιλεὺς προεχειρίσατο. οὗτος χειροτονηθεὶς τῇ τρίτῃ ἡμέρᾳ τοῦ πάσχα τὴν ἀποστολικὴν ἐνεδύσατο στολήν. ὁ δὲ λαὸς πολλὴν στάσιν ἐποίησε τῷ Ἰωάννῃ τοῦ ἀναθεματίσαι Σευῆρον. ‖

141 P Τῷ δ' αὐτῷ ἔτει ἰνδικτιῶνος ια', μηνὶ Ἀπριλλίῳ θ', τέθνηκεν Ἀναστάσιος ὁ δυσσεβὴς βασιλεύς, βασιλεύσας ἔτη κζ' μῆνας ζ', τῷ
Cram. II, 108 σλδ' ἔτει ἀπὸ Διοκλητιανοῦ· ‖ καὶ ἐβασίλευσεν Ἰουστῖνος ὁ εὐσεβὴς ἀντ' αὐτοῦ, ἀνὴρ πρεσβύτης καὶ πολύπειρος, ἀπὸ στρατιωτῶν ἀρξάμενος καὶ ἕως τῆς συγκλήτου προκόψας, Ἰλλύριος τῷ γένει. ‖ τινὲς δέ φασιν ὅτι θείῳ σκηπτῷ κεραυνωθεὶς Ἀναστάσιος ἐμβρόντητος γέγονεν.

Theod. L. II, 37
Rev. arch. p. 400
Mal. 409, 17
254 B

518/9. A. M. 6011

Κόσμου ἔτη ,ξια'.	Τῆς θείας σαρκώσεως ἔτη φια'.	Ῥωμαίων βασιλεὺς Ἰουστῖνος ἔτη θ'. α'.	Περσῶν βασιλεὺς Καβάδης ἔτη λ'. κδ'.	Ῥώμης ἐπίσκοπος Ὁρμίσδας ἔτη ι'. ς'.

Κωνσταντ. ἐπίσκοπος Ἰωάννης ἔτη β'. α'.	Ἱεροσολύμων ἐπίσκοπος Ἡλίας ἔτη κγ'. η'.	Ἀλεξανδρείας ἐπίσκοπος Διόσκορος ἔτη γ'. β'.	Ἀντιοχείας ἐπίσκοπος Σευῆρος ἔτη ζ'. ζ'.

Theod. L. II, 37
Cram. II, 108

‖ Τούτῳ τῷ ἔτει Ἰουστῖνος βασιλεύσας πᾶσιν ἄριστος ἀνεδείχθη,

---

1 τὸ τοῦ βασιλέως ὄνομα b Mal. τὸ ὄνομα τοῦ βασ. xyz. — 2 ἀπείληψεν hy ἀπέλιψεν b. — 3 πρεπόσιτον by πραιπόσιτον g. — 4 ταύτῃ z Mal. ταῦτη df ταῦτα bce ταύ m haec ista nocte A. — 5 μέγας om. x. — 6 τὴν add. ex b om. xyz. — προσκαλεσάμενος—ἐξεῖπεν xyzA Mal. προσκαλεσάμενοι—ἐξεῖπον b. — 7 αὐτοῖς] αὐτῷ x. — 8 τελειοῦσθαι bgy. — 9 τὸν om. y. — 10 ὁ βασιλεύς add. ex b om. xyz. — 11 προεχειρίσαντο dgA. — 12 στάσιν πολλὴν xyz. — 13 Σεύηρον egm. — 14 ἰνδικτιόνος h ἰνδικτίονος f ἰν̄. rell. — Ἀπριλλίῳ] Timotheum episcopum hoc mense defunctum cum Anastasio qui mense Iunio e vivis excessit Theophanes confundit. — θ'] ια' y. — 15 καὶ μῆνας ζ' xyz. — ζ'] γ' Theod. Lect. Malal. Euagr. — 16 στδ' c. — ὁ εὐσεβὴς βασιλεύς yz. — 18 προκύψας b. — 19 σκήπτρῳ y. — 20 γέγονεν σπασθεὶς γὰρ ἀπέθανεν d. — 23⁴ Κουάδης cf. — 23⁵ Ὁρμίσδας begm sine spir. cf. — 28² Ἡλίας b Ἰωάννης rell. — 28⁴ Σεύηρος g. — 30² η'] ζ' codd. — 31 βασιλεύσας] ὁ βασιλεύς h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζηλωτὴς μὲν τῆς ὀρθοδόξου πίστεως ἔμπυρος καὶ ἐν πολέμοις εὐδοκιμῶν, σύμβιον δὲ ἔχων ὀνόματι Λουπικίαν. ταύτην Εὐφημίαν οἱ δῆμοι ἐκάλεσαν στεφθεῖσαν αὐτὴν αὐγούσταν. ‖ Βιταλιανὸς δὲ ὁ Mal. p. 411, 14
προρρηθεὶς μετὰ θάνατον Ἀναστασίου Ἰουστίνῳ τῷ μεγάλῳ σφόδρα ᾠκειώθη, ὥστε στρατηλάτου ἀξίαν παρ' αὐτοῦ δέξασθαι καὶ ὑπατεῦσαι ἐλθόντα ἐν Βυζαντίῳ καὶ ὕπατον ἀναγορευθῆναι καὶ κόμητα Προικέντου παρρησίαν τε ἔχειν τοσαύτην πρὸς τὸν βασιλέα, ὥστε καὶ Σευῆρον προστάξαι ἐκβληθῆναι καὶ ἀναιρεθῆναι. λίαν γὰρ ἦν ὀρθόδοξος ὁ Βιταλιανός. ὁ δὲ Σευῆρος ἀκούσας ἔφυγεν, καὶ Ἰουλιανὸς Ἁλικαρνασοῦ ἐπίσκοπος· καὶ εἰς Αἴγυπτον ἀπελθόντες ταύτην ἐτάραξαν, τὸν περὶ φθαρτοῦ καὶ ἀφθάρτου λόγον κινήσαντες, Διοσκόρου ἐπισκοποῦντος Ἀλεξανδρείας. ‖ ἐπίσκοποι δὲ καὶ κληρικοὶ ἀπὸ Ῥώμης ἦλθον λαβόντες αὐθεντίαν ὑπὸ Ὁρμίσδου, τοῦ ἐπισκόπου Ῥώμης, σπουδῇ Βιταλιανοῦ, ἔτι ζῶντος Ἰωάννου τοῦ Καππάδοκος, 255 B
ἐπισκόπου Κωνσταντινουπόλεως, καὶ τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον συνέταξαν τοῖς * διπτύχοις καὶ ταῖς ἄλλαις τρισὶ συνόδοις ἐν τοῖς ἱεροῖς διπτύχοις. Σευήρου δὲ τοῦ δυσσεβοῦς ἐκποδὼν γεγονότος, Παῦλος Mal. p. 411, 19
ἐχειροτονήθη ἐπίσκοπος Ἀντιοχείας, ὁ ξενοδόχος τῶν Εὐβούλου. ‖ καὶ ἐδωρήσατο ὁ βασιλεὺς τῇ πόλει Ἀντιοχείας χιλίας λίτρας χρυσίου· καὶ ταῖς ἄλλαις δὲ πόλεσι πολλὴν εὐνομίαν παρέσχεν, κωλύσας καὶ τὰς δημώδεις ταραχάς. Ξεναΐαν δὲ τὸν Φιλόξενον, ἐπίσκοπον Ἱεραπόλεως, μανιχαιόφρονα ὄντα, καὶ Πέτρον Ἀπαμείας ἐξώρισεν ὁ εὐσε- 142 P
βὴς βασιλεὺς Ἰουστῖνος σὺν πᾶσι τοῖς μετέχουσι τῆς λώβης αὐτῶν. ‖
Ἀμάντιον δὲ τὸν πραιπόσιτον καὶ Ἀνδρέαν τὸν κουβικουλάριον καὶ Mal. p. 410, 9 cf. Chron. Pasch. p. 611, 19
Θεόκριτον τὸν κόμητα Ἀμαντίου, ὃν ἐβούλετο ποιῆσαι βασιλέα, ὡς τυραννίδα μελετήσαντας ἀνεῖλεν. ὁ γὰρ πραιπόσιτος τῷ Ἰουστίνῳ δέδωκε χρήματα ῥογεῦσαι, ὅπως Θεόκριτος βασιλεύσῃ. ὁ δὲ στρατὸς καὶ οἱ δῆμοι οὐχ εἵλαντο Θεόκριτον βασιλεῦσαι, ἀλλ' Ἰουστῖνον

cf. Mal. p. 412, 11 cf. Euagr. IV, 4

---

1 μὲν τῆς *add. ex* b *om.* xyz. — 2 Λοπικίαν h Λουκίαν f. — 2 ταύτην — 3 αὐγούσταν *sic scr. ex* b ἔστεψεν αὐγούσταν· ἣν οἱ δ. ἐκαλ. Εὐφημίαν εἰς τὸ στέψαι αὐτὴν cyz ἣν καὶ ἔστεψεν αὐγ. ἣν Εὐφημίαν ἐκάλεσαν οἱ δῆμοι d. — 3 αὐγοῦσταν g. — Βιταλλιανός bg *item vv.* 9. 14. — 5 οἰκειώθη *codd.* — 6 Προσέντου z Περσέντου xy Περσεντοῦ b. — 8 Σεύηρον cegm. — 9 ὁ *prius add. ex* b *om.* xyz. — Σεύηρος cegm. — 10 Ἁλικαρνασοῦ bcz Ἁλικαρνάσου y *sine acc.* d. — 13 ἦλθον — Ῥώμης *om.* f. — αὐθεντίαν] ἐξουσίαν x. — Ὁρμίσδου bdm *sine spir.* ce. — τοῦ *add. ex* b *om. rell.* — 14 σπουδῇ] ὑπὸ δῆ g. — Καππαδόκου y. — ἔτι ζῶντος *post* Καππάδοκος *repetit* g. — 16 συνέτ. τοῖς διπτ. καὶ ταῖς ἄλλαις τρισὶ συνόδ. ἐν τοῖς ἱεροῖς διπτύχοις b συνέτ. τοῖς διπτ. πρὸς τ. ἄλλαις ἱεραῖς τρισὶ συνόδοις xyzA *Equidem praeter corruptum* τοῖς διπτύχοις *scripturam cod.* b *genuinam esse censeo.* — 19 Ἀντιοχείᾳ? — λίτρας χρυσίου χιλίας z. — χρυσοῦ b. — 20 δέ *om.* b. — 21 Ξενάϊαν g. — 22 Ἀπαμίας b. — 23 συμπᾶσι c. — 24 δέ bd τε cyz. — πρεπόσιτον by πραιπωσιτον g. — Ἀνδρέα b. — 26 πρεπόσιτος by πραιπώσιτος g. — 27 βασιλεύσει bf. — στρατός] στρατηγός h στρατηλάτης y. — 28 οὐκ εἵλαντο bd οὐκ εἵλοντο yz οὐχ εἵλοντο c. — τὸν Θεόκριτον xyz. — βασιλεύσῃ c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνεκήρυξαν. αὐτοὶ δὲ δυσφορήσαντες τυραννίδα ἐμελέτησαν καὶ ἀνηρέθησαν. ἀνεκαλέσατο δὲ ὁ βασιλεὺς πάντας τοὺς ἀδίκως ἐξορισθέντας ὑπὸ Ἀναστασίου καὶ Ἀππίωνα τὸν πατρίκιον, ὃν ἐν Νικαίᾳ πρεσβύτερον βίᾳ ἐχειροτόνησεν· ὃν ὁ βασιλεὺς ὡς ἐχέφρονα ἐποίησεν ἔπαρχον πραιτωρίων, καὶ Διογενιανὸν ἀνατολῆς στρατηλάτην.

Τῷ δ' αὐτῷ ἔτει ἐφάνη ἀστὴρ ἐν τῇ ἀνατολῇ, φοβερὸς κομήτης, ὃς εἶχεν ἀκτῖνα πέμπουσαν ἐπὶ τὰ κάτω, ὃν ἔλεγον οἱ ἀστρονόμοι πωγωνίαν εἶναι· καὶ ἐφοβοῦντο.

519/520 A. M. 6012

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ξιβ'.	ἔτη φιβ'.	Ἰουστῖνος	Καβάδης	Ὁρμίσδας
		ἔτη θ'.	ἔτη λ'.	ἔτη ι'.
		β'.	κε'.	ζ'.

Κωνσταντιν.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἰωάννης	Ἠλίας	Διόσκορος	Παῦλος
ἔτη β'.	ἔτη κγ'.	ἔτη γ'.	ἔτη γ'.
β'.	θ'.	γ'.	α'.

Mal. p. 412, 12 ‖ Τούτῳ τῷ ἔτει Βιταλιανὸς ἐδολοφονήθη ὑπὸ τῶν Βυζαντίων μηνιώντων αὐτῷ διὰ τὸ πολλοὺς ἀνῃρηκέναι ἐν τῷ καιρῷ τῆς ἐπαναστάσεως αὐτοῦ κατὰ Ἀναστασίου. ‖ Ἰωάννου δὲ τοῦ Καππάδοκος, ἐπισκόπου Κωνσταντινουπόλεως, τελευτήσαντος, Ἐπιφάνιος, πρεσβύτερος τῆς αὐτῆς ἐκκλησίας καὶ σύγκελλος, ἐχειροτονήθη μηνὶ Φεβρουαρίῳ κε'. ὁμοίως καὶ Ὁρμίσδα τοῦ Ῥώμης κοιμηθέντος, Ἰωάννης τὴν ἐπισκοπὴν διεδέξατο.

Mal. p. 416, 3 Τῷ δ' αὐτῷ ἔτει ἐδημοκράτησε τὸ βένετον μέρος, ἐν πάσαις ταῖς πόλεσι ταραχὰς ἐγείροντες καὶ λιθασμοὺς καὶ φόνους πολλοὺς ἀπεργαζόμενοι. ἐπήρχοντο δὲ καὶ τοῖς ἄρχουσιν. ἀπὸ δὲ Ἀντιοχείας ἤρχθη τὸ κακὸν τῆς ἀταξίας, καὶ οὕτω διεδόθη ἐν πάσαις ταῖς πόλεσιν, καὶ ἐκράτησεν ἐπὶ χρόνους ε'· καὶ ἔσφαζον ξίφεσι τοὺς ἀπαντῶντας Πρασίνους καὶ τοὺς κατ' οἶκον κρυπτομένους ἀνιόντες ἐφόνευον, μὴ τολμώντων τῶν ἀρχόντων ἐκδίκησιν τῶν φόνων ποιῆσαι. ταῦτα διεπράττοντο ἕως ἔτους ἕκτου Ἰουστίνου τοῦ εὐσεβοῦς. ‖

---

1 ἀνεκήρυξεν g. — 3 πατρίκιον] πρεσβύτερον x. — 4 πρεσβύτερον om. g. — ἐχειροτόνησαν x. — 5 ὕπαρχον xz. — 7 ἀκτῖνας ἐκπέμπουσαν y. — 8 πογωνείαν hy. — καὶ ἐφοβοῦντο om. y uncis incl. Classen sed cf. Mal. l. l. — vv. 9—18 b ita: Ἀντιοχείας ἐπίσκοπος Παῦλος ἔτη γ'. β'. κε'. ζ'. β'. η'. γ'. α'. Neque cod. d, neque A annos mundi et incarnationis adscribunt. — 11[5] Ὁρμίσδας fgm sine spir. ce. — 16[2] Ἰωάννης codd. — 18[2] θ'] η' bcem ζ' z om. f. — 19 Βιταλλιανός b. — 20 μηνιόντων dh μηνυόντων bem μηνοιόντων f. — ἐν om. xyz. — 22 Κωνσταντινουπόλεως om. f. — 23 Φευρουαρίῳ dfmz φὲ b. — 24 Ὁρμίσδα bgy sine spir. c. — 27 ἐγείραντες yz. — 29 ἤρχθη bf. (cf. Mal.) ἤχθη rell. — 29 καὶ — 30 ἐκράτησεν om. f. — 31 καθ' οἶκων b κατ' οἶκων em. — ἀνιῶντες cy. — 33 διεπράττοντο b Mal. δὲ ἐπράττοντο xyz. — Ἰουστινιανοῦ h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κωνσταντινουπόλεως ἐπίσκοπος Ἐπιφάνιος ἔτη ις΄. A. M. 6013 520/1
143 P
Ἀλεξανδρείας ἐπίσκοπος Τιμόθεος ἔτη ιζ΄.
γ΄. κς΄. η΄. α΄. ι΄. α΄. β΄.

‖ *Τούτῳ τῷ ἔτει πολέμου κινηθέντος μεταξὺ Ῥωμαίων καὶ* Mal. p. 414, 16 cf. Chron. Pasch. p. 615, 3
Περσῶν ὁ Ἰουστῖνος ἀπέστειλε πρέσβεις καὶ δῶρα πρὸς Ζιλγβίν, τὸν ῥῆγα τῶν Οὔννων· καὶ συνέθετο μεθ' ὅρκων πατρίων συμμαχήσειν τῷ βασιλεῖ κατὰ Περσῶν. ἀποστείλας δὲ καὶ Κουάδης πρὸς αὐτόν, συνέθετο καὶ αὐτῷ. τοῦτο δὲ μαθὼν Ἰουστῖνος ἐλυπήθη σφόδρα. ἀπῆλθε δὲ πρὸς τοὺς Πέρσας ὁ Ζιλγβὶ μετὰ χιλιάδων κ΄ τοῦ πολεμῆσαι Ῥωμαίους. ὁ δὲ Ἰουστῖνος ἐδήλωσε Κουάδῃ, τῷ βασιλεῖ τῶν Περσῶν, πρεσβεύων περὶ εἰρήνης καὶ ὡς ἐπ' ἄλλῳ τινὶ γράψας, καὶ περὶ Ζιλγβί, ὅτι συμμαχίας ὅρκους ἔχει μετὰ Ῥωμαίων, καὶ ὅτι δῶρα ἔλαβε πολλὰ καὶ βούλεται προδότης γενέσθαι τῶν Περσῶν, καὶ ὅτι "δεῖ ἡμᾶς ἀδελφοὺς ὄντας εἰς φιλίαν ἐλθεῖν καὶ μὴ ὑπὸ 258 B
τῶν κυνῶν τούτων παίζεσθαι." ὁ δὲ Κουάδης ἠρώτησε κατ' ἰδίαν τὸν Ζιλγβίν, εἰ ἔλαβε παρὰ Ῥωμαίων δῶρα προτραπεὶς κατὰ Περσῶν; ὁ δὲ εἶπεν· ναί. καὶ ὀργισθεὶς ὁ Κουάδης ἐφόνευσε αὐτόν, καὶ διὰ τῆς νυκτὸς πέμψας πλῆθος Περσῶν ἀνεῖλε τὸν λαὸν αὐτοῦ, ὑπονοήσας, ὅτι δόλῳ ἦλθον πρὸς αὐτόν. ὅσοι δὲ ἠδυνήθησαν φυγεῖν, ἀνέζευξαν εἰς τὰ ἴδια. ‖ Εὐφράσιος δὲ ὁ Ἀντιοχείας τὴν ἐν Χαλκηδόνι σύνοδον ἐξέβαλε τῶν διπτύχων καὶ τὸ ὄνομα Ὁρμίσδα τοῦ πάπα Ῥώμης. μετὰ δὲ ταῦτα φοβηθεὶς τὰς τέσσαρας συνόδους ἐκήρυττεν.

‖ *Καβάδης δέ, ὁ τῶν Περσῶν βασιλεύς, τὸν τῶν Ῥωμαίων* cf. Procop. Pers I, 11
βασιλέα ἐπίτροπον τοῦ ἑαυτοῦ οἴκου καταλιπεῖν ἠθέλησεν· οὐ γὰρ ἠβούλετο τὸν πρεσβύτερον αὐτοῦ υἱόν, ὃν καὶ ὁ νόμος Περσῶν ἐκάλει τοῦ ἄρξαι, οὐδὲ τὸν δεύτερον, διότι τὸν ὀφθαλμὸν ἐκκέκοπτο, Χοσρόην δέ, ὃς αὐτῷ ἐκ τῆς Ἀσπεβέδου ἀδελφῆς ἐγεννήθη, ὑπερηγάπα

---

1 ἔτη ιβ΄ f. — 3 ι΄] θ΄ *codd.* — 5 ὁ *om.* xyz. — Ζιλγβίν *scr. coll. vv.* 9. 12. 16 Ζιλβί b Ζιλίγβιν y Ζίλιγβιν x Ζιλίγδην z Zelicben A (Ζιλγιβί Mal. Ζιλγβί Chron.) — 6 Οὔννων fmz. — συμμαχήσειν *scr. e coni.* συμμάχησιν b συμμαχῆσαι xyz. — 7 καί *om.* h. — Κουάδης by Καβάδης xz. — 9 ἀπῆλθε b (*cf.* Mal. Chron.) ἀπέστειλε xyzA. — Ζιλγβί b Ζιλίγβις ef Ζιλίγβης m Ζίλιγβις x Ζιλίγδης z. — 10 Κουάδῃ by Καβάδῃ xz. — 11 τῶν *om.* g. — 12 Ζιλγβί b Ζιλίγβι y Ζίλιγβι x Ζιλίγδη z. — 13 τῶν *om.* y. — 15 κοινῶν by. — τούτων οὕτως παίζεσθαι xz. — Κουάδης by Καβάδης xz. — ἠρώτησε b ἐπηρώτησε emxz ἐδήλωσε f. — 16 τὸν Ζιλγβίν b τὸν Ζιλίγβιν em τὸν Ζιλίγβην f τὸν Ζίλιγβιν c τὸν Ζιλίγδην z τῷ Ζίλιγβι d. — 17 Κουάδης y Καβάδης bxz. — 18 πλῆθος b Mal. Chron. πλήθη xyz. — 19 ἦλθεν z. — 20 ὁ *om.* z. — 21 Ὁρμίσδα bcem Ὁρμίσδου g. — 22 πάππα g. — 24 Κουάδης y. — τὸν Ῥωμ. (*om.* τῶν) f. — 26 ἐβούλετο mz. — 27 ἐκέκοπτο by. — Χοσρώην ehm Χωσρώην f. — 28 ὃς αὐτῷ ἐκστήσας Πεβέδου ἀδελφῆς ἐγεννήθη εἴπερ ἠγάπα b *quae correxi coll.* Proc. *l. l.* ὡς ἐκ τῆς Ἀσπεβέδου (*sic* ch Ἀσπέδου dg Ἀσπέβου f Ἀσπεύδου em) ἀδ. γεννηθέντα ἠγάπα. xyz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ πατήρ. ἔδοξεν οὖν αὐτῷ εἰς Ῥωμαίους εἰρηνεῦσαι, καὶ Χοσρόην εἰσποιητὸν παῖδα τοῦ βασιλέως γενέσθαι· ἐπὶ τούτῳ πρέσβεις εἰς Βυζάντιον πρὸς Ἰουστῖνον ἔπεμψεν. ὁ δὲ βασιλεὺς τὴν σύγκλητον εἰς βουλὴν καλέσας οὐ κατεδέξατο τοῦτο γενέσθαι, δόλον καὶ προ-
259 B δοσίαν Ῥωμαίων τοῦτο καλοῦντες, Πρόκλου κυαίστορος, ἀνδρὸς συνετοῦ καὶ ἀγχίνου, τοῦτο καλῶς βουλευσαμένου. ‖

521/2 A. M. 6014 δ'. κζ'. θ'. β'. ια'. β'. γ'.

144 P. Mal. p. 417, 20 ‖ Τούτῳ τῷ ἔτει ἔπαθεν ὑπὸ θεομηνίας τὸ Δοράχιον, πόλις τῆς νέας Ἠπείρου τοῦ Ἰλλυρικοῦ. ὁ δὲ βασιλεὺς πολλὰ χρήματα παρέσχεν εἰς ἀνανέωσιν τῆς πόλεως· ὁμοίως δὲ καὶ ἡ Κόρινθος, μητρόπολις τῆς Ἑλλάδος, καὶ ταύτην μεγάλως ἐφιλοτιμήσατο. ‖

522/3 A. M. 6015 Ἀντιοχείας ἐπίσκοπος Εὐφράσιος ἔτη ε'.

ε'. κη'. ι'. γ'. ιβ'. γ'. α'.

Mal. p. 412, 16 ‖ Τούτῳ τῷ ἔτει Τζάθιος, ὁ τῶν Λαζῶν βασιλεύς, ἀποστατήσας
cf. Chron. Pasch. p. 613, 3 τῆς τῶν Περσῶν βασιλείας. Καβάδου βασιλεύοντος καὶ φιλοῦντος τὸν Τζάθιον, ὡς καὶ αὐτοῦ προβαλλομένου αὐτὸν βασιλέα τῶν Λαζῶν, ἦλθε πρὸς Ἰουστῖνον εἰς τὸ Βυζάντιον καὶ παρεκάλεσε τὸν βασιλέα γενέσθαι αὐτὸν Χριστιανὸν καὶ ὑπ' αὐτοῦ ἀναγορευθῆναι βασιλέα τῶν Λαζῶν. ὁ δὲ βασιλεὺς μετὰ χαρᾶς αὐτὸν δεξάμενος ἐφώτισεν αὐτὸν καὶ υἱὸν αὐτὸν ἀνηγόρευσεν. ἔγημε δὲ καὶ γυναῖκα Ῥωμαίαν,
260 B τὴν ἐγγόνην Νόμου τοῦ πατρικίου καὶ ἀποκουροπαλάτου, Οὐαλεριανήν τινα, καὶ εἰς τὴν ἰδίαν χώραν ἔλαβεν, προχειρισθεὶς παρὰ Ἰουστίνου βασιλεὺς τῶν Λαζῶν, φορέσας στέφανον καὶ χλανίδα βασιλικὴν ἄσπρην ἔχουσαν ταβλὶν χρυσοῦν, ἐν ᾧ ἐκ κεντητοῦ ἐνεκεχάρακτο ἡ εἰκὼν τοῦ βασιλέως Ἰουστίνου, καὶ στιχάριν ἄσπρον ἔχον πλουμία χρυσᾶ καὶ εἰκόνα τοῦ βασιλέως· τὰ γὰρ τζαγγία αὐτοῦ ῥούσια ἦσαν ἔχοντα μαργαρίτας Περσικῷ σχήματι· ὁμοίως καὶ ἡ

---

1 *Χοσρώην* hy. — 2 *εἰσποιητόν scr.* e Procop. *ἐποίει τὸν* by *ἐποιεῖτο* xz. — *ἐπὶ τοῦτο* b *ἐπὶ τούτοις* xyz. — *εἰς τὸ Βυζάντιον* xyz. — 4 *κατεδέξαντο* x. — *τοῦτο*] *τοῦ* h. — 5 *κυέστορος* hx *κοιέστορος* b *κυαίστωρος* m *κοιαίστωρος* g. — 6 *ἀγχίνους* yz. — 7 *δ'. κζ'. θ'. β'. ι'. β'. γ'.* bchy *δ'. κζ'. β'. γ'. ι'. β'.* g. — *vv.* 8—13 *om.* h. — 8 *Θεομηνείας* y. — *Δοράχιον* b (*Δορράχιον* Mal.) *Δυρραχιον* gxy *cf. p.* 137, 1. — 9 *τοῦ om.* g. — 13 *ιβ'*] *ια' codd.* — 14 *Ζπάθιος* Mal. *Τζάθιος* Chron. *Τζάθος codd. cf. p.* 169, 8. — *ὁ om.* b. — *Λάζων* h. — *ἀποστήσας* bh *ἀποστὰς τῆς ας* e *ἀποστὰς τήσας* m. — 15 *Κωάδου* Mal. — 16 *Τζάθον codd.* — *ὡς καὶ αὐτοῦ προβαλλομένου* b *ὡς* (*ὃς* fm) *καὶ προβαλλόμενον* (*προβαλόμ.* h) xyz. — 16 *αὐτόν*—17 *Ἰουστῖνον om.* y. — *Λάζων* h. — 18 *Χριστιανὸν αὐτὸν γενέσθαι* g *αὐτὸν om.* d. — 19 *Λάζων* bh. — *αὐτὸν μετὰ χαρᾶς* gy. — 20 *αὐτὸν post υἱὸν om.* xyz. — *Ῥωμαίων* g. — 21 *ἐγγόνην* b *ἐκγόνην* Mal. *ἔγγονον* xyz *ἔκγονον* Chron. — *Νόμου* b Mal. *ὁμοῦ* xyz. — *ἀποκοροπαλάτου* hm *ἀποκοροπελάτου* f *ἀπὸ κοροπαλάτου* eg *ἀπὸ κοραπελάτου* b. — *Οὐαλερίαν ἤντινα* b *invito* Malala. — 23 *Λάζων* bh. — *χλαμύδα* Mal. *χλανίδην* Chron. — 24 *ταυλίν* g *ταυλήν* bhxy. — *χρυσόν* b. — *ἐκεχάρακτο* x *ἐγκεχάρακτο* z *ἐνχάρακτο* f *ἐνχάρακτο* e *ἐνκεχάρακτο* m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ξώνη αὐτοῦ ἦν χρυσῆ διὰ μαργαριτῶν. ἔλαβε δὲ παρὰ τοῦ βασιλέως δῶρα πολλά, καὶ μετὰ χαρᾶς ἀπῆλθεν εἰς τὰ ἴδια. γνοὺς δὲ τοῦτο Καβάδης, ὁ τῶν Περσῶν βασιλεύς, ἐδήλωσε τῷ βασιλεῖ, ὅτι "φιλίας καὶ εἰρήνης μεταξὺ ἡμῶν οὔσης τὰ ἐχθρῶν πράττεις καὶ τοὺς ὑπὸ τὴν ἐξουσίαν Περσῶν ὄντας ἀπ' αἰῶνος προσελάβου." ὁ δὲ βασιλεὺς ἀντεδήλου αὐτῷ· "ἡμεῖς τινὰ τῶν ὑποκειμένων τῇ βασιλείᾳ σου οὔτε προσελαβόμεθα, οὔτε προετρεψάμεθα· ἀλλ' ἐλθόντος Τζαθίου εἰς τὰ ἡμέτερα βασίλεια, ἐδεήθη προσπίπτων ἡμῖν ῥυσθῆναι μυσαροῦ καὶ ἑλληνικοῦ δόγματος καὶ ἀσεβῶν θυσιῶν καὶ πλάνης δαιμόνων καὶ προσελθεῖν τῷ δημιουργῷ τῶν ὅλων θεῷ καὶ γενέσθαι Χριστιανός. τοῦτον ἡμεῖς βαπτίσαντες εἰς τὴν ἰδίαν ἀπελύσαμεν χώραν." ἔκτοτε λοιπὸν ἐγένετο ἔχθρα μεταξὺ Ῥωμαίων καὶ Περσῶν. ‖

Τῷ δ' αὐτῷ ἔτει καὶ τὰ κατὰ τὸν ἅγιον Ἀρέθαν καὶ τοὺς ἐν Νεγρᾷ τῇ πόλει ἐπράχθησαν ὑπὸ τῶν Ὁμηριτῶν, καὶ ὁ πόλεμος Ἐλεσβαᾶ, τοῦ βασιλέως τῶν Αἰθιόπων, πρὸς τοὺς Ὁμηρίτας, καὶ ἡ νίκη αὐτοῦ. 261 B 145 P

Ῥώμης ἐπίσκοπος Ἰωάννης ἔτη γ'. A. M. 6016 523/4.
ς'. κθ'. α'. δ'. ιγ'. δ'. β'.

Τούτῳ τῷ ἔτει Θευδέριχος κρατῶν τῆς Ῥώμης ἀρειανοφρονῶν ἐβιάσατο τὸν πάπαν Ἰωάννην ἀνελθεῖν εἰς τὸ Βυζάντιον πρὸς τὸν βασιλέα Ἰουστῖνον καὶ πρεσβεῦσαι ὑπὲρ Ἀρειανῶν, ὥστε μὴ ἀναγκάζειν αὐτοὺς ἐξίστασθαι τῆς αἱρέσεως αὐτῶν· ἐπεὶ καὶ Θευδέριχος εἰς τοὺς κατὰ τὴν Ἰταλίαν ὀρθοδόξους τοῦτο ποιεῖν ἠπείλει. ὁ δὲ Ἰωάννης ἐλθὼν ἐν Βυζαντίῳ καὶ προτραπεὶς ὑπὸ Ἐπιφανίου τοῦ πατριάρχου οὐ κατεδέξατο, ἕως προεκάθισε τοῦ Ἐπιφανίου ὁ Ῥώμης. ὁ δὲ Ἰωάννης πᾶσι μὲν τοῖς ἐπισκόποις ἐκοινώνησεν, Τιμοθέῳ δὲ τῷ Ἀλεξανδρείας οὐκ ἐκοινώνησεν. ‖ Κουάδης δέ, υἱὸς Περόζου, ὁ τῶν Περσῶν βασιλεύς, πολλὰς μυριάδας Μανιχαίων σὺν τῷ ἐπισκόπῳ αὐτῶν Ἰνδαζάρῳ ἀνεῖλεν ἐν μιᾷ ἡμέρᾳ σὺν τοῖς οὖσι συγκλητικοῖς Πέρσαις ἐκ τοῦ αὐτῶν φρονήματος· τὸν γὰρ υἱὸν αὐτοῦ τὸν τρίτον, Niceph. H. eccl. XVII, 9 cf. Pseudo-Dor. in Chron. Pasch. II p. 136 Bonn. Mal. p. 444, 5

---

3 ὁ *βασιλεὺς Καβάδης* ὁ τῶν Περσῶν (*βασιλεύς add.* m) y. — τῷ *βασιλεῖ* Ἰουστίνῳ xyz. — 5 τῶν Περσῶν z. — 6 ἀντεδήλοι b ἀντιδηλοῖ xyz. — τὴν *βασιλείαν* g τῆς *βασιλείας* em. — 7 *σου om.* em. — οὐ προσελ. xyz. — προετρεψόμεθα b. — ἀλλ' ἐλθόντος Τζαθίου b ἀλλ' ἀνελθὼν Τζάθος hxy ἀνελθὼν Τζάθος g. — 8 ὑμέτερα b. — 11 ἀπελύσαμεν εἰς τὴν ἰδίαν χ. yz ἀπεστείλαμεν εἰς τ. ἰδ. χ. x. — 13 τὰ *om.* f. — ἐν Γάγγρᾳ b ἐν εγρᾶν h. — 14 ἐπράχθη xz. — Ἐλεσβαά bg Ἐλεσβᾶ f. — 15 *Αἰθ. καὶ ἡ νίκη αὐτοῦ πρὸς τ. Ὁμ.* c. — 16 αὐτῷ g αὐτῶν y. — 18 ιγ'] ιβ' *codd.* — 19 Θευρίχος g. — ἀρειοφρονῶν y ἀρειανόφρων ὤν z ἀρειόφρων ὤν c. — 20 πάππαν g. — ἀνελθεῖν b ἐλθεῖν cfz *om.* em. — 22 ἐξίτασθαι b. — 23 Ἰτταλίαν b. — 25 ὁ *om.* fg. — 27 Κουάδης b Καβάδης xyz. — ὁ τῶν Π. βασ. υἱὸς Περ. xyz. — Περώξου z. — 29 Ἰνδαράζαρ Mal. — συνοῦσι d *om.* b.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν λεγόμενον Φθασουαρσάν, ὃν ἐγέννησεν αὐτῷ Σαμβίκη, ἡ θυγάτηρ αὐτοῦ, οἱ Μανιχαῖοι παιδαγωγήσαντες καὶ τοῦ ἰδίου φρονήματος ποιήσαντες ἐπηγγείλαντο αὐτῷ, ὅτι "ὁ σὸς πατὴρ γεγήρακεν, καὶ εἰ συμβῇ αὐτὸν τελευτῆσαι, οἱ ἀρχιμάγοι ἕνα τῶν σῶν ἀδελφῶν ποιοῦσι
262 B βασιλέα διὰ τὸ κρατηθῆναι τὸ δόγμα αὐτῶν. ἡμεῖς δὲ δυνάμεθα δι' εὐχῶν ἡμῶν πεῖσαι τὸν σὸν πατέρα ἀποτάξασθαι τὴν βασιλείαν καὶ σὲ προχειρίσασθαι, ἵνα πανταχῇ κρατύνῃς τὸ τῶν Μανιχαίων δόγμα. ὁ δὲ συνετάξατο τοῦτο ποιεῖν, ἐὰν βασιλεύσῃ. γνοὺς δὲ ταῦτα Κουάδης ἐκέλευσε κομβέντον γενέσθαι διὰ τό, φησίν, ποιῆσαι τὸν υἱὸν αὐτοῦ Φθασουαρσὰν βασιλέα, κελεύσας καὶ πάντας τοὺς Μανιχαίους σὺν τῷ ἐπισκόπῳ αὐτῶν καὶ γυναιξὶ καὶ τέκνοις παραγενέσθαι ἐν τῷ κομβέντῳ, ὁμοίως καὶ τὸν ἀρχιμάγον Γλωνάξην καὶ τοὺς μάγους καὶ τὸν τῶν Χριστιανῶν ἐπίσκοπον Βοαζάνην, ἀγαπώμενον παρὰ Κουάδου ὡς ἰατρὸν ἄριστον· καὶ καλέσας τοὺς Μανιχαίους ἔφη· "χαίρω ἐπὶ τῷ ὑμετέρῳ δόγματι καὶ θέλω δοῦναι ἔτι ζῶν τὴν βασιλείαν τῷ υἱῷ μου Φθασουαρσάν, ὡς σύμφρονι ὑμῶν. ἀλλ' ἀφορίσατε ἑαυτοὺς πρὸς τὸ παραλαβεῖν αὐτόν." οἱ δὲ θαρρήσαντες πάντες μετὰ παρρησίας ἠφώρισαν ἑαυτούς. ὁ δὲ Κουάδης ἐπιτρέψας τὰ στρατεύματα αὐτοῦ εἰσελθεῖν, πάντας κατέκοψαν ξίφεσι σὺν τῷ ἐπισκόπῳ αὐτῶν ἐπ' ὄψεσι τοῦ ἀρχιμάγου καὶ τοῦ ἐπισκόπου τῶν Χριστιανῶν. καὶ ἐξέπεμψε σάκρας εἰς πᾶσαν τὴν ὑπ' αὐτὸν γῆν, ὥστε τὸν εὑρισκόμενον Μανιχαῖον ἀναιρεῖσθαι καὶ πυρίκαυστον
263 B γίνεσθαι, καὶ τὰς ὑποστάσεις αὐτῶν εἰς τὰ βασιλικὰ ταμιεῖα εἰσκο-
Mal. p. 422, 12 cf. Chron. Pasch. p. 617, 1 μίζεσθαι, καὶ τὰς βίβλους αὐτῶν κατακαίεσθαι. ‖ ὁ δὲ εὐσεβὴς βασιλεὺς Ἰουστῖνος ἐν πάσῃ ἱκανότητι καὶ ἀνδρείᾳ τῆς βασιλείας ἐπιλαβόμενος σάκρας πανταχοῦ ἐν ταῖς πόλεσιν ἐξαπέστειλεν, ὥστε τιμωρηθῆναι πάντας τοὺς ἀταξίας ἢ φόνους ποιοῦντας, καὶ τοὺς ἐν Κωνσταντινουπόλει δήμους εἰρήνευσε καὶ φόβον ἔδειξε πολύν. ‖ ἔστεψε
Mal. p. 422, 11 δὲ καὶ τὴν ἑαυτοῦ γαμετὴν Θεοδώραν ἀγούσταν ἅμα τῷ βασιλεῦσαι
Mal. p. 423, 13 αὐτόν. ‖ καὶ προεβάλετο τὸν πατρίκιον Ὑπάτιον στρατηλάτην ἀνατο-

---

1 τὸν *om.* f. — Φθασουαρσᾶν h. — Σαμβίκη b Σαμβύκη xyz. — ἡ *om.* hxy. — 4 αὐτῷ xy. — 5 διὰ τὸ μὴ κρατ. y. — δυνώμεθα z. — 7 σε *om.* f. — πανταχοῦ f *om.* b. — κρατύνεις h κρατύνῃ y. — 8 Κουάδης b Καβάδης xyz *item v.* 18. — 9 κομβέντον b κομβέντα hxy κομμέντα g. — 10 αὐτοῦ *add.* bh *om.* gxy. — Φθασουαρσᾶν h. — καὶ *om.* y. — 12 κομμέντῳ g. — τῶν ἀρχιμάγων b. — Γλωναζήν g. — 13 τόν *om.* b τό ef. — 14 Κουάδου b Καβάδου xyz. — 15 καὶ *om.* b. — ἔτι ζῶν *v.* 16 *post* Φθασουαρσάν *ins.* x. — 16 Φθασουαρσά b. — σύμφρονα bgy. — 17 Θαρσήσαντες z. — 18 πάντες *add. ex* b *om.* xyz. — 19 κατέκοψαν bd κατέκοψεν cyz. — 20 ἐν ὄψεσι b. — 21 ὑπ' αὐτῶν b ὑπ' αὐτοῦ cyz. — 23 γίνεσθαι bd γενέσθαι cyz. — ταμεῖα cy. — 24 κατακαίεσθαι b Mal. καίεσθαι xyz. — 25 Ἰουστῖνος *om.* y. — τὴν βασιλείαν *codd.* — 28 εἰρηνεῦσαι yz. — 29 γαμετήν b γυναῖκα τήν *rell.* — αὐγοῦσταν eg. — τῷ] τό b. — 30 προεβάλλετο g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λῆς, τὸν Σεκουνδίνου, φυλάξαι τὰ ἀνατολικὰ μέρη διὰ τοὺς Πέρσας καὶ τὰς τῶν Σαρακηνῶν ἐπιδρομάς. ἐποίησε δὲ καὶ αὐτὸς διωγμὸν μέγαν κατὰ Μανιχαίων καὶ ἐτιμωρήσατο πολλούς. ‖

	Κόσμου	*Τῆς Θείας*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*
5	ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
	,σιξ΄.	ἔτη φιζ΄.	Ἰουστῖνος	Καβάδης	Ἰωάννης
			ἔτη θ΄.	ἔτη λ΄.	ἔτη γ΄.
			ζ΄.	λ΄.	β΄.

A. M. 6017–5[illegible]/5

	Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
10	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
	Ἐπιφάνιος	Ἡλίας	Τιμόθεος	Εὐφράσιος
	ἔτη ις΄.	ἔτη κγ΄.	ἔτη ιζ΄.	ἔτη ε΄.
	ε΄.	ιδ΄.	ε΄.	γ΄.

‖ *Τούτῳ τῷ ἔτει Ἀνάζαρβος, μητρόπολις τῆς δευτέρας Κιλικίας,* Mal. p. 418, 6
15 *ἔπαθεν ὑπὸ σεισμοῦ φοβερωτάτου, ἡγεμονεύοντος αὐτῆς Καλλιοπίου, υἱοῦ Εἰρηναίου, καὶ ἐπτώθη πᾶσα ἡ πόλις. ταύτην δὲ Ἰουστῖνος ἀνήγειρε καὶ Ἰουστινούπολιν ἐκάλεσεν.* ‖

‖ *Τῷ δ' αὐτῷ ἔτει κατεποντίσθη ὑπὸ Θεομηνίας ὑδάτων τοῦ* Mal. p. 418, 8
ποταμοῦ Ἔδεσα, πόλις μεγάλη καὶ περιβόητος, τῆς Ὀσροηνῆς ἐπαρ-
20 *χίας μητρόπολις. ὁ γὰρ Σκιρτὸς ποταμὸς διὰ μέσου αὐτῆς παρερ-* 264 B
χόμενος πλοῦτον αὐτῇ πολὺν καὶ τέρψιν παρέχει. τὸ τηνικαῦτα δὲ πλημμυρήσας δίκην θαλάσσης τοὺς οἴκους σὺν τοῖς οἰκοῦσι σύρων ἐπόντιξεν. λόγος δὲ κρατεῖ ἐν αὐτοῖς τοῖς περισωθεῖσιν, ὅτι καὶ ἄλλοτε ἐπόρθησε τὴν πόλιν ὁ αὐτὸς ποταμός, ἀλλ' οὐχ οὕτως. μετὰ
25 *δὲ τὸ παῦσαι τὰ ὕδατα εὑρέθη πλὰξ λιθίνη ἐν τῇ ὄχθῃ τοῦ ποταμοῦ γεγραμμένη ἱερογλυφικοῖς γράμμασιν ἔχουσα οὕτως· Σκιρτὸς ποταμὸς σκιρτήσει κακὰ σκιρτήματα πολίταις. ὁ δὲ βασιλεὺς Ἰουστῖνος πολλὰ παρέσχε ταῖς ἀμφοτέραις πόλεσιν εἰς ἀνανέωσιν.* ‖

‖ *Τῷ δ' αὐτῷ ἔτει ἀνεφάνη γυνή τις ἐκ τῆς Κιλικίας γιγαντο-* Mal. p. 412, 4
30 *γενής, ὑπερέχουσα τῇ ἡλικίᾳ πάντα ἄνθρωπον τέλειον πῆχυν ἕνα,* 147 P
καὶ πλατεῖα σφόδρα. γυρεύουσα δὲ τὰς πόλεις ἐλάμβανε κατ' ἐργαστήριον φόλλιν μίαν. ‖

Περσῶν βασιλεὺς Χοσρόης ἔτη μή. A. M. 6018–5[illegible]/6
η΄. α΄. γ΄. ς΄. ιε΄. ς΄. δ΄.

---

3 *μέγαν om.* y *μέγα* bz. — 11[2] *Ἡλίας* b *Ἰωάννης rell.* — 11[4] *Εὐφράσιος Ἡλίας* gy. — 13[2] *ιγ΄* em. — 13[3] *β΄ codd.* — 14 *Ἀναζαρβός* dhy *sine acc.* c. — *μητρόπολις τῆς* dh *μητροπολίτης τῆς* cgy *μητρόπολις lit. ex μητροπολίτης* (*om. τῆς*) *factum in* b. — 15 *Καλλιωπίου* x *Καλλωπίου* b *Καλλοπίου* f. — 16 *ἐπτοήθη* h. — 17 *ἤγειρεν* z. — *Ἰουστίνου πόλιν* bf *Ἰουστινόπολιν* emz. — 18 *δι' ὑδάτων* z. — *τοῦ om.* xyz. — 19 *ποταμῶν* z. — *Ἔδεσα* g *Ἔδεσσα* by *Αἴδεσσα* d *Αἴδεσσα* c *Αἴδεσα* h. — *Ὀσροινῆς* bcegm *Ὀσροίνης* df. — 20 *Σκίρτος* dg *Σκῆρτος* h. — 21 *πολὺν* (*πολλὴν* h) *αὐτῇ πλοῦτον* z. — 24 *ἄλλος τε* h. — 26 *Σκίρτος* gx *Σκῖρτος* h. — 32 *φόλλην* f *φόλιν* bd *φο.* h. — 33 *Χοσρώης* hy. — *v.* 34 *om.* cyz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Mal. p. 417, 9 ‖ *Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ τῆς δ΄ ἰνδικτιῶνος τὰ προοίμια τῆς τοῦ θεοῦ ὀργῆς ἐπῆλθον τῇ πόλει Ἀντιοχείᾳ. ἐμπυρισμὸς γὰρ μέγας γέγονεν ἀοράτως ἐν τῷ μέσῳ τῆς πόλεως, ὅστις προεμήνυσε τὴν μέλλουσαν ἔσεσθαι τοῦ θεοῦ ἀπειλήν. ἀνήφθη γὰρ τὸ πῦρ ἀπὸ τοῦ μαρτυρίου τοῦ ἁγίου Στεφάνου καὶ ἕως τοῦ πραιτωρίου τοῦ*
265 B *στρατηλάτου ἔφθασεν. αὕτη ἐγένετο ἀρχὴ ὠδίνων. ἐγένοντο δὲ οἱ ἐμπρησμοὶ ἐπὶ μῆνας ἕξ, καὶ ἐκάησαν οἶκοι πολλοί, καὶ ἀπέθανον λαοὶ πολλοί. καὶ οὐδεὶς ἠδύνατο γνῶναι, πόθεν τὸ πῦρ ἀνήπτετο· ἐκ γὰρ τῶν κεράμων τῶν πενταστέγων ἀνελάμβανεν. κατὰ δὲ πρεσβείαν Εὐφρασίου τοῦ πατριάρχου ἐφιλοτιμήσατο ὁ βασιλεὺς τῇ πόλει*
Mal. p. 419, 5 *κεντηνάρια δύο χρυσίου. ‖ τῷ δὲ Μαΐῳ μηνὶ κ΄ τῆς αὐτῆς δ΄ ἰνδικτιῶνος, ὥρᾳ ζ΄, ὑπατεύοντος ἐν Ῥώμῃ Ὀλυβρίου ἔπαθεν ὑπὸ θεομηνίας Ἀντιόχεια ἡ μεγάλη τῆς Συρίας πάθος ἀνεξήγητον. τοσοῦτον γὰρ ἡ ὀργὴ τοῦ θεοῦ ἐπῆλθεν ἐπ᾽ αὐτήν, ὥστε πτωθῆναι σχεδὸν πᾶσαν τὴν πόλιν καὶ τάφον τῶν οἰκητόρων γενέσθαι. τινὰς δὲ κατα-*
χωσθέντας καὶ ἔτι ζῶντας ὑπὸ τὴν γῆν πῦρ ἐκ τῆς γῆς ἐξελθὸν κατέφλεξεν. καὶ ἕτερον πῦρ ἐκ τοῦ ἀέρος, ὡς σπινθῆρες, κατήρχετο καὶ κατέκαιεν, ὥσπερ ἀστραπή, τὸν εὑρισκόμενον· καὶ ἐσείετο ἡ γῆ ἐπὶ ἐνιαυτὸν ἕνα. ‖

525/7 A. M. 6019

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ϛιθ΄.	ἔτη φιθ΄.	Ἰουστῖνος	Χοσρόης	Φίλιξ
		ἔτη θ΄.	ἔτη μη΄.	ἔτη δ΄.
		θ΄.	β΄.	α΄.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἐπιφάνιος	Ἥλίας	Τιμόθεος	Εὐφράσιος
ἔτη ιϛ΄.	ἔτη κγ΄.	ἔτη ιζ΄.	ἔτη ε΄.
ζ΄.	ιϛ΄.	ζ΄.	ε΄.

cf. Cram. II, 109
cf. Mal. p. 423, 11
Mal. p. 419, 18 ‖ *Τούτῳ τῷ ἔτει τοῦ σεισμοῦ ἐπικρατοῦντος Εὐφράσιος, ὁ ἐπί-*
σκοπος Ἀντιοχείας, κατεχώσθη ὑπὸ τοῦ σεισμοῦ καὶ ἀπέθανεν· ‖ καὶ
πᾶς οἶκος καὶ ἐκκλησία κατέπεσον, καὶ τὸ κάλλος τῆς πόλεως ἠφα-
266 B *νίσθη. καὶ οὐ γέγονε τοιαύτη θεομηνία ἐν ἄλλῃ πόλει ἐν πάσαις*

---

1 *ἰνδικτιόνος* h ἰ$^{\delta}$. gxy. — 2 *ἐπῆλθεν* xz. — *Ἀντιοχείας* cg *Ἀντιοχέων* d. — *ἐμπυρισμός pr. m. corr. ex ἐμπρισμός* em *ἐμπρησμός? ex* Mal. — 3 *ἐναοράτως* f *ἀόρατος* em. — 7 *ἐμπρησμοί* b *ἐμπυρισμοί* xyz. — 9 *τῶν πενταστέγων* b *τὴν πεντάστεγον* y *τὸ πεντάστεγον* xz. — 10 *τῇ πόλει* bd *τὴν πόλιν* cyz. — 11 *τῷ δὲ Μαΐῳ μηνὶ κ΄* b *τῷ δ΄ αὐτῷ ἔτει Μαΐου μηνός (μηνὶ Μαΐῳ* x) *κ΄* xyz. — *δ΄ add ex* b *om.* xyz. — *ἰνδικτιόνος* h ἰ$^{\delta}$. gxy. — 12 *ἐν τῇ Ῥώμῃ* xyz. — *Ὀλυβρίου* cem *Ὀλυμβρίου* h. — 14 *πτοηθῆναι* h *προθῆναι* y. — 16 *ἐξ. ἐκ τῆς γῆς* x. — *ἐξελθών* bhxy. — 17 *κατήρχοντο* xyz. — 18 *κατέκαιον* xyz. — 22^{4} *Χοσρώης* hy. — 27^{2} *Ἥλίας* b *Ἰωάννης rell.* — 29^{2} *ϛ΄* b *ιε΄ rell.* — 30 *ὁ om.* z. — 32 *πᾶς ὁ οἶκος καὶ αἱ ἐκκλ.* f. — *ἐκκλησίαι* yz. — *ἠφανίσθη ἀπὸ τοῦ σεισμοῦ* h. — 33 *ἐν ταῖς πόλεσι ταῖς ἄλλαις* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῖς γενεαῖς. ‖ ὁ δὲ εὐσεβέστατος βασιλεὺς Ἰουστῖνος ταῦτα μαθὼν μεγάλως ἤλγησε τὴν ψυχήν, ὥστε ἐπῆρε τὸ διάδημα ἐκ τῆς κεφαλῆς αὐτοῦ καὶ τὴν πορφύραν καὶ ἐπένθησεν ἐν σάκκῳ ἐπὶ ἡμέρας πολλάς, ὥστε καὶ τῇ ἑορτῇ προσελθὼν ἐν τῇ ἐκκλησίᾳ οὐ κατεδέξατο φορέσαι τὸ στέμμα ἢ τὴν χλαμύδα· ἀλλ' οὕτω λιτῶς προσῆλθε μαντίον πορφυροῦν φορέσας καὶ κλαίων ἐπὶ πάσης τῆς συγκλήτου· καὶ πάντες ἔκλαιον σὺν αὐτῷ πενθικὰ φοροῦντες. ἀπέστειλε δὲ ὁ βασιλεὺς εὐθέως Καρῖνον τὸν κόμητα δοὺς αὐτῷ κεντηνάρια πέντε πρὸς ἐκχοϊσμόν, εἴ πως δυνηθῇ σῶσαί τινας, καὶ τὰ καταχωσθέντα πράγματα διασῶσαι ἐκ τῶν λῃστῶν καὶ ἁρπάγων. καὶ πάλιν ἀπέστειλεν ὄπισθεν αὐτοῦ τὸν πατρίκιον Φωκᾶν τὸν Κρατεροῦ, καὶ τὸν πατρίκιον Ἀστέριον, τὸν ἀπὸ ἐπάρχων, ἄνδρας σοφούς, δοὺς αὐτοῖς χρήματα πάμπολλα πρὸς ἀνακαινισμὸν τῆς πόλεως. ‖ τῷ δὲ Ἀπριλλίῳ μηνὶ α' τῆς αὐτῆς ε' ἰνδικτιῶνος, τῇ ἑορτῇ τοῦ πάσχα, ἀσθενήσας ὁ βασιλεὺς Ἰουστῖνος προεχειρίσατο ἔτι ζῶν εἰς βασιλέα Ἰουστινιανόν, τὸν ἴδιον ἀνεψιόν, καὶ ἔστεψεν αὐτόν· καὶ συνεβασίλευσεν αὐτῷ μῆνας δ'. ‖ τῷ δὲ Αὐγούστῳ μηνὶ τῆς αὐτῆς ε' ἰνδικτιῶνος ἐτελεύτησεν ὁ εὐσεβέστατος Ἰουστῖνος καταλιπὼν βασιλέα τὸν Ἰουστινιανόν. ‖

Mal. p. 421, 16 148 P

Mal. p. 422, 9 cf. Chron. Pasch. p. 616, 15

Mal. p. 424, 17 cf. Chron. Pasch. p. 617, 6

‖ Τοῦ δὲ Εὐφρασίου, ἐπισκόπου Ἀντιοχείας, τελευτήσαντος, Ἐφραΐμιος ὁ Ἀμιδηνός, κόμης ἀνατολῆς ὢν ἐν τῷ χρόνῳ ἐκείνῳ, ἐχειροτονήθη ἀντ' αὐτοῦ, ‖ ὅστις ζῆλον θεῖον κατὰ τῶν ἀποσχιστῶν ἐνεδείξατο.

267 B Cram. Anecd. II, 110

---

1 ταῖς *add. ex* bx *om.* yz. — 2 ἐκ *add. ex* b *om.* xyz. — 3 ἐν *om.* y — 4 προελθών hx (εἰσῆλθε Mal.) — 5 προῆλθε hx. — μαντίον dgy Mal. μαντεῖον h μανδίον bc. — 8 Κάριον c Ἰκάριον d. — αὐτῷ *add. ex* b *om.* xyz. — 9 τά *om.* f. — 10 ἁρπαγῶν bchy. — ἀπέστειλεν ὁ βασιλεὺς xyz. — 11 Φωκᾶν — πατρίκιον *om.* y. — τὸν b τοῦ xz. — Καρτεροῦ b (*cf.* Mal. *p.* 449, 5), — 12 τὸν ἀπὸ ἐπάρχων b τῶν ἀπὸ ἐπάρχων h καὶ τὸν ἀπὸ ὑπάρχων x καὶ τὸν ἔπαρχον y καὶ τὸν ἔπαρχον καὶ τὸν ἀπὸ ἐπάρχων g. — 13 πάμπολλα b πολλά xyz. — Ἀπριλλίῳ h. — 14 α' b Chron. δ' cyz *om.* d *cf.* Pinder berl. Monatsber. 1854 *p.* 512. — ἰν. gxy. — 17 ἰνδικτιόνος h ἰν. gxy. — 18 ὁ βασιλεὺς Ἰουστῖνος h. — τὸν *om.* g. — 20 Εὐφρατίου b. — 21 Εὐφραΐμιος g. — Ἀμιδηνὸς b Cr. Mal. Ἀμίδιος fg Ἀμήδιος ehmx. — 23 ἐνεδείξατο b ἐδέξατο (*sic*) xyz. — *Hic desinit cod.* b.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

527/8. A. M. 6020 Κόσμου ἔτη ,ϛκ΄. Τῆς θείας σαρκώσεως ἔτη φκ΄. Ῥωμαίων βασιλεὺς Ἰουστινιανὸς ἔτη λη΄. α΄. Περσῶν βασιλεὺς Χοσρόης ἔτη μη΄. γ΄. Ῥώμης ἐπίσκοπος Φίλιξ ἔτη δ΄. β΄.

Κωνσταντ. ἐπίσκοπος Ἐπιφάνιος ἔτη ις΄. η΄. Ἱεροσολύμων ἐπίσκοπος Ἠλίας ἔτη κγ΄. ιζ΄. Ἀλεξανδρείας ἐπίσκοπος Τιμόθεος ἔτη ιζ΄. η΄. Ἀντιοχείας ἐπίσκοπος Ἐφραΐμιος ἔτη ιη΄. α΄.

Mal. p. 425, 10 ‖ Τούτῳ τῷ ἔτει μόνος κρατήσας τὴν βασιλείαν ὁ μέγας Ἰουστινιανὸς προεβάλετο κόμητα ἀνατολῆς Πατρίκιον τὸν Ἀρμένιον, ᾧ τινι δέδωκε χρήματα κελεύσας αὐτῷ ἀπελθεῖν καὶ ἀνανεῶσαι πόλιν τῆς Φοινίκης Λιβανησίας εἰς τὸ λιμιτὸν τὸ ἐσώτερον, τὴν καλουμένην Παλμύραν, κελεύσας τοῦ καθέζεσθαι ἐν αὐτῇ τὸν δοῦκα .....

Mal. p. 426, 21 Chron. Pasch. p. 617, 18 καὶ τοὺς ἁγίους τόπους. ‖ τῷ δὲ Ἰαννουαρίῳ μηνὶ α΄ τῆς αὐτῆς ἰνδικτιῶνος ἔδωκεν ὁ βασιλεὺς ὑπατείαν καὶ τοσαῦτα ἔδωκε χρήματα, ὅσα οὐδεὶς βασιλέων ὑπατεύσας. ‖

Mal. p. 427, 1 cf. Chron. Pasch. p. 618, 1 ‖ Τῷ δ' αὐτῷ ἔτει ὁ βασιλεὺς Περσῶν ἐπολέμησε τῷ Λαζῷ Τζαθίῳ ὡς προσρυέντι Ῥωμαίοις. καὶ λοιπὸν ὁ βασιλεὺς Ἰουστινιανὸς ἔπεμψεν αὐτῷ βοήθειαν στρατοῦ καὶ στρατηλάτας τρεῖς, Βελισάριον καὶ Κήρυκον καὶ Εἰρηναῖον. καὶ πολεμήσαντες ἠττήθησαν. καὶ ἠγανάκτησεν ὁ βασιλεὺς κατὰ τῶν στρατηλατῶν, ὅτι φθονοῦντες ἀλλήλοις προέδωκαν τὴν νίκην, καὶ διαδεξάμενος αὐτοὺς ἀπέστειλε Πέτρον, τὸν νοτάριον αὐτοῦ, στρατηλάτην· καὶ συμβαλὼν τοῖς Πέρσαις μετὰ τῶν Λαζῶν ἐνίκησαν καὶ πολλοὺς ἀνεῖλον τῶν Περσῶν.

268 B 149 P

Mal. p. 427, 17 ‖ Τῷ δ' αὐτῷ ἔτει προσερρύη τοῖς Ῥωμαίοις ὁ βασιλεὺς τῶν Ἐλούρων, Γρέτης ὀνόματι, καὶ ἦλθεν ἐν Κωνσταντινουπόλει μετὰ τοῦ λαοῦ αὐτοῦ καὶ ᾔτησε τὸν βασιλέα γενέσθαι Χριστιανός. ὁ δὲ

3^4 *Χοσρώης* hy. — 5^3 *γ'* cfg. — 8^2 *Ἰωάννης codd.* — 8^4 *Εὐφραΐμιος* g. — 9^3 *ιζ' om.* ef. — 10^2 *ις'* em. — 11 *μονοκρατήσας* xz. — *τὴν βασιλείαν om.* d. — 12 *προεβάλλετο* g. — *τὸν πατρίκιον τὸν* z. — 13 *αὐτόν* z. — 14 *Λιβανισίας* hy. — *λιμιτόν* h *λιμητόν* cg *λίμητον* d *λιμωτόν* f *λιμοτόν* em. — 15 *Παλμυράν* y *Παλμῦραν* g *sine acc.* c. — *ἐν αὐτῷ* d. — *δοῦκαν* d *δούκαν* em. — 16 *καὶ τοὺς ἁγίους τόπους om.* d. — *τὸν δοῦκα Ἐμέσης πρὸς τὸ φυλάττεσθαι τὰ Ῥωμαϊκὰ καὶ τοὺς ἁγ. τ.? coll.* Mal. — *Ἰανουαρίῳ* mz. — 17 *ἰνδικτιόνος* de *ἰν̄.* cfg. — *ἔδωκεν*] *ἐποίησεν* z *et sec. m.* f. — *ὑπατίαν* yz. — 18 *βασιλεύων* g. — 19 *Λᾶζῳ* z *Λαζῶν* x. — 20 *Τζάθῳ* x *Τζαθῷ* z. — *προρυέντι* ch. — *Ῥωμαίους* c. — 21 *Βελισάριον*] *Γιλδέριχ* Mal. — *Βελλισάριον* g *ubique fere. Βελησάριον* h *passim.* — 22 *καί ante Κήρυκον om.* y. — *Εἰρηναῖον scr. e* Mal. Chron. *Πέτρον codd. e p.* 268, 3 *sine dubio huc illatum.* — 23 *κατὰ τῶν στρατιωτῶν* c *κατ' αὐτῶν* d. — 24 *διαδεξαμένους* h. — 26 *Λάζων* z. — *ἐνίκησεν* x. — 28 *Ἐλουρῶν* c *Ἐρούλλων* Mal. — 28 *Γρέτης* — 29 *αὐτοῦ om.* f. — 28 *Γραίτης* h *Γραΐτις* g *Γρέπης* Mal. — 29 *Χριστιανόν* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βασιλεὺς βαπτίσας αὐτὸν ἐν τοῖς θεοφανίοις ἐδέξατο αὐτὸν ἐκ τοῦ βαπτίσματος. καὶ ἐβαπτίσθησαν σὺν αὐτῷ συγκλητικοὶ αὐτοῦ καὶ συγγενεῖς αὐτοῦ δώδεκα· καὶ ἀπῆλθε μετὰ χαρᾶς εἰς τὰ ἴδια φιλιωθεὶς τῷ βασιλεῖ καὶ ἐπαγγειλάμενος συμμαχεῖν αὐτῷ, ἐν οἷς ἂν βουληθῇ. ‖ προεβάλετο δὲ ὁ βασιλεὺς στρατηλάτην Ἀρμενίας Τζίταν, Mal. p. 429, 16
ἄνδρα πολεμικὸν καὶ ἱκανώτατον. οὐ γὰρ εἶχεν ἡ Ἀρμενία στρατηλάτην, ἀλλὰ δοῦκας καὶ κόμητας. ἐστράτευσε δὲ ὑπ' αὐτὸν Ἀρμενίων πλῆθος, ὡς εἰδότας τὰ μέρη τῆς Ἀρμενίας. ἔδωκε δὲ αὐτῷ καὶ ἀπὸ τῆς ἀνατολῆς στρατοῦ ἀριθμοὺς τέσσαρας· καὶ γέγονε μεγάλη φυλακὴ καὶ βοήθεια Ῥωμαίων. ἔξευξε δὲ αὐτῷ καὶ γυναῖκα τὴν 269 B
ἀδελφὴν Θεοδώρας τῆς αὐγούστης, ὀνόματι Κομητώ. ‖

Τῷ δ' αὐτῷ ἔτει προσερρύη τοῖς Ῥωμαίοις γυνή τις ἐκ τῶν Mal. p. 430, 20
Οὔννων τῶν λεγομένων Σαβήρ, βάρβαρος, ὀνόματι Βωαρήξ, χήρα, ἔχουσα μεθ' ἑαυτῆς Οὔννων χιλιάδας ρ', ἥτις κατεδυνάστευσε τῶν Οὐννικῶν μερῶν μετὰ τὴν τοῦ ἰδίου ἀνδρὸς Βαλὰχ ἀποβολήν. αὕτη τοὺς προτραπέντας παρὰ Κουάδου, βασιλέως Περσῶν, δύο ῥῆγας ἀπὸ ἄλλου ἔθνους Οὔννων ἐνδοτέρων, ὀνόματι Στύραξ καὶ Γλώνης, τοῦ συμμαχῆσαι αὐτῷ κατὰ Ῥωμαίων, παρέλαβεν ἡ αὐτὴ Βωαρὴξ παριόντας διὰ τῆς χώρας αὐτῆς ἐπὶ τὰ Περσικὰ μετὰ χιλιάδων κ'· οὓς καὶ κατέκοψεν, καὶ τὸν μὲν ἕνα ῥῆγα αὐτῶν, τὸν λεγόμενον Στύρακα, συλλαβομένη δέσμιον εἰς τὴν Κωνσταντινούπολιν τῷ βασιλεῖ ἔπεμψεν, τὸν δὲ Γλώνην ἐν τῷ πολέμῳ ἔσφαξεν. καὶ ταύτῃ γέγονε σύμμαχος καὶ εἰρηνικὴ τῷ βασιλεῖ Ἰουστινιανῷ. ‖

Τῷ δ' αὐτῷ ἔτει καὶ ὁ πλησίον Βοσφόρου ῥὴξ τῶν Οὔννων, Mal. p. 431, 16
ὀνόματι Γορδᾶς, προσερρύη τῷ βασιλεῖ καὶ ἐγένετο Χριστιανὸς καὶ ἐφωτίσθη· καὶ ἐδέξατο αὐτὸν ὁ βασιλεὺς καὶ πολλὰ αὐτῷ παρεσχηκὼς δῶρα ἀπέστειλεν αὐτὸν εἰς τὴν ἰδίαν χώραν φυλάττειν τὰ Ῥωμαϊκὰ 270 B
καὶ τὴν Βόσφορον πόλιν. ἥτις ἐκλήθη ἐκ τοῦ συντελεῖν Ῥωμαίοις ἀντὶ χρημάτων βόας κατ' ἔτος ⟨Βοῶν φόρος· ἐκάθισε δ' ἐκεῖ καὶ 150 P
ἀριθμὸν στρατιωτῶν Ῥω⟩μαίων καὶ τριβοῦνον φυλάττειν τὴν πόλιν

---

1 *ἐν τοῖς θεοφ. ἐδ. αὐτάν om.* e *ἐν τοῖς θεοφ. et αὐτόν om.* m; *idem scr. ἀνεδέξατο.* — 2 *οἱ συγκλ.* f. — 3 *αὐτοῦ om.* xz. — *φιλωθείς* eh. — 4 *τῷ βασιλεῖ*] *αὐτῷ* x. — *αὐτῷ om.* x. — 5 *βουληθείη* z *δεηθῇ* x. — *προεβάλλετο* g. — *Τζῆταν* cfh *Τζήταν* em *Ζτίτταν* Mal. — 7 *ὑπ' αὐτῶν* g. — *Ἀρμενίους* f. — 7 *Ἀρμενίων*—8 *τὰ μέρη τῆς om.* em. — 9 *στρατηλάτου* y. — *ἀριθμοῦ* h. — 13 *Οὖνων* h *item v.* 14. 17. 24. — *Βωαρήξ* em *Βωαρίξ* f *Βοαρήξ* xz Boazer A *Βώα* Mal. — 14 *κατεδυνάστευε* g. — 15 *οὐνικῶν* h. — *Βλάχ* Mal. — *αὐτή* h. — 16 *Καβάδου* xz. — 17 *ἐνδότερον* xy. — *Τύραγξ et Γλώμ* Mal. — 18 *τοῦ om.* x. — *Βοαρήξ* xz *Βώα ῥήγισσα* Mal. — 20 *αὐτόν* ehm. — 21 *τὴν om.* z. — *τῷ βασιλεῖ om.* d. — 24 *Βοσπόρου* Mal. — 25 *Γορδάς* emz *Χορδᾶς* d *Γρώδ* Mal. — 28 *ἥτις*—*p.* 176, 2 *Οὔννων om.* d. — 28 *ἐκ*] *ἀντί* cz. — *Ῥωμαίους* y. — 29 *κατ' ἔτος*—30. *Ῥωμαίων*] *κατ' ἔτος μαίων* c *κατ' ἔτος Ῥωμαίων* h *καθ' ἔτος* (*καθέτος* f) *μαίων* gy. *Manca supplevi ex* A *et* Mal. — 30 *τριβοῦνον scr.* e Mal. *τριβούνων codd.* A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ τοὺς Οὔννους καὶ ἀπαιτεῖν τὰς συντελείας τῶν βοῶν. ἦν δὲ ἐν τῇ αὐτῇ πόλει συναλλάγματα πολλὰ Ῥωμαίων καὶ Οὔννων. ὁ δὲ γενόμενος Χριστιανὸς ῥὴξ τῶν Οὔννων ἀπελθὼν εἰς τὴν ἰδίαν χώραν εὗρε τὸν ἴδιον ἀδελφὸν καὶ διηγήσατο αὐτῷ τὴν τοῦ βασιλέως ἀγάπην καὶ φιλοτιμίαν, καὶ ὅτι Χριστιανὸς γέγονεν· καὶ λαβὼν τὰ ἀγάλματα, ἃ ἐσέβοντο οἱ Οὖννοι, ταῦτα ἐχώνευσεν, ἦσαν γὰρ ἀργυρᾶ καὶ ἠλέκτρινα. καὶ χολέσαντες οἱ Οὖννοι, συμποιήσαντες μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, ἀπελθόντες ἔσφαξαν αὐτόν· καὶ ἐποίησαν ῥῆγα τὸν ἀδελφὸν αὐτοῦ Μουάγεριν. καὶ φοβηθέντες, μὴ ἐκζητήσωσιν αὐτὸν οἱ Ῥωμαῖοι, ἦλθον αἴφνης ἐν τῇ Βοσφόρῳ πόλει καὶ ἐφόνευσαν τὸν τριβοῦνον Δαλμάτιον καὶ τοὺς στρατιώτας. καὶ ἀκούσας ταῦτα ὁ βασιλεὺς ἀπέστειλε τὸν ἀπὸ ὑπάτων Ἰωάννην, τὸν ἔγγονον Ἰωάννου τοῦ Σκύθου, υἱὸν δὲ τοῦ πατρικίου Ῥουφίνου, μετὰ βοηθείας Σκυ-
271 B θικῆς πολλῆς, καὶ ἐστράτευσε κατ' αὐτῶν ἅμα καὶ Γώδιλαν διὰ γῆς ἀπὸ Ὀδυσσοπόλεως καὶ Βαδούριον στρατηγόν. καὶ ἀκούσαντες οἱ Οὖννοι ἔφυγον ἀφανεῖς γενόμενοι. καὶ γέγονεν εἰρήνη ἐν Βοσ-
Mal. p. 428, 5 φόρῳ, καὶ ἐκράτησαν αὐτὴν οἱ Ῥωμαῖοι ἀφόβως. ‖ ὁ δὲ βασιλεὺς Ἰουστινιανὸς ἀπέσπασε πάσας τὰς ἐκκλησίας τῶν αἱρετικῶν καὶ ἀπέδωκεν αὐτὰς τοῖς ὀρθοδόξοις δίχα τῶν Ἐξακιονιτῶν Ἀρειανῶν. ‖
Mal. p. 430, 12 ἐξεφώνησε δὲ τύπον ὁ βασιλεὺς περὶ τῶν ἐπισκόπων καὶ οἰκονόμων καὶ ὀρφανοτρόφων καὶ ξενοδόχων, ὥστε μὴ κληρονομεῖσθαι, εἰ μὴ ὃ πρὸ τοῦ γενέσθαι εἶχεν ἐν ὑποστάσει, εἰς ταῦτα ἵνα διατίθεται· ἀφ' ἧς δὲ ὥρας προεχειρίσθη, μὴ ἔχειν αὐτὸν ἄδειαν διατίθεσθαι,
Mal. p. 435, 18 cf. Chron. Pasch. p. 618, 20 ἀλλὰ τὰ ἑαυτοῦ πάντα τὸν εὐαγῆ οἶκον κληρονομεῖν. ‖ ὁ δ' αὐτὸς βασιλεὺς ἐπλήρωσε καὶ τὸ δημόσιον λουτρὸν τὸ εἰς τὰ Δαγισθέου, ὃ ἤρξατο κτίζειν Ἀναστάσιος ὁ βασιλεύς, καὶ τὸ μεσίαυλον τῆς βασιλικῆς Ἴλλου κιστέρναν μεγάλην ἐποίησεν. ‖

---

2 *Οὔνων* h *item v.* 3. — 6 *Οὖννοι* gxy *Οὔνοι* h. — 7 *ἠλεκτρινά* c *ἠλεκτρινα sine acc.* d *ἸΙλέκτρινα* h *ἸΙλεκτρινά* g *ἸΙλεκτριανά* y. — *Οὖννοι* egmx *Οὔνοι* h *Οὖνοι* f. — 8 *ἐπελθόντες?* — *ῥῆγαν* yz. — 9 *Μουαγέρην* g *Μοῦγελ* Mal. — 10 *Ῥωμεῖς* y. — *ἐξαίφνης* x *καὶ αἴφνης* h. — 12 *ἔγγονα* z. — 14 *Γώδηλαν* df *Γοδίλαν* h *Γωδίλλαν* g. — 15 *Ὀδυσσοπόλεως* h. — *Βαδουάριον* Mal. — *τὸν στρατηγόν* x. — 16 *Οὔννοι* xy *Οὖννοι* h *Οὔνοι* g. — 18 *ἐκ τῶν αἱρετικῶν* z. — 21 *ὥστε μὴ κληρον. om.* Mal. — *κληρονομεῖν τινα καὶ?* — 22 *ἃ*] *τὰ* y *ὅσα* Mal. — *ἕκαστος εἶχε* Mal. — 22 *διατίθεται*—23 *ἄδειαν om.* f. — *διατίθεται* c *διατίθενται* emz *διατίθηται* Mal. *Pro ἵνα διατίθενται* Classen *coni. scrib. τινὰ διατίθεσθαι.* — 23 *εἰς ταῦτα ante μὴ ἔχειν repet.* cz *εἰς αὐτά post ἄδειαν add.* d. — *αὐτόν om.* x. — 24 *τὰ δι' ἑαυτοῦ* h. — 25 *Δαγισθαίου* Chron. — 27 *Ἴλου* c *Ἰλλοῦ* h. — *κινστέρναν* d *γηστέρναν* e. — *μεγάλην om.* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	*Τῆς*	*Ῥωμαίων*	*Περσῶν*	*Ῥώμης*	A. M. 6021 528/9
ἔτη	*θείας*	*βασιλεὺς*	*βασιλεὺς*	*ἐπίσκοπος*	
ϛκα΄.	*σαρκώσεως*	*Ἰουστινιανὸς*	*Χοσρόης*	*Φίλιξ*	
	ἔτη φκα΄.	*ἔτη λη΄.*	*ἔτη μη΄.*	*ἔτη δ΄.*	
		β΄.	*δ΄.*	*γ΄.*	

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Ἐπιφάνιος	*Ἠλίας*	*Τιμόθεος*	*Ἐφραΐμιος*
ἔτη ιϛ΄.	*ἔτη κγ΄.*	*ἔτη ιζ΄.*	*ἔτη ιή΄.*
Θ΄.	*ιή΄.*	*Θ΄.*	*β΄.*

‖ *Τούτῳ τῷ ἔτει Ἡσαΐας, ἐπίσκοπος Ῥόδου, καὶ Ἀλέξανδρος,* Mal. p. 436, 3
ἐπίσκοπος Διοσπόλεως τῆς Θρᾴκης, καθηρέθησαν ὡς παιδερασταὶ 151 P
εὑρεθέντες, καὶ ἐτιμωρήθησαν δεινῶς ὑπὸ τοῦ βασιλέως, καυλοτο-
μηθέντες καὶ πομπεύσαντες, τοῦ κήρυκος βοῶντος· "ἐπίσκοποι ὄντες
τὸ τίμιον σχῆμα μὴ ἐνυβρίζετε." καὶ ἐξέθετο ὁ βασιλεὺς νόμους 272 B
σφοδροὺς κατὰ τῶν ἀσελγαινόντων, καὶ πολλοὶ ἐτιμωρήθησαν. καὶ
ἐγένετο φόβος πολὺς καὶ ἀσφάλεια. ‖ *ἀνενέωσε δὲ ὁ εὐσεβὴς βασι-* Mal. p. 437, 3
λεὺς πάντας τοὺς παλαιοὺς νόμους ποιήσας μονόβιβλον καὶ καλέσας
αὐτὸ τὰς νεαρὰς διατάξεις, ἐν αἷς οὐ καταδέχεται τὸν ἄρχοντα ἐν
οἷς ἄρχει τόποις ἀγοράζειν κτῆμα, ἢ κτίζειν οἶκον, ἢ κληρονομεῖν
ξένον πρόσωπον, εἰ μή τις συγγενὴς αὐτῷ ὑπάρχει. ‖

‖ *Τῷ δ' αὐτῷ ἔτει μηνὶ Νοεμβρίῳ κθ΄, ὥρᾳ γ΄, ἡμέρᾳ δ΄ ἰνδι-* Mal. p. 442, 18
κτιῶνος ζ΄ ἔπαθεν ὑπὸ θεομηνίας πάλιν Ἀντιόχεια ἡ μεγάλη μετὰ
δύο ἔτη τοῦ πρώτου αὐτῆς πάθους. καὶ ἐγένετο σεισμὸς μέγας ἐπὶ
ὥραν μίαν, καὶ ἐγένετο βρυγμὸς ἐκ τοῦ οὐρανοῦ φοβερός· καὶ ἔπεσον
πάντα τὰ κτισθέντα ἕως ἐδάφους καὶ τὰ τείχη, καὶ ἐκ τῶν μὴ πε-
σόντων παλαιῶν κτισμάτων ἐν τῷ πρώτῳ σεισμῷ κατηνέχθησαν νῦν·
καὶ πᾶσα ἡ εὐπρέπεια, ἡ γενομένη ἐν τῇ πόλει ἔκ τε τῶν τοῦ βασι-
λέως φιλοτιμιῶν καὶ ὧν ἐξ ἰδίων οἱ πολῖται ᾠκοδόμησαν, πάντα
κατέπεσον. ταῦτα μαθοῦσαι αἱ πλησιάζουσαι πόλεις μετὰ πένθους
ἐλιτάνευον. ἀπέθανον δὲ καὶ ἐν ταύτῃ τῇ πτώσει χιλιάδες τέσσαρες
καὶ ὀκτακόσιοι ἑβδομήκοντα. οἱ δὲ σωθέντες ἔφυγον εἰς τὰς ἄλλας
πόλεις καὶ εἰς τὰ ὄρη ἐν καλύβαις ᾤκουν. ‖ *γέγονε δὲ καὶ χειμὼν* cf. Georg. Mon. p. 539, 20
μέγας καὶ βαρύτατος· καὶ ἐλιτάνευον οἱ ἀπομείναντες πάντες ἀνυπό- 273 B

3⁴ *Χοσρώης* hy. — 8² *Ἰωάννης codd.* — 8⁴ *Εὐφραΐμιος* g. — 10² *ιζ΄* m *ιγ΄* e. — 11 *Ἡσαΐας* fh. — 12 *Διοσπόλεως* d *Δισπόλεως* cyz. — *παιδεράσται* d *παιδαράσται* yz *eras. in* c. — 13 *ὑπὸ τοῦ βασ. δεινῶς* c. — *καυλοτομηθέντες eras. in* c. — 17 *ἀνανέωσεν* y. — 18 *παλαιούς*] *πολεμίους* c contrarias A. — 19 *ἐν αἷς*] *ἐν οἷς* dem. — *τόν om.* x. — 19. 20 *ἐν οἷς ἄρχῃ* h *ἐν οἷς ἂν ἄρχῃ* x. — 21 *μήτι* gy. — *αὐτοῦ* d Mal. — 22 *δ΄*] *Θ΄* f. — *ἰνδικτιόνος* h *ἰδ rell.* — 24 *τοῦ πρώτου αὐτῆς* d *τοῦ πρὸ αὐτῆς* c *et sec. m.* f *τοῦ πρὸ αὐτοῦ* yz post duos annos prioris passionis A. — 25 *ἔπεσαν* y *ἔπεσεν* g. — 26 *πάντα om.* f. — 28 *γεναμένη* yz. — *τῶν om.* f. — 34 *ἀνυπόδιτοι* y *ἀνυπόδετοι* xz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δητοι, κλαίοντες καὶ ῥίπτοντες ἑαυτοὺς πρηνεῖς εἰς τὰς χιόνας, κράζοντες τό, "Κύριε ἐλέησον." ἐφάνη δὲ ἐν ὁράματί τινι θεοσεβεῖ ἀνθρώπῳ, ὥστε εἰπεῖν πᾶσι τοῖς ὑπολειφθεῖσιν, ἵνα ἐπιγράψωσι εἰς τὰ ὑπέρθυρα αὐτῶν· "Χριστὸς μεθ' ἡμῶν· στῆτε." καὶ τούτου
Mal. p. 445, 16 γενομένου, ἔστη ἡ ὀργὴ τοῦ θεοῦ. ‖ καὶ πάλιν ὁ βασιλεὺς καὶ ἡ αὐγούστα πολλὰ ἐδωρήσαντο χρήματα εἰς ἀνανέωσιν καὶ οἰκοδομὴν
Mal. p. 445, 1 τῆς Ἀντιοχέων πόλεως· καὶ μετωνόμασεν αὐτὴν Θεούπολιν. ‖ ἐν δὲ τῇ κα' τοῦ Μαρτίου μηνὸς τῆς ζ' ἰνδικτιῶνος ἐπέρριψεν Ἀλαμούνδαρος ὁ Ζεκικῆς, ὁ βασιλίσκος τῶν Σαρακηνῶν, καὶ ἐπραίδευσε τὴν πρώτην Συρίαν ἕως τῶν ὁρίων Ἀντιοχείας, εἰς τὸ λεγόμενον Λίταργον, καὶ Σκαφαθῶν τῶν κτημάτων. καὶ ἐφόνευσε πολλοὺς καὶ ἔκαυσε τὰ ἔξω Χαλκηδόνος καὶ τὸ Σέρμιον κτῆμα καὶ τὴν Κυνηγίαν χώραν.
152 P καὶ ἀκούσαντες οἱ ἔξαρχοι τῶν Ῥωμαίων ἐξῆλθον κατ' αὐτοῦ. καὶ γνόντες οἱ Σαρακηνοὶ σὺν τοῖς Πέρσαις λαβόντες τὴν παῖδαν καὶ
Mal. p. 445, 10 τοὺς αἰχμαλώτους διὰ τοῦ ἐσωτέρου λιμιτοῦ ἔφυγον. ‖ τῷ δὲ Ἀπριλλίῳ μηνὶ τῆς αὐτῆς ζ' ἐπινεμήσεως κατέλαβε βοήθεια στρατοῦ πεμφθεῖσα
274 B ὑπὸ τοῦ βασιλέως καὶ πεζικὴ ἐκ Φρυγίας τῶν λεγομένων Λυκοκρανιτῶν· καὶ προεβάλετο στρατηλάτην ἀνατολῆς Βελισάριον διαδεξάμενος Ὑπάτιον πατρίκιου τὸν Σεκουνδίνου. καὶ τῇ ιβ' τοῦ Μαΐου μηνὸς εἰσῆλθεν ἐν Ἀντιοχείᾳ Ἑρμογένης ὁ μάγιστρος ὁ Σκύθης, ἀνὴρ σοφός, πρέσβις ἀπολυθεὶς παρὰ τοῦ βασιλέως Ἰουστινιανοῦ πρὸς τὸν
Mal. p. 445, 19 Cram. An. II, 110 βασιλέα Περσῶν περὶ εἰρήνης. ‖ τῷ δὲ Ἰουνίῳ μηνὶ Σαμαρεῖται καὶ Ἰουδαῖοι ἐν Παλαιστίνῃ βασιλέα Ἰουλιανόν τινα ἔστεψαν καὶ κατὰ Χριστιανῶν ὅπλα κινήσαντες ἁρπαγὰς καὶ φόνους καὶ ἐμπυρισμοὺς κατὰ Χριστιανῶν εἰργάσαντο. οὓς ὁ θεὸς παρέδωκεν εἰς χεῖρας Ἰουστινιανοῦ, καὶ ἀνήλωσε πάντας, καὶ ἀπεκεφάλισε τὸν τύραννον
Mal. p. 447, 22 Ἰουλιανόν. ‖ Χοσρόης δέ, ὁ τῶν Περσῶν βασιλεύς, δεξάμενος Ἑρμογένην τὸν μάγιστρον μετὰ δώρων πρεσβεύοντα περὶ εἰρήνης τῷ Ἰουλίῳ
Mal. p. 455, 10 μηνὶ τῆς αὐτῆς ζ' ἰνδικτιῶνος, ‖ λαβὼν τὰ δῶρα εἰρήνην οὐ κατεδέξατο

---

1 ῥιπτοῦντες dz. — τοὺς χ. efz. — 3 ὑπολειφθεῖσι dhy. — 6 αὐγοῦστα efg. — ἐδωρήσατο y. — οἰκοδομήν] ἀνακαινισμόν x. — 8 τῆς αὐτῆς ζ' e. — ἰνδικτιόνος h ἰν rell. — Σαλαμούνδαρος y. — 9 Ζεκίκης d sine acc. c. — 10 Λίταργον d Λιταργον sine acc. c Λιταργῶ hy Λίταργω g Litargum A. — 11 Σκάφαθον d Σκαφαθων sine acc. c. — 12 Σερμίον dz sine acc. c. — χωρίαν g. — 14 παιδα y. — 15 ἐξωτέρου Mal. — λιμήτου d λιμωτοῦ vell. λιμίτου Mal. cf. p. 174, 14; 179, 17. — ἀπρηλίῳ h. — 16 ἐπινεμήσεως z ἰν xy. — 17 πεζικὴ scr. e Mal. πεζῆ (πεζὴ em) καὶ codd. — 18 προεβάλλετο g. — στρατηγόν y. — 19 Ὑπάτιον πατρίκιον τὸν Σεκουνδίνου scr. e coni. Goarum secutus, coll. p. 170, 30 Ὑπ. τὸν πατρικίου Σεκουνδίνου Combefis Ὑπ. πατρίκιον Σεκουνδῖνον (Σεκουνδιανὸν c) xy Ὑπ. τὸν πατρίκιον Σεκουνδῖνον z. — 20 μαγίστρος chx. — 21 πρέσβης xz πρέσβεις y. — 27 Χοσρώης y Χωσρώης h Κωάδης Mal. — Ἑρμογένη c. — 28 μαγίστρον ex. — 29 ἰνδικτιόνος h ἰν fgx.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιῆσαι, ἀναπεισθεὶς ὑπὸ Σαμαρειτῶν προσφυγόντων αὐτῷ καὶ ὑποτιθεμένων αὐτῷ προδιδόναι τὴν χώραν αὐτῶν, πᾶσαν τὴν Παλαιστίνην, ὡς ἔχοντες καὶ συμμαχίαν Ἰουδαίους τε καὶ Σαμαρείτας χιλιάδας ν'. τούτοις θαρρήσας Χοσρόης οὐ προείλετο τὴν εἰρήνην βουλόμενος καὶ τὴν Ἱερουσαλὴμ δι' αὐτῶν παραλαβεῖν ἔχουσαν χρυσοῦ ἀναρίθμητα κεντηνάρια καὶ λιθέαν πολλήν. ἀφορμὴν δὲ ἔλαβε 275 B περὶ τῶν χρυσωρυχίων τῶν ἐν τοῖς ὄρεσιν Ἀρμενίας, ὡς πρώην ἀνὰ ταλάντου τελούντων Ῥωμαίοις τε καὶ Πέρσαις, νῦν δὲ τοῖς Ῥωμαίοις μόνοις τελούντων. καὶ ἄλλα τινὰ κεφάλαια προφασιζόμενος ἔγραφε τῷ βασιλεῖ. γνωσθέντος δὲ τοῦ δράματος τῶν Σαμαρειτῶν, ἐν τῷ ὑποστρέφειν αὐτοὺς ἐκ τῶν Περσῶν ἐκρατήθησαν εἰς τὸ Ἀμμάδιος. ἦσαν δὲ Σαμαρεῖται ὀνόματα πέντε ἐκ τῶν εὐπόρων αὐτῶν· καὶ παρεδόθησαν τῷ στρατηλάτῃ Βελισαρίῳ καὶ ἐξετασθέντες ὡμολόγησαν πάντα. ‖

‖ Τῷ δ' αὐτῷ χρόνῳ ὁ δοὺξ Παλαιστίνης ἐποίησεν ἔχθραν μετὰ Mal. p. 434, 19 τοῦ φυλάρχου τῶν ὑπὸ Ῥωμαίους Σαρακηνῶν· καὶ φοβηθεὶς ὁ φύλαρχος εἰσῆλθεν εἰς τὸ ἐσώτερον λιμιτόν. καὶ μαθὼν ὁ Ἀλαμούνδαρος, ἐπιρρίψας παρέλαβεν αὐτὸν καὶ ἐφόνευσεν, καὶ λαβὼν τὰς γυναῖκας αὐτοῦ καὶ τὰ τέκνα ὑπέστρεψεν. καὶ μαθόντες οἱ δοῦκες τῆς Φοινίκης καὶ Ἀραβίας καὶ Μεσοποταμίας καὶ ὁ φύλαρχος ἐδίωξαν ὀπίσω αὐτοῦ· καὶ ἀκούσας ὁ Ἀλαμούνδαρος ἔφυγεν εἰς τὰ Ἰνδικὰ 153 P μέρη, εἰς ἃ οὐδεὶς τῶν Ῥωμαίων εἰσῆλθέ ποτε. παρέλαβον δὲ καὶ 276 B τὰς σκηνὰς αὐτῶν καὶ ἤνεγκαν αἰχμαλωσίαν πολλὴν Σαρακηνῶν, ἀνδρῶν καὶ γυναικῶν καὶ παίδων, καὶ ὅσους εὗρον Ῥωμαίους αἰχμαλώτους καὶ καμήλους καὶ πρόβατα καὶ βόας καὶ πολλὴν μέταξιν καὶ ἱματισμόν. ἔκαυσαν δὲ καὶ Περσικὰ κάστρα τέσσαρα καὶ ὑπέστρεψαν μετὰ νίκης μεγάλης. ‖

---

1 *πεισθεὶς* z *ἀνατραπεὶς* d. — 4 *Χοσρώης* hy. — *προείλετο lit. e προσείλετο* f *προσείλετο* cyz *προσήκατο* d. — 5 *καὶ om.* g. — 6 *λιθείαν* Classen. — *ἔλαβε scr. e* Mal. *ἔβαλεν* hxy *ἔβαλλεν* g. — 7 *χρυσωρυχιῶν* h *χρυσορυχίων rell.* — 7. 8 *ἀνὰ τάλαντα* f. — 8 *τελοῦντες* y. — 11 *εἰς τὸ Ἀμμ. om.* d. — *Ἀμμαδιος sine acc.* c *Ἀμμαδίως* hy *Ἀμμιδίος* g *Ἀμμώδιος? coll.* Proc. bell. Pers. I, 13. II, 28. — 12 *ἐμπόρων* g. — 16 *ἀπό* g. — 17 *λιμητόν* ehm *λιμητών* f *λιμητῶν* g *λίμητον* d *λιμητον sine acc.* c. — 20 *καὶ Μεσοποταμίας om.* x. — *ἐδίωξεν* y. — 21 *ὁ om.* g. — 22 *καὶ om* xz. — 23 *αὐτοῦ* cf. — 25 *μέταξαν* g. — 26 *ἔκαυσεν* g. — *ὑπέστρεψεν* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

529/30 M. 6022 *Κόσμου* ἔτη ,ςκβ΄. *Τῆς θείας σαρκώσεως* ἔτη φκβ΄. *Ῥωμαίων βασιλεὺς Ἰουστινιανὸς* ἔτη λη΄. γ΄. *Περσῶν βασιλεὺς Χοσρόης* ἔτη μη΄. ε΄. *Ῥώμης ἐπίσκοπος Φίλιξ* ἔτη δ΄. δ΄.

Κωνσταντ. ἐπίσκοπος Ἐπιφάνιος ἔτη ις΄. ι΄. *Ἱεροσολύμων ἐπίσκοπος Ἠλίας* ἔτη κγ΄. ιθ΄. *Ἀλεξανδρείας ἐπίσκοπος Τιμόθεος* ἔτη ιξ΄. ί. *Ἀντιοχείας ἐπίσκοπος Ἐφραΐμιος* ἔτη ιη΄. γ΄.

Mal. p. 449, 3 ‖ *Τούτῳ τῷ ἔτει τῆς η΄ ἐπινεμήσεως ἐποίησεν ὁ βασιλεὺς Ἰουστινιανὸς διωγμὸν μέγαν κατὰ Ἑλλήνων καὶ πάσης αἱρέσεως καὶ τὰς τούτων οὐσίας ἐδήμευσεν. κατηγορήθη δὲ καὶ Μακεδόνιος, ὁ ἀπὸ ῥεφερενδαρίων, καὶ Ἀσκληπιόδοτος, ὁ ἀπὸ ἐπάρχων, ὅστις καὶ φοβηθεὶς ἐπίπισε καὶ ἀπέθανεν· καὶ Πηγάσιος ὁ Ἡλιουπολίτης σὺν τοῖς τέκνοις αὐτοῦ ἐν προόδῳ ἐξητάσθησαν· καὶ Φωκᾶς, ὁ πατρίκιος τοῦ Κρατεροῦ, καὶ ὁ κυαίστωρ Θωμᾶς καὶ ἄλλοι συνελήφθησαν· καὶ πολὺς φόβος ἐγένετο. καὶ ἐθέσπισεν ὁ βασιλεύς, ὥστε μὴ πολιτεύεσθαι τοὺς ἑλληνίζοντας μηδὲ τοὺς αἱρετικούς, εἰ μὴ μόνους τοὺς ὀρθοδόξους Χριστιανούς, δοὺς αὐτοῖς καὶ προθεσμίαν ἕως μηνῶν*

Mal. p. 452, 13 *τριῶν πρὸς ἐπιστροφήν. ‖ τῷ δὲ Μαρτίῳ μηνὶ τῆς αὐτῆς η΄ ἰνδικτιῶνος ἐν Ἀντιοχείᾳ Ἑρμογένης, ὁ ἀπὸ ὑπάτων μάγιστρος, καὶ Ῥουφῖνος, ὁ ἀπὸ στρατηλατῶν πατρίκιος, ἐπὶ τὰ Περσικὰ μέρη ἀπερχό-*

277 B *μενοι πρεσβευταί, καὶ φθάσαντες εἰς τὸ Δαρᾶς ἐμήνυσαν τῷ βασιλεῖ τῶν Περσῶν τοῦ δέξασθαι αὐτούς. καὶ ἐν τῷ διάγειν αὐτοὺς εἰς τὸ Δαρᾶς ἅμα Βελισαρίῳ τῷ στρατηλάτῃ τῆς ἀνατολῆς καὶ τῶν λοιπῶν ἐξάρχων Ῥωμαίων, καὶ ἀπληκευόντων αὐτῶν πρὸ μικροῦ τῆς πόλεως, μαθὼν ὁ Μηράμ, πρωτοστράτηγος τῶν Περσῶν τοῦ βασιλέως, σὺν τῷ υἱῷ τοῦ βασιλέως καὶ τοῖς λοιποῖς στρατηγοῖς Περσίδος συνηγμένοι ἐν τῷ Νιτζίβιος μετὰ Περσικῆς δυνάμεως πολλῆς, τῷ Ἰουνίῳ μηνὶ*

3[1] ,ςκη΄ y ,ςκς΄ x. — 3[2] φκη΄ y φκς΄ x. — 3[4] *Χοσρώης* hy. — 8[2] *Ἰωάννης codd.* — 8[4] *Εὐφραΐμιος* g. — 9[2] ἔτη κη΄ c. — 12 *κατὰ τῶν Ἑλλήνων* g. — 13 *κατηγορήθη* — 17 *συνελ. καὶ*] *καί τινων ἀρχόντων μεγάλων συλληφθέντων* d *vell. om.* — 13 *κατηγορηθείς* c *κατηγο* (*sic*) em. — 14 *ῥεφερενδαρίων vulg. ῥεφενδαρίων* cfz *ῥεφανδαρίων* em. — *ὑπάρχων* cz. — 15 *ἐπίπησε* y *ἐπίστευσε* g *ἐπίπνησε* Combefis; *at cf.* Mal. 210, 14. — 16 *ἐξετάσθησαν* yz. — *Φωκᾶς* cehm. — *ὁ πατρ. ὁ τοῦ Κρ.*? *coll. p.* 173, 11. — 17 *καὶ ante ὁ κ. om.* f. — *κοιαίστωρ* g *κυέστωρ* ch. — 19 *τοὺς ante ἑλλ. om.* x. — *μήτε* hxy. — *μόνον* x. — 21 *ἰδ* efgx. — 22 *κατέλαβον ἐν Ἀντιοχείᾳ*? — *μαγίστρος* ex. — 24 *Δαρᾶς* cg *Δάρας* d *Δορᾶς* em *Δόρας* Mal. — 24 *ἐμήνυσαν* — 25 *δέξ. αὐτούς om.* em. 24 *ἐμήνυσαν* — 26 *Δαρᾶς om.* fh. — 25 *δέξ. καὶ αὐτούς* x. — 26 *Δαρᾶς* ceg *Δάρας* d *Δορᾶς* m. — *καὶ μετὰ τῶν*? — 27 *ἀπλικευόντων* y. — 28 *Μηράν* em. — *τῶν Περσ. βασιλέως* h *τοῦ Περσ. βασ.* g *τῶν Π. βασιλει* (*sic*) c *τῶν Περσῶν* d. — 29 *καὶ τῶν λοιπῶν στρατηγῶν* yz. — *συνηγμένων* m *συνηγμένοις*? — 30 *Νιτζίβιος* d *Νιτζιβίως* y *Νιτζιβιως sine acc.* c *Νιτζιβίῳ* z *Νισίβιος* Mal. *p.* 453, 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς ἡ ἰνδικτιῶνος ἐπέρριψεν αὐτοῖς μερίσας τὸ ἴδιον πλῆθος εἰς τρία τάγματα. καὶ τοῦτο γνόντες οἱ στρατηγοὶ Ῥωμαίων σὺν τῷ μαγίστρῳ, καλῶς στρατηγήσαντες ὥρμησαν κατὰ Περσῶν, καὶ ἐγένετο πόλεμος μέγας καὶ συμβολὴ φοβερά. καὶ ἔκοψαν οἱ Ῥωμαῖοι τοὺς Πέρσας, καὶ ἀπώλεσαν αὐτοὺς ἐπάραντες καὶ τὸ βάνδον αὐτῶν. ὁ δὲ Μηρὰμ καὶ ὁ υἱὸς τοῦ βασιλέως Περσῶν καὶ ὀλίγοι ἐκ τῶν περι- 154 F
σωθέντων κατέφυγον εἰς τὸ Νιτζίβιος· καὶ ἐνίκησαν οἱ Ῥωμαῖοι νίκην μεγάλην. γνοὺς δὲ τοῦτο ὁ τῶν Περσῶν βασιλεὺς ἐπέτρεψεν εἰσελθεῖν πρὸς αὐτὸν τὸν πατρίκιον Ῥουφῖνον μόνον ἅμα τῷ κόμητι Ἀλεξάνδρῳ. ‖ καὶ τῷ Αὐγούστῳ μηνὶ εἰσῆλθε πρὸς αὐτόν, καὶ πολλὰ 278 B
διαλεχθέντες καὶ εἰρήνης πάκτα κατατυπώσαντες ἐξῆλθον ἐν εἰρήνῃ.

Ῥώμης ἐπίσκοπος Βονιφάτιος ἔτη β'. A. M. 6023 530/1

ϛκγ'. φκγ'. δ'. ϛ'. α'. ια'. κ'. ια'. δ'.

‖ Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ ἰνδικτιῶνος θ' ἐφάνη μέγας Mal. p. 454, 5
καὶ φοβερὸς ἀστὴρ εἰς τὸ δυτικὸν μέρος, κομήτης, πέμπων ἐπὶ τὰ ἄνω τὰς ἑαυτοῦ ἀκτῖνας ἀστραπτούσας, ὃν ἔλεγον Λαμπαδίαν, καὶ ἔμεινεν ἐπὶ εἴκοσι ἡμέρας λάμπων· καὶ ἐγένοντο κοσμικαὶ δημοκρατίαι καὶ φόνοι. ἐν δὲ τῇ συμπληρώσει τοῦ Νοεμβρίου μηνὸς κατέλαβεν ὁ πατρίκιος Ῥουφῖνος ἐκ τῆς πρεσβείας τῶν Περσῶν πρὸς τὸν βασιλέα Ἰουστινιανὸν εἰρήνης πάκτα στοιχήσας· ὅν τινα δεξάμενος ὁ βασιλεὺς ἐχάρη λίαν διὰ τὴν εἰρήνην, καὶ ἡσμένισε τὰ στοιχηθέντα πάκτα, καὶ ἔτυχον εἰρήνης τὰ πράγματα ἀμφοτέρων. ‖

ϛκδ'. φκδ'. ε'. ζ'. β'. ιβ'. κα'. ιβ'. ε'. A. M. 6024 531/2

‖ Τούτῳ τῷ ἔτει πέμπτῳ ὄντι τῆς βασιλείας Ἰουστινιανοῦ μηνὶ cf. Chron. Pasch. p. 620, 3
Ἰαννουαρίῳ ἰνδικτιῶνος ι' γέγονε τοῦ λεγομένου Νίκα ἡ ἀνταρσία. καὶ ἔστεψαν οἱ τῶν δήμων εἰς βασιλέα Ὑπάτιον, τὸν συγγενῆ τοῦ cf. Cram. An. II, 112
βασιλέως Ἀναστασίου· καὶ ἐκαύθη πολὺ μέρος τῆς πόλεως, καὶ ἡ μεγάλη ἐκκλησία, καὶ ἡ ἁγία Εἰρήνη, καὶ ὁ ξενὼν τοῦ Σαμψών, καὶ τὸ Αὐγουσταῖον, καὶ τὸ προσκιόνιον τῆς βασιλικῆς, καὶ ἡ Χαλκὴ τοῦ παλατίου. καὶ ἐγένετο φόβος μέγας, καὶ πολλοὶ τῶν εὑρεθέντων ἐν 279 B
τῷ λεγομένῳ ἱππικῷ μετὰ Ὑπατίου, ὡς φασι λε' χιλιάδες, ἀπέθανον. ‖ γέγονε δὲ ἡ ἀταξία τοῦ Νίκα τρόπῳ τοιούτῳ. ἀνελθόντα τὰ μέρη cf. Chron. Pasch. p. 620, 6
ἐν τῷ ἱππικῷ, ἔκραξαν οἱ τῶν Πρασίνων· ἄκτα διὰ Καλοπόδιον τὸν κουβικουλάριον καὶ σπαθάριον. οἱ Πράσινοι· "ἔτη πολλά,

---

1 *ἰνδικτιόνος* h ἰδ gxy *item v.* 14; 25. — *ἐπέρριψαν* yz. — 3 *κατὰ τῶν Περσῶν* f. — 6 *Μηράν* em. — 7 *Νιτζιβίως* hxy *Νιτζιβίος* g. — 9 *πρός*] *εἰς* hx. — 11 *τυπώσαντες* d. — *v.* 12 *om.* y. — 13 ϛκγ'. φκγ' (φ'. κδ' f). δ'. ϛ'. α'. κ'. ια'. δ'. *codd.* — 15 *ἐπὶ τὴν ἄνω* Mal. — 17 *δημοκρατείαι* hxy. — 18 *Σεπτεμβρίου* Mal. — 21 *ἐχάρη om.* g. — *διὰ τὰ στοιχηθέντα* h. — 22 *πάντα* g. — 25 *Ἰανουαρίῳ* z. — *Νίκα* h. — 28 *Σαμψῶν* efg. — 29 *Αὐγουστέον codd.* — 31 *χιλιάδας* ef. — *ἀπέθανον om.* y. — 32 *Νίκα* h. — 33 *ἔκραζον* x. — *ἄκτα. διὰ Καλ.* fgm. — *Καλαπόδιον* g. — 34 *ἔτη*] *ἔτι* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

155 P Ἰουστινιανὲ αὔγουστε· τούβικας. ἀδικοῦμαι, μόνε ἀγαθέ, οὐ βαστάζω, οἶδεν ὁ θεός. φοβοῦμαι ὀνομάσαι, μὴ πλέον εὐτυχήσῃ καὶ μέλλω κινδυνεύειν." — *Μανδάτωρ*· "τίς ἐστιν, οὐκ οἶδα." — ⟨*οἱ Πράσινοι*⟩ "Ὁ πλεονεκτῶν με, τρισαύγουστε, εἰς τὰ τζαγγαρεῖα εὑρίσκεται." — *Μανδάτωρ*· "οὐδεὶς ὑμᾶς ἀδικεῖ." — *Οἱ Πράσινοι*· "εἷς καὶ μόνος ἀδικεῖ με, θεοτόκε, μὴ ἀνακεφαλίσῃ." — *Μανδάτωρ*· "τίς ἐστιν ἐκεῖνος, οὐκ οἴδαμεν." — *Οἱ Πράσινοι*· "σὺ καὶ μόνος οἶδας, τρισαύγουστε, τίς πλεονεκτεῖ με σήμερον." — *Μανδάτωρ*· "εἴ τις ἐάν ἐστιν, οὐκ οἴδαμεν." — *Οἱ Πράσινοι*· "Καλοπόδιος ὁ σπαθάριος ἀδικεῖ με, δέσποτα πάντων." ‖ — *Μανδάτωρ*· "οὐκ ἔχει πρᾶγμα Καλοπόδιος." — *Οἱ Πράσινοι*· "εἴ τίς ποτέ ἐστιν, τὸν μόρον ποιήσει τοῦ Ἰούδα, ὁ θεὸς ἀνταποδώσει αὐτῷ
280 B ἀδικοῦντί με διὰ τάχους." — *Μανδάτωρ*· "ὑμεῖς οὐκ ἀνέρχεσθε εἰς τὸ θεωρῆσαι, εἰ μὴ εἰς τὸ ὑβρίζειν τοὺς ἄρχοντας." — *Οἱ Πράσινοι*· "εἴ τις δήποτε ἀδικεῖ με, τὸν μόρον ποιήσει τοῦ Ἰούδα." — *Μανδάτωρ*· "ἡσυχάσατε, Ἰουδαῖοι, Μανιχαῖοι καὶ Σαμαρεῖται." — *Οἱ Πράσινοι*· "Ἰουδαίους καὶ Σαμαρείτας ἀποκαλεῖς; ἡ θεοτόκος μετὰ ὅλων." — *Μανδάτωρ*· "ἕως πότε ἑαυτοὺς καταρᾶσθε;" — *Οἱ Πράσινοι*· "εἴ τις οὐ λέγει, ὅτι ὀρθῶς πιστεύει ὁ δεσπότης, ἀνάθεμα αὐτῷ, ὡς τῷ Ἰούδᾳ." — *Μανδάτωρ*· "ἐγὼ ὑμῖν λέγω, εἰς ἕνα βαπτίζεσθε." — *Οἱ δὲ Πράσινοι ἀνεβόησαν ἐπάνω ἀλλήλων καὶ ἔκραζον, ὡς ἐκέλευσεν Ἄντλας*· "εἰς ἕνα βαπτίζομαι." — *Μανδάτωρ*· "ὄντως εἰ μὴ ἡσυχάσητε, ἀποκεφαλίζω ὑμᾶς." — *Οἱ Πράσινοι*· "ἕκαστος σπεύδει ἀρχὴν κρατῆσαι, ἵνα σωθῇ· καὶ εἴ τι ἐὰν εἴπωμεν θλιβόμενοι, μὴ ἀγανακτήσῃ τὸ κράτος σου· τὸ γὰρ θεῖον πάντων ἀνέχεται." — *Οἱ Πράσινοι*· "ἡμεῖς λόγον ἔχοντες, αὐτοκράτωρ, ὀνομάζομεν ἄρτι πάντα· ποῦ ἐστίν, ἡμεῖς οὐκ οἴδαμεν, οὐδὲ τὸ παλάτιον, τρισαύγουστε, οὐδὲ πολιτείας κατάστασις. μίαν εἰς τὴν
281 B πόλιν προέρχομαι, ὅτ' ἂν εἰς βορδώνην καθέζομαι· εἴθοις μηδὲ τότε,

---

1 *τουβικας sine acc.* h *τούμβικας* d. — 3 *μανδάτωρ—4 εὑρίσκεται om.* h. — *τίς*] *τί* d. — *οἱ Πράσινοι om. codd. in mg. habet* d *pr. m.*, m *sec. m.* — 4 *τζαγγαρεία* c *τζαγγαρία* deg *τζαγκαρία* m *τζαγγάρια* f. — 6 *ἀνακεφαλήσῃ* cem *ἀνακεφαλήσει* fh. — 9 *εἴ τις—10 Μανδάτωρ om.* f. — 11 *πράγματα* m. — *Καλαπόδιος* g. — *ποτέ*] *δήποτέ? cf. v.* 15. — 13 *με*] *μετά* g. — *ἀνέρχεσθαι* chy. — 14 *εἰς ante τὸ ὑβρ. om.* y. — 15 *δήποτε om.* h. — 16 *Μανιχεῖς* y *Μανηχαῖοι* x *Μαινιχαῖοι* g. — 18 *μετὰ ὅλων τῶν Μανηχαίων* x. — *αὐτοὺς καταρᾶσθαι* f. — 21 *βαπτίζεσθε* x *βαπτίζεσθαι* g *βαπτίζεται* y *βαπτισθήσεσθαι* h. — 22 *ἔκραξαν* d. — *ὡς ἐκέλευσεν ἄντλας* (*ἀντλᾶς* f) cy *ὡς ἐκέλευσεν ἄτλας* dz. — *βαπτίζεται* y. — 24 *ἐάν* y *ἄν* xa. — 25 *εἴπομεν* m *fort. recte. cf. v.* 9. — *ἀγανακτήσει* hy. — 26 *Post ἀνέχεται verba praeconis intercidisse videntur.* — *οἱ πράσινοι om.* d. — *ἡμεῖς om.* y. — *αὐτοκράτορ* c. — 27 *ὀνομάζωμεν* h. — 28 *inter κατάστα et σις spatium quattuor quinqueve literarum in* f. *κατάστασιν vel κακαστάσεις leg. esse* Classen *dicit.* — 29 *προσέρχομαι* m. — *βορδώνιν* x *βορδόνην* hy. — *εἴθοις* x *εἴθυς* g *ἤθοις* em *ἤθοις* f *ἤθυς* h. *cf. p.* 182, 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τρισαύγουστε." — *Μανδάτωρ*· "ἕκαστος ἐλεύθερος ὅπου θέλει ἀκινδύνως δημοσιεύει." — *Οἱ Πράσινοι*· "καὶ θαρρῶ ἐλευθερίας, καὶ ἐμφανίσαι οὐ συγχωροῦμαι· καὶ ἐάν ἐστιν ἐλεύθερος, ἔχει δὲ Πρασίνων ὑπόληψιν, πάντως εἰς φανερὸν κολάζεται." — *Μανδάτωρ*· "ἑτοιμοθάνατοι, οὐδὲ τῶν ψυχῶν ὑμῶν φείδεσθε;" — *Οἱ Πράσινοι*· "ἐπαρθῇ τὸ χρῶμα τοῦτο, καὶ ἡ δίκη οὐ χρηματίζει· ἄνες τὸ φονεύεσθαι· καὶ ἄφες, κολαζόμεθα. ἴδε πηγὴ βρύουσα, καὶ ὅσους θέλεις, κόλαζε. ἀληθῶς τὰ δύο ταῦτα οὐ φέρει ἀνθρωπίνη φύσις. εἴθοις Σαββάτης μὴ ἐγεννήθη, ἵνα μὴ ἔσχεν υἱὸν φονέα. εἰκότως 156 F
ἔκτος φόνος ἐστὶν ὁ γενόμενος εἰς τὸ Ζεῦγμα· τῇ πρωΐᾳ ἐθεώρησεν, καὶ τῇ δείλῃ ἐσφάγη, δέσποτα πάντων." — *Οἱ Βένετοι*· "τοὺς φονεῖς ὅλου τοῦ σταδίου ὑμεῖς μόνοι ἔχετε." — *Οἱ Πράσινοι*· "πότε σφάξεις, καὶ ἀποδημεῖς." — *Οἱ Βένετοι*· "σὺ δὲ σφάξεις, καὶ διακινεῖς. τοὺς φονεῖς γὰρ τοῦ σταδίου ὑμεῖς μόνοι ἔχετε." — *Οἱ Πράσινοι*· "δέσποτα Ἰουστινιανέ, αὐτοὶ παρακαλοῦσιν, καὶ οὐδεὶς αὐτοὺς φονεύει. νοήσει ὁ θέλων τὸν ξυλοπώλην, τὸν εἰς τὸ Ζεῦγμα, τίς ἐφόνευσεν, αὐτοκράτωρ;" — *Μανδάτωρ*· "ὑμεῖς αὐτὸν 282 B
ἐφονεύσατε." — *Οἱ Πράσινοι*· "τὸν υἱὸν τοῦ Ἐπαγάθου τίς ἐφόνευσεν, αὐτοκράτωρ;" — *Μανδάτωρ*· "καὶ αὐτὸν ὑμεῖς ἐφονεύσατε· καὶ τοὺς Βενέτους πλέκετε." — *Οἱ Πράσινοι*· "ἄρτι καὶ ἄρτι· κύριε ἐλέησον. τυραννεῖται ἡ ἀλήθεια. ἤθελον ἀντιβάλαι τοῖς λέγουσιν ἐκ θεοῦ διοικεῖσθαι τὰ πράγματα· πόθεν αὕτη ἡ δυστυχία;" — *Μανδάτωρ*· "ὁ θεὸς κακῶν ἀπείραστος." — *Οἱ Πράσινοι*· "θεὸς κακῶν ἀπείραστος; καὶ τίς ἐστιν ὁ ἀδικῶν με; εἰ φιλόσοφός ἐστιν ἡ ἐρημίτης, τὴν διαίρεσιν εἴπῃ τῶν ἑκατέρων." — *Μανδάτωρ*· "βλάσφημοι καὶ θεοχόλωτοι, ἕως πότε οὐχ ἡσυχάζετε;" — *Οἱ Πράσινοι*· "ἂν θεραπεύεται τὸ κράτος σου, στέγω, καὶ μὴ θέλων, τρισαύγουστε. ὅλα, ὅλα οἶδα· ἀλλὰ σιωπῶ. σῴζου, δίκη, οὐκέτι χρηματίζεις. μεταβαίνω, καὶ τότε ἰουδαΐζω. μᾶλλον δὲ ἑλληνίσαι συμφέρει, καὶ μὴ βενετίσαι, ὁ θεὸς οἶδεν." — *Οἱ Βένετοι*. "τὸ μισῶ οὐ θέλω βλέπειν· καὶ ὁ φθόνος παρενοχλεῖ μοι." — *Οἱ*

---

1 θέλῃ fx. — 3 ἔχῃ x. — 5 φείδεσθαι cy. — 7 φονεύεσθε c *fort. recte.* — τὸ κολαζόμεθα m *fort. recte.* — κολαζώμεθα h. — 8 θέλης hx. — 9 εἴθοις x ἴθοις y εἴθυς g ἤθυς h. — Σαββάτις f. — μηδὲ ἔσχεν g. — εἰκότως ἕκτος d εἰκότως ἑκτὸς cy εἰκοστὸς ἕκτος h εἰκοστὸν ἕτος g. — 10 Ζεῦμα xy. — τῇ πρωΐᾳ scr. e coni. τῇ πρωΐας hy τὸ πρωΐας x τῇ πρωῒ ἀς g. — 11 δήλῃ dh. — 12 ὅλους h. — σταδίου] σφαγείου c. — 13 τότε f. — 15 αὐτοῖς em. — 16 νοήσει *om.* y. — ὁ μὴ θέλων xz. — ξυλοπώλιν y ξυλοπόλιν g. — τὸν *ante* εἰς *om.* d. — 17 Ζεῦμα xy. — 18 οἱ πράσινοι — 19 ἐφονεύσατε *om.* f. — 21 ἀντιβάλαι y ἀντιβαλεῖν xz. — 24 εἰ] ἢ h ἡ f. — 25 ἐρημήτης *codd. praeter* f. — εἴποι x. — 26 θεοχώλωτοι dem θεοχόλοτοι f θεοχόλητοι g. — 27 θεραπεύηται c θεραπεύητε d. — στέγων h. — 29 ἰουδαΐζεις y. — 30 συμφέρει μοι x. — βενετῆσαι dy. — 31 *inter* φθόνος *et* παρενοχλεῖ *spatium trium fere literarum vacuum in* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

cf. Chron. Pasch. p. 620, 12 Πράσινοι· "ἀνασκαφῇ τὰ ὀστέα τῶν θεωρούντων." — ‖ Καὶ κατῆλθον οὗτοι καὶ ἔασαν τὸν βασιλέα καὶ τοὺς Βενέτους θεωροῦντας. ‖
Mal. p. 473, 12 καὶ εὐθὺς συνέβη γενέσθαι ὑπό τινων μαϊστόρων πρόφασιν δημοτικῆς
283 B ταραχῆς τρόπῳ τοιῷδε. κρατήσας ὁ ἔπαρχος τρεῖς δημότας τῶν ἀτακτούντων ἐφούρκισεν αὐτούς. καὶ ὁ μὲν εἷς παραυτὰ ἀπέθανεν, οἱ δὲ δύο ἔπεσον ἐκ τῆς φούρκας. πάλιν ἐκρεμάσθησαν, καὶ πάλιν ἔπεσον. τούτους οὖν ἑωρακὼς ὁ ἑστὼς ὄχλος ἔκραξεν· "τούτους τῇ ἐκκλησίᾳ." ἀκηκοότες οὖν οἱ μοναχοὶ τοῦ ἁγίου Κύνωνος ἥρπασαν αὐτοὺς ἐν ἀκατίῳ καὶ ἐπέρασαν εἰς τὸν ἅγιον Λαυρέντιον, διότι προνόμια εἶχε τοῦ μηδένα ἐκβλήσκεσθαι τοῦ ναοῦ, ἕως οὗ πάθῃ τὸ ἱκανόν. ἀκούσας δὲ ὁ ἔπαρχος ἔπεμψε στρατιώτας τοῦ φυλάττειν αὐτούς, καὶ γνόντες οἱ δῆμοι ἀπῆλθον εἰς τὸ πραιτώριον αἰτοῦντες τὸν ἔπαρχον ἀποστῆναι ἐκ τοῦ ἁγίου Λαυρεντίου τοὺς φυλάσσοντας στρατιώτας· καὶ ἀποκρίσεως οὐκ ἔτυχον παρ' αὐτοῦ· καὶ θυμωθέντες
157 F ἔβαλον πῦρ εἰς τὸ πραιτώριον. ‖ καὶ ἐκάησαν οἱ ἔμβολοι ἀπὸ τῆς καμάρας τοῦ Φόρου ἕως τῆς Χαλκῆς, τά τε ἀργυροπρατεῖα, καὶ τὰ Λαύσου πάντα πυρὶ ἀνηλώθησαν· καὶ τοὺς ἐμπίπτοντας αὐτοῖς στρατιώτας κατέσφαξαν ἀφειδῶς. καὶ εἰσερχόμενοι ἐν τοῖς οἴκοις διήρ-
cf. Chron. Pasch. p. 621, 17 παζον τὰς ὑποστάσεις, ‖ καὶ ἐνεπύρισαν τὴν εἴσοδον τοῦ παλατίου τὴν χαλκόστεγον, καὶ ⟨τὸν πόρτικον⟩ τῶν προτικτόρων καὶ τὸ ἕνα-
284 B τον τοῦ Αὐγουστέως. καὶ κατῆλθεν ὁ δῆμος εἰς τὸν Ἰουλιανοῦ, τὸν Σοφίας λέγω, λιμένα εἰς τὸν οἶκον Πρόβου ζητοῦντες ὅπλα καὶ κράζοντες "ἄλλον βασιλέα τῇ πόλει"· καὶ ἔβαλον πῦρ εἰς τὰ Πρόβου, καὶ κατηνέχθη ὁ οἶκος. καὶ ἦλθον καὶ ἔκαυσαν τὸ βαλανεῖον τοῦ Ἀλεξάνδρου καὶ τὸν ξενῶνα τῶν Σαμψὼν τὸν μέγαν, καὶ ἀπώλοντο οἱ ἄρρωστοι, καὶ τὴν μεγάλην ἐκκλησίαν σὺν τοῖς ἀμφοτέροις κίοσιν· καὶ πᾶσα ἐκ τετραέντου κατηνέχθη. ‖ ὁ δὲ βασιλεὺς φοβηθεὶς ἠθέλησε βαλεῖν εἰς δρόμωνα τὰ χρήματα καὶ ἐξελθεῖν ἐπὶ τὴν Θρᾴκην ἕως Ἡρακλείας, καταλείψας φυλάττειν τὸ παλάτιον τὸν στρατηλάτην Μοῦνδον μετὰ τοῦ υἱοῦ αὐτοῦ καὶ γ ἀνδρῶν καὶ Κωνσταντιόλου, καὶ τοὺς κουβικουλαρίους. ‖

---

1 ἀνασκαφεῖ d. — 3 συνέβη ὑπό τ. μαϊστ. γενέσθαι πρ. x. — μαγιστόρων z. — 4 ὕπαρχος xz *item v. v.* 11. 13. — 5 ἐφούρκησεν dfh. — πάραυτα gm. — 6 ἔπεσαν yz. — 7 ἔπεσαν g. — ἔκραξαν x. — 8 Κώνωνος x. — 15 ἔβαλλον g. — 16 καμμάρας em. — 17 Λαυσοῦ em. — ἀνήλωσαν y. — 18 κατέσφαζον d. — ἐν *om.* d. — 19 ἐνεπύρισαν πυρὶ τήν h. — 20 *Verba* τὸν πόρτικον *quae ante* τῶν προτικτόρων *propter similitudinem literarum facile intercidernnt addidi e Chron. P. p.* 621, 19. — πρωτικτόρων x. — ἕνατον dem ἔνατον f ἔννατον cg ἔνναton d σενάτον Chron. — 21 τοῦ Αὐγουστέως] ὅπου ἐστὶν τὸ λεγόμενον Αὐγουσταῖον Chron. *cf. p.* 181, 29. — εἰς τὴν Ἰουλ. yz. — 22 λέγω cy λεγόμενον g τὸν λεγόμενον h *om.* d. — 23 ἔβαλλον dg. — 25 τῶν *scr. e coni.* τὸν dyz τοῦ c. — Σαμψῶν df Σαμψῶ egm. — 27 ὁ βασ. δέ c. — δρόμονα hy δρόμον g. — 30 τοὺς κουβικουλαρίους x τοῖς κουβικουλαρίοις yz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ δὲ δῆμοι τοὺς νεκροὺς σύραντες ἔβαλον εἰς τὴν θάλασσαν, φονεύ- cf. Chron. Pasch. p. 622, 18
σαντες καὶ γυναῖκας πολλάς. ‖ φήμης δὲ γενομένης, ὅτι ὁ βασιλεὺς cf. Chron. Pasch. p. 625, 5
λαβὼν τὴν αὐγούσταν ἐξῆλθεν ἐν τῇ Θράκῃ, ἀνηγόρευσαν βασιλέα
Ὑπάτιον τὸν πατρίκιον, καὶ καθεζόμενος ἐν τῷ ἱππικῷ εὐφημεῖτο
ὑπὸ τῶν δήμων καὶ ἤκουε τὰς ὑβριστικὰς φωνὰς τὰς πρὸς Ἰουστι- 285 B
νιανὸν τὸν βασιλέα. ἦλθον δὲ καὶ ἀπὸ Φλακιανῶν νεώτεροι Πρά-
σινοι σ' λωρικάτοι ὑπολαμβάνοντες ἀνοῖξαι τὸ παλάτιον καὶ εἰσαγαγεῖν
τὸν Ὑπάτιον. ὁ δὲ βασιλεὺς ἀκούσας τὰ παρὰ τοῦ δήμου καὶ Ὑπατίου
τολμηθέντα εἰσῆλθεν ἐν τῷ παλατίῳ καὶ ἀνῆλθεν ἐπὶ τὰ λεγόμενα Πούλ-
πιτα ὄπισθεν τοῦ καθίσματος τοῦ ἱπποδρομίου εἰς τὸν τρίκλινον τὸν
ἔχοντα τὰς χαλκᾶς θύρας, ἔχων μεθ' ἑαυτοῦ Μοῦνδον καὶ Κωνσταντίο-
λον καὶ Βελισάριον καὶ ἄλλους συγκλητικοὺς καὶ ἐνόπλων στρατιωτῶν
βοήθειαν καὶ κουβικουλαρίους καὶ σπαθαρίους. ἐξελθὼν δὲ Ναρσῆς ὁ
κουβικουλάριος ὑπέσυρέ τινας ἐκ τοῦ Βενέτου μέρους ῥογεύσας χρή-
ματα· καὶ ἤρξαντο κράζειν· "Ἰουστινιανὲ αὔγουστε, τούβικας. κύριε,
σῶσον Ἰουστινιανὸν τὸν βασιλέα καὶ Θεοδώραν τὴν αὐγούσταν." 158 F
τότε διχονοῆσαν τὸ πλῆθος, ὥρμησαν κατ' ἀλλήλων. καὶ ἐξελθόντες
οἱ τοῦ παλατίου μετὰ τῆς αὐτῆς βοηθείας ἀπέσχισάν τινας αὐτῶν
ἀπὸ τοῦ δήμου καὶ ὥρμησαν εἰς τὸ ἱπποδρόμιον, καὶ ὁ μὲν Ναρσῆς
διὰ τῶν θυρῶν, ὁ δὲ υἱὸς Μούνδου διὰ τῆς σφενδόνης, ἄλλοι δὲ
διὰ τοῦ μονοπάτου τοῦ καθίσματος εἰς τὸ πέλμα, καὶ ἤρξαντο κόπτειν
τοὺς δήμους, οἱ μὲν τοξεύοντες, οἱ δὲ κατασφάζοντες, ὥστε μηδένα
τῶν πολιτῶν ἢ Βενέτων ἢ Πρασίνων εὑρεθέντων ἐν τῷ ἱππικῷ
σωθῆναι. ὁ δὲ Βελισάριος εἰσδραμὼν ἐπὶ τὸ κάθισμα τοῦ βασιλέως
μετὰ σπαθαρίων, συλλαβόμενος Ὑπάτιον προσήγαγε τῷ βασιλεῖ, καὶ
ἀπέθεντο αὐτὸν ἐν τῇ φυλακῇ. ἀπέθανον δὲ τῇ ἡμέρᾳ ἐκείνῃ χιλιά- 286 B
δες λε' ἀνδρῶν. καὶ οὐκέτι ἐφαίνετο δημότης πώποτε, ἀλλ' ἐγένετο
ἡσυχία τῇ ἡμέρᾳ ἐκείνῃ. τῇ δὲ ἐπαύριον ἐσφάγησαν Ὑπάτιος καὶ
Πομπήϊος, ὁ ἀδελφὸς αὐτοῦ· καὶ ἐρρίφησαν τὰ σώματα αὐτῶν ἐν τῇ
θαλάσσῃ, καὶ ἐδημεύθησαν οἱ οἶκοι αὐτῶν, μετὰ καὶ ἄλλων ιη'
πατρικίων καὶ ἰλλουστρίων καὶ ὑπατικῶν δημευθέντων ὡς συνδρό-

---

1 ἔβαλλον g. — 2 γεναμένης f. — 3 αὐγοῦσταν ceg. — καὶ ἀνηγόρευσαν gy. — 5 ἤκουσε x ἤκουσε yz. — 6 ἦλθον — 8 Ὑπάτιον om. d. — 6 Φλακιανῶν y Φλαβιανῶν cz Κωνσταντιανῶν Chron. p. 625, 12 Φλακιλλιανῶν? e Chron. p. 624, 10. — 7 λουρικάτοι codd. corr. sec. m. f. — εἰσάγειν cm. — 8 τὰ ante παρὰ om. et v. 9' ante τολμηθέντα inser. y. — 9 πούπιτα m. — 10 ὄπιθεν fx. — ἱπποδρομείου xy. — τὸν post τρίκλινον om. cm. — 11 τὰς om. y. — Κωνστάντιον g. — 13 Νάρσις f Ναρσής g. — 15 τουβικας sine acc. dh. — 16 αὐγοῦσταν g. — 18 ἀπέστησαν d. — 19 ἱπποδρομεῖον xy. — καὶ del. videtur. — 21 μονοπόρτου Chron. — 23 εὑρεθέντα x. — 24 προσδραμών x δραμών m. — 25 καὶ συλλαβόμενος d. — 26 ἐν τῇ ἡμ. d. — 27 πούποτε x ποτε h. — 27 ἐγένετο — 28 ἐπαύριον om. x. — 29 ἐρρίφη xz. — 31 ἰλλουστριῶν cm.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μων Ὑπατίου. καὶ ἐγένετο φόβος μέγας, καὶ ἡσύχασεν ἡ πόλις, καὶ οὐκ ἤχθη ἱππικὸν ἐπὶ ἱκανὸν χρόνον. ‖

Mal. p. 477, 10 ‖ Τῷ δ' αὐτῷ ἔτει γέγονε καὶ ἀστέρων δρόμος πολὺς ἀπὸ ἑσπέρας ἕως αὐγους· ὥστε πάντας ἐκπλήττεσθαι καὶ λέγειν, ὅτι οἱ ἀστέρες πίπτουσιν, καὶ οὐκ οἴδαμέν ποτε τοιοῦτον πρᾶγμα. ‖

A. M. 6025 Ῥώμης ἐπίσκοπος Ἰωάννης ἔτη γ'.

ϛκε'. φκε'. ϛ'. η'. α'. ιγ'. κβ'. ιγ'. ϛ'.

Mal. p. 441, 8 ‖ Τούτῳ τῷ ἔτει Θεοδώρα, ἡ εὐσεβεστάτη αὐγούστα, ἐξῆλθεν εἰς τὰ θερμὰ τῶν Πυθίων θερμίσαι· καὶ συνεξῆλθον αὐτῇ ὅ τε πατρίκιος Μηνᾶς ὁ ἔπαρχος, καὶ ὁ πατρίκιος Ἡλίας, ὁ κόμης τῶν λαργιτιώνων, καὶ ἄλλοι πατρίκιοι καὶ οἱ κουβικουλάριοι καὶ σατράπαι, χιλιάδες τέσσαρες· καὶ πολλὰ ἐχαρίσατο ταῖς ἐκκλησίαις καὶ πτωχείοις καὶ τοῖς μοναστηρίοις. ‖

532/3 A. M. 6026 ϛκϛ'. φκϛ'. ζ'. θ'. β'. ιδ'. κγ'. ιδ'. ζ'.

287 B Mal. p. 449, 12 cf. Hermes VI p. 376 ‖ Τούτῳ τῷ ἔτει Πρίσκος ὕπατος ἀπὸ νοταρίων τοῦ βασιλέως, ἀγανακτηθεὶς ὑπὸ Θεοδώρας τῆς βασιλίσσης ἐδημεύθη καὶ διάκονος Κυζίκου ἐχειροτονήθη, κελεύσαντος τοῦ βασιλέως. ‖

Τῷ δ' αὐτῷ ἔτει γεγόνασιν Οὐανδαλικοὶ πόλεμοι, καὶ παρέλαβε cf. p. 95 Βελισάριος τὴν Ἀφρικήν. Οὐανδῆλοι, καθὼς ἐν τοῖς ἄνω χρόνοις 159 P εἴρηται, ἐπὶ Ἀρκαδίου βασιλέως καὶ Ὀνωρίου τὴν Ἱσπανίαν καταλαβόντες μετὰ Γοδιγίσκλου, τοῦ ῥηγὸς αὐτῶν, ἐκ ταύτης ἐπὶ Λιβύην περάσαντες, ταύτην κατέσχον. τοῦ δὲ Γοδιγίσκλου τελευτήσαντος, Γόνδαρις καὶ Γιζέριχος, οἱ τούτου υἱοί, τὴν τούτου ἀρχὴν διεδέξαντο. Γόνδαρις δὲ ἐξ ἀνθρώπων γενόμενος, Γιζέριχος βασιλεὺς Οὐανδήλων ἀναδείκνυται, καὶ πόλιν Καρθαγένναν βασιλεύσας ἔτη λθ', παραProc. I p. 344 ed. Bonn. λαβὼν καὶ Ῥώμην. ‖ τούτου δὲ τελευτήσαντος, Ὀνώριχος, ὁ υἱὸς αὐτοῦ, τὴν βασιλείαν διεδέξατο πολλὰ κακὰ τοῖς ἐν Λιβύῃ Χριστιανοῖς ἐνδειξάμενος καὶ ἀρειανίζειν βιαζόμενος· καὶ πολλοὺς ἐφόνευσε καὶ ἐγλωσσοτόμησεν ἀπὸ τῆς φάρυγγος, οἳ καὶ τῇ τοῦ θεοῦ χάριτι

---

3 καὶ ἀστέρων γέγονε z. — πολλὰς g. — 5 τοιοῦτο x. — 6 ἔτη ιγ' codd. — 8 εὐσεβεστάτη om. d. — αὐγοῦστα g. — 9 τοῦ θερμ. z. — θερμῆσαι hy. — 10 ὕπαρχος x. — Ἡλίας hm. — 11 λαργιτιόνων x λαργιτιάνων f λαργιτιανῶν em λαργητιανῶν z. — οἱ ante κουβ. om. x. — κουβουκουλάριοι f. — κουβ. καὶ σπαθάριοι καὶ σατράπαι d. — 13 πτωχοῖς f. — τοῖς om. h. — 14 ϛκη' cf. — ζ'. θ'. om. codd. praeter m. — ιδ'] ια' codd. — κγ'] ιγ' h. — 15 ὁ ὕπατος dz. — 16 τῆς αὐγούστης d τῆς δεσποίνης c. — 18 γεγ. οἱ Οὐανδ. ch γεγ. καὶ οἱ Οὐανδ. d. — Οὐανδηλικοί mx. — 19 Οὐανδ. δὲ c οἱ Οὐανδ. δέ d οἱ γὰρ Οὐανδ. z. — Οὐανδῆλοι g sine acc. c Οὐανδηλοί rell. — καθὼς ἀνωτέρω εἴρηται x. — 20 τοῦ βασιλέως fx. — Ἱσπανίαν Zonaras XIV, 7 cf. p. 95 Σπανίαν codd. — 21 Γοδιγίσκλου scr. ex A Γογδιγίσκλου yz Γογδιγίσγλου c Γογιγδίσκλου d item v. 22 Γονδιγίσγλω Zon. — 23 Γηζέριχος x item v. 24. — τὴν αὐτοῦ ἀρχήν d τὴν ἀρχὴν αὐτοῦ z. — Οὐανδήλων dz Οὐανδηλῶν c Οὐανδηλων sine acc. c Οὐανδαλῶν m Οὐανδάλης f. — 25 Καρθάγενναν z sine acc. c Καρτάγεναν Zon. — 26 Ὀνώριχος em sine spir. f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὕστερον ἐλάλουν. τούτων καταφρονήσαντες ἐπολέμησαν οἱ Μαυρούσιοι καὶ πολλὰ κακὰ εἰς Οὐανδήλους εἰργάσαντο. ὀκτὼ δὲ ἔτη βασιλεύσας τελευτᾷ ἀπολέσας τὴν Νουμιδίαν καὶ τὸ Αὐράσιον ὄρος, οἳ 288 B
οὐκέτι ὑπὸ τοὺς Οὐανδήλους ἐγένοντο. ‖ Γουνδαμοῦνδος δέ, ὁ Γεήζωνος Proc. I, 345
υἱός, υἱοῦ Γιζερίχου, τὴν ἀρχὴν διεδέξατο μείζονα κακὰ τοῖς Χριστιανοῖς ἐνδειξάμενος· ἐτελεύτησε βασιλεύσας ἔτη ιβ'. τούτου τὴν ἀρχὴν διεδέξατο Τρασαμοῦνδος, ἀνὴρ εὐειδὴς καὶ συνετὸς καὶ μεγαλόψυχος. οὗτος τοὺς Χριστιανοὺς ἐβιάζετο μεταβαλέσθαι τὴν πατρῴαν δόξαν, οὐκ αἰκιζόμενος, τοὺς δὲ ἀπειθοῦντας ἀποστρεφόμενος. τελευτησάσης δὲ τῆς γυναικὸς αὐτοῦ ἀτέκνου βουλεύεται ἄριστα, καὶ πέμψας πρὸς Θευδέριχον, τὸν βασιλέα Γότθων, εἰς Ἱσπανίαν ᾔτει τὴν τούτου ἀδελφὴν λαβεῖν πρὸς γάμον Ἀμαλαφρίδα χήραν οὖσαν. ὁ δὲ καὶ τὴν ἀδελφὴν δέδωκεν αὐτῷ εἰς γυναῖκα καὶ Γότθων δοκίμων χιλίους ἐν τάξει δορυφόρων σὺν ἄλλαις πέντε χιλιάσιν ἀνδρῶν μαχίμων πρὸς ὑπουργίαν τούτων. ἐδωρήσατο δὲ τῇ ἀδελφῇ Θευδέριχος καὶ τῶν ἐν Σικελίᾳ ἀκρωτηρίων ἓν τὸ καλούμενον Λύσιον· καὶ ἀπ' αὐτοῦ ἔδοξεν ὁ Τρασαμοῦνδος πάντων τῶν ἐν Λίβυσι βασιλευσάντων κρείσσων τε καὶ δυνατώτατος· ἐγένετο δὲ καὶ φίλος Ἀναστασίου τοῦ βασιλέως. ‖ ἐκράτησε δὲ τῆς βασιλείας ἔτη κζ'. τούτου 289 B
δὲ τελευτήσαντος, Ἱλδέριχος ὁ Ὀνωρίχου τοῦ Γιζερίχου παιδὸς ἐβασίλευσεν, ἀνὴρ πρᾶος καὶ ἀγαθός, καὶ οὐδὲ Χριστιανοῖς χαλεπὸς ἐγεγόνει· τὰ δὲ εἰς τὸν πόλεμον μαλακός τε λίαν, καὶ οὐδὲ ἀκοῦσαι ἤθελε τοῦτο τὸ πρᾶγμα. Ἀμεργοῦς δέ, ὁ τούτου ἀδελφιδός, ἀνὴρ ἀγαθὸς τὰ πολέμια, ἐστρατήγει Οὐανδήλων, ὃν δὴ καὶ Ἀχιλλέα ἐκάλουν. Ἱλδέριχος δὲ φίλος ἦν Ἰουστινιανοῦ πρὸ τοῦ βασιλεῦσαι 160 P
αὐτὸν ἐπὶ Ἰουστίνου, τοῦ θείου αὐτοῦ, καὶ πολλὰ χρήματα πρὸς αὐτὸν ἔπεμπέ τε καὶ ἐδέχετο παρ' αὐτοῦ τὴν φιλίαν κρατύνων. ‖ ἦν δέ τις Proc. I, 350
τούτου συγγενὴς ἐκ τοῦ γένους Γιζερίχου, Γελίμερ ὀνόματι, ἀνὴρ δεινὸς καὶ κακοήθης καὶ πράγμασι νεωτέροις καὶ χρήμασιν ἀλλοτρίοις

---

2 *Οὐανδήλους* g *Οὐανδηλούς rell.* — 2 *εἰργάσαντο*—4 *Οὐανδήλους om. y.* — 3 *Νουμηδίαν* hx. — 4 *Οὐανδηλούς* hx. — *Γουνδαμοῦνδος* Proc. Zon. *Γουνδαβοῦνδος* c *Γουδακοῦνδος* d *Γουνδαβοῦν* z *Γουνδάβουν* y. — *Γένζωνος* Proc. — 5 *Γηζερίχου* ehmx. — *καὶ μείζονα* d. — 7 *Τρισαμοῦνδος* g. — 9 *τοὺς δὲ ἀπ. ἀποστρ. om.* f. — *ἀπιθοῦντας* c. — 11 *εἰς Σπανίαν* fgx *εἰσπανίαν* h *εἰσπάναν* em. — 12 *Μαλαφρῖδα* g. — 13 *γυναῖκαν* g. — 14 *δισχιλίους* g. — 15 *τούτω* f. — *τὴν ἀδελφῆν* y. — 16 *ἕνα τὸν* y. — *Λιλυβαῖον* Proc. — 17 *Στρασαμοῦνδος* g. — *ἐν Λιβύσῃ* e *ἐν Λιβίῃ corr. ex ἐν Λιβίσι ut vid.* m *ἐν Λιβύῃ* f *sed η scc. m. in litura duarum literarum. ἐν Λιβύῃ rell. ἐν Βανδίλοις* Proc. — 18 *βασιλευόντων* d. — *φίλος καὶ* d Proc. — 20 *Ἠλδέριχος* hy *Ἱλδερίχιος* c. — *Ονωρίχου sine spir.* c *Ὠνωρίχου* eg *Ὀνορίχου* h *Ὠνορίχου* m. — *Γηζερίχου* ehmx. — *παῖς?* — 21 *χαλεπῶς* dy. — 23 *Ἀμεργούς* em (*Ἀμερ γοῦν* Proc.). — *ἀδελφός* fhx. — 24 *Οὐανδήλων* z *Οὐανδηλῶν* dy *sine acc.* c. — 25 *Ἠλδέριχος* hy. — 28 *Γηζερίχου* hx. — *Γελήμερ* h *hic et passim in sqq.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπιτίθεσθαι ἐπιστάμενος. οὗτος τυραννήσας κατὰ τοῦ ἰδίου δεσπότου Ἱλδερίχου ἑπταετίαν βασιλεύσαντος, τοῦτον κρατήσας εἰς φυλακὴν ἀπέθετο σὺν τῇ γυναικὶ Ἀμαλαφρίδι καὶ τοὺς Γότθους διέφθειρεν ἅπαντας καὶ Ἄμερα καὶ τὸν αὐτοῦ ἀδελφὸν Εὐαγέην ἐν φυλακῇ ἔσχεν. ἐπαρθεὶς δὲ τῇ τυραννίδι οὐκ ἠδύνατο ἐν τῷ καθεστῶτι
Proc. I, 352 βιοτεύειν. ‖ γράφει τοίνυν πρὸς βασιλέα Ἰουστινιανὸν ἀπολογούμενος,
290 B ὡς αὐτῷ ἡ βασιλεία ἐννόμως προσήκει, Ἱλδερίχου μὴ ἰσχύοντος ταύτην διοικῆσαι. ταῦτα δὲ Ἰουστινιανὸς μαθὼν ἔγραψε πρὸς αὐτόν, ὡς οὐ καταδέξεται ταύτην τὴν τυραννίδα. αὐτὸς δὲ μὴ προσχὼν τοῖς γεγραμμένοις τόν τε Ἄμερα ἐξετύφλωσε καὶ Ἱλδέριχον σὺν Εὐαγέῃ
Proc. I, 353 ἐν μείζονι φυλακῇ ἀπέκλεισεν. ‖ ταῦτα μαθὼν Ἰουστινιανὸς κατὰ Λιβύης ἐστράτευσε καταλύσας τὸν Μηδικὸν πόλεμον, καὶ μεταπεμψάμενος Βελισάριον ἐκ τῆς ἑῴας ἐβουλεύετο περὶ τούτου. ἡ δὲ σύγκλητος ἐδυσχέραινεν ἀναμιμνήσκουσα τόν τε Λέοντος τοῦ βασιλέως στόλον τὸν κατὰ Οὐανδήλων στρατεύσαντα σὺν τῷ Βασιλίσκῳ καὶ ἀπολωλότα, ὅσοι τε στρατιῶται ἀπέθανον, καὶ ὅσα χρήματα ἀνηλώθησαν, δεδιότες δὲ τοῦ κινδύνου τὸ μέγεθος, μὴ αὐτὸν στρατηγὸν
Proc. I, 354 ταύτης τῆς στρατείας ἐκλέξοιτο ὁ βασιλεύς. ‖ παρελθὼν δὲ Ἰωάννης ὁ πατρίκιος εἰς τὸ μέσον ἔλεξε τάδε· "ἡμεῖς μέν, ὦ δέσποτα, τοῖς σοῖς προστάγμασι πειθόμεθα καὶ οὐκ ἀντιτείνομεν. ἀλλὰ δίκαιόν ἐστι λογίσασθαί σε τό τε τῆς ὁδοῦ μῆκος καὶ τὰ τῆς θαλάσσης πελάγη, καὶ τὸ διὰ ξηρᾶς ρμ΄ ἡμερῶν ὁδοῦ διάστημα ἔχον, καὶ τῆς νίκης τὸ
291 B ἄδηλον, καὶ τῆς ἥττης τὸ ἐπώδυνον, καὶ τῆς μεταμελείας τὸ ἀνόνη-
Proc. I, 356 τον." ‖ ἀποδεξάμενος δὲ ὁ βασιλεὺς τὸν λόγον τὴν εἰς τὸν πόλεμον προθυμίαν κατέπαυσεν. ἐπίσκοπος δέ τις τῆς ἑῴας τὸν βασιλέα ἀνεπτέρωσε λέγων ἐκ θεοῦ ἐπισκῆψαι αὐτῷ ὄναρ κελεῦον αὐτὸν πρὸς
161 P τὸν βασιλέα γενέσθαι καὶ αἰτήσασθαι αὐτὸν τοὺς ἐν Λιβύῃ Χριστιανοὺς ῥύσασθαι ἐκ τῶν τυράννων. "κἀγὼ αὐτῷ συλλήψομαι, καὶ Λιβύης κύριον θήσομαι." ταῦτα ὁ βασιλεὺς ἀκούσας κατέχειν τὴν διάνοιαν οὐκέτι ἠδύνατο, ἀλλὰ τήν τε στρατιὰν καὶ τὰς ναῦς ἐξώπλιζεν, ὅπλα τε καὶ σιτία ἡτοίμαζεν. καὶ Βελισάριον ἐμπαράσκευον
Proc. I, 357 ἐκέλευσεν εἶναι ὡς ἐν Λιβύῃ στρατηγήσοντα. ‖ Πουδέντιος δὲ εὐθὺς

---

2 Ἠλδερίχου h. — ἐν τῇ φυλακῇ x. — 3 Μαλαφρίδι h Μαλαφρίδη g. — 4 Εὐάγετην f. — 6 πρὸς τὸν βασιλέα d. — 7 προσῆκεν yz. — Ἠλδερίχου hy. — αὐτήν f. — 9 τὴν om. x. — 10 Ἠλδέριχον (-χος f) hy. — Εὐαγέει gy. — 11 ἀπέθετο καὶ ἀπέκλεισεν x. — ἐπέκλησεν f. — 12 μεταπεμψάμενος] προσκαλεσάμενος x. — 15 Οὐανδήλων z Οὐανδηλῶν xy. — στρατεύσαντος c. — σὺν τῷ Βασιλίσκῳ om. x. — 17 δὲ καὶ τοῦ x. — 18 ὁ βασιλεὺς ante ταύτης collocat x. — τῆς om. cm. — στρατιᾶς g στρατιας sine acc. c. — ἐκλέξαιτο d. — 22 ὁδοῦ ἡμερῶν h. — ὁδύν d ὁμοῦ f. — ἔχοντι y ἔχων h. — 26 κελεύων z. — 28 ἐκ om. h. — κἀγὼ ἀποσυλλήψομαι cm κἀγὼ αὐτῷ συλλ. f sed υτῷ in lit. sec. m. — 30 στρατιάν g στρατίαν y στρατείαν dh στρατιαν sine acc. c. — 31 σιτεία y σιτεῖα z. — 32 στρατηγήσαντα cmz in f στρατηγήσοντα sec. m. corr. vid. ex στρατηγήσαντα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τυραννήσας Τρίπολιν ἐκράτησε καὶ τῷ Ἰουστινιανῷ ἔγραψε πέμψαι στρατὸν καὶ ταύτην παραλαβεῖν. ὁμοίως καὶ Γόδδας ὁ Γότθος τυραννήσας κατὰ τοῦ ἰδίου δεσπότου Γελίμερος Σαρδανίαν τὴν νῆσον ἐκράτησε καὶ πρὸς Ἰουστινιανὸν ἔγραψεν, ὅπως πέμψῃ στρατὸν καὶ στρατηγὸν καὶ παραλάβῃ τὴν νῆσον· ὃς καὶ ἀπέστειλε Κύριλλον μετὰ τετρακοσίων ἀνδρῶν πρὸς βοήθειαν αὐτοῦ. ὁ δὲ Γελίμερ ἀποστείλας τὸν ἀδελφὸν αὐτοῦ μετὰ στόλου πολλοῦ καὶ ἐπιλογῆς καὶ τοῦ στρα- 292 B
τοῦ τῶν Οὐανδήλων, ταύτην παρέλαβε καὶ τὸν Γόδδαν ἀνεῖλεν. Βελισάριος δὲ παρέλαβε τὴν στρατιὰν καὶ τὸν στόλον καὶ τοὺς ἄρχοντας, Σολόμωνά τε τὸν στρατηγὸν καὶ Ἀωρόθεον, τὸν τῆς Ἀρμενίας, καὶ Κυπριανὸν καὶ Βαλεριανὸν καὶ Μαρτῖνον καὶ Ἀλφίαν καὶ Ἰωάννην καὶ Μάρκελλον καὶ Κύριλλον, οὗ πρόσθεν ἐμνήσθην, καὶ ἑτέρους πολλοὺς τῶν Θράκην οἰκούντων. εἵποντο δὲ αὐτοῖς Ἐλοῦροι, ὧν Φάρας ἦρχεν, χίλιοι, καὶ Μασσαγέται ἱπποτοξόται, ὧν ἡγοῦντο Σισίννιός τε καὶ Βάλας. ναῦς δὲ ὑπῆρχον φ' ἀνὰ μυριάδας πέντε μεδίμνων χωροῦσαι. ναῦται δὲ τρισμύριοι Αἰγύπτιοί τε καὶ Ἴωνες καὶ Κίλικες. ἀρχηγὸς δὲ εἷς ἐπὶ ταῖς ναυσὶ Καλώνυμος Ἀλεξανδρεύς. ἦσαν δὲ καὶ δρόμωνες διὰ ναυμαχίαν ἐνενήκοντα. στρατηγὸν δὲ αὐτοκράτορα ἐφ' ἅπασι Βελισάριον ὁ βασιλεὺς ἔστησεν. ὥρμητο δὲ ὁ Βελισάριος ἐκ Γερμανίας, ἣ Θρᾳκῶν τε καὶ Ἰλλυριῶν μεταξὺ κεῖται. συνεπεφέρετο δὲ μετ' αὐτοῦ καὶ Ἀντωνῖναν, τὴν ἑαυτοῦ γαμετήν.
ὁ δὲ Γελίμερ τὸν ἑαυτοῦ ἀδελφὸν Τζάτζωνα σὺν ρκ' ναυσὶ καὶ Proc. I, 361
στρατὸν ἐκλελεγμένον ἐν Σάρδῳ τῇ νήσῳ κατὰ Γόδδα ἀπέστειλεν.
ἕβδομον δὲ ἦν ἔτος Ἰουστινιανοῦ ὅτε ὁ Βελισάριος ἐν τῇ νήσῳ Proc. I, 362
ἐστάλη. συνῆν δὲ αὐτῷ καὶ Προκόπιος ὁ συγγραφεύς. ἀπάραντες 293 B
δὲ τῆς βασιλίδος πόλεως ἦλθον ἐν Ἀβύδῳ. Βελισάριος δὲ ἐφρόντιξεν, ὅπως ὁ σύμπας στόλος ἅμα πλέοι καὶ εἰς χωρίον τὸ αὐτὸ προσορμίζοιτο. ‖ καταλαβὼν δὲ τὴν Σικελίαν ἀπέστειλε Προκόπιον Proc. I, 370

---

1 *Τρίπολιν τυραννήσας* x. — 2 *Γόδδας* x *Γόγδας* efz *Γότθας* m *Γώδας* Proc. — 3 *Σαρδηνίαν* z. — 4 *καὶ στρατηγὸν om.* x. — 6 *τετρακοσίων* x Proc. *τριακοσίων* yz. — 7 *τοῦ om.* g. — *τοῦ στρατοῦ τοῦ τῶν Οὐανδ.* h. — 8 *Οὐανδήλων* z *Οὐανδηλῶν rell.* — *Γογδάν* z. — 9 *στρατίαν* d *στρατιαν sine acc.* e *στρατείαν* y *στρατεῖαν* z. — 11 *Βαλλεριανόν* g. — *Ἀλθίαν* Proc. — 13 *πολλοὺς τοὺς τὴν Θράκην οἰκοῦντας* z. — *αὐτῷ* x. — *Αἴλουροι* d *Αιλουροι sine acc. et spir.* e *Ἐλοῦροι* eg *Ελοῦροι sine spir.* f *Ἔρουλοι* Proc. — 14 *Φαράς* x *Φαρᾶς* f *sine acc.* e. — *Μασαγέται* hy *Μασταγέται* c. — *ὑπποτοξόται* e *ὑποτοξόται* fm. — 15 *Σισίνιος* z *Σιννίων* Proc. — *Βαλᾶς* cem *Βαλᾶς* fz. — *μυριάδων* z *μυριάδας sed ας sec. m. in lit.* f. — 16 *δισμύριοι* Proc. — 17 *Καλόνυμος* cm *καλούμενος* fh. — 18 *δρόμονες* dhy. — *ἐνενήκοντα δύο* Proc. — 19 *μονοκράτορα* z. — *Βελισ. αὐτοκρ. ἐφ' ἅπασιν* x. — *ἐφ' ἅπασαν* em. — *ἐποίησε* c *sec. m. in loco vocabuli evanidi.* — 20 *Γερμανικίας* d. — *Ἰλλυρίων codd.* — 21 *Ἀντωνῖναν* dh *Ἀντωνίναν rell.* — *γυναῖκα* c Proc. — 22 *τὴν ἑαυτοῦ ἀδελφήν* c. — *Τζάτζονα* z. — 22 *Σαρδῷ* z. — *Γώδδα* h *Γόγδα* dfg. — 24 *ἔτος ἦν* c. — *ὁ om.* hx. — 26 *δὲ ἀπὸ τῆς* d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν συγγραφέα εἰς τὴν Συράκουσαν, εἴπως εὕροι τινὰς ὁδηγήσοντας αὐτὸν εἰς Λιβύην ἐκ τοῦ αἰφνιδίου προσορμίσασθαι τῇ γῇ καὶ τὸν
162 P λαὸν ἐξαγαγεῖν δεδιότα τὴν ναυμαχίαν. αὐτὸς δὲ τὸν στόλον ἀράμενος εἰς Καύκανα τὸ χωρίον προσώρμισεν, διακοσίοις σταδίοις τῆς Συρακούσης ἀπέχον. Προκόπιος δὲ ἐν Συρακούσῃ εἰσελθὼν τροφάς τε ὠνήσατο παρὰ Ἀμαλασούνθας, τῆς γυναικὸς Θευδερίχου, μητρὸς δὲ Ἀταλαρίχου, βασιλέως Ἰταλίας, φιλίαν πρὸς Ἰουστινιανὸν ἐχόντων· ἐπέτυχέ τε παραδόξως καὶ ἀνδρός, φίλου μὲν αὐτῷ ὑπάρχοντος ἐκ παιδός, πεπειραμένου δὲ τῶν τῆς Λιβύης τόπων καὶ τῆς θαλάσσης, τρίτην * ἔχοντος ἡμέραν ἐκ Καρχηδόνος ἀφικομένου. καὶ διεβεβαιοῦτο πᾶσαν ἀμεριμνίαν ἔχειν αὐτοὺς καὶ μὴ ὑποπτεύειν τινὰ κατ' αὐτῶν στρατεύεσθαι, ὥστε ἀπὸ τεσσάρων μονῶν τῆς θαλάσσης τὸν Γελίμερα αὐλίζεσθαι. τοῦτον οὖν λαβὼν Προκόπιος εἰς Καύκανα
Proc. I, 372 294 B πρὸς Βελισάριον ἀπήγαγεν. ‖ ταῦτα μαθὼν Βελισάριος τῇ τῆς Λιβύης ἀκτῇ τριταῖος προσώρμισεν εἰς χωρίον, ὃ Κεφαλὴν Βράχους καλοῦ-
Proc. I, 377 σιν. ‖ ἀποβάντες δὲ τῶν νηῶν χάρακά τε καὶ τάφρον βαθεῖαν ποιήσαντες ἐστρατοπεδεύσαντο ἐν ἡμέρᾳ μιᾷ, ἔνθα καὶ ὕδατος πολύ τι χάσμα τῆς τάφρου ὀρυττομένης ἡ γῆ ἀνῆκεν, τοῦ τόπου ἀνύδρου ὄντος, καὶ εἰς πᾶσαν χρείαν τοῖς τε ζώοις καὶ τῷ στρατῷ γέγονεν. ‖
Proc. I, 378 τῇ δὲ ἐπιούσῃ ὁ λαὸς πρὸς παῖδαν ἐχώρει. ὁ δὲ στρατηγὸς τούτους ἠκίσατο λέγων πρὸς αὐτοὺς τάδε· "τὸ μὲν βιάζεσθαι καὶ τοῖς ἀλλοτρίοις σιτίζεσθαι ἄδικόν ἐστιν ἐν παντὶ καιρῷ, καὶ μάλιστα ἐν τοῖς κινδύνοις. ἐγὼ γὰρ ἐκείνῳ μόνον τὸ θαρρεῖν ἔχων εἰς τὴν γῆν ταύτην ὑμᾶς ἀπεβίβασα, ὅπως τῇ δικαιοσύνῃ καὶ ἀγαθοεργίᾳ τόν τε θεὸν θεραπεύσωμεν καὶ τοὺς Λίβυας πρὸς ἡμᾶς ἐπισπασώμεθα. αὕτη δὲ ὑμῶν ἡ ἀκράτεια εἰς τοὐναντίον ἡμῖν μεταβήσεται, καὶ τοὺς Λίβυας συμμαχεῖν τοῖς Οὐανδήλοις παρασκευάσει. ἀλλὰ πειθόμενοι τῷ ἐμῷ λόγῳ, ὠνούμενοι τὰς τροφὰς κομίζεσθε, καὶ μήτε ἄδικοι δόξητε εἶναι, μήτε τὴν φιλίαν τῶν Λιβύων εἰς ἔχθραν μεταβάλητε.

---

1 *τὴν* om. z. — *Συρακοῦσαν* g. — *ὁδηγήσαντας* y. — 2 *εἰς*] *ἐπί* d. — *προσορμήσασθαι* y. — 3 *ναυμαχίαν* m *manu corr.* Proc. *συμμαχίαν codd.* — 4 *Καύκονα* d *Καύχανα* z. — *προσώρμησεν* chy. — 5 *Συρακούσας* em. — 6 *τε* om. h. — *παρὰ Ἀμαλασούνθης τῆς γυναικὸς* z *παρὰ Ἀμαλασούνθα τῇ γυναικί* xy. — 8 *τε*] *δέ* x. — *παραδόξου* yz. — 9 *πεπ. δὲ* (*δὲ* om. c) *τῶν τε τῆς Λ. τόπων* x. *πεπ. δὲ τὸν τῆς Λ. τόπον* egm. — 10 *οἰκέτην τε ἔχοντος τρίτην ἡμ. ἐκ Κ. ἀφικόμενον? coll* Proc. — 12 *τῆς θαλάσσης* om. x. — 13 *οὖν* om. h. — *Καύχανα* z. — *Καύκ. τὸ χωρίον* d. — 14 *ταῦτα μ.* y *καὶ ταῦτα μ.* z *ταῦτα δὲ μαθών* x. — 15 *τριταῖος* d. — *προσώρμησεν* hxy. — 18 *ὀρυττόμενον* yz. — 21 *τοὺς ἀλλοτρίους* f. — 23 *ἐκεῖνο* dh *ἐκείνου* f. — *μόνον* om. yΛ *μόνῳ* Proc. — 24 *ταῦτα* y. — *ἐπεβίβασα* d. — *ἀγαθοεργείᾳ* y. — 25 *Λιβύας* ehm *Λιβύης* g. — 26 *αὐτή* d *ταύτη* y. — *ἀκράτια* g *ἀκραστεία* em *ἀκρατία* d *ἀκρασία* f *sed ί in lit.* — *ἡμῖν* z Proc. *ὑμῖν* xyΛ. — 27 *Λιβύας* ehm *Λιβίοις* g. — *Οὐανδήλοις* g *Οὐανδηλοῖς rell.* — 29 *μεταβάλλητε* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τὸν θεὸν ἀναπαύσητε. παύσασθε τοῖς ἀλλοτρίοις ἐπιπηδῶντες, καὶ κέρδος ἀποσείσασθε κινδύνων μεστόν." ἀποστείλας τε Βελισάριος ἐπὶ Σύλλεκτον τὴν πόλιν στρατὸν ταύτην ἀπονητὶ παρέλαβεν. 295 B
ἐν νυκτὶ γὰρ πρὸς αὐτὴν ἀφικόμενοι, σὺν ταῖς εἰσιούσαις ἁμάξαις τῶν ἀγροίκων εἰσελθόντες ταύτην ἔσχον. καὶ ἐπειδὴ ἡμέρα ἐγένετο, τόν τε ἱερέα καὶ τοὺς ταύτης πρώτους λαβόντες πρὸς τὸν στρατηγὸν ἔπεμψαν. ‖ τῇ δὲ αὐτῇ ἡμέρᾳ καὶ ὁ τοῦ δημοσίου δρόμου ἐπιμελούμενος ἠτομόλησε παραδοὺς τοὺς δημοσίους ἵππους. συνελήφθη δὲ καὶ ὁ τὰς βασιλικὰς ἀποκρίσεις ποιῶν βεριδάριος. ‖ Βελισάριος δὲ διακοσμήσας τὸ στράτευμα ἐπὶ Καρχηδόνα ἐβάδιζεν. Ἰωάννῃ δὲ τῷ Ἀρμενίῳ τριακοσίους ἐπιλέκτους παραδοὺς παρήγγειλε παρακολουθεῖν τε ἀεὶ καὶ τοῦ στρατεύματος μὴ πολὺ διεστάναι. εἰς δὲ Σύλλεκτον τὴν πόλιν ἀφικόμενος ἀγαθότητι καὶ γλυκολογίᾳ τούτους ἀνεκτήσατο, ὥστε τοὺς λοιποὺς καθάπερ ἐν χώρᾳ οἰκείᾳ τὴν πορείαν ποιήσασθαι, οὔτε ὑποχωρούντων, οὔτε κρυπτομένων, ἀλλὰ καὶ ἀγορὰν παρεχομένων καὶ τὰ ἄλλα τοῖς στρατιώταις ὑπηρετούντων. ὀγδοήκοντα δὲ σταδίους ἀνύοντες ἡμέραν ἑκάστην ἄχρι Καρχηδόνος διετέλεσαν. οὕτως δὲ διὰ τῆς Λεπτῆς πόλεως καὶ Ἀδραμούτου εἰς Χράσιν τὸ χωρίον ἀφίκοντο, ὀκτὼ καὶ τριακοσίους σταδίους Καρχηδόνος ἀπέχον, ἔνθα ἦν καὶ βασίλεια τῶν Οὐανδήλων καὶ παράδεισοι κάλλιστοι καὶ κρῆναι διειδέσταται ‖ καὶ ὀπωρῶν παντοδαπῶν πλῆθος ἄπειρον· ὥστε τῶν στρατιωτῶν ἕκαστος τὴν καλύβην ἐν δένδροις ὀπώρας ἐπήξατο, καὶ τῶν καρπῶν ὡραίων ὄντων καὶ πάντων ἀπολαυόντων, αἴσθησις οὐ γέγονε ἐλαττουμένης ταύτης. ὁ δὲ Γελίμερ ἀκούσας παρεῖναι τοὺς Ῥωμαίους γράφει εἰς Καρχηδόνα πρὸς τὸν ἀδελφὸν Ἀματᾶν, Ἰλδέριχον μὲν καὶ ἄλλους ὅσους ἔχει συγγενεῖς αὐτοῦ ἐν φυλακῇ ἀποκτεῖναι, αὐτὸν δὲ καὶ τοὺς Οὐανδήλους καὶ εἴ τι ἄλλο μάχιμον ἐν τῇ πόλει ἦν, ἐξοπλίσαι πρὸς πόλεμον. ὁ δὲ Ἀματᾶς τὰ κελευσθέντα αὐτῷ ἐποίησεν. ‖ Βελισάριος δὲ Ἀρχελάῳ τῷ ὑπάρχῳ καὶ Καλωνύμῳ τῷ ναυάρχῳ ἐπέστελλε πλησιάσαι τῇ

Proc. I, 380
Proc. I, 381
103 P
296 B
Proc. I, 383
Proc. I, 384

1 ἀναπαύσητε xy Θεραπεύσητε z. — παύσατε x. — 2 μεστῶν g. — τε] δέ d. — 3 Σύλλεκτον g Proc. Σύλεκτον f Συλέκτον em Συλεκτόν x. — 6 ταύτῃ y. — 10 Καλχηδόνα e Χαλκηδόνα f. — 12 Σύλεκτον ehm Συλεκτόν x. — 14 ἀνεκτίσατο cehm. — ὥσπερ f. — 15 ποιεῖσθαι d *in lit. pr. m.* ποιούντων cz. — 17 ἡμ. καθ' ἑκάστην f. — Καλχηδόνος y. — ἐτέλεσαν m. — 18 δέ] τε f. — Λεπτῆς σόλεως h Λεπτησσόλεως x Λεπτῆς σολέως y Λέπτης πόλεως Proc. — Ἀδραμοῦ τοῦ y Ἀδραμητοῦ Proc. — 19 Χρᾶσιν h Χράσην g Γράσσην Proc. — 20 βασιλεία h ἡ βασιλεῖα g. — Οὐανδήλων z Οὐανδηλῶν xy. — 21 διηδέσταται z διειδέστατοι dy. — 22 ἕκαστον c ἕκαστος *sed* s *in lit.* d. — 23 καὶ πάντων ἀπολαυόντων *om.* h. — ἀπολαβόντων f. — 26 Ἄματαν, (*sine acc.* c) Ἰλδέριχον cfg Ἄματα Νιλδερίχου em αὐτοῦ Ἠλδέριχον h. — 26. 27 ὅσους εἰς φυλακὴν ἔχει συγγ. αὐτοῦ ἀποκτ. yz. — 27 καὶ *prius om.* z. — Οὐανδήλους emz Οὐανδηλούς fx. — 28 ἄλλον em. — 29 Ἀματᾶς c ἅμα yz Ἀμμάτας Proc. — 30 Καλονύμῳ h. — ναυάρχῃ d. — ἐπέστελε dh ἀπέστειλεν gm.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καρχηδόνι καὶ μὴ εἰσβαλεῖν πρὸς αὐτήν, ἄχρις ἂν αὐτοὺς κελεύσῃ. αὐτὸς δὲ εἰς Δέκιμον ἀφίκετο ἀπέχον Καρχηδόνος σταδίους ἑβδομήκοντα. ὁ δὲ Γελίμερ τὸν ἀνεψιὸν Κιβαμοῦνδον ἐκέλευσεν ἅμα δισχιλίων κατὰ τὸ εὐώνυμον μέρος ἰέναι, ὅπως Ἀματᾶς μὲν ἐκ Καρχηδόνος, Γελίμερ δὲ ὄπισθεν, Κιβαμοῦνδος δὲ ἐκ τῶν ἀριστερὰ χωρίων εἰς ταὐτὸ τὴν κύκλωσιν τῶν πολεμίων ποιήσωνται. Βελισάριος δὲ τὸν μὲν Ἰωάννην, ὡς προέφην, προάγειν ἐκέλευσεν, ‖ Μασσαγέτας δὲ ἐν ἀριστερᾷ τῆς στρατιᾶς ἰέναι. Ἀματᾶς δὲ οὐκ ἐν δέοντι ἀφίκετο χρόνῳ, ἀλλὰ καὶ τὸ πλῆθος τῶν Οὐανδήλων ἐν Καρχηδόνι ἀπέλιπεν, καὶ ὡς τάχιστα εἰς τὸ Δέκιμον ἀφίκετο σὺν ὀλίγοις, καὶ οὐδ' αὐτοῖς συνειλεγμένοις. συναντήσας δὲ τῷ Ἰωάννῃ εἰς χεῖρας ἦλθεν, καὶ κτείνεται ὑπὸ Ἰωάννου, καὶ τρέπονται οἱ σὺν αὐτῷ φεύγοντες ἀκρατῶς, καὶ ἀνεσόβουν πάντας τοὺς ἐκ Καρχηδόνος εἰς Δέκιμον ἰόντας, οἰόμενοι τοὺς διώκοντας παμπληθεῖς εἶναι. Ἰωάννης δὲ καὶ οἱ σὺν αὐτῷ οὓς * ἔσφαζον ἕως τῶν πυλῶν Καρχηδόνος τοσούτους, ὥστε εἰκάζειν τοὺς ὁρῶντας δισμυρίων πολεμίων τὸ ἔργον εἶναι. ‖ Κιβαμοῦνδος δὲ καὶ οἱ σὺν αὐτῷ δισχίλιοι περιπεπτωκότες ἐν τῇ ἀλκῇ τοῖς Οὔννοις ἀπώλοντο πάντες. ‖ Βελισάριος δὲ εἰς Δέκιμον ὢν οὐδὲν τούτων ἔμαθεν, ἀλλὰ χαράκωμα περιβαλὼν ἐφωσάτευσεν, ‖ καταλιπὼν αὐτόθι τὴν γυναῖκα αὐτοῦ καὶ τοὺς πεζούς. αὐτὸς δὲ λαβὼν τοὺς ἱππεῖς καὶ τοὺς ἡγεμόνας ἐπὶ Καρχηδόνα ἐχώρει. εὑρὼν δὲ τοὺς πεπτωκότας νεκροὺς τόν τε Ἀματᾶν καὶ τοὺς Οὐανδήλους καὶ μαθὼν τὰ γεγονότα, ‖ εἰς λόφον τινὰ ἀνελθὼν ὁρᾷ κονιορτὸν ἐκ μεσημβρίας, καὶ Οὐανδήλων ἱππέων πλῆθος πολύ, ἡγουμένου αὐτοῖς Γελίμερος, μὴ γνώσαντος μήτε τὸ Κιβαμούνδου πάθος μήτε τὸ τοῦ Ἀματᾶ. ἐπεὶ δὲ ἐγγὺς ἀλλήλων γεγόνασιν, προτερήσαντες Οὐανδῆλοι τὸν λόφον καταλαμβάνουσι καὶ φοβεροὶ τοῖς ἐναντίοις ἐδείχθησαν. οἱ δὲ Ῥωμαῖοι τραπέντες εἰς χωρίον ἀφικνοῦν-

Proc. I, 385 — 164 P — Proc. I, 386 — Proc. I, 387 — Proc. I, 388 — Proc. I, 389 — 298 B

---

1 κελεύσει fz. — 2 Δεκίμον h. — ἀπέχοντα codd. — 3 Γιβαμοῦνδον Proc. — 4 Ἅματας e ἅμα τὰς cfmz ἅμα οὗτος d. — 5 Γεμοῦνδος y ἔνιοι d. — ἀριστερᾷ fd ἐπ' ἀριστερά Proc. — 6 εἰς αὐτά em εἰς αὐτῷ f. — ποιήσωνται c ποιήσονται dz ποιήσαντες em ποιήσαιντο f *sec. m. in lit.* — 7 Μασαγέτας hy. — 8 στρατίας dem στρατιας *sine acc.* e στρατείας g. — Ἀματάς dg Ἅματας em Ἅματας h Ἀματας *sine acc.* c. — 9 Οὐανδήλων z Οὐανδηλῶν dy *sine acc.* c. — 10 ἀπέλειπεν fh. — Δεκίμον h *item v.* 14. 18. — 11 αὐτούς g. — συννηλεγμένοις x συννηλειγμένοις h συνειλελεγμένοις y συννηλεγμένους g. — 13 ἐν Καρχηδόνος y ἐν Καρχηδόνι z. — 14 παννπληθεῖς y. — 15 οὕς *uncis inclus.* Classen. *Equidem e* Proc. *scrib. suspicor* οἷς ἐνέτυχον. — 17 Κιμοῦνδος h Βαμοῦνδος f. — 18 Οὔννοις dmz. — 19 ἐφωσάτευσεν g ἐφοσάτευσεν *vell.* — 22 τόν τε] τότε h. — Ἅματαν deh Ἀματὰν cf Ἅμαντα g Ἅμαντα m. — 23 Οὐανδήλους emz Οὐανδηλοὺς x Ἀνδηλούς f. — ἐλθών h. — 24 Οὐανδήλων z Οὐανδηλῶν xy. — 25 ἡγούμενος g. — γνόντος x. — Γιβαμούνδου g Γηβαμούνδου hy. — 26 τὸ *om.* h. — Ἀματά x Ἅματα z Ἅματα em. — ἐπειδὴ ἐγγὺς c. — 27 Οὐανδῆλοι z Οὐανδηλοί xy. — φοβεροῖς c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται σταδίους ἑπτὰ τοῦ Δεκίμου ἀπέχον. ‖ θεὸς δὲ παραδόξως τού- Proc. I, 390
τους ἀλλοιώσας εἰς δειλίαν κατέστησεν. εἰ γὰρ τὴν δίωξιν εὐθὺς
ἐποιήσαντο, ἄρδην ἂν ἅπαντας σὺν Βελισαρίῳ διέφθειραν, (τοσοῦτον
ἦν πλῆθος τῶν Οὐανδήλων) καὶ τὸν Ἰωάννην ὑποστρέφοντα ἐκ
Καρχηδόνος καὶ σκυλεύοντα τοὺς τεθνεῶτας ἀπονητὶ κρατῆσαι ἤμελλον.
κατιὼν δὲ ἐκ τοῦ λόφου Γελίμερ καὶ εὑρὼν τὸν ἀδελφὸν νεκρὸν εἵς
τε ὀλοφύρσεις ἐτράπη καὶ τῆς νίκης τὴν ἀκμὴν ἤμβλυνεν. ‖ Βελισά- Proc. I, 391
ριος δὲ τούς τε φεύγοντας στῆναι κελεύσας καὶ κοσμίως τὰ πάντα
διατάξας καὶ ὀνειδίσας τῆς δειλίας καὶ τὴν τελευτὴν τῶν ἐναντίων
ἅμα τε καὶ Ἰωάννου νίκην μαθών, ὁρμῷ καὶ ἀνδρείᾳ ἐπὶ Γελίμερα
χωρεῖ. οἱ δὲ βάρβαροι ἀπαρασκεύαστοι εὑρεθέντες εἰς φυγὴν ἐτρά-
πησαν κραταιὰν καὶ πολλοὺς ἀποβαλόντες ἐπὶ Νουμιδίαν ἐχώρουν
καταλιπόντες Καρχηδόνα. νυκτὸς δὲ καταλαβούσης, ὅ τε Βελισάριος
καὶ Ἰωάννης καὶ οἱ Μασσαγέται εἰς Δέκιμον ἀφικόμενοι, ἅπαντα
τὰ συμβεβηκότα μαθόντες ἔχαιρον· τῇ δὲ ἐπαύριον ἅμα τοῖς πεζοῖς 299 B
καὶ τῇ Βελισαρίου γυναικὶ ἅπαντες ἐπὶ Καρχηδόνα ἐπορεύοντο. οἱ
δὲ Καρχηδόνιοι τὰς πύλας ἀναπετάσαντες καὶ λύχνα ἅψαντες παν-
δημεὶ πρὸς ὑπάντησιν Βελισαρίου ἐξῆεσαν. οἱ δὲ ἐν αὐτῇ Οὐανδῆλοι
ἐν τοῖς ἱεροῖς προσέφυγον. ‖ καταλαβόντος δὲ καὶ τοῦ στόλου τὴν Proc. I, 392
ἅλυσιν ἅραντες ἐν τῷ λιμένι τούτους ἐδέξαντο. ‖ καὶ ὁ μὲν πλεῖστος Proc. I, 393
στόλος τὴν ἐντολὴν Βελισαρίου φυλάξαντες οὐκ εἰσῆλθον ἐν τῷ
λιμένι, ἀλλ' ἔξω προσώρμισαν. Καλώνυμος δὲ τὴν παρακοὴν ἐν- 165 P
δυσάμενος εἰσῆλθε καὶ τὰ πλοῖα ληϊσάμενος πολλὰ χρήματα ἀφ-
ήρπαξεν, καὶ ἐν τοῖς ἐργαστηρίοις καὶ οἴκοις τοῖς πλησίον τοῦ λιμένος
εἰσῆλθε καὶ πολλοὺς ᾐχμαλώτευσεν. ‖ ἀπονητὶ δὲ Βελισάριος τῆς Proc. I, 394
Καρχηδόνος κρατήσας παρῄνει τοῖς στρατιώταις λέγων· "ὁρᾶτε, ἡλίκα
εὐτυχήματα γεγόνασιν ἡμῖν, ἐπειδὴ σωφροσύνην εἰς τοὺς Λίβυας
ἐπεδειξάμεθα. βλέπετε, τὴν εὐκοσμίαν ἐν Καρχηδόνι διασώσασθε,
καὶ μήτις ἀδικήσῃ τινά, ἢ ἁφαρπάσῃ τι αὐτοῦ. πολλὰ γὰρ κακὰ
παθόντες ὑπὸ Οὐανδήλων ἀνδρῶν βαρβάρων, βασιλεὺς ὁ ἡμέτερος
βοηθῆσαι τούτοις ἡμᾶς ἀπέστειλε καὶ τὴν ἐλευθερίαν χαρίσασθαι."

---

1 ἑπτά] ξ' d. — τούτοις e. — 3 ἄρδην ἂν πάντας e ἄρδην ἅπαντας fmz. — 3 τοσοῦτον — 4 Οὐανδήλων om. d. — 4 Οὐανδήλων z Οὐανδηλῶν rell. — καὶ τὸν Ἰ. δέ d. — 7 ἀγμήν y. — 9 καὶ ὀνειδίσας τῆς δειλίας om. x. — καὶ posterius et τελευτὴν om. em. — 10 ὁρόμῳ τε καὶ h. — 12 ἐπὶ Νουμιδίαν scr. e Proc. ἐπὶ Μηδείαν (Μηδεῖαν fh Μήδειαν g sine acc. c) codd. In c spatium vacuum ante Μηδειαν relictum. — 14 Μασαγέται hy. — Δεκίμον h. — τῶν πεζῶν codd. — 16 πάντες y. — 18 πρὸς Βελισάριον εἰς ὑπάντησιν h. — ἐξίεσαν yz. — ἐν αὐταῖς x. — Οὐανδῆλοι z Οὐανδηλοί rell. — 19 δὲ τοῦ στόλου καί d. — 21 φυλάξαντες Βελισ. d. — 22 προσώρμησαν xy. — 23 τὰ om. em. — 24 ἐν om. g. — 27 Λιβύας ehm. — 28 διασώσασθαι y. — 29 ἀδικήσει hy. — ἁφαρπάσει fh. — τι αὐτῶν d αὐτοῦ τι c. — 30 παθόντας z. — Οὐανδήλων dz Οὐανδηλῶν cem Ἀνδηλῶν f. — 31 τούτους z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

300 B ταῦτα παραινῶν εἰς Καρχηδόνα εἰσῆλθεν. καὶ ἀναβὰς εἰς τὸ παλάτιον ἐν τῷ Γελίμερος θρόνῳ ἐκάθισεν. τούτῳ προσῆλθον οἵ τε ἔμποροι Καρχηδόνος καὶ ὅσοι πλησίον τῆς θαλάσσης ἔμενον, ὀλοφυρόμενοι ἁρπαγὴν πεπονθέναι ὑπὸ τοῦ στόλου. ὁ δὲ Βελισάριος Καλώνυμον τὸν ναύαρχον ὥρκισεν, ὅπως ἅπαντα τὰ διαρπαγέντα
Proc. I, 395 ἐνέγκῃ καὶ ἀποδώσῃ τοῖς οἰκείοις δεσπόταις. ‖ ὁ δὲ σφετερισάμενος ἐξ αὐτῶν καὶ ἐπιορκήσας οὐ μετὰ πολὺ τὴν δίκην ἔτισεν. ἔξω γὰρ φρενῶν γενόμενος, τὴν ἑαυτοῦ γλῶσσαν φαγὼν ἀπέθανεν. Βελισά-
Proc. I, 396 ριος δὲ τὸν λαὸν εἱστία βασιλικῶς, ‖ καὶ ἡ τοῦ Γελίμερος θεραπεία παρετίθει τε καὶ ᾠνοχόει καὶ τὰ ἄλλα πάντα ὑπούργει. οὕτω δὲ ὁ στρατηγὸς ἀθορύβως τὴν πόλιν ἔσχεν, ὥστε οὐδὲ ὕβριν τινὰ ἐπήγαγεν ἀνθρώπῳ, οὐδὲ ἐπὶ τῆς ἀγορᾶς τινας συνέβη τὴν οἰκίαν ἀσφαλίσαι· ἀλλ' ἀγοράζοντες οἱ στρατιῶται ἤσθιον καὶ εὐφραίνοντο. τοὺς δὲ εἰς τὰ ἱερὰ καταφυγόντας Οὐανδήλους πιστὰ δοὺς ἐξήγαγεν. τῶν δὲ τειχῶν τῆς πόλεως ἐπεμελεῖτο ἠμελημένων πρότερον ὄντων. ‖
Proc. I, 397 ἔλεγον δὲ καὶ παλαιὸν λόγον ἐν Καρχηδόνι εἰρῆσθαι, ὡς τὸ γάμμα διώξει τὸ βῆτα, ⟨καὶ πάλιν τὸ βῆτα διώξει τὸ γάμμα·⟩ νυνὶ δὲ
301 B τετέλεσται. πρότερον γὰρ Γιζέριχος Βονιφάτιον ἐξεδίωξεν, νῦν δὲ
Proc. I, 401 Βελισάριος Γελίμερα. ‖ Γελίμερ δὲ χρήματα πολλὰ τοῖς γεωργοῖς Λιβύων προιέμενος πρὸς ἑαυτὸν ὑπηγάγετο καὶ ἐκέλευσεν αὐτοὺς Ῥωμαίων τοὺς εἰς τὰ χωρία περιόντας κτείνειν. τοῦτο δὲ ποιησάντων τῶν γεωργῶν, μαθὼν ὁ Βελισάριος ἀποστέλλει Διογένην, ἕνα τῶν αὐτοῦ δορυφόρων, αἰκίσασθαι τοὺς γεωργούς. ὁ δὲ Διογένης ἅμα τοῖς σὺν αὐτῷ εἰς οἰκίαν εἰσελθὼν ἐκάθευδε μηδὲν πολέμιον
Proc. I, 402 166 P ἐννοούμενος· ‖ τοῦτο μαθὼν Γελίμερ τριακοσίους ἐπιλεξάμενος ἀποστέλλει κατ' αὐτοῦ. ἐλθόντες δὲ περιεκύκλωσαν τὴν οἰκίαν δεδιότες εἰσελθεῖν τὴν νύκτα. οἱ δὲ Ῥωμαῖοι αἰσθόμενοι, ἀναστάντες καὶ ὁπλισάμενοι τοῖς ἵπποις τε ἐπιβάντες, εἴκοσι τὸν ἀριθμὸν ὄντες ἀνοίγουσιν ἐξαπίνης τὰς θύρας καὶ ταῖς ἀσπίσι περιφραξάμενοi καὶ
Proc. I, 406 τοῖς δόρασιν ἀμυνόμενοι τοὺς ἐναντίους ἐτρέψαντο. ‖ Γελίμερ δὲ ἐν

---

1 ἐν τῷ παλατίῳ x. — 2 Λεγίμερος g. — 5 ναυάρχην d. — ὥρκησεν yz. — 6 ἐνέγκει hy. — ἀποδώσει efh ἀποδόσῃ m. — 7 ἐπιορκίσας hx. — 8 γενάμενος f. — γλῶτταν d. — 9 Γελίμερ g. — 10 παρετίθη τε καί d παρετίθετε καί em παρετίθετο καί g. — οἰνοχόει dhy. — 11 οὐδὲν ὕβριν em. — τινί d. — 12 οἰκείαν hx. — 13 σφαλίσαι g. — εἵσθιον egmx. — εὐφραίνοντο gx ηὐφραίνοντο by. — 14 καταφυγόντας x Proc. φυγόντας yz. — Οὐανδήλους mz Οὐανδηλούς *rell.* — 15 τειχέων z. — 16 Χαλκηδόνι y. — 17 *post* βῆτα h *addit* καὶ πάλιν τὸ βῆτα διώξει τὸ γάμμα. *nescio utrum coniectura assecutus an ex antiquo exemplari; eadem* Proc. *reliqui et* A *omittunt.* — 18 Γηζέριχος hx. — Βονηφάτιος y. — νῦν x Proc. *nunc* yz. — 20 προέμενος x. — 22 ὁ *om.* x. — Διογένη c. — 23 αἰτίσασθαι h αἰτήσασθαι gy. — 25 τοῦτον eh. — ὁ Γελίμερ g. — 27 νύκταν ehm. — 28 τοὺς ἵππους em ἵπποις (*om.* τοῖς) x. — τε] τω f. — εἴκοσι καὶ δύο Proc. — τῶν ἀριθμῶν eg τῶν ἀριθμόν m. — 29 ταῖς ἀσπίσι — 30 ἀμυνόμενοι *om.* f. — 30 ἔτρεψαν g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νουμιδίᾳ γενόμενος Οὐανδήλους πάντας συνήγαγε καὶ ὅσους προσ-
φιλεῖς εἶχε τῶν Μαυρουσίων καὶ πρὸς πόλεμον εὐτρεπίζετο. ‖ ἀπέστειλε Proc. I, 407
δὲ καὶ γράμματα ἐν Σαρδανίᾳ πρὸς Τζάτζωνα, τὸν ἴδιον ἀδελφόν,
τὰ συμβάντα αὐτῷ δηλοποιῶν· ‖ ὃς ἀπάρας εὐθὺς μετὰ παντὸς τοῦ Proc. I, 408
λαοῦ ἀπὸ Σαρδανίας εἰς τὴν Λιβύης ἀκτὴν τριταῖος κατέλαβε καὶ 302 B
εὗρε τὸν Γελίμερα. ‖ οἱ καὶ περιπλακέντες ἀλλήλων τῷ τραχήλῳ Proc. I, 409
οὐδὲν μέντοι εἰς ἀλλήλους ἐφθέγγοντο· ἀλλὰ τὼ χεῖρε σφίγγοντες
ἔκλαιον· ὁμοίως καὶ ὁ στρατὸς τὴν συμφορὰν ἀπωδύροντο. ‖ ὁ δὲ Proc. I, 412
Γελίμερ παραλαβὼν ἀμφοτέρους ἐπὶ Καρχηδόνα ἐχώρει καὶ ταύτην
πολιορκεῖν ἐπειρᾶτο, οἰόμενος τοὺς ἐν Καρχηδόνι προδιδόναι αὐτῷ
τὴν πόλιν, καὶ Ῥωμαίων στρατιωτῶν, οἷς ἡ τοῦ Ἀρείου δόξα ἤσκητο.
πέμψας δὲ καὶ εἰς τοὺς ἄρχοντας τῶν Οὔννων πολλὰ αὐτοῖς ἀγαθὰ
ὑπισχνεῖτο διδόναι, εἰ καταπροδώσουσιν αὐτῷ Ῥωμαίους. ‖ ταῦτα δὲ Proc. I, 413
Βελισάριος μαθὼν παρὰ τῶν αὐτομόλων καὶ Λαυρέντιόν τινα ἐν
Καρχηδόνι ὄντα προδότην εὑρὼν ἀνεσκολόπισεν ἐπὶ λύφου πρὸ τῆς
πόλεως, καὶ ἀπὸ τούτου εἰς δέος μέγα ἐνέπεσον οἱ προδοσίαν μελε-
τήσαντες, ὥστε τοὺς Μασσαγέτας ὁμολογῆσαι τὰ ὑπὸ Γελίμερος αὐτοῖς
δηλωθέντα. τοῦ δὲ Βελισαρίου πάντας λόγῳ πειθικῷ καὶ ὅρκοις
πρὸς φιλίαν αὐτοῦ μεταβαλόντος, ‖ αὐτὸς ἐκέλευσεν εὐθὺς Ἰωάννην Proc. I, 415
τὸν Ἀρμένιον παραλαβεῖν πάντας τοὺς ἱππεῖς πάρεξ πεντακοσίων
καὶ ἐξελθόντα πρὸς τοὺς Οὐανδήλους ἀκροβολίσασθαι. ‖ αὐτὸς δὲ τῇ Proc. I, 416
ὑστεραίᾳ ἅμα τῷ πεζῷ στρατῷ καὶ τοῖς πεντακοσίοις ἱππεῦσιν εἵ- 303 B
πετο. καταλαβὼν δὲ τοὺς Οὐανδήλους ἐν Τρικαμάρῳ στρατοπεδεύ-
σαντας, ἔμειναν τὴν νύκτα πλησίον ἀλλήλων. συνέβη δὲ τέρας
γενέσθαι ἐν τῷ Ῥωμαϊκῷ στρατῷ· τῶν γὰρ δοράτων τὰ ἄκρα πυρὶ
πολλῷ κατελάμπετο. τοῦτο θεασάμενοι κατεπλάγησαν· ‖ φραξάμενοι Proc. I, 421
δὲ ἅμα πρωῒ ἀμφότεροι πρὸς πόλεμον ὥρμησαν. Ἰωάννης δὲ τῶν
ἀμφ' αὐτὸν ὀλίγους ἀπολεξάμενος τόν τε ποταμὸν διέβη καὶ τοῖς
Οὐανδήλοις εἰσέβαλεν. ὁ δὲ Τζάτζων ὠθισμῷ χρησάμενος ἐδίωξεν

---

1 *Νουμηδίᾳ* ehm *Νουμηδείᾳ* fx. — *Οὐανδήλους* dg *Οὐανδηλούς rell.* — *προσφιλούς* em. — 2 *ηὐτρεπίζετο* y. — 3 *ἐν Σαρδανίᾳ om.* d. — *Σαρδανείᾳ* f *Σαρδηνίᾳ* z. — *Τζάτζονα* z *Τζόνα* y. — 5 *Σαρδανείας* f *Σαρδηνίας* g *Σαρδηνείας* h. — *Λιβύην* c. — *ἀκτί* y. — 6 *εὑρών* h. — *τοῖς τραχήλοις* d. — 8 *ὁ στρατηγός* f. — *ἀπεδύροντο* z. — 9 *χωρεῖ* g. — 11 *τὴν om.* y. — *καὶ τὸν Ῥωμαίων στρατόν* z. — *τοῦ om.* d. — *ἤσκειτο* y *ἠσκεῖτο* g *ἠσκῆτο* h. — 12 *Οὔννων* f. — 13 *καταπροδώσουσιν* x *καταπροδώσωσιν* yz. — *δὲ om.* x. — 14 *Λαῦρον* Proc. — 16 *ἐνέπεσαν* z *ἀνέπεσαν* y. — *οἱ τῆς πόλεως προδοσίαν* d. — 17 *Μασσαγέτας* hy. — 18 *λόγῳ ἠθικῷ* fz *λόγοις πιθικοῖς* x. — 19 *μεταβαλὼν αὐτός* y *μεταβαλόντος* (*om. αὐτός*) x. — 20 *παραλαβόντα* x. — *παρέξ* c. — 21 *Οὐανδήλους* emz *Οὐανδηλούς* x *Ἀνδηλούς* f. — 22 *εἵπτετο* em. — 23 *καταλαβών* x *καταλαβόντα* emz *καταλαβόντω* f. — *Οὐανδήλους* mz *Οὐανδηλούς rell.* — *ἐν τῷ Τρικ.* z. — *Τρικαμμάρῳ* egm *Τρικκαμμάρῳ* f. — 24 *ἔμεινον* g *ἔμεινεν* c. — 27 *πρὸς τὸν πόλεμον* z. — 28 *ἀμφ' αὐτῶν* h. — *ἀπολεξάμενος* xy Proc. *ἐπιλεξάμενος* z. — 29 *Οὐανδήλοις* dz *Οὐανδηλοῖς rell.* — *εἰσέβαλλεν* g. — *Τάτζων* em. — *ἐδίωκον* x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτόν. οἱ δὲ Οὐανδῆλοι διώκοντες ἄχρι εἰς τὸν ποταμὸν ἦλθον.
167 P αὖθις δὲ Ἰωάννης πλείους τῶν ὑπασπιστῶν Βελισαρίου λαβὼν κατὰ
τοῦ Τζάτζωνος εἰσεπήδησε σὺν βοῇ τε καὶ πατάγῳ πολλῷ. γίνεται
οὖν καρτερὰ ἡ μάχη, καὶ πίπτει Τζάτζων, ὁ τοῦ Γελίμερος ἀδελ-
Proc. I, 422 φός. ‖ τότε δὴ πᾶν τὸ στράτευμα Ῥωμαίων τὸν ποταμὸν διαβάντες
ἐπὶ τοὺς πολεμίους ἐχώρησαν, καὶ τούτους τρεψάμενοι μέχρι τοῦ
στρατοπέδου ἐδίωξαν· καὶ ὑποστρέψαντες τοὺς νεκροὺς ἀπέδυον, ὅσοι
μάλιστα ἐχρυσοφόρουν, καὶ εἰς τὸ ἑαυτῶν στρατόπεδον ὑπεχώρησαν.
ἀπέθανον δὲ ἐν ταύτῃ τῇ μάχῃ Ῥωμαίων πεντήκοντα, Οὐανδήλων
304 B δὲ ὀκτακόσιοι. καταλαβὼν δὲ Βελισάριος σὺν τοῖς πεζοῖς τῇ δείλῃ
πρὸς ὀψίαν, ἅρας ὡς εἶχε τάχους σὺν παντὶ τῷ στρατῷ ἐπὶ τὸ τῶν
Οὐανδήλων στρατόπεδον ᾤχετο. Γελίμερ δὲ γνοὺς Βελισάριον παρόντα
σὺν τοῖς πεζοῖς καὶ παντὶ τῷ στρατῷ, ἐπιβὰς τῷ ἵππῳ, μηδὲν δια-
ταξάμενος ἀκρατῶς ἐπὶ Νουμιδίαν ἔφυγε μετ' ὀλίγων συγγενῶν καὶ
οἰκετῶν αὐτοῦ καταπεπληγμένος. ἐπεὶ δὲ αὐτὸν φυγόντα ᾔσθοντο
Οὐανδῆλοι, καὶ οἱ πολέμιοι ἤδη ἐωρῶντο, τότε δὴ οἵ τε ἄνδρες καὶ
Proc. I, 423 αἱ γυναῖκες καὶ τὰ παιδία ἐθορύβουν τε καὶ ἐκώκυον ‖ καὶ οὔτε
χρημάτων μετεποιοῦντο οὔτε τῶν φιλτάτων ὀδυρομένων, ἀλλ' ἕκα-
στος ἔφυγεν, ὅπου ἠδύνατο. ἐπελθόντες δὲ οἱ Ῥωμαῖοι τό τε στρα-
τόπεδον αἱροῦσιν, καὶ ἐπιδιώξαντες τὴν νύκτα ὅλην ἄνδρας μέν,
ὅσοις ἐνέτυχον, ἔκτειναν, παῖδας δὲ καὶ γυναῖκας ἐν ἀνδραπόδων
λόγῳ ἐποιοῦντο, χρήματα δὲ τοσαῦτα τὸ πλῆθος εὗρον, ὅσα οὐδε-
πώποτε ἐν ἑνὶ χωρίῳ τετύχηκεν εἶναι. τὴν γὰρ Ῥωμαίων ἀρχὴν
ληϊσάμενοι χρήματα εἰς Λιβύην πολλὰ μετήνεγκαν· καὶ τῆς χώρας
αὐτῆς ἀγαθῆς οὔσης καὶ εὐκάρπου, χρημάτων πρόσοδοι αὐτοῖς πολλαὶ
γεγόνασιν. ἐνενήκοντα πέντε γὰρ ἔτη Οὐανδῆλοι Λιβύης ἐκράτησαν,
305 B καὶ πολὺν πλοῦτον συναγαγόντες, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς τὰς τῶν
Ῥωμαίων χεῖρας ὁ πᾶς πλοῦτος ἐπανῆκεν. ἐν τρισὶ γὰρ μησὶ πολε-

---

1 *Οὐανδῆλοι* z *Οὐανδηλοί* dfm *sine acc.* ce. — 2 *πλείους* cz Proc. *πλείστους* dy. — 3 *Τζάτζονος* fh. — 4 *κρατερά* cm *κραταιά* d. — 6 *καὶ τούτους*— 7 *ἐδίωξαν om.* d. — 7 *ἐδίωξαν*] *ἐχώρησαν* c. — 9 *ταύτῃ*] *αὐτῇ* c. — *Ῥωμαῖοι* — *Οὐανδῆλοι* d. — *Οὐανδήλων* z *Οὐανδηλῶν* cy. — 10 *καὶ λαβὼν δέ* g. — 11 *ὅρας* f. — *τάχους edd. τάχος codd.* — *σὺν om.* y. — *στρατοπέδῳ* z. — 12 *Οὐανδήλων* z *Οὐανδηλῶν rell.* — 13 *στρατοπέδῳ* y. — *τῷ om.* d. — *μηδὲν διαταξάμενος om.* x. — 14 *Νουμηδίαν* (*-δείαν* h) *codd.* — 15 *καταπληγμένος* g *καταπληττόμενος* h. — 16 *οἱ Οὐανδ.* z. — *Οὐανδῆλοι* z *Οὐανδηλοί rell.* — *ὁρῶντο codd. corr. edd.* — 17 *αἱ add. ex* c *om.* dyz. — *ἐθορυβοῦντο καὶ* f. — *ἐκώκυον* h *ἐκκώκυον* g *ἐκόκκυον* y. — 18 *οὔτε τῶν φιλτ.*—19 *ἠδύνατο om.* g. — *οὐδὲ τῶν φιλτ. codd. οὔτε sec. m.* f. — 19 *ἀπελθόντες* h. — 20 *αἵρουσιν* cehm *αἴρουσιν* dfg. — 21 *ὅσοις lit. ex ὅσους fact. in* c *ὅσους rell.* — *ἔτυχον* dz. — *δέ* z Proc. *τε* xy. — *ἀνδραπόδῳ* yz. — 22 *εὗρων* y *εὗρεν* dzA. — *οὐδεπώποτε* d Proc. *οὐδέποτε rell.* — 25 *πολλαὶ αὐτοῖς* d. — 26 *Οὐανδ. ἐκράτησαν Λιβύης* f. — *Οὐανδῆλοι* z *Οὐανδηλοί rell.* — 27 *ἐκείνῃ τε τῇ* (*om. ἐν*) g. — 28 *ὁ om.* dz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μήσας ὁ Βελισάριος ἀπὸ τοῦ Ὀκτωβρίου μηνὸς εἰς τὸ τέλος τοῦ Δεκεμβρίου πᾶσαν τὴν Λιβύην ὑπέταξεν. ‖ ἀπέστειλε δὲ Ἰωάννην τὸν Proc. I, 425
Ἀρμένιον σὺν διακοσίοις ἐπιλέκτοις διώκειν τὸν Γελίμερα ἕως αὐτὸν ζῶντα ἢ νεκρὸν λάβῃ. ὃς φθάσας τὸν Γελίμερα ἤμελλε λαμβάνειν,
5 εἰ μὴ συνηνέχθη πρᾶγμα τοιόνδε. Οὐλίαρίς τις τῶν Βελισαρίου δορυφόρων συνῆν τῷ Ἰωάννῃ, ‖ ὃς οἴνῳ μεμεθυσμένος ἰδὼν ὄρνιν Proc. I, 426
ἐπὶ δένδρου καθημένην, ἐντείνας τὸ τόξον κατ' αὐτῆς ἔβαλεν· καὶ τῆς μὲν ὄρνιθος ἀπέτυχεν, τὸν δὲ Ἰωάννην ὄπισθεν εἰς τὸν αὐχένα ἔβαλεν. ὁ δὲ καιρίαν πληγεὶς τέθνηκε πολὺ αὐτοῦ πένθος βασιλεῖ
10 τε Ἰουστινιανῷ καὶ Βελισαρίῳ καὶ πᾶσι Ῥωμαίοις καὶ Καρχηδονίοις 168 P
ἀπολιπών. ‖ οὕτω Γελίμερ διαφυγὼν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐπὶ Μαυ- Proc. I, 427
ρουσίους ἐχώρει. Βελισάριος δὲ τοῦτον διώξας εἰς Παππούαν τὸ ὄρος ἀπέκλεισεν εἰς τὰ ἔσχατα Νουμιδίας. τοῦτο δὲ παρακαθίσας διὰ τοῦ χειμῶνος, λειψάντων αὐτῷ πάντων τῶν ἐπιτηδείων, ‖ (ἄρτος Proc. I, 435
15 γὰρ παρὰ Μαυρουσίοις οὐ γίνεται, οὔτε οἶνος, οὔτε ἔλαιον, ἀλλὰ τὰ ὄλυρα καὶ τὰς κριθὰς ὡς ἄλογα ζῶα ἄνεφθα ἐσθίουσιν.) ‖ τούτοις 306 B
Proc. I, 437
Γελίμερ περιπεσὼν γράφει πρὸς Φαρᾶν, ὃν Βελισάριος κατέλιπε φυλάσσειν αὐτόν, πεμφθῆναι αὐτῷ κιθάραν καὶ ἄρτον ἕνα καὶ σπόγγον. ὁ δὲ Φαρᾶς διηπόρει, τί ἂν εἴη τοῦτο, ἕως ἂν ὁ τὴν
20 ἐπιστολὴν κομίσας εἶπεν, ὡς ἄρτου μὲν ἐπιθυμεῖ θεάσασθαι Γελίμερ, μὴ ἰδὼν ἄρτον, ἀφ' οὗ ἀναβέβηκεν, σπόγγου δὲ διὰ τὸ τοὺς ὀφθαλμοὺς ἐκ τῆς ἁλυσίας κακοῦσθαι, ὅπως τῷ σπόγγῳ τούτους παραμυθήσηται· κιθάραν δὲ κιθαριστῇ ἀγαθῷ ὄντι, ὅπως τὴν συμφορὰν τὴν παροῦσαν τῇ κιθάρᾳ θρηνήσῃ καὶ ἀποκλαύσηται. ‖ ταῦτα ἀκού- Proc. I, 438
25 σας Φαρᾶς περιαλγήσας τε καὶ τύχην τὴν ἀνθρωπείαν ἀπολοφυρόμενος, κατὰ τὰ γεγραμμένα ἐποίει καὶ πάντα ἔπεμπεν, ὅσα ἔχρηζε τῷ Γελίμερι. τοῦ δὲ χειμῶνος παρελθόντος, δεδιὼς ὁ Γελίμερ τὴν

---

1 *Βελισ. πολεμήσας* d. — a kalendis Octobribus usque ad kalendas Decembrias A. — 4 *λάβῃ* x *λαβεῖν* yz. — *ὡς* f. — *φθάσας om.* f. — 5 *συνενέχθη* g. — *τὸ πρᾶγμα* f. — *Οὐλίαρις* c Proc. Huliares A *Οὐλιάριος rell.* — 6 *ὅστις* d. — *μεθυσμένος* g. — *ὄρνην* fm *ὄρμην* e. — 7 *ἐκτείνας* fg. — *ἔβαλλεν* g. — 8 *τῆς* x *τοῦ* yz. — 9 *ἔβαλλεν* g. — *αὐτοῦ* Proc. *αὐτοῦ* y *αὐτοῦ om.* xzA. — 10 *τε om.* y. — 11 *καταλιπών* (*-λειπών* h) z. — *ἐν om.* cy *sed in* c *spatium vacuum relictum est.* — 12 *Παππούαν* f Proc. *Παπούαν* em *Παποῦαν* z *Πάπουαν* d *Παπουαν sine acc.* c. — 13 *Νουμηδίας* cy *Νουμηδείας* dh *Νομιδίας* g. — *τοῦτο scr. e coni. τούτῳ* x *τούτου* emz *τοῦτον* f. — 14 *λείψαντα* em *λείψανα* f. — 15 *παρὰ Μαυρουσίου* em. — 16 *τούτοις* xyA *τοιούτοις* z. — 17 *Φαράν* yz *sine acc.* c (*Φάρας* Proc.). — *κατέλειπεν* db. — 18 *ἕνα om.* x. — 19 *Φαράς* em *sine acc.* c. — 20 *εἶπεν om.* y. — *θεάσασθαι om.* x. — 21 ex quo ascendit in montem A. — *τό* g *om.* hxy. — 23 *κιθάραν δὲ κιθαριστῇ ἀγαθῷ ὄντι* x *κιθαριστῇ δὲ ἀγαθῷ ὄντι* (*ὅτι* f) (*om. κιθάραν*) yz *quam veram esse lectionem et post ὄντι intercidisse quaedam suspicor, coll.* Proc. — 25 *Φαράς* dgm *sine acc.* ce. — *ἀνθρωπίαν* demz *ἀνθρωπίνην* f. — 26 *ἔπεμπεν* xyA *ἔπεμψεν* z. — *ἔχριζε* hy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολιορκίαν Ῥωμαίων καὶ ἐλεήσας τὰ τῶν συγγενῶν τέκνα σκώληκας
Proc. I, 429 ἐν αὐτῇ τῇ ταλαιπωρίᾳ πεποιηκότα, ‖ ἐθηλύνθη τε τὴν διάνοιαν καὶ
πρὸς Φαρᾶν ἔγραψεν, ὅπως τὰ πιστὰ λαβών, αὐτός τε καὶ οἱ σὺν
Proc. I, 440 αὐτῷ πρὸς Βελισάριον παραγένωνται. ‖ ὁ δὲ ὅρκῳ τοῦτον πληρο-
φορήσας, λαβὼν ἅπαντας εἰς Καρχηδόνα ἦκεν. Βελισάριος δὲ τοῦτον
περιχαρῶς ἐδέξατο, ὁ δὲ Γελίμερ γελῶν πρὸς Βελισάριον εἰσῆλθεν·
307 B ὃν οἱ μὲν τῇ ὑπερβολῇ τοῦ πάθους ἐκστάντα τῶν κατὰ φύσιν
ὑπώπτευον καὶ παραπαίοντα· οἱ δὲ φίλοι τούτου ἀγχίνουν τε τὸν
ἄνθρωπον λογίζεσθαι, ὅτι βασιλέα ὄντα καὶ βασιλικοῦ γένους καὶ
δύναμιν ὑχυρὰν ἔχοντα καὶ χρήματα μεγάλα, ἄφνω εἰς φυγήν τε *
καὶ κακοπάθειαν τὴν ἐν Παππούᾳ ὑποστάντα καὶ νῦν ἐν αἰχμαλώ-
των λόγῳ ἥκοντα, οὐδενὸς ἄξια τὰ ἀνθρώπινα ἢ γέλωτος πολλοῦ
οἴεσθαι εἶναι. Βελισάριος δὲ τοῦτον σὺν τοῖς ἄρχουσι πᾶσι τῶν
Οὐανδήλων οὐκ ἐν ἀτιμίᾳ ἐφύλαττεν, ὅπως πρὸς βασιλέα Ἰουστι-
Proc. I, 430 νιανὸν τοῦτον ἀπαγάγῃ εἰς τὸ Βυζάντιον. ‖ Κύριλλον δὲ εὐθὺς Βε-
169 F λισάριος σὺν τῇ κεφαλῇ Τζάτζωνος εἰς Σαρδὼ τὴν νῆσον πέμψας,
ἣ Κύρνος ἐκαλεῖτο πρότερον, ταύτην Ῥωμαίοις ὑπέταξεν. εἰς δὲ
Καισάρειαν τὴν ἐν Μαυριτανίᾳ Ἰωάννην ἕτερον ἀποστείλας, ἥτις
τριάκοντα ἡμερῶν ὁδὸν ἀπέχει Καρχηδόνος εἰς τὰ Γάδειρά τε καὶ
τὰς ἡλίου δυσμὰς κεῖται, ἄλλον τε Ἰωάννην, τῶν ὑπασπιστῶν ἕνα,
εἰς τὸν ἐν Γαδείροις πορθμὸν καὶ τὴν ἑτέραν τῶν Ἡρακλείων στη-
λῶν ἔπεμψεν, τὸ ἐκεῖ φρούριον, ὃ Σεπτὸν καλοῦσιν, καθέξοντα. εἰς
δὲ τὰς νήσους, αἵπερ ἐγγύς εἰσι τῆς Ὠκεανοῦ εἰσβολῆς, Μαϊόρικά τε
308 B καὶ Μινόρικα, ‖ Ἀπολινάριον ἔστελλεν, ἄνδρα ἀγαθὸν εἰς τὰ πολέ-
Proc. I, 431 μια. ‖ ἀπέστειλε δὲ καὶ ἐν Σικελίᾳ τινὰς τῶν Λιβυαίων καὶ τῶν
Οὐανδήλων τὸ φρούριον λαβεῖν ἐκέλευσεν. οἱ δὲ τοῦτο φυλάσσοντες
Γότθοι τῇ μητρὶ Ἀταλαρίχου ταῦτα δῆλα ἐποίησαν. ἡ δὲ γράφει

---

3 *Φαράν* dyz *sine acc.* c. — 4 ὅρκον h. — *τούτῳ* g. — 5 ἦκεν] ἦλθεν x. — 6 ἦλθεν· ὧν g. — 7 *τῶν κατὰ φύσιν φρενῶν* z. — 8 *καὶ παραπαίοντα ὑπώπτευον* hx. — *τὸν om.* h. — 9. *λογίζεσθαι μᾶλλον ἔλεγον εἶπερ ἐξεστηκότα, ὅτι βασιλέως ὄντος* d. — *ὅτι*] *ἅτε coni.* Classen. — 10 *ἔχοντος* x. — *εἰς φυγήν* yz *εἰς om.* x *ἐς φυγὴν τε καὶ δέος πολὺ ἐμπεσόντα καὶ κακοπ. τὴν ἐν Π. ὑποστάντα* Proc. *quare hic quoque post τε simile quid addendum esse suspicor* quoniam in fugam versus est et mala in P. pertulit A. — 11 *Παππούα* fx *Πάππουα* e *Πάππου* m *Παποῦα* h *Παπουά* g Papua A. — *ἐν* gx *om.* hy. — *αἰχμαλώτων* ch *αἰχμάλωτον* y *αἰχμαλώτου* dg. — 12 *οὐδὲν ἄξια* y *οὐδενὸς ἀληθῶς ἄξια* d. — 13 *τοῖς om.* g. — 14 *Οὐανδήλων* fz *Οὐανδηλῶν rell.* — 16 *Τζάτζονος* fh Tzatzonis, fratris Gelimeris A. — *εἰς* x Proc. *ἐπὶ* yz. — *Σαρδὼ* g *Σάρδω* dy *sine acc.* c. — 19 *Γάδηρά* hy *item v.* 21 *Γαδήρους.* — 21 *Ἡρακλείου* yz (*Ἡρακλέους* Proc.). — 22 *τὸ om.* f. — *ὃς ἑπτόν* e *ὃ Σέπται* h *ὅσον ἔσται* g. — 24 *Μηνόρικα* (*Μηνόρκα* g) *codd.* — 24 *Ἀπολλινάριον* g. — *ἔστειλεν* x. — 25 *ἀποστείλας* h. — *τῶν Λιβυαίων* yz *τῶν Λιβύων* x Afrorum A *εἰς τὸ Λιλύβαιον legendum cum* Proc. — 26 *Οὐανδήλων* z *Οὐανδηλῶν rell.* — *τὸ om.* y. — *φυλάττοντες* c. — 27 *τῇ μητρὶ* x *τὴν μητέρα* yz. — *ἐποίησεν* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς Βελισάριον μὴ τοῦτο τυραννίδι λαβεῖν τὸ φρούριον, ἕως ἂν βασιλεὺς Ἰουστινιανὸς γνῷ καὶ τὸ δοκοῦν αὐτῷ ποιήσῃ. ‖ ἐν τούτοις Proc. I, 441
ὁ Οὐανδαλικὸς πόλεμος ἐτελεύτα. ὁ δὲ φθόνος, οἷα ἐν μεγάλῃ εὐδαιμονίᾳ φιλεῖ γίνεσθαι, ὤδινε καὶ εἰς Βελισάριον. τινὲς γὰρ διέβαλον αὐτὸν εἰς τὸν βασιλέα τυραννίδα μελετᾶν. ὁ δὲ βασιλεὺς πέμψας Σολόμωνα ‖ ἀποπειρᾶται τὴν Βελισαρίου γνώμην, πότερον Proc. I, 442
σὺν Γελίμερί τε καὶ Οὐανδήλοις εἰς Βυζάντιον ἥκειν, ἢ, αὐτοῦ μένοντος, ἐκείνους στεῖλαι ὧδε· οὐ γὰρ ἔλαθον αὐτὸν οἱ ἄρχοντες οἱ τὴν τυραννίδα ἐπενεγκόντες. ὁ δὲ Βελισάριος εἰς Βυζάντιον ἀφίκετο Σολόμωνα στρατηγὸν Λιβύης καταλιπών. ‖ καταλαβὼν δὲ Βελισάριος Proc. I, 445
τὸ Βυζάντιον ἅμα Γελίμερι καὶ τοῖς Οὐανδήλοις γερῶν ἠξιώθη μεγάλων, οἷων ἐν τοῖς ἄνω χρόνοις οἱ Ῥωμαίων στρατηγοὶ ἐν μεγίσταις νίκαις ἀνεδήσαντο. ἑξακοσίων τε χρόνων παρῳχηκότων οὐδεὶς ἐληλύθει εἰς τιμὴν τοιαύτην, εἰ μὴ Τίτος καὶ Τραϊανὸς καὶ ἄλλοι 309 B
αὐτοκράτορες στρατηγήσαντες ἐπὶ τὸ βαρβαρικὸν ἔθνος ἐνίκησαν. τά τε γὰρ λάφυρα ἐνδεικνύμενος καὶ τὰ τοῦ πολέμου ἀνδράποδα ἐν μέσῃ τῇ πόλει ἐπόμπευσεν, ὃν θρίαμβον καλοῦσι Ῥωμαῖοι, οὐ τῷ παλαιῷ μέντοι τρόπῳ, ἀλλὰ πεζῇ βαδίζων ἐκ τῆς οἰκίας τῆς αὐτοῦ ἄχρις εἰς τὸ ἱπποδρόμιον. ἦν δὲ τὰ λάφυρα, ὅσα δὴ ὑπουργικὰ τῇ βασιλέως τάξει ἀνεῖσθαι εἰώθει, θρόνοι χρυσοῖ, καὶ ὀχήματα, οἷς τῶν βασιλέων αἱ γυναῖκες ὀχοῦνται, κόσμος τε πολὺς ἐκ λίθων ἐντίμων συγκείμενος, ἐκπώματα δὲ χρυσᾶ, καὶ τὰ ἄλλα σύμπαντα, ὅσα εἰς τὴν βασιλέως θοίνην χρήσιμα. ἦν δὲ καὶ ἄργυρος ἕλκων μυριάδας πολλὰς ταλάντων καὶ παντοδαπῶν βασιλικῶν κειμηλίων, ἅπερ Γιζέριχος τὸ ἐν Ῥώμῃ συλήσας παλάτιον ἔλαβεν· ‖ ἐν οἷς καὶ τὰ Ἰουδαίων Proc. I, 446
κειμήλια ἦν, ἅπερ ὁ Οὐεσπασιανοῦ Τίτος μετὰ τὴν Ἱεροσολύμων ἅλωσιν εἰς Ῥώμην ἤνεγκεν. ἀνδράποδα δὲ ἦν τοῦ θριάμβου Γελίμερ τε αὐτὸς ἐσθῆτά τινα ἐπὶ τῶν ὤμων ἀμπεχόμενος πορφυρᾶν, καὶ τὸ

---

1 *τυραννίδα* gy. — 2 *τὰ δοκοῦντα* h. — *ποιήσει* yz. — 3 *ὁ om.* hy. — *Οὐανδηλικός* c. — 4 *γίγνεσθαι pr. m. corr. ex γενέσθαι* c. — 5 *διέβαλλον* g. — 6 *Σολώμονα* y *Σολομόνα* h *item v.* 10. — *πρότερον m. 2 ex πρώτερον* f. — 7 *τε om.* d. — *Οὐανδήλοις* z *Οὐανδηλοῖς rell.* — *ἥκει* c. — *μένων* x. — 8 *Pro ὧδε ὁ δὲ scribendum et v.* 9 *ὁ δὲ Βελισάριος delendum esse suspicor.* — *οὐδὲ γάρ* h. — *αὐτῷ* yz. — 11 *Οὐανδήλοις* dz *Οὐανδηλοῖς rell.* — *γερῶν*] *τιμῶν* h *in mg.* — 12 *οἷον* fh *οἵον* c. — *οἱ om.* f. — 14 *εἰς τοιαύτην τιμήν* y. — *Τίτος* dfgm *Τῖτος* ceh. — 15 *τὸ*] *τι* Proc. — 17 *μέσῳ* z. — *οὐ τῷ* dg *οὕτω corr. ex οὕτω* h *οὕτω* yA *οὑτῶ sine spir.* c. — 18 *αὐτοῦ* dy *αυτοῦ sine spir.* e *ἑαυτοῦ* z. — 19 *ἱπποδρομεῖον* (*ὑποδρ.* m) xy. — 20 *τάξει om.* x. — *ἀνεῖσθη* y. — *εἰώθασι* g. — 22 *ἐκπόματα* yz. — 23 *θύννην* dhy. — *ἄργυρον* z. — 24 *Γιζέριχος* ehmx. — 25 *ἔλαβεν*] Africam tulit A. — 26 *ὁ om.* y. — *Οὐεσπασιανός* g. — *Τῖτος codd.* — *τὴν τῶν Ἱεροσολ.* d. — 27 *post ἤνεγκεν* h *add. σὺν καὶ τοῖς χρήμασι Κλεοπάτρας ἅπερ Αὔγουστος ἐξ Ἀλεξανδρείας ἐπὶ Ῥώμην προσήγαγεν.* — 28 *ἐπὶ τὸν ὦμον* z. — *ἀπεχόμενος* fm. — *πορφύραν* cy *πορφυρᾶν* dz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συγγενὲς ἅπαν, Οὐανδήλων τε ὅσοι εὐμήκεις ἄγαν καὶ καλοὶ τῷ σώματι ἦσαν. ὡς δὲ ἐν τῷ ἱπποδρομίῳ Γελίμερ ἐγένετο τόν τε
310 B βασιλέα ἐπὶ βήματος καθήμενον καὶ τὸν δῆμον ἑστῶτα ἐφ' ἑκάτερα μέρη εἶδεν, ἐπιλέγων οὐκ ἐπαύσατο βοῶν· "ματαιότης ματαιοτήτων· τὰ πάντα ματαιότης." ἀφικόμενον δὲ αὐτὸν κατὰ τὸ τοῦ βασιλέως βῆμα τὴν πορφυρίδα περιελόντες πρηνῆ πεσόντα προσκυνῆσαι τὸν
Proc. I, 447 βασιλέα ἠνάγκασαν. ‖ ὁ δὲ βασιλεύς τε καὶ ἡ αὐγούστα τοῦ Ἱλδερίχου παῖδας καὶ ἐγγόνους πάντας τε τοὺς ἐκ τῆς Οὐαλεντινιανοῦ βασιλέως συγγενείας χρήματα ἱκανὰ ἐδωρήσατο, καὶ Γελίμερι χωρία ἐν Γαλατίᾳ μεγάλα τε καὶ τερπνὰ μετὰ πάντων τῶν συγγενῶν αὐτοῦ ἐν τούτοις οἰκεῖν συνεχώρησεν, εἰς πατρικίου δὲ τάξιν τοῦτον οὐκ ἀνεβίβασε διὰ τὸ μὴ δέχεσθαι αὐτὸν τῆς Ἀρείου δόξης μεταστῆναι. ὁ δὲ Βελισάριος μετὰ τὸν θρίαμβον ὑπάτευσεν, καὶ πάμπολλα χρήματα ἐκ τῆς αὐτοῦ νίκης ὁ δῆμος τοῦ Βυζαντίου ἀπήλαυσεν, ὅσα οὐδέποτε. τοῦ δὲ Σολόμωνος τὴν Λιβύην διέποντος, Μαυρούσιοι
Proc. I, 449 πόλεμον κατὰ Λιβύων ἐκίνησαν. ‖ οἱ δὲ Μαυρούσιοι ἐκ τῶν ἐθνῶν κατάγονται, οὓς Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐκ τῆς Φοινίκων χώρας ἀπὸ
Proc. I, 450 Σιδῶνος μέχρις Αἰγύπτου κατοικοῦντας ἀπήλασεν. ‖ οἵ τινες καταλαβόντες τὴν Αἴγυπτον καὶ μὴ δεχθέντες ὑπ' αὐτῶν καταλαμβάνουσι τὴν Λιβύην, καὶ ταύτην παροικήσαντες (ἐν ὑστέρῳ καιρῷ οἱ παρὰ
311 B Ῥωμαίοις βασιλεῖς κρατήσαντες Τίγισιν ταύτην ὠνόμασαν) στήσαντες δύο στήλας ἐπὶ τῆς μεγάλης κρήνης ἐκ λίθων λευκῶν ἐγκεκολαμμένα ἐχούσας γράμματα Φοινικικὰ λέγοντα τάδε· "ἡμεῖς ἐσμεν οἱ φυγόντες ἀπὸ προσώπου Ἰησοῦ τοῦ ληστοῦ, υἱοῦ Ναυῆ." ἦσαν δὲ καὶ ἄλλα ἔθνη ἐν Λιβύῃ πρότερον αὐτόχθονες, ἔχοντες βασιλέα

1 Οὐανδήλων z Οὐανδηλῶν rell. — δὲ post ὅσοι add. f. — τε ante ἄγαν add. y. — 2 ἐν] ἐπί d. — ἱπποδρομείῳ emx. — 4 βοῶν om. d. — ματαιοτήτων· τὰ πάντα ματαιότης om. em. — 5 τὸ om. y. — 6 πρινῆ dem πρινῆς f πρὶν ἢ z. — 7 τε om. h. — αὐγοῦστα g. — τὸν τοῦ d τούς?. — Ἱλδερίχου h. — 8 παῖδας z Proc. παῖδα xy. — τε om. h. — τῆς] τοῦ g. — 10 καὶ μετά h. — 11 εἰς πατρ. δὲ ἀξίαν ἀνεβίβασε τοῦτον y. — 12 δόξης] κακοδοξίας m. — 13 μετὰ τῶν θριάμβων g. — καὶ πολλά y. — 14 ἀπέλαυσεν c. — 15 οὐδέπω y. — Σολώμονος f Σολομόνος h. — τὴν βουλήν em τὴν Λιβύην f sec. m. in lit. rem publicam A. — 17 Ἰησούς exz. — Ναυή xy Ναυί h. — 18 Σιδόνος y. — κατοικοῦντες em κατοικοῦντας (-τας sec. m. in lit.) f. — 20 παρὰ Ῥωμαίους d παρὰ Ῥωμαίων y. — 21 Post κρατήσαντες h add.: τῆς Λιβύης τούτους ἀπήλασαν καὶ εἰς τὰ ἔσχατα τῆς Νουμηδείας πόλιν κτίσαντες. — Τίγισιν scr. e Proc. τῇ γηοῦν y τηγυῖην cz τῇ γυίην d terram obtinentes hanc Hoën (κρατήσαντες τὴν γῆν ὅην ταύτην) nominaverunt A. — ταύτην om. fh. — 23 Φοινικικά z Proc. Φοινικά y Φοινίκεια x Phoeniceas A. — 24 ἀπό] ἐκ x. — υἱοῦ Ναυῆ f Proc. τοῦ υἱοῦ N. ez τοῦ υἱοῦ τοῦ N. mx. — Ναυή cf Ναυί h. — 25 αὐτόχθονα d. — ἔχοντα x. — ἔχοντες — p. 201, 2 ἔφασκον εἶναι corrigere studui e Proc. ἔχοντες βασιλέα Ἀσκληπαία ὃς Ἡρακλεῖ ἐβασίλευσεν ὃν τῆς γῆς υἱὸν ἔφασκον εἶναι y similiterque A ἔχ. β. Ἀσκληπέα, ὃν Ἡρακλείου βασιλέως τῆς γῆς υἱὸν ἐφ. εἶναι gx ἔχ. β. Ἀσκληπαία ὃν Ἡρακλείου βασιλέως τῆς τῆς (sic) γῆ (sic) ἐφ. εἶναι h καὶ ἀπ' αὐτοῦ Ἀνταῖον, τὸν αὐτῶν βασιλέα, ὃς ἐν Κλιπέᾳ Ἡρακλεῖ ἐπάλαισεν, τῆς γῆς υἱὸν ἔφασαν εἶναι Proc.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

⟨Ἀνταῖον⟩ εἰς Κλιπέαν, ὃς Ἡρακλεῖ ἐπάλαισεν, ὃν τῆς γῆς υἱὸν ἔφασκον εἶναι, οἵ τινες Καρχηδόνα ἔκτισαν. ‖ Σολόμων δὲ λαβὼν ἐκ Proc. I, 453
Καρχηδόνος τὰ στρατεύματα κατὰ Μαυρουσίων ἐχώρει. ἐλθὼν δὲ εἰς Βυζάκιον εἰς Ῥαμμῆς τὸ χωρίον, ἔνθα οἱ Μαυρούσιοι ἐστρατοπέδευσαν κύκλον ἐκ τῶν καμήλων ποιησάμενοι τάς τε γυναῖκας καὶ τοὺς παῖδας ἐντὸς τοῦ κύκλου ἀποθέμενοι, ‖ καὶ τοὺς Μαυρουσίους Proc. I, 457
κατ' αὐτοῦ ἐξερχομένους, ἀποβὰς τοῦ ἵππου, πεντακοσίους ἐπιλέκτους ἐπαγόμενος εἰς ἓν τοῦ κύκλου ἐπισκῆψαι μέρος καὶ τὰς καμήλους κτείνειν ἐκέλευσεν. φονεύσας δὲ ἀμφὶ σ' δρόμῳ εἰς τὸ τοῦ κύκλου μέσον ἐχώρησεν, ἔνθα αἱ γυναῖκες ἐκάθηντο. οἱ δὲ βάρβαροι ἐκπλαγέντες ‖ ἐπὶ τὸ ὄρος ἔφυγον σὺν πάσῃ ἀκοσμίᾳ. κτεί- 171 P Proc. I, 458
νονται δὲ Μαυρουσίων ἐν ταύτῃ τῇ ἡμέρᾳ μύριοι. αἱ δὲ γυναῖκες πᾶσαι σὺν τοῖς παισὶν ἐν ἀνδραπόδων λόγῳ ἐγένοντο. καὶ τούτους 312 B
λαβόντες σὺν ταῖς καμήλοις καὶ πάσῃ τῇ λείᾳ εἰς Καρχηδόνα εἰσῆεσαν τὴν ἐπινίκιον ἑορτὴν ἄγοντες. οἱ δὲ βάρβαροι πάλιν συναθροισθέντες πανδημεὶ σὺν γυναιξὶ καὶ τέκνοις μηδένα καταλιπόντες ἐστράτευσαν κατὰ Ῥωμαίων καὶ τὰ ἐν Βυζακίῳ χωρία ἐληΐζοντο. Σολόμων δὲ ἅρας κατὰ τάχος πᾶν τὸ στράτευμα ἐπ' αὐτοὺς ἦει. γενόμενος δὲ ἐν Βουργαρίωνι, ἔνθα οἱ πολέμιοι ἐστρατοπεδεύσαντο, διεκόσμησε τὸ στράτευμα ὡς εἰς μάχην. οἱ δὲ Μαυρούσιοι ἐν τῷ ὄρει τῶν Βουργαρίων ἐπὶ πλεῖον ἔμενον εἰς τὸ πεδίον κατελθεῖν μὴ βουλόμενοι. ‖ Σολόμων δὲ ἀποστέλλει Θεόδωρον διὰ τῆς νυκτὸς σὺν Proc. I, 460
χιλίοις πεζοῖς καὶ τῶν σημείων τινά, ὅπως εἰς τὸ ὄρος ἐκ τῶν ὄπισθεν αὐτῶν διὰ τῆς νυκτὸς ἀνέλθωσι καὶ ἅμα τῷ ἡλίῳ ἀνίσχοντι * τὰ σημεῖά τε ὑπερθεν ἄραντες κατὰ τῶν πολεμίων χωρήσωσιν. ‖ ὁμοίως δὲ καὶ αὐτὸς ὄρθρου βαθέος ἀνελθών, ἅμα κατὰ τῶν πολε- Proc. I, 461
μίων ἐχώρησαν. ἰδόντες δὲ οἱ βάρβαροι, ὅτι ἐν μέσῳ τῶν Ῥωμαίων γεγόνασιν, εἰς φυγὴν ὥρμησαν κατὰ κρημνῶν ὠθίζοντες ἑαυτοὺς καὶ ἀναιροῦντες. ‖ ἀπέθανον δὲ ἐν τῷ πολέμῳ Μαυρουσίων μυριάδες ε', Proc. I, 462

---

2 Σολομῶν h Σολώμον f. — 4 Ῥαμμής em Ῥαμμης sine acc. c Ῥαμῆς g Μάμμης Proc. — 6 τὰ τέκνα g. — ἐνθέμενοι xz. — Post ἀποθέμενοι intercidisse quaedam sagaciter intellexit Combefis. — 7 ἐρχομένους x. — ἐκβάς x. — 8 ἕνα codd. — 9 δρόμων f δρόμον m. — 11 συμπάσῃ em. — 12 ταύτῃ y αὐτῇ xz. — 13 ἀνδραπόδῳ dy. — 14 πάσῃ τῇ λείᾳ c Proc. πάσῃ τῇ ἡλικίᾳ yz λοιποῖς πᾶσι d. — εἰσίεσαν gy. — 18 Σολομῶν z Σολώμον f item v. 22. — κατὰ τὸ τάχος z. — τὸ om. h. — 19 Βουργαρίωνι hy Βουλγαρίωνι cg Βουλγαριώνι d Βουργάωνι Proc. — ἐστρατοπεδεύοντο x. — 20 διεκόσμισαν g. — 21 Βουλγαρίων fgm. — εἰς τὸ πεδίον — βουλόμενοι om. x. — 23 καὶ τῶν σ. τινα om. d. — τῶν σημείων τινά Proc. τῶν σημείων τῶν τινα cy τῶν σημειόντων τινά h τῶν σημειωτῶν τινα g. — 24 ὄπιθεν x. — εἰσέλθωσιν y. — 25 τὰ σημεῖα — ἄραντες om. d. — τά] αἷς (αἷς em) τά y ἐστά z ἓς τά c ἑστῶτες τά? nisi forte plura desunt. — τε om. gx. — 26 βαθέως dyz. — 27 ἐχώρησεν c. — οἱ δὲ βάρβαροι ἰδόντες x. — 28 κατὰ τῶν κρ. f. — αὐτούς g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν δὲ Ῥωμαίων τὸ παράπαν οὐδὲ εἷς, οὐ μὴν οὐδὲ πληγήν τινα
313 B ἔλαβεν, ἀλλὰ πάντες ὑγιεῖς τὴν νίκην ἤραντο. οἱ δὲ πλεῖστοι τῶν ἀρχόντων αὐτῶν τοῖς Ῥωμαίοις προσερρύησαν. γυναικῶν μέντοι καὶ παίδων τοσοῦτον πλῆθος οἱ Ῥωμαῖοι ἔλαβον, ὥστε προβάτου τιμῆς παῖδα Μαυρούσιον ὠνήσασθαι βουλομένῳ ἀπεδίδοντο. καὶ τότε αὐτοῖς τὸ παλαιὸν λόγιον γυναικὸς μάντιδος ἀπέβη, ὡς ἄρα τὸ πλῆθος αὐτῶν παρὰ ἀνδρὸς ἀγενείου ὄλλυται. ὁ γὰρ Σολόμων εὐνοῦχος ἐκ παίδων παρὰ γνώμην καθέστηκεν ὑπὸ πάθους τὰ γεννητικὰ μόρια ἀποβαλών. λαβὼν δὲ τὴν λείαν πᾶσαν εἰς Καρχηδόνα ὑπέστρεψεν. ‖

Proc. I, 469 Ἐν τούτῳ δὲ τῷ χρόνῳ τέρας ἐν τῷ οὐρανῷ συνέβη γενέσθαι. ὁ γὰρ ἥλιος ἀκτίνων χωρὶς τὴν αἴγλην ὥσπερ ἡ σελήνη ἐστύγναξεν ἅπαντα τὸν ἐνιαυτόν· ἐπὶ πλεῖστον δὲ ἐκλείποντι ἐῴκει, οὐ καθαρῶς φαίνων, ὥσπερ εἰώθει. χρόνος δὲ ἦν δέκατος τῆς βασιλείας Ἰουστινιανοῦ. ἐν τούτῳ τῷ χρόνῳ οὔτε πόλεμος, οὔτε θάνατος ἐπιφερόμενος τοῖς ἀνθρώποις ἐπέλειπεν. ἔαρι δὲ ἀρχομένῳ Βελισάριος ἀπεστάλη παρὰ Ἰουστινιανοῦ τὴν Σικελίαν ὑπόφορον ποιῆσαι Ῥωμαίοις. χει-
172 P μάσαντος δὲ αὐτοῦ ἐν Σικελίᾳ, τῆς ἑορτῆς τοῦ πάσχα καταλαβούσης, ἐστασίασαν οἱ ἐν Λιβύῃ Ῥωμαῖοι κατὰ Σολόμωνος τρόπῳ τοιῷδε· ‖
Proc. I, 470 314 B λαβόντες γὰρ τῶν ἀναιρεθέντων Οὐανδήλων τὰς γυναῖκας κατέσχον τοὺς ἀγροὺς αὐτῶν ὡς ἰδίους καὶ τελεῖν τῷ βασιλεῖ τὰ ὑπὲρ αὐτῶν τέλη οὐκ ἤθελον· ὁ δὲ Σολόμων παρῄνει αὐτοῖς μὴ ἀνταίρειν κατὰ τοῦ βασιλέως, ἀλλὰ τὰ ὁρῶντα τούτῳ ἀποδιδόναι. μετέπεσον δέ τινες
Proc. I, 471 αὐτῶν, καὶ μάλιστα τῶν Γότθων, πρὸς τὴν Ἀρείου δόξαν, ‖ οὓς οἱ ἱερεῖς τῆς ἐκκλησίας ἠφόριζον, καὶ οὐδὲ τὰ τέκνα αὐτῶν βαπτίζειν
Proc. I, 472 ἤθελον· ‖ ὅθεν ἐν τῇ ἑορτῇ γέγονεν ἡ στάσις. ἐβουλεύσαντο δὲ οἱ
Proc. I, 473 στρατιῶται Σολόμωνα ἐν τῷ ἱερῷ κτεῖναι. ‖ ἐξελθόντες δὲ τῆς πόλεως ἐληΐζοντο τὰ ἐκείνης χωρία καὶ τοὺς Λίβυας ὡς πολεμίους ἐχρῶντο. Σολόμων δὲ ἀκούσας ταῦτα, εἰς θόρυβον πολὺν ἐμπεσὼν πιθανολο-

---

1 οὐδείς x. — τινα] τις? — 4 τοσοῦτο c. — 5 *Μαυρουσίων* cyz. — ὠνεί-σασθαι βουλομένῳ c τῷ βουλομένῳ ὠνεῖσθαι d ὠνεῖσθαι βουλομένῳ z ὠνήσα-σθαι (ὠνείσασθαι em) βουλόμενοι y ὠν. βουλομένοις *sec. m.* f emere volentibus A. — 6 ἄρα] maledictione A. — 7 ἀγενείου yz. — *Σολομῶν a.* — εὐνοῦχος ἦν (ἦν f) ἐκ y. — 8 καθεστήκει x. — 9 λείας] Libya A. — ἐπέστρεψεν em ὑπέστρεψεν *sed* ὑπ *sec. m. in lit.* f. — 11 ἐστύγναζεν em. — 12 ἐπὶ πλεῖστον — ἐῴκει *om.* d. — δὲ *om.* c. — ἐᾤκει f. — οὐ] μή d. — καθαρῶς cy. — 14 οὔτε πόλεμος — ἐπιφερόμενος *om.* x *sed habet* d *pr. m. in mg.* — 15 ἐπέλιπεν egm. — ἐρχο-μένῳ f. — 16 Ῥωμαίοις ποιῆσαι x. — 17 καὶ τοῦ πάσχα τῆς ἑορτῆς d. — 18 *Σολόμονος* f *Σολομόνος* h. — 19 *Οὐανδήλων* z *Οὐανδηλῶν rell.* — *κατέσχον αὐτὰς καὶ τοὺς* d *κατέσχον καὶ τοὺς* h. — 21 *Σολομῶν* z *item v.* 28. — *ἀντ-έρειν codd. corr. in* f *sec. m.* contradicere (ἀντερεῖν) A. — 22 τὰ ὁρισθέντα? — τοῦτο y. — 23 εἰς τὴν τοῦ Ἀρ. x. — 24 ἠφώριζον c. — βαπτίζεσθαι d. — 25 ἡ *om.* d. — ἐπεβουλεύσαντο xz. — 26 *Σολομῶνα* h. — ἐκείνης? — 27 *Λιβύας* ehm. — ἐχειροῦντο x ἐχρῶντο *c. dat.* Proc. — 28 ταῦτα καὶ εἰς πολὺν θόρυ-βον d. — *πειθανολογίαις codd.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γίαις πείθειν τὸν στρατὸν ἐπειρᾶτο παύσασθαι τῆς στάσεως. συλλεγέντες δὲ τόν τε Σολόμωνα καὶ τοὺς ἄρχοντας ἀναιδῶς ὕβριζον. Θεόδωρον δὲ τὸν Καππάδοκα εἰς τὸ παλάτιον ἐλθόντες στρατηγὸν τοῦτον ἐψηφίσαντο καὶ σιδηροφοροῦντες ‖ ἅπαντα τὸν προστυγχάνοντα ἔκτεννον, εἴτε Λίβυν, εἴτε Ῥωμαῖον, Σολόμωνι γνώριμον, τά Proc. I, 474
τε χρήματα ἐληΐσαντο καὶ εἰς τὰς οἰκίας εἰσερχόμενοι ἅπαντα τὰ τίμια ἥρπαζον. Σολόμων δὲ εἰς τὸ ἱερὸν τοῦ παλατίου προσφυγὼν ἔλαθεν. νυκτὸς δὲ ἐπιγενομένης ἐξελθὼν τοῦ παλατίου σὺν τῷ 315 B
Προκοπίῳ τῷ συγγραφεῖ καὶ Μαρτίνῳ, ‖ καὶ εἰς ναῦν εἰσελθὼν πρὸς Proc. I, 475
Βελισάριον ἐν Συρακούσῃ τῆς Σικελίας ἀφίκετο, γράψας Θεοδώρῳ φροντίζειν τῆς Καρχηδόνος καὶ τῶν βασιλικῶν πραγμάτων. οἱ δὲ στρατιῶται συλλεγέντες εἰς τὸ Βουλῆς πεδίον Στότζαν, τὸν Μαρτίνου δορυφόρον, τύραννον εἵλοντο, ἄνδρα θυμοειδῆ καὶ δραστήριον, ἐφ' ᾧ τοὺς βασιλέως ἄρχοντας ἐξελάσαντες Λιβύης κρατήσωσιν. Στότζας δὲ ἐλθὼν πλησίον Καρχηδόνος ἔπεμψε κελεύων τάχιστα παραδοῦναι αὐτῷ Θεόδωρον τὴν πόλιν, ὅπως κακῶν ἀπαθεῖς μείνωσιν. ‖ οἱ δὲ Καρχηδόνιοι καὶ Θεόδωρος τῷ βασιλεῖ ὡμολόγουν Καρ- Proc. I, 476
χηδόνα φυλάσσειν. Στότζας δὲ ταῦτα ἀκούσας εἰς πολιορκίαν τῆς πόλεως καθίστατο. Βελισάριος δὲ ἀπολεξάμενος ἄνδρας ρ' τῶν αὐτοῦ δορυφόρων τε καὶ ὑπασπιστῶν, * οὓς ὁ Σολόμων ἐπαγόμενος μιᾷ νηῒ εἰς Καρχηδόνα κατέπλευσε περὶ λύχνων ἀφάς. ἐπεὶ δὲ ἡμέρα ἐγε- 173 P
γόνει, μαθὼν ὁ τύραννος καὶ οἱ στρατιῶται τὸν Βελισάριον ἥκειν αἰσχρῶς τε καὶ κόσμῳ οὐδενὶ εἰς φυγὴν ὥρμηντο. Βελισάριος δὲ τοῦ στρατοῦ ἀμφὶ δισχιλίους ἀγείρας τὴν δίωξιν ἐπὶ τοὺς φεύγοντας ἐποιήσατο καὶ τούτους κατέλαβεν εἰς Μέμβρεσαν τὴν πόλιν. ‖ ἰδὼν 316 B Proc. I, 480
δὲ αὐτοὺς τὴν τάξιν λιπόντας καὶ κόσμῳ οὐδενὶ περιϊόντας κατ' αὐτῶν ὁμοίως ἐχώρει. οἱ δὲ εἰς φυγὴν ὥρμηντο εἰς Νουμιδίαν τε

---

2 *Σολομόνα* h. — 4 *προστυχόντα* d. — 5 *ἔκταινον* h *ἔκτενον rell.* — *Λιβύην* em *Λίβυν sed βυν sec. m. in lit.* f *Λιβύν* g *Λιβῦν* h. — *Ῥωμαίων* fg. — *Σολομῶνι* h. — 6 *τε*] *δέ* c. — *εἰς om.* y. — 7 *Σολομών* g *Σολομῶν* h. — 8 *ἐπιλαβομένης* f. — *τῷ om.* h. — 9 *εἰσελθόντες* gy *συνελθόντες* h. — 10 *Συρακούσῃ* g. — 12 *στασιῶται* Proc. — *τὸ τῆς βουλῆς* d *Βούλλης* Proc. — *Στότζαν* x Proc. *Τζότζον* egm *Τζόντζον* f *Τζούτζον* h. — 13 *δορυφόρων* g. — *εἵλοντο* Proc. *εἴλοντο* x *εἰλαντο* y *εἴλαντο* h *ἤλαντο* g. — *Θυμώδη* d. — 14 *ἐφ' ὃ* d *ἐφό* c. — *τούς* d Proc. *τοῦ* cyz. — 15 *Τζότζας* gy *Τζῶτζας* h *item v.* 18. — *ἔπεμπε* x. — 16 *ἀπαθείας* x. — 17 *Καρχηδόνα φυλ.* y Proc. *τὴν πόλιν φυλ.* z *φυλ. τὴν πόλιν* x. — 18 *φυλάσσειν* x Proc. *φυλάττειν* yz. — 19 *ἐπιλεξάμενος* d. — 20 *οὓς ὁ Σολ. ἐπαγ.* cz *ὃ δὲ Σ. ἐπαγ.* (*ἀπαγ.* m) y *om.* d *et post μιᾷ inserit ἅμα αὐτοῖς.* Proc.: *καὶ Σολόμωνα ἐπαγόμενος.* — *Σολομῶν* z. — *μιᾷ νηΐ*] *μὴ ἀνίην* f *μὴ ἀνιεὶν* em. — 21 *κατέπλευσε* y Proc. *ἀπέπλευσε* xz. — 23 *ὥρμηντο* x Proc. *ὥρμησαν* yz. — 24 *ἐγείρας* z *ἀγείρας* f *sed ἀ in lit. sec. m.* — 25 *ἐποιήσαντο* y. — *Μέμβρεσαν* d *Μεμβρεσαν sine acc.* c *Μεμβράσαν* fh *Μεμβρᾶσαν* em *Μεμβράσων* g *Μέμβρησαν* Proc. — 26 *κόσμῳ οὐδενί*] *ἀκόσμως* d. — *περιόντας* xy. — 27 *Νουμηδίαν* efx *Νουμηδείαν* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀφικόμενοι συνελέγοντο. ὀλίγοι δὲ ἐν τῷ πολέμῳ τούτῳ ἀπέθανον,
καὶ αὐτῶν οἱ πλεῖστοι Οὐανδῆλοι ἦσαν. ἐφείδετο δὲ τῶν Ῥωμαίων
Proc. I, 481 Βελισάριος. ‖ ληϊσάμενος δὲ τὸ στρατόπεδον αὐτῶν εὗρέ τε χρήματα
πολλὰ καὶ γυναῖκας, δι' ἃς καὶ ὁ πόλεμος κατέστη. ταῦτα Βελισά-
ριος διαπραξάμενος εἰς Καρχηδόνα ἀπήλαυνεν. ἐλθὼν δέ τις ἐκ
Σικελίας ἀπήγγειλεν, ὡς στάσις ἐν τῷ στρατοπέδῳ ἐπιπεσοῦσα τὰ
πράγματα ἀνασοβεῖν μέλλοι, εἰ μὴ αὐτὸς διὰ τάχους καταλάβοι·
διαθέμενος δὲ τὰ ἐν Λιβύῃ, ὡς ἠδύνατο, Ἰλδίγερι τε καὶ Θεοδώρῳ
Proc. I, 482 παραδοὺς Καρχηδόνα εἰς Σικελίαν ἦει. ‖ ταῦτα ἀκούσας Ἰουστινιανὸς
Γερμανόν, τὸν ἀνεψιὸν αὐτοῦ, ἄνδρα πατρίκιον, εἰς Λιβύην σὺν
ὀλίγοις τισὶν ἔπεμψε σὺν Δομνίκῳ καὶ Συμμάχῳ, ἀνδράσι σοφοῖς. ‖
Proc. I, 483 γενόμενος δὲ ἐν Καρχηδόνι τούς τε στρατιώτας ὁ Γερμανὸς ἠρίθμει,
καὶ τῶν γραμματέων τὰ βιβλία, ἐν οἷς τῶν στρατιωτῶν τὰ ὀνόματα
ἐνεγέγραπτο, ἀναλεξάμενος εὗρε τὸ μὲν τρίτον μέρος τοῦ στρατοῦ
ἔν τε Καρχηδόνι καὶ ταῖς ἄλλαις πόλεσιν ὑπὲρ τοῦ βασιλέως εἶναι,
τοὺς δὲ ἄλλους ἅπαντας τῷ τυράννῳ συντεταγμένους. διὰ τοῦτο
317 B πρὸς μάχην μὲν οὐχ ὑπεξέβη, τοῦ δὲ στρατοῦ ἐπεμελεῖτο. ἐπεφθέγγετο
δὲ παρὰ τοῦ βασιλέως σταλῆναι, ὅπως τοῖς ἠδικημένοις στρατιώταις
ἐπαμύνῃ, κολάσῃ δὲ τοὺς ἀδικίαν εἰς αὐτοὺς ἄρξαντας. τούτων οἱ
στρατιῶται ἀκούσαντες τῶν λόγων κατ' ὀλίγον αὐτῷ προσεχώρουν.
ὁ δὲ Γερμανὸς αὐτοὺς σὺν πολλῇ φιλοφροσύνῃ ἐδέχετο, καὶ τὰ πιστὰ
δοὺς ἐν τιμῇ εἶχε καὶ τὰς φόγας αὐτῶν παρεῖχεν. ἐπεὶ δὲ ὁ τούτων
λόγος περιφερόμενος εἰς πάντας ἦλθεν, ἀποταξάμενοι τὸν τύραννον
εἰς Καρχηδόνα ἦλθον. ὁ δὲ Στότζας τοῦ κακοῦ ἤδη αἰσθόμενος, ‖
Proc. I, 484 τοὺς ἀπομείναντας ἐπιρρώσας ἐπὶ Καρχηδόνα ἤλαυνεν. ὁ δὲ Γερ-
Proc. I, 486 μανὸς ἐξοπλίσας τὸ στράτευμα κατ' αὐτοῦ ἐχώρει. ‖ ὁ δὲ σὺν αὐτῷ
στρατὸς προθυμίαν πολλὴν ἐπιδειξάμενος εὐνοεῖν τῷ βασιλεῖ τὸν
στρατηγὸν ἔπειθον. τούτους ἑωρακότες οἱ μετὰ Στότζα καὶ δειλίᾳ
κατασχεθέντες ἀνεχώρησαν ἐπὶ Νουμιδίαν. ὁ δὲ Γερμανὸς παντὶ
Proc. I, 487 τῷ στρατῷ οὐκ εἰς μακρὰν ἦλθεν, ‖ καὶ τούτους καταλαβὼν εὗρεν,
174 P ὅτι συνέμιξαν αὐτοῖς Μαυρουσίων βαρβάρων μυριάδες πολλαί, ὧν

---

2 *Οὐανδῆλοι* z *Οὐανδηλοί rell.* — 3 ὁ *Βελισ.* m. — 6 *ἐν delendum vid.* — 8 *δέ om.* g. — *Ἰλδίγερι* Proc. *Ἰλδήγερι* x *Ἠλδιγέρδι* f h *Ἠλδιγέρδι* m *Ἰλδηγέρδῃ* g *Ἠλδηγέρδῃ* e. — 9 *εἰς*] *ἐπί* d. — 11 *ἔπεμπε* c. — *Δομνίσκῳ* m. — 13 *γραμματῶν* e *γραμμάτων rell. corr.* Classen. — *βιβλίδια* x. — *ἐν om.* x. — 14 *ἀναλεξ. δέ* h. — 16 *διὰ τοῦτο μὲν πρὸς μάχην* yz. — 17 *οὐκ* y. — *ἐπεφθέγγοντο* em. — 18 *τοὺς ἠδικημένους στρατιώτας* yz. — 19 *ἐπαμύνει* h. — *κολάσει* yz. — *ἀδικίας?* — 20 *στασιῶται* Proc. — *τῶν λόγων* dh *τὸν λόγον* cgy. — 21 *σύν*] *ἐν* c. — 22 *δούς* x Proc. *διδούς* yz. — *ῥώγας* em. — 23 *λόγος om.* y. — 24 *ἦλθον εἰς Καρχ.* g. — *Τζότζας* gy *Τζῶτζας* h. — 25 *ἀπομείνοντας* h. — 26 *ἐξοπλήσατο τὸ στρ.* f. — *κατ' αὐτούς* em. — 28 *Στζότζα* c *Τζότζα* efg *Τζῶτζα* h *Τζότζαν* m. — 29 *καταχωσθέντες* y. — *Νουμηδίαν* efgx *Νουμηδείαν* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰαύδας τε καὶ Ὀρταΐας ἦρχον. ‖ συμβαλόντες δὲ πόλεμον, καὶ τῆς Proc. I, 489
μάχης κραταιᾶς γενομένης, τὸν Γερμανοῦ ἵππον τις τῶν πολεμίων
ἔκτεινεν. πεσὼν δὲ ἐπὶ γῆς Γερμανὸς εἰς κίνδυνον ἦλθεν, εἰ μὴ 318 B
τὸ τάχος οἱ δορυφόροι φραξάμενοι ἔφερον ἵππον καὶ τοῦτον ἀνεβί-
βασαν. τρέπονται τοίνυν οἱ στρατιῶται, καὶ ὁ Στότζας ἐν τῷ θορύβῳ
τούτῳ σὺν ὀλίγοις διαφυγεῖν ἴσχυσεν. ὁ δὲ Γερμανὸς τοῖς ἀμφ'
αὐτὸν ἐγκελευσάμενος εὐθὺς ἐπὶ τὸ στρατόπεδον τῶν πολεμίων ὥρ-
μησε καὶ τοῦτο παρέλαβε πολέμῳ. ἐνταῦθα δὲ τὰ χρήματα οἱ στρα-
τιῶται οὐδενὶ λόγῳ ἁρπάζοντες τοῦ στρατηγοῦ λόγον οὐκ ἐποιοῦντο. ‖
δείσας δὲ ὁ Γερμανός, μὴ συμφρονήσαντες οἱ πολέμιοι ἐπ' αὐτὸν Proc. I, 490
ἴωσιν, ἵστατο ὀδυρόμενος καὶ πρὸς εὐκοσμίαν τούτους παρακαλῶν.
οἱ δὲ Μαυρούσιοι τὴν τροπὴν θεασάμενοι κατὰ τῶν στασιαστῶν
ὥρμησαν καὶ τούτους ἐδίωκον σὺν τῷ τοῦ βασιλέως στρατῷ. Στότζας
δὲ τὸ θάρσος εἰς αὐτοὺς ἔχων, ἑωρακὼς τὰ ὑπ' αὐτῶν γινόμενα
μετὰ ρ' εἰς φυγὴν ἐτράπη καὶ εἰς Μαυριτανίαν τὴν ἐνδοτέραν
ἐχώρησεν. καὶ ἡ στάσις ἐν τούτοις ἐτελεύτα. ‖ Γερμανὸν δὲ σὺν Proc. I, 493
Δομνίκῳ καὶ Συμμάχῳ μεταπεμψάμενος ὁ βασιλεὺς εἰς Βυζάντιον
Σολόμωνι πάλιν τὰ τῆς Λιβύης πράγματα ἐνεχείρισεν, (τρισκαιδέκατον
δὲ ἔτος ἦν τοῦτο τῆς Ἰουστινιανοῦ βασιλείας) παρασχόμενος αὐτῷ
ἄρχοντάς τε ἄλλους καὶ Ρουφῖνον καὶ Λεόντιον καὶ Ἰωάννην, τὸν
Σισιννίου υἱόν. Σολόμων δὲ καταπλεύσας εἰς Καρχηδόνα μετρίως 319 B
τὸν λαὸν ἐξηγεῖτο καὶ Λιβύην ἀσφαλῶς διεφύλαττεν, διακοσμῶν τε
τὸν στρατόν, [καὶ] εἴ τινα ὕποπτον ἐν αὐτῷ εὕρισκεν, εἰς Βυζάντιον
ἔπεμπεν. ‖ Βελισάριος δὲ τήν τε Σικελίαν καὶ Ῥώμην ὑπὸ Οὐιττίου
κατεχομένην καὶ τὰς πέριξ πόλεις παραλαβὼν Οὐίττιον εἰς Βυζάν-
τιον πρὸς Ἰουστινιανὸν ἦγαγε μετὰ τῆς γυναικὸς καὶ τῶν τέκνων
αὐτοῦ, καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ναρσῆν τὸν κουβικουλάριον μετὰ
στόλου ἐν τῇ Ῥώμῃ πρὸς τὸ διακρατῆσαι τὰ ἐκεῖσε. ‖ Σολόμων δὲ Proc. I, 493
τὰ ἐν Καρχηδόνι καὶ Λιβύῃ καλῶς διοικήσας κατὰ Μαυρουσίων
ἐστράτευσεν. καὶ πρῶτον ‖ μὲν Γόνθαριν, τὸν αὐτοῦ δορυφόρον, Proc. I, 494
ἄνδρα ἀγαθὸν εἰς τὰ πολέμια, σὺν στρατεύματι ἔπεμψεν, ὅστις εἰς

---

1 Ἰαυδάς h Ἰούδας *rell.* Ἰάβδας Proc. — Ὀρταΐας Proc. ὁ Ἀρταΐας dm ὁ Ἀρταΐας f ὁαρταΐας e ὁαρταΐας *sine spir.* c Ἀρταΐας z. — 2 γινομένης g γεναμένης f. — τῶν—ἵππων g. — 4 ἐνεβίβασαν y. — 5 στασιῶται Proc. — Στζότζας c Τζότζας gy Τζῶτζας h. — 6 ἀμφ' αὐτῶν ef ἀμφ' αὐτοῦ m. — 10 δείσας x Proc. νοήσας yz. — μὴ *om.* em. — 11 ἴσωσι h εἴσωσι g ἥσωσι y. — 12 στρατιωτῶν xz στασιωτῶν Proc. — 13 Τζότζας gy Τζοῦτζας h. — 14 γενόμενα mz. — 18 Σολομῶνι h. — ἐνεχείρησεν dhy. — 20 Ἰωάννιον em. — 21 Σισινίου h Σισιννιόλου Proc. — Σολομῶν z Σολώμον em *item v.* 28. — 22 τῶν λαῶν x. — 23 καὶ *om.* d. — ἐν αὐτοῖς x. — ηὕρισκεν hy. — 24 ἀπέπεμπεν g. — δέ] τε h. — Ἰουττίου z Οὐγίου xyA Οὐιττίγου *leg.* — 25 Οὐίττιον y Vitium A Ἰούττιον xy. — 27 Ναρσήν gxy. — 30 Γόνθαριν Proc. Γύθαριν x Γονδάριον ehm Γογδάριον g Γορδάριον f. — 31 ἀγαθὸν καὶ εἰς yz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Βίγαν ποταμὸν ἀφικόμενος εἰς Βαύγαϊν, πόλιν ἔρημον, ἐστρατοπεδεύσατο. ἐνταῦθα δὲ μάχης γενομένης, ἡττηθεὶς καὶ εἰς τὸ χαράκωμα ἀποχωρήσας ὑπὸ τῆς τῶν Μαυρουσίων προσεδρίας ἐπιέζετο.
Proc. I, 495 *Σολόμων δὲ πλησίον γενόμενος καὶ ταῦτα μαθὼν κατὰ τάχος ἦει.*
175 P *οἱ δὲ βάρβαροι δείσαντες ἀναχωροῦσι καὶ εἰς τὸν Αὐρασίου ὄρους* 5
πρόποδα στρατοπεδεύουσιν. ὁ δὲ Σολόμων τούτοις συμβαλὼν εἰς
320 B *φυγὴν ἔτρεψεν. οἱ δὲ Μαυρούσιοι ἐπὶ τὴν δυσχωρίαν τοῦ ὄρους ἔφυγον καὶ ἐπὶ Μαυριτάνους ᾤχοντο. Σολόμων δὲ τὰς ἐν Μουγάδῃ πεδιάδας λῃϊσάμενος καὶ πᾶσαν τὴν γῆν αὐτῶν πυρπολήσας σῖτόν*
Proc. I, 496 *τε πολὺν κομισάμενος εἰς Ζερβούλην τὸ φρούριον ἀνέστρεψεν. ‖ ἔνθα* 10
Ἰαύδας σὺν δισμυρίοις Μαυρουσίοις προσέφυγεν. Ἰαύδας δὲ καταλιπὼν τὸ φρούριον εἰς τὸ τοῦ Αὐρασίου ὄρος εἰς ὕψος ἀναβὰς ἡσύχαζεν. Σολόμων δὲ Ζερβούλην τὸ φρούριον εἰς τρεῖς ἐπολιόρκησεν ἡμέρας, καὶ πάντα τὰ ἐν αὐτῷ λῃϊσάμενος φύλακάς τε εἰς
Proc. I, 498 *αὐτὸ καταστήσας ἐπὶ τὰ πρόσω ἐχώρει. ‖ καὶ διεσκοπεῖτο, ὅθεν εἰς* 15
τὴν κορυφὴν τοῦ ὄρους δυνηθείη γενέσθαι ἀποτόμου τε ὄντος καὶ πολλῇ δυσχερείᾳ κατεχομένου. ὁ δὲ Θεὸς πόρον ἐν τῇ ἀπορίᾳ
Proc. I, 499 *ἐποίησεν οὕτως. ‖ εἷς τῶν στρατιωτῶν τοῦ πεζικοῦ στρατοῦ, ὀπτίων ὤν, Γένζων ὀνόματι, εἴτε θυμῷ χρώμενος, εἴτε τι θεῖον αὐτὸν ἐκίνησεν, ἐπὶ τοὺς πολεμίους ἀνέβαινε μόνος. ὀπίσω δὲ τούτου τινὲς* 20
συστρατιῶται ἠκολούθουν ἐν θαύματι μεγάλῳ ποιούμενοι τὸ γινόμενον, τρεῖς δὲ τῶν Μαυρουσίων οἱ εἰς τὸ φυλάσσειν τὴν εἴσοδον τεταγμένοι ἰδόντες τὸν ἄνθρωπον ὑπήντων δρόμῳ νομίσαντες πρὸς αὐτοὺς ἀνιέναι. ὁ δὲ καθ' ἕνα τούτους ἐρχομένους διὰ τὴν στενο-
321 B *χωρίαν τοῦ τόπου τόν τε πρῶτον ἀνεῖλεν, ὁμοίως καὶ τὸν ἄλλον σὺν* 25
τῷ τρίτῳ. τοῦτο κατιδόντες οἱ ὄπισθεν ἰόντες πολλῷ θορύβῳ τε καὶ ταραχῇ ἐπὶ τοὺς πολεμίους ἐχώρουν. ὡς δὲ τὸ γενόμενον ἤκουσέ

---

1 Ἀβίγαν Proc. — Βαύγαϊν d (Βάγαϊν Proc.) Βαυγάη z Βαγγαή f Βαυγαῆ e Βαυγαη *sine acc.* c Βανγαῆ m. — ἐρμόν df ἑρμόν em ερμον *sine acc. et spir.* c. — ἐστρατοπεδεύσαντο h. — 3 προσεδρείας h προεδρίας dgy. — 4 Σολομῶν z Σολώμον em *item v.* 6. 8. — 5 εἰς τὸν Ἀβρασίου (τὸ Ναβρ. d) ὄρους πρόποδα x εἰς τὸ Ἀβρασίου ὄρος πρόποδα y εἰς τὸ Αὐράσιον ὄρος πρόποδα z. — 6 στρατοπέδευον y. — 8 ἐπὶ Μαυριτάνου g. — Ταμουγάδη Proc. — 9 πεδιάδας d πεδιάς mz πεδιᾶς e πεδίας f πεδιας *sine acc.* c. — 10 Σερβούλην x Ζερβοῦλιν h. — 10 ἀνέστρεψεν — 12 τὸ φρούριον *om.* f *et* e *in textu* ἀνέτρεψεν — δισμυρίους *et* λιπὼν τὸ φρούριον e *pr. m. in mg.* Μαυρουσίους — κατα- *om.* e *et* m. — 11 Ἰάβδας Proc. Ἠαυδάς c ἡ αὐδάς mz *mg.* e ἣν Αὔδας d. — προσπεφευγώς· ὃς καταλιπών d. — Ἠανδάς c ἡ αὐδάς z. — 12 Αὐρουσίου yz. — ὄρους c. — 13 Σολυμῶν z. — ἐπολιώρκησε z. — 14 εἰς αὐτό y ἐν αὐτῷ xz. — 17 δυσχερία f h δυσχορεία e. — ἐν *om.* x. — 18 εἷς τῶν στρατιωτῶν x Proc. εἰς τὸν στρατόν yz. — ὀπτίων ὤν g ὀπτιώνων f ὀπτιώνων em. — 19 Γέζων h Proc. — 21 συνστρατιῶται ehm στρατιῶται c. — γιγνόμενον c. — 23 ὑπήντουν emxz ὑπήντων f *sed* ω *sec. m. in lit.* — πρὸς αὐτόν em. — 24 κατένα yz. — 25 ὁμοίως *om.* x. — 26 τοῦτο *om.* f. — ὄπιθεν gx. — ὄντες f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε καὶ εἶδεν ἡ τῶν Ῥωμαίων στρατιά, οὐδὲ τὸν στρατηγὸν ἀναμείναντες οὐδὲ τὰς σάλπιγγας, οὐδὲ τὴν τάξιν φυλάξαντες, ἀλλὰ πατάγῳ τε πολλῷ χρώμενοι καὶ ἀλλήλους ἐγκελευόμενοι ἔθεον ἐπὶ τὸ τῶν πολεμίων στρατόπεδον. ἐνταῦθα Ῥουφῖνός τε καὶ Λεόντιος ἔργα ἐπεδείξαντο εἰς τοὺς πολεμίους ἀρετῆς ἄξια. αὐτίκα οἱ βάρβαροι εἰς φυγὴν ὅπου ἕκαστος ἠδύνατο ἤεσαν. ‖ Ἰαύδας δὲ πληγεὶς Proc. I, 500
ἀκοντίῳ τὸν μηρὸν διέφυγέ τε καὶ εἰς Μαυριτάνους ἀπεχώρησεν. οἱ δὲ Ῥωμαῖοι διαρπάσαντες τὸ τῶν πολεμίων στρατόπεδον οὐκέτι τὸ Αὐράσιον ὄρος κατέλιπον, ἀλλὰ φρούρια οἰκοδομησάμενοι τοῦτο φυλάττουσιν. ἦν δέ τις πέτρα ἀπότομος πάνυ, ἐν ᾗ πύργον οἰκοδομήσαντες οἱ Μαυρούσιοι ὀχυρὰν ταύτην ἐποίησαν καταφυγήν, ἰσχυράν τε καὶ ἀμαχωτάτην. ἐνταῦθα ἐτύγχανεν Ἰαύδας τά τε χρήματα αὐτοῦ καὶ τὰς γυναῖκας ἀποθέμενος καὶ ἕνα φύλακα γέροντα τῶν χρημάτων καταστησάμενος. οὐ γὰρ ἄν ποτε ὑπετόπησε τοὺς πολεμίους εἰς τόνδε τὸν πύργον ἀφίξεσθαι, οὐδὲ βίᾳ τοῦτον ἑλεῖν δύνασθαι. οἱ δὲ Ῥωμαῖοι τὰς τοῦ Αὐρασίου δυσχωρίας διερευνώμενοι 176 P
ἐνταῦθα ἦκον· καὶ αὐτῶν τις ἀναβαίνειν εἰς τὸν πύργον σὺν γέλωτι 322 B
ἐνεχείρησεν. αἱ δὲ γυναῖκες τοῦτον κατεγέλων σὺν τῷ πρεσβύτῃ. ὁ δὲ Ῥωμαῖος, ἐπειδὴ χερσὶ καὶ ποσὶν ἀναβαίνων ἐγγύς που ἐγεγόνει, σπασάμενος τὸ ξίφος ἐξήλατο καὶ τοῦ γέροντος εἰς τὸν αὐχένα ἐπιτυχὼν τούτου τὴν κεφαλὴν ἐξέτεμεν. ‖ οἱ δὲ στρατιῶται θαρροῦντες Proc. I, 501
ἤδη καὶ ἀλλήλων ἐχόμενοι εἰς τὸν πύργον ἀνέβαινον καὶ τὰς γυναῖκας τά τε χρήματα μεγάλα ὄντα λαβόντες πρὸς Σολόμωνα ἤγαγον. ὁ δὲ Σολόμων τείχη ταῖς ἐν Λιβύῃ πόλεσι περιέβαλεν, καὶ ἐπεὶ Μαυρούσιοι ἀνεχώρησαν ἐκ Νουμιδίας νικηθέντες, Ζάβην τε τὴν χώραν καὶ Μαυριτανίαν καὶ Ἴτιφιν τὴν μητρόπολιν ὑπόφορον Ῥωμαίοις πεποίηκεν. τῆς γὰρ ἑτέρας Μαυριτανίας Καισάρεια ἡ πρώτη μητρόπολις ὑπάρχει. ταύτην δὲ Βελισάριος τὸ πρότερον καθυπέταξεν. διὰ τοῦτο Λίβυες ἅπαντες ὑπήκοοι Ῥωμαίων γεγόνασιν εἰρήνης ἀσφαλοῦς τυχόντες. τετραετίαν δὲ ποιήσαντες ταύτῃ τῇ εἰρήνῃ, ἐν τῷ ιζ' ἔτει Ἰουστινιανοῦ, ‖ Κῦρός τε καὶ Σέργιος, οἱ Βάκχου, τοῦ Σολό- Proc. I, 502

---

1 στρατεία ehm. — 3 τε *om.* ch. — ἀλλήλοις x. — 4 τὸ *om.* em. — 5 αὐτίκα οὖν h. — 6 Ἰαυδὰς δὲ h Ἠαύδας δὲ f Ἠαυδὰς δέ egm Ἠαυδας (*sine acc.*) τε c ὁ δὲ Αὐδάς d. — 7 ὑπεχώρησεν g. — 9 κατέλειπον h. — 12 ἀμαχωτάτην d ἀμαχώτατον *rell.* — Ἰαυδᾶς h Ἠαυδάς cem Ἠαυδᾶς f ἡ αὐδάς g Λύδᾶς d. — 15 ἀφελεῖν d. — 16 Αὐρουσίου yz. — δυσχωρείας em. — 17 καί τις αὐτῶν d. — 18 ἐνεχείρισεν c. — 20 ἐξείλατο h. — 21 ἀπεξέτεμεν d. — 22 ἐνέβαινον h. — καὶ τάς τε γυν. καὶ τὰ χρ. d. — 23 Σολομῶνα ch Σωλόμονα e. — 24 Σολομῶν h. — περιέβαλλεν g. — 25 Νουμηδίας cx Νουμηδείας fh. — 26 Ἴτιφιν] Itiphin A Ἤτιφι *sine spir.* d Ητιφι *sine spir. et acc.* c Ἠτηφη *sine acc.* g Ἠτηφῆ fhm Ἠτηφή e Σίτιφιν Proc. — 31 Κύρος efg. — Βαύχου m Βάκχου f *sed* κ *sec. m. in lit.* — Σολομῶνος h Σολώμονος em Σολομῶντος g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μωνος ἀδελφοῦ, παῖδες, ὑπὸ τοῦ βασιλέως ἀπεστάλησαν ἄρχειν ἐν Λιβύῃ, Πενταπόλεως μὲν Κῦρος, Τριπόλεως δὲ Σέργιος. οἱ δὲ Μαυρούσιοι τοὺς αὐτῶν πρεσβυτέρους εἰς Λεπτιμάγναν τὴν πόλιν
323 B ἔπεμψαν πρὸς Σέργιον, ὅπως δῶρά τε αὐτῷ προσαγάγωσι καὶ τὴν εἰρήνην κρατύνωσιν. Σέργιος δὲ Πουδεντίῳ πεισθείς, ἀνδρὶ Τριπολίτῃ, ὀγδοήκοντα μὲν τῶν βαρβάρων τοὺς δοκιμωτέρους ἐν τῇ πόλει ἐδέξατο πάντα ἐπιτελεῖν τὰ αἰτούμενα ὑπισχνούμενος, καὶ ὅρκοις τὴν εἰρήνην ἐκράτυνεν· τοὺς δὲ λοιποὺς ἔξω ἐν προαστείῳ
Proc. I, 503 ἤλασεν. τούτους δὲ ἐπ' ἄριστον καλέσας ἅπαντας ἔκτεινεν. ‖ εἷς δὲ τούτων λάθρα ἐκπηδήσας τοῖς ὁμοφύλοις τὰ γενόμενα ἐμνήυσεν. οἱ δὲ ταῦτα ἀκούσαντες δρόμῳ ἐπὶ τὸ οἰκεῖον στρατόπεδον ἦεσαν καὶ σὺν πᾶσι τοῖς ἄλλοις ἐπὶ Ῥωμαίους ἐγένοντο. ὁ δὲ Σέργιος σὺν τῷ Πουδεντίῳ τούτοις ἀπήντησεν, καὶ μάχης κροτηθείσης, Πουδέντιος μὲν πολλοὺς ἀποβαλὼν θνήσκει, Σέργιος δὲ εἰς ἄφατον φόβον ἐμπεπτωκὼς ἐπὶ Καρχηδόνα ἔπλευσε πρὸς Σολόμωνα, τὸν αὐτοῦ θεῖον. πᾶσαν δὲ τὴν Τρίπολιν Μαυρούσιοι ἀπέλιπον. οἱ δὲ βάρβαροι ἅπαντα ληϊσάμενοι τὰ ἐκεῖ χωρία ἐξανδραποδίσαντές τε πλῆθος Ῥωμαίων ἐπὶ Πεντάπολιν ἦεσαν. ὁ δὲ Κῦρος γνοὺς φυγὰς εἰς Καρχηδόνα κατέπλει. οἱ δὲ βάρβαροι, μηδενὸς ἀντιστάντος αὐτοῖς, Βερονίκην τὴν πόλιν ἑλόντες ἐπὶ Καρχηδόνα ἐστράτευσαν, καὶ εἰς τὸ Βυζάκιον ἀφικόμενοι
324 B 177 P πλεῖστα ἐξ ἐπιδρομῆς τῶν ἐκεῖ ἐληΐσαντο χωρία. Ἀντάλας δὲ ‖ ἔχθραν
Proc. I, 504 ἔχων πρὸς Σολόμωνα, διότι τὸν αὐτοῦ ἀδελφὸν ἔκτεινεν, τοῖς βαρβάροις ἑνοῦται καὶ κατὰ Καρχηδόνος καὶ Σολόμωνος τούτους ὡδήγησεν. Σολόμων δὲ ταῦτα ἀκούσας, παραλαβὼν τὸ στράτευμα κατ' αὐτῶν ὥρμησεν. ἐλθὼν δὲ εἰς Βέστην τὴν πόλιν ἓξ ἡμερῶν Καρχηδόνος ὁδὸν ἀπέχουσαν ἐν αὐτῇ ἐστρατοπεδεύσατο, ἦσάν τε σὺν αὐτῷ Κῦρος καὶ Σέργιος καὶ Σολόμων ὁ νέος, οἱ τοῦ Βάκχου παῖδες. ἰδὼν δὲ τὸ πλῆθος τῶν βαρβάρων καὶ δειλιάσας ἔπεμψε πρὸς τοὺς ἄρχοντας αὐτῶν μεμφόμενος αὐτούς, ὅτι ἔνσπονδοι Ῥωμαίων ὄντες ὅπλα κατ' αὐτῶν ἐκίνησαν, ἀξιῶν δὲ τὴν εἰρήνην κρατύνεσθαι καὶ

---

1 ἀδελφοὶ παῖδες g. — ἐστάλησαν d. — ἐν om. g. — 2 Κύρος f. — 3 αὐτῶν dhy αυτων sine spir. c ἑαυτῶν g. — Λεπτιμάγναν Proc. Λεπτημάγναν m Λέπτη μάγναν e Λέπτην μάγναν f Λεπτήμαγναν z Λεπτημαγναν sine acc. c Λεπτίμεγναν d. — 6 τοὺς δοκιμ. τῶν βαρβάρων x. — 8 προαστείοις g στρατείᾳ d. — 9 τούτους—ἔκτεινεν om. f. — 11 ἴεσαν z. — 12 σὺν ante πᾶσι om. y. — ἄραντες post ἄλλοις add. z. — ἐπὶ Ῥωμαίοις mz. — 13 Πουβεντίῳ et Πουβέντιος x. — 15 Σολομῶνα h Σολώμονα e item v. 22. — 17 τε om. g τό m. — 18 ἴεσαν efz. — Κύρος de. — 19 μηδεῖνος em μηδῖνος f. — 21 ἐκεῖσε d. — Ἄνταλας dh sine acc. c. — 22 πρὸς Σολ. ἔχων x. — τὸν ἀδελφὸν αὐτοῦ c. — 23 Σολομῶνος h Σολώμονος e. — 24 Σολομῶν z Σολώμον e. — 25 Τεβέστην Proc. — 26 ὁδὸν—σὺν αὐτῷ om. em. — ἐστράτευσεν g. — τε] δὲ fh. — 27 Κύρος defg. — Σολομῶν z. — Βάγχου f. — 28 καὶ δειλιάσας τῶν βαρβάρων g. — 29 ἐνσπονδή f. — 30 ἐκίνουν h. — ἀξιῶν g Proc. ἄξιον rell.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅρκοις βεβαιοῦσθαι. οἱ δὲ βάρβαροι χλευάσαντες τὰ εἰρημένα ἔφησαν· "ἐπειδὴ Σέργιος εἰς τὰ εὐαγγέλια ὁμόσας καλῶς ἐφύλαξε τοὺς ὅρκους ἀποκτείνας τοὺς ὀγδοήκοντα, πῶς νῦν ὑμῶν πιστεύσομεν τοὺς ὅρκους;" ‖ πολέμου δὲ κροτηθέντος, τρέπονται οἱ Ῥωμαῖοι. τοῦ δὲ Proc. I, 505
ἵππου ὀκλάσαντος κτείνεται Σολόμων, καὶ οἱ τούτου δορυφόροι, ‖ Σέργιος δέ, ὁ τούτου ἀνεψιός, τὴν τῆς Λιβύης ἀρχὴν ὑπὸ τοῦ βασι- Proc. I, 506
λέως ἐνεχειρίσθη. Ἰωάννης δὲ ὁ Σισιννιόλου καὶ οἱ λοιποὶ ἄρχοντες μῖσος πρὸς τὸν Σέργιον μέγα ἐκίνησαν, ὥστε μηδὲ ὅπλα κατὰ τῶν 325 B
ἐχθρῶν αἴρειν βούλεσθαι. καὶ οἱ βάρβαροι ἀδεῶς πάντα ἐληΐζοντο.
Ἀντάλας δὲ ἔγραψε τῷ βασιλεῖ Ἰουστινιανῷ, ὅτι ‖ "πάντες Μαυρού- Proc. I, 507
σιοι τὴν σὴν φιλίαν καὶ δουλείαν αἱροῦνται, ἀλλὰ τὴν Σολόμωνος καὶ τῶν τούτου ἀνεψιῶν βιαίαν ἐπαγωγὴν οὐχ ὑποφέροντες ἐτυράννησαν. τούτους παράστειλον, καὶ εἰρήνη Ῥωμαίοις καὶ Μαυρουσίοις συνίσταται." ὁ δὲ βασιλεὺς τοῦτο ποιῆσαι οὐ κατεδέξατο· ‖ ὁ δὲ Proc. I, 509
Ἀντάλας καὶ ὁ τῶν Μαυρουσίων στρατὸς συνήχθησαν αὖθις ἐν Βυζακίῳ, καὶ σὺν αὐτοῖς Στότζας στρατιώτας ὀλίγους καὶ Οὐανδήλους ἔχων. οἱ δὲ Λίβυες παρεκάλουν Ἰωάννην τὸν Σισιννιόλου στράτευμα ἀγεῖραι καὶ κατὰ τῶν πολεμίων χωρῆσαι σὺν Ἰμερίῳ, τῷ ἄρχοντι τῶν ἐν Βυζακίῳ καταλόγων. ὁ δὲ λαβὼν τὸν στρατὸν ἐπὶ
τοὺς πολεμίους ἦει, Ἰμέριον προάγειν κελεύσας. συμβολῆς δὲ γενο- Proc. I, 510
μένης ἡττῶνται Ῥωμαῖοι, ‖ καὶ συλλαμβάνονται οἱ βάρβαροι τὸν Ἰμέριον ζῶντα σὺν τῷ στρατῷ αὐτοῦ· καὶ τοῦτον εἰς φυλακὴν ἀποθέμενοι τοὺς στρατιώτας Στότζᾳ παρέδωκαν ὁμολογοῦντας κατὰ Ῥωμαίων στρατεύεσθαι. παραλαμβάνουσι δὲ δόλῳ διὰ τοῦ Ἰμερίου
Ἀδράμυντον τὴν πόλιν. ‖ καὶ οἱ μὲν τῶν Λιβύων εἰς Σικελίαν κατ- Proc. I, 512
έφυγον, ἄλλοι δὲ εἰς ἄλλας νήσους καὶ εἰς Βυζάντιον. Μαυρούσιοι 326 B
δὲ καὶ Στότζας ἐν ἀδείᾳ πολλῇ τὴν Λιβύην πᾶσαν ἐληΐζοντο. οἱ δὲ ἐν Βυζαντίῳ εἰσελθόντες Λίβυες ἐδέοντο τῷ βασιλεῖ, ὅπως στρά- 178 V
τευμα καὶ στρατηγὸν ἄριστον εἰς Λιβύην ἀποστείλῃ. ‖ ὁ δὲ βασιλεὺς Proc. I, 513

---

1 ἠρημένα f. — 3 ἡμῶν g ἡμῶν ὑμῶν h. — πιστεύσωμεν dgy. — 5 Σολομῶν h. — 7 Σισινιόλου hm. — 8 μήτε emz *om.* f. — τῶν *om.* f. — 9 ἀδεῶς πάντα x Proc. πάντα ἀδεῶς yz. — 10 Ἄνταλας ebm Ἀνταλᾶς f Ἀνταλάς g Ἀνταλας *sine acc.* c Ἄντλας d. — πάντες *om.* em πάντες οἱ Μαυρ. f. — 11 τήν] τοῦ d. — Σολομῶνος h Σολώμονος c. — 12 τῶν—ἀνεψιόν f τὸν ἀνεψιόν em. — τούτων h. — τὴν βιαίαν d. — εὐσαγωγήν (*sic*) h. — οὐ φέροντες d. — 13 καὶ Μαυρουσίοις *om.* y. — 14 ποιῆσαι τοῦτο d. — ὁ δὲ Ἀντ. x Ἀντ. δέ mz Ἄνταλας (*om.* ὁ δέ) ef. — 15 Ἄνταλας dhy Ἀνταλᾶς g *sine acc.* c. — αὖθις] ἄμφω h. — 16 Τζότζας gy Τζῶτζας h. — Οὐανδηλούς df *sine acc.* c. — 17 τὸν] τό y. — Σισινιόλου h. — 18 ἐγεῖραι cz. — Ἠμερίῳ dhy. — 20 Ἠμέριον y Ἠμερίῳ dh Ἰμερίῳ cg. — 21 οἱ Ῥωμαῖοι fm. — 22 Ἠμέριον dhy. — 23 Στοτζᾷ d Τζότζᾳ gy Τζῶτζᾳ h. — 24 τοῦ *om.* d. — Ἠμερίου dhy. — 25 Ἀδράμυντον x Ἀδραμητόν Proc. — 27 Τζότζας gy Τζῶτζας h. — 29 ἀποστείλῃ. ἀπέστειλε δὲ ὁ βασιλεύς?

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀρεόβινδον σὺν στρατιώταις ὀλίγοις, ἄνδρα μὲν εὐγενῆ καὶ εὔβουλον, ἔργων δὲ πολεμίων οὐδαμῶς ἔμπειρον, καὶ σὺν αὐτῷ Ἀθανάσιον καὶ Ἀρμενίους ὀλίγους, ὧν Ἀρταβάνης τε καὶ Ἰωάννης ἦρχον, οἱ Ἀρσακίδαι. οὐ μὴν οὐδὲ Σέργιον μετεπέμπετο, ἀλλὰ καὶ αὐτὸν σὺν Ἀρεοβίνδῳ Λιβύης στρατηγοὺς εἶναι ἐκέλευσεν· Σέργιον μὲν τὸν πόλεμον διενεγκεῖν πρὸς τοὺς ἐν Νουμιδίᾳ βαρβάρους, Ἀρεόβινδον δὲ πρὸς τοὺς ἐν Βυζακίῳ Μαυρουσίους διαμάχεσθαι. Ἀρεόβινδος δὲ τὴν Λιβύην καταλαβὼν καὶ τὸ ἥμισυ τοῦ στρατοῦ παραλαβὼν
Proc. I, 514 Ἰωάννην τὸν Κωνσταντιόλου ‖ κατὰ Στότζα καὶ τῶν βαρβάρων ἀπέστειλεν. Ἰωάννης δὲ τὰ πλήθη τῶν πολεμίων θεασάμενος ἠναγκάσθη χεῖρα αὐτοῖς ἐπιβαλεῖν. ἦν δὲ ἐν ἔχθρᾳ μεγάλῃ μετὰ Στότζα, ὥστε ἑκάτερος ηὔχετο φονεὺς τοῦ ἑτέρου γενέσθαι καὶ οὕτως ἀποθανεῖν. τῆς δὲ μάχης γενομένης, ἀμφότεροι τῶν στρατοπέδων ἐξελθόντες ἐπ' ἀλλήλους ἦλθον. ὁ μὲν οὖν Ἰωάννης τείνας τὸ τόξον
327 B κατὰ τὸν δεξιὸν βουβῶνα τῷ Στότζᾳ ἐπέτυχεν, ὃς μετ' ὀλίγας ἡμέρας τέθνηκεν. οἱ δὲ βάρβαροι θυμῷ πολλῷ ἐπὶ τοὺς πολεμίους χωρήσαντες, πλῆθος ἄπειρον ὄντες, τόν τε Ἰωάννην καὶ Ῥωμαίους ἅπαντας ἀπέκτειναν. τοῦτον δέ φασιν εἰρηκέναι· "ἤδύ τινα θάνατον
Proc. I, 515 θνήσκω, τῆς εὐχῆς μου εἰς Στότζαν πληρωθείσης·" ‖ καὶ ὁ Στότζας μαθὼν τὸν τοῦ Ἰωάννου θάνατον ἐν χαρᾷ ἐτελεύτησεν. θνήσκει δὲ καὶ Ἰωάννης ὁ Ἀρμένιος. ὁ δὲ βασιλεὺς ταῦτα ἀκούσας περίλυπος γέγονε καὶ τὸν Σέργιον τῆς ἀρχῆς παραλύσας μετεπέμψατο, Ἀρεοβίνδῳ δὲ μόνῳ τὴν τῆς Λιβύης ἀρχὴν ἐνεχείρισεν. μετὰ δὲ δύο μῆνας Γονθάριός τις, τῶν ἐν Νουμιδίᾳ καταλόγων ἡγούμενος, δόλον μελετήσας κατὰ Ἀρεοβίνδου λάθρα τοῖς Μαυρουσίοις ἐδήλου, ὅπως κατὰ Καρχηδόνος χωρήσωσιν. αὐτίκα γοῦν ἔκ τε Νουμιδίας καὶ Βυζακίου πολεμίων στρατὸς εἰς ταὐτὸ ἀγηγερμένος ἐπὶ Καρχηδόνα σπουδῇ ἤεσαν. ἡγεῖτο δὲ Νουμιδῶν μὲν Κουτζίνας καὶ Ἰαύδας, Βυζακίων δὲ Ἀντάλας. συνῆν δὲ αὐτοῖς καὶ Ἰωάννης ὁ τύραννος

---

1 *σὺν τοῖς στρατεύμασιν ὀλίγ.* g. — 4 *Ἀρσακίδαι* Proc. *Ἀρσακίδες* z *Ἀρσάκιδες* dem *Ἀρσάκιες* f *Ἀρσακιδες sine acc.* c. — 5 *καὶ Σέργ. μέν* d. — *Σεργίῳ* em *Σέργιον* f *sed ον in lit. sec. m.* — 6 *Νουμηδίᾳ codd. praeter* m. — 7 *τοὺς ἐν Μαυρουσίᾳ Μαυρουσίους βαρβάρους* d *τοὺς ἐν Μαυρουσίᾳ βαρβάρους* c. — 9 *Σισιννιόλου* Proc. — *Τζότζα* gy *Τζῶτζα* h. — 11 *Τζότζα* yz. — 12 *ἑκατέρους* y. — *εὔχετο* c. — 13 *γεναμένης* f. — 14 *ἐπ' ἀλλήλοις* d. — 15 *Στοτζᾷ* x *Τζότζᾳ* gy *Τζότζῳ* h. — 16 *πολλῷ θυμῷ* yz. — 18 *ἡδύν*] *ἡδεῖν* f *ἰδεῖν* em. — 19 *Τζότζαν* gy *Τζῶτζαν* h. — *Τζότζας* yz. — 20 *τὸν Ἰωάννου* z *τοῦ Ἰωάννου* cf. — 21 *ταῦτα om.* f. — 22 *τῆς* d *τε vell.* — 23 *ἐνεχείρησεν* dfh. — 24 *Γοτθάριος* xz. — *Νουμηδίᾳ codd.* — *κατάλογον* y. — 25 *ὅπως*] *καὶ πῶς* h. — 26 *Νουμηδίας* (*-δείας* h) *codd.* — 27 *ἐγηγερμένος* h *et ut vid.* m. — 28 *ἦεσαν* yz. — *Νουμιδῶν* em *Νουμηδῶν* f *Νουμηδίων* xz. — *Κουντζίνας* Proc. *Κουντζίνας* xy *Κουντζῖνας* z. — *Ἰαβδάς* g *Ἰαβδᾶς* h *Ἡαβδάς* em *Ἡαβδᾶς* f *Ἡαυδάς sine spir.* c *Αὐδᾶς* d. — 29 *Βυζακίου* x *Βυζακηνῶν* Proc. — *Ἄνταλας* dyz *sine acc.* c.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

σὺν τοῖς στρατιώταις ἀντὶ Στότζα. ταῦτα γνοὺς Ἀρεόβινδος Γονθαρίῳ ὡς φίλῳ θαρρῶν τὸ στράτευμα παραδοὺς σὺν Ἀρταβάνῃ καὶ τοῖς Ἀρμενίοις κατὰ τῶν πολεμίων ἔστελλεν. ‖ ὁ δὲ Γόνθαρις Proc. I, 516
τὸν ἑαυτοῦ μάγειρον ἐκ Μαυρουσίων ὄντα πρὸς τοὺς βαρβάρους 328 B
ἀπέστειλε πρὸς Ἀντάλαν εἰπεῖν, ὡς αὐτῷ Γόνθαρις βούλεται τῆς Λιβύης ἀρχῆς κοινωνὸν λαβεῖν. ὁ δὲ Ἀντάλας τὸν μὲν λόγον ἀσμένως ἤκουσεν, ἀπεκρίθη δέ, ὡς οὐκ ἀσφαλῶς διὰ μαγείρου τὰ τοιαῦτα 179 P
διοικεῖσθαι. ταῦτα Γόνθαρις ἀκούσας Οὐλίθεον, τὸν αὐτοῦ δορυφόρον, ὡς πιστὸν πρὸς Ἀντάλαν ἔπεμψεν, παρακαλῶν αὐτὸν πλησιάσαι τῇ Καρχηδόνι, ὅπως αὐτὸς τὸν Ἀρεόβινδον ἀνέλῃ. Οὐλίθεος δὲ κρυφῇ τῷ Ἀντάλᾳ συνέτυχεν, καὶ συνεφώνησαν, ἵνα ὁ μὲν Ἀντάλας τοῦ Βυζακίου ἄρχῃ καὶ τὸ ἥμισυ τῶν Ἀρεοβίνδου χρημάτων λάβῃ καὶ χιλίους πεντακοσίους στρατιώτας Ῥωμαίους σὺν αὐτῷ, Γόνθαρις δὲ τὸ βασιλέως ἀξίωμα λάβῃ καὶ Καρχηδόνος τὸ κράτος. ταῦτα διαπραξάμενος Οὐλίθεος ἐπανῆκε πρὸς Γονθάριδα. οἱ δὲ βάρβαροι κατὰ Καρχηδόνος σπουδῇ πολλῇ ἦεσαν. καταλαβόντες δὲ τὸ Δέκιμον καὶ στρατοπεδευσάμενοι ἐν αὐτῷ ‖ τῇ ὑστεραίᾳ ἐπὶ Καρ- Proc. I, 517
χηδόνα ἐχώρουν. ὑπαντήσαντες δὲ τοῦ Ῥωμαίων στρατεύματος ἀπροσδοκήτως αὐτοῖς συνέβαλον καὶ πολλοὺς τῶν Μαυρουσίων ἔκτειναν, οὓς δὴ ὁ Γόνθαρις κακίζων ἐπέσκωπτεν ὡς θρασυνομένους, καὶ τὰ τῶν Ῥωμαίων πράγματα εἰς κίνδυνον φέρειν. ὁ δὲ Ἀρεόβινδος 329 B
πέμψας πρὸς Κουντζίναν παρεκάλει προδότην αὐτὸν γενέσθαι Μαυρουσίων· ὁ δὲ ὡμολόγησε τοῦτο ποιεῖν. ἄπιστον γὰρ τὸ τῶν Μαυρουσίων γένος πρός τε ἀλλήλους καὶ πρὸς ἅπαντας. ταῦτα Ἀρεόβινδος τῷ Γονθάριδι ἐθάρρησεν. ὁ δὲ παρῄνει τῷ Ἀρεοβίνδῳ τῷ Κουντζίνᾳ μὴ πιστεύειν, Οὐλίθεον δὲ ἀποστείλας τῷ Ἀντάλᾳ ταῦτα

---

1 σὺν τοῖς λοιποῖς στ. d. — στρατιώταις fg Proc. στασιώταις em στασιασταῖς hx. — Στοτζᾶ c Στοτζά d Τζότζα yz. — Γοτθαρίῳ x Γογθαρίνῳ y. — 2 παραδούς om. x. — 3 Γόνθαρης h Γότθαρις x Γόγθαρις fm Γογάθαρις e. — 5 Ἄνταλαν dfz sine acc. c. — Γότθαρις x Γόγθαρις y. — 6 Λιβύης d Λιβύος cyz Λιβύων Proc. — Ἄνταλας dz Ἀνταλᾶς f sine acc. ce. — μὲν om. g. — 8 Γότθαρις x Γόγθαρις y Γότθαρος g. — Οὐλήθεον x. — 9 Ἄνταλαν dhy Ἀνταλάν g sine acc. c. — 10 ἀνελεῖ hy. — Οὐλήθεος c Οὐλίθον m. — 11 τῷ Ἀντ. κρυφῇ yz. — τῷ Ἀνταλᾳ d τῷ Ἀνταλα sine acc. c τῷ Ἀνταλῷ g τῷ Ἀνδαλᾳ h τὸν Ἄνταλαν y. — συνεφώνησεν y. — Ἄνταλας dhy Ἀνταλᾶς g sine acc. c. — 12 ἄρχει hy. — 13 λάβοι g. — 14 Γότθαρις gx Γόγθαρις y. — λάβοι yz. — 15 Οὐλήθεος c. — Γονθάριδι h Γοτθάριδα x Γοτθαρίδα g Γογθάριδα e Γογθαρίδα fm. — 16 ἴεσαν yz. — 17 ἐπὶ Καρχηδόνος g. — 18 δέ τινες τοῦ Ῥ. στρ.? — 19 αὐτοῖς om. h. — συνέβαλλον g. — 20 Γότθαρις x Γόγθαρις gy. — θρασυνόμενοι hxy θρασυνόμ$_{\varepsilon}$ g. — 22 Κουντζῖναν g Κουντζιναν sine acc. c. — αὐτοῦ y. — 23 ὁμολόγησεν hy. — γὰρ] δέ d. — 24 ἀλλήλους d et m manu corr. ἄλλους cyz. — 25 τῷ] τό ef. — Γοτθαριδι sine acc. d Γογθαρίδα y Γονθαρίῳ h Γοτθαρι sine acc. c Γόγθαρι g. — 26 Κουτζῖνα g Κουκουτζίνα e Κουντζινά d Κουντζινα sine acc. c. — Οὐλήθεον x Οὐλίσθεον h. — Ἄνταλᾳ dfh Ἀνταλᾶ g sine acc. c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Proc. I, 518 ἐμήνυσεν. ‖ Γόνθαρις δὲ κτεῖναι τὸν Ἀρεόβινδον λάθρα διενοεῖτο καὶ πείθει τοῦτον ἐξελθεῖν τῆς Καρχηδόνος καὶ ἐν τῷ πολέμῳ εὑρεθῆναι. ὁ δὲ Ἀρεόβινδος ἄπειρος τοῦ πολέμου ὤν, τὰ ὅπλα περιβαλέσθαι μὴ δυνάμενος ἀνεβάλετο· καὶ οὕτως ὁ χρόνος προῆλθε τῆς ἡμέρας. διὸ δὴ τὴν παράταξιν εἰς τὴν αὔριον ἀποθέμενος ἡσύχασεν. Γόνθαρις δὲ αὐτὸν ἐξεπίτηδες τὴν μέλλησιν ποιεῖσθαι ὑποπτεύσας, ἅτε τῶν πραττομένων αἰσθόμενον, ἐκ τοῦ ἐμφανοῦς κατ' αὐτοῦ
Proc. I, 519 ἐτυράννησεν. ‖ Ἀρεόβινδος δὲ κατὰ τάχος τὴν Καρχηδόνα καταλιπὼν καὶ φυγῇ χρησάμενος, εἰς ναῦν τε εἰσελθὼν ἐπὶ τὸ Βυζάντιον πορεύεσθαι ἤμελλεν, εἰ μὴ χειμὼν μεταξὺ ἐπιγενόμενος διεκώλυσεν. ἀποστείλας δὲ Ἀθανάσιον ἐν Καρχηδόνι μετεπέμψατό τινας, ἐν οἷς καὶ Ἀρταβάνην, ὅστις πολλὰ παρήνει τῷ Ἀρεοβίνδῳ, μήτε ἀναπεπτωκέναι μήτε δειλιαίνειν καὶ δεδιέναι τὸν Γονθάριδα, ἀλλ' ἐπ' αὐτὸν
330 B ὁμοῦ σὺν πᾶσι τοῖς αὐτῷ ἑπομένοις ἰέναι, πρίν τι περαιτέρω γε-
Proc. I, 520 νέσθαι κακόν. ‖ ὁ δὲ Γόνθαρις τὸν Ἀρεόβινδον εἰς τοὺς στρατιώτας διέβαλλεν ὡς ἄνανδρόν τε καὶ δειλὸν καὶ τὰς ῥόγας τούτοις μὴ βούλεσθαι διδόναι. ὁ δὲ Ἀρεόβινδος σὺν Ἀρταβάνῃ καὶ τοῖς �επο-
180 P μένοις κατὰ Γονθάριδος ἦλθεν. καὶ γίνεται μάχη ἔν τε ταῖς ἐπάλξεσι καὶ ταῖς πύλαις. τῶν δὲ στρατιωτῶν οἱ πλεῖστοι οὐκ ἔγνωσαν τὰ ὑπὸ Γονθάριδος μελετηθέντα, καὶ συναγόμενοι κατ' αὐτοῦ ὡπλίζοντο. ὁ δὲ Ἀρεόβινδος ἰδὼν ἀνθρώπους κτεινομένους, ἀήθης ὢν τοῦ τοιούτου θεάματος, τὴν δειλίαν οὐκ ἐνεγκὼν ἔφυγε καὶ εἰς τὸ τῆς
Proc. I, 521 παραθαλασσίας μοναστήριον, ‖ ὅπερ Σολόμων ἐδείματο καὶ περιετείχισεν ὡς φρούριον ἀσφαλές, εἰς αὐτὸ κατέφυγε σὺν τῇ γυναικὶ καὶ τῇ ἀδελφῇ. τότε καὶ Ἀρταβάνης φυγῇ ἐχρήσατο. Γόνθαρις δὲ κατὰ κράτος νικήσας τὸ παλάτιον ἔλαβεν. μεταπεμψάμενος δὲ τὸν τῆς πόλεως ἀρχιερέα καὶ Ἀθανάσιον τὰ πιστὰ τῷ Ἀρεοβίνδῳ ἐκέλευσε διδόναι καὶ εἰς τὸ παλάτιον αὐτὸν ἀγαγεῖν, ἀπειλήσας πολιορκήσειν αὐτὸν ἀπειθήσαντα καὶ μηκέτι αὐτῷ ὑπὲρ τῆς σωτηρίας τὰ πιστὰ
Proc. I, 522 δώσειν. ὁ δὲ παρὰ τοῦ ἐπισκόπου Ῥεπαράτου τὰ πιστὰ λαβὼν ‖ τῷ
331 B Γονθάριδι εἰς ὄψιν ἦλθε καὶ πρηνὴς πεσὼν ἔκειτο τὴν ἱκετηρίαν

1 *Γότθαρις* gx *Γόγθαρις* y *item v.* 6. — 4 *δυνόμενος* g. — *ἀνεβάλλετο* g. — 7 *αἰσθόμενος* hy *αἰσθόμ*/*ε* g. — 9 *εἰς ναῦτε εἰσ.* chy. — 10 *ἐπιγινόμενος* eh. — 11 *μετεπέμπετο* d. — 13 *μήτε δὲ δειλιᾶν* d. — *δειλιαίνειν καὶ om.* y. — *Γοτθάριδα* xz *Γογθάριδα* y. — 14 *ὁμοῦ om.* em. — *αυτῷ sine spir.* c *ἐπ' αὐτῷ* y. — 15 *κακῶν* g. — *Γότθαρις* gx *Γόγθαρις* y. — 16 *διέβαλεν* x. — *τούτῳ* c *αὐτῶν* d. — 18 *Γοτθάριδος* xz *Γογθάριδος* y *item v.* 20. — *διῆλθεν* f. — *τε om.* y *pr. m. sprscr. in* h. — 19 *ταῖς πύλαις*] *ταῖς λοιπαῖς codd. ταῖς λοιπαῖς πύλαις* Goar. — 20 *κατ' αὐτῶν* d. — 21 *καὶ ἀήθης* d. — 23 *Σολομῶν* z *Σολομών* f. — 25 *Γόνθαρις* e *Γόνθαρι* m *Γότθαρις* xz *Γόγθαρις* f. — 28 *ἀγάγαι* cf *ἀγάγεσθαι* m *sed in mg. εἶχεν ἀγάγαι.* — *πολιορκήσιν* y. — 29 *ἀπιθήσαντα* c. — *τὰ om.* x. — 30 *δόσιν* y. — *Ῥεπανάτου* eh *Ῥεπεάτου* g. — 31 *Γοτθάριδι* x *Γοτθαρίδη* z *Γόγθαρι* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῷ τὰ εὐαγγέλια προτεινόμενος, ἐφ' ἃ τὰ πιστὰ ὁ ἱερεὺς αὐτῷ δέδωκεν. ὁ δὲ Γόνθαρις τοῦτον ἀνέστησεν ὁμωμοκὼς αὐτῷ ἐπὶ πάντων μηδὲν αὐτῷ κακὸν ποιεῖν, ἀλλὰ τῇ ὑστεραίᾳ σὺν τῇ γυναικὶ καὶ τοῖς χρήμασιν αὐτοῦ εἰς Βυζάντιον στέλλεσθαι. τὸν δὲ ἱερέα ἀποπεμψάμενος Ἀρεόβινδον καὶ Ἀθανάσιον συνδειπνεῖν ἐν τῷ παλατίῳ ἔλαβεν. ἐτίμησε δὲ τὸν Ἀρεόβινδον καὶ πρῶτον αὐτοῦ ἐπὶ τῆς στιβάδος κατέκλινεν, δειπνήσαντα δὲ αὐτὸν ἐν κοιτῶνι καθεύδειν ἐκέλευσεν. ἀποστείλας δὲ Οὐλίθεον σὺν ἑτέροις τισὶ κωκύοντά τε καὶ ὀλολυγμοῖς χρώμενον τοῦτον ἔκτεινεν. Ἀθανασίου δὲ ἐφείσατο διὰ τὸ γῆρας. ‖ τῇ δὲ ἐπαύριον τὴν τούτου κεφαλὴν τῷ Ἀντάλᾳ Proc. I, 523
ἐπεμψεν, τὰ δὲ χρήματα κατασχὼν οὐδὲν τούτῳ κατὰ τὰς συνθήκας δέδωκεν. Ἀντάλας δὲ μαθὼν τὰ εἰς Ἀρεόβινδον πεπραγμένα καὶ τὰς τοῦ Γονθάριδος ἐπιορκίας λογισάμενος Ἰουστινιανῷ τῷ βασιλεῖ προσχωρεῖν ἤθελεν. Ἀρταβάνης δὲ τὰ πιστὰ λαβὼν παρὰ τοῦ Γονθάριδος εἰς τὸ παλάτιον σὺν τοῖς Ἀρμενίοις ἀνέβη καὶ τοῦ τυράννου ὑπηρέτης εἶναι ὡμολόγησεν, λάθρα δὲ τοῦτον ἐνελεῖν ἐβουλεύετο. Γρηγορίῳ δὲ τῷ ἀνεψιῷ καὶ Ἀρτασηρίῳ τῷ ‖ δορυφόρῳ θαρρήσας Proc. I, 524
τὸ βούλευμα ἔφη αὐτῷ Γρηγόριος· "νῦν σοί, Ἀρταβάνη, πάρεστι 332 B
μόνῳ τὸ Βελισαρίου ἀναδήσασθαι κάλλος. ὁ μὲν γὰρ στρατιάν τε καὶ χρήματα μεγάλα παρὰ βασιλέως λαβὼν καὶ ἄρχοντας συνεπομένους καὶ στόλον, οἷον οὐδέποτέ τις ἠκηκόει, πόνῳ πολλῷ τοῖς Ῥωμαίοις τὴν Λιβύην ὑπόφορον κατεστήσατο· νῦν δὲ ὡς ἐξ ἀρχῆς πάλιν γέγονεν εἰς τὸ ἀρχαῖον Λιβύη ἀποστατήσασα, ἐν σοὶ μόνῳ κεῖται ταύτην πάλιν τῷ βασιλεῖ προσενεγκεῖν καὶ τὰ πράγματα διασώσασθαι. λογίζου δὲ τὸ σὸν γένος, ὅτι Ἀρσακίδης ἀνέκαθεν εἶ, καὶ ὅτι εὐγενὴς ὢν ἀνδραγαθίζεσθαι ἀεὶ πρέπει καὶ πολλὰ ἔργα ὑπὲρ ἀρετῆς ἐπιδεικνύειν. νέου γὰρ σοῦ ὄντος, ἐνθυμήθητι ὡς Ἀκάκιον, τὸν Ἀρμενίων ἄρχοντα, καὶ Τζίταν, τὸν Ῥωμαίων στρατηγόν, ἐν πολέμοις ἔκτεινας Χοσρόῃ τε, τῷ βασιλεῖ τῶν Περσῶν,

---

1 ὁ *ἀρχιερεύς* d. — 2 *Γότθαρις* xz *Γόγθαρις* y. — *τοῦτο* c. — 4 *ἀρχιερέα* d. — 5 *συνδειπνεῖν om.* d *δειπνεῖν* h. — 6 *αὐτόν* Proc. — 7 *καθευδῆσαι* d. — 8 *Οὐλήθεον* c. — *κοκύοντα* y *κοκκύοντα* z. — 9 *Ἀθανασίῳ* yz. — 10 *διὰ γῆρας* mg *διαγήρας* de *δι' ἀγείρας* h. — *Ἀνταλᾳ* dfh *Ἀνταλᾷ* g *Ἀνταλᾴ* em *sine acc.* c. — 11. 12 *δέδωκε κατὰ τὰς συνθήκας* d. — 12 *Ἀνταλας* dfh *Ἀνταλᾶς* g *sine acc.* c. — 13 *Γοτθάριδος* xz *Γογθάριδος* y *item v.* 14. — 14 *Ἀρταβάνη* y. — 16 *δὲ*] *τε* d. — 17 *Ἀρτασιρίῳ* fh. — *τῷ δορυφόρῳ om.* h. — 18 *νῦν* ef. — *πάρεστη* hy. — 19 *τῷ Βελισαρίῳ* h. — *κάλλος*] *κλέος* Proc. — *στρατείαν* yz *στρατίαν* d *στρατιαν sine acc.* c. — 20 *συνεπόμενος* ehm. — 22 *τὴν Λιβύην τοῖς Ῥωμαίοις* y. — 23 *ἀποστήσασα* f. — 25 *ὅτι σαρκίδης* y. — *ἀνέκαθεν, εἰ καὶ* cegm *ἀνεκάθισεν, εἰ καὶ* f. — 26 *πρέπεις* xz. — 27 *ὅσα Ἀκάκιον* xz *ὡσάκιον* m *ὡσάκων* c. — 28 *Ἀρμενίον* e *corr. ex Ἀρμένιον. Ἀρμένιον rell.* — *Τζίταν* x *Τζίτζαν* y *Τζιτζᾶν* z *Σίτταν* Proc. — *τόν*] *τῶν* h. — 29 *τῶν Περσῶν om.* m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Proc. I, 525 συνεστράτευες. τοιοῦτος δὲ ὢν μὴ περιΐδῃς ‖ τὴν Ῥωμαίων ἀρχὴν
ὑπὸ κυνὸς μεθύοντος κατεχομένην. ἐγὼ δέ σοι καὶ Ἀρτασήριος ὅσα
εἰς δύναμιν ἐπιτάττοντι ὑπουργήσομεν.” Γόνθαρις δὲ τὸν Ἀρτα-
Proc. I, 526 βάνην ἡγεῖσθαι τοῦ στρατοῦ ἐπί τε Ἀντάλαν καὶ Μαυρουσίους τοὺς
ἐν Βυζακίῳ ἐκέλευσε χωρεῖν. ‖ συνῆν δὲ αὐτῷ καὶ Ἰωάννης, ὁ τῶν
στασιαστῶν ἄρχων, καὶ Οὐλίθεος ὁ δορυφόρος· εἵποντο δὲ αὐτῷ
καὶ Μαυρούσιοι, ὧν Κουτζίνας ἦρχεν. συμβαλὼν δὲ τῷ Ἀντάλᾳ
333 B καὶ τοῖς βαρβάροις τούτους ἐτρέψατο. ἐθελοκακήσας δὲ Ἀρταβάνης,
ἐκ τοῦ αἰφνιδίου στρέψας τὸ βάνδον εἰς τὸ στρατόπεδον ἤλαυνεν.
Οὐλίθεος δὲ κτεῖναι τοῦτον εἰς τὸ στρατόπεδον διενοεῖτο. Ἀρτα-
βάνης δὲ ἔφασκε δεῖσαι, μὴ ἐξ Ἀδραμύτου τῆς πόλεως ἐξελθόντες
οἱ βάρβαροι βοηθήσωσι τοῖς ἐναντίοις καὶ ἀνήκεστα ἔργα εἰς ἡμᾶς
πράξωσιν· ἀλλὰ Γονθάριδα σὺν παντὶ τῷ στρατῷ ἐληλυθέναι, καὶ
Proc. I, 527 οὕτως πάντας ἐλεῖν. ‖ καὶ ἀναστρέψας εἰς Καρχηδόνα τῷ τυράννῳ
ταῦτα ἀπήγγειλεν. ὁ δὲ τύραννος τῷ Πασιφίλῳ βουλευσάμενος
ἅπαντα μὲν διενοήθη τὸν στρατὸν ἐξοπλίσαι καὶ σὺν αὐτῷ στρατεύ-
σασθαι, φύλακας δὲ μόνους τῇ πόλει καταλιπεῖν. καθ’ ἑκάστην δὲ
ἡμέραν πολλοὺς ἀνῄρει ὁ Γόνθαρις ἐξ ὑποψίας. ἐξελθὼν δὲ τῆς
Καρχηδόνος ἐν προαστείῳ, οὗ δὴ στιβάδες ἦσαν ἐκ παλαιοῦ τρεῖς,
ἐν αἷς κατεκλίθη σὺν Ἀρταβάνῃ καὶ Ἀθανασίῳ καὶ Πέτρῳ, τῷ δορυ-
φόρῳ Σολόμωνος. Ἀρταβάνης τοίνυν τὸν καιρὸν ἐπιτήδειον εἰς τὸν
Proc. I, 528 τοῦ τυράννου φόνον οἰόμενος ‖ Γρηγορίῳ τε καὶ Ἀρτασηρίῳ καὶ
δορυφόροις πιστοῖς τρισὶ τὸ πρᾶγμα ἐθάρρησεν· καὶ τοὺς μὲν δορυ-
φόρους σὺν τοῖς ξίφεσιν ἔνδον ἐκέλευσε γενέσθαι· ἀρχόντων γὰρ
ἑστιωμένων ὄπισθεν ἑστάναι δορυφόρους νόμος ἦν. ἐγχειρεῖν δὲ
ἄφνω τὸ πρᾶγμα ἐκέλευσεν, ἡνίκα αὐτὸς τὸν καιρὸν αὐτοῖς διὰ νεύ-
334 B ματος ποιήσῃ, τὸν Ἀρτασῆριν κελεύσας πρῶτον τοῦ ἔργου ἔχεσθαι
τῷ δὲ Γρηγορίῳ ἐπέταττε τῶν Ἀρμενίων πολλοὺς τοὺς εὐτολμοτά-
τους ἀπολεξάμενον εἰς τὸ παλάτιον παρεῖναι τὰ ξίφη μόνα ἐπι-
182 P
Proc. I, 530 φερομένους, καὶ αὐτοῖς τὸ μὲν βούλευμα μηδενὶ ἐξειπεῖν. ‖ προϊόντος
δὲ τοῦ πότου, καὶ τοῦ Γονθάριδος καταβεβρεγμένου τῷ οἴνῳ,

---

1 τήν] τῶν g. — 3 ὑπουργήσωμεν gxy. — Γότθαρις xz Γόγθαρις y. — 4 Ἄνταλαν dhy Ἀνταλᾶν g *sine acc.* e. — 5 ὁ *om.* y. — 7 ὧν] οὗς y. — Κουντζίνας e. — Ἀνταλᾳ d Ἀνταλᾷ g Ἀνταλᾳ *sine acc.* e Ἄνδαλα h. — 8 τοὺς βαρβάρους y. — ἔτρεψεν z. — 10 Οὐλήθεος c. — 11 Ἀδραμύντου x. — 13 Γοτθάριδα hx Γογθάριδα g Γογθαρίδα y. — 15 τῷ πᾶσι φίλῳ cm τὸ πᾶσι φίλον d. — 17 φύλ. τε μόν. yz. — 18 ὁ *om.* x. — Γότθαρις xz Γόγθαρις y. — 21 τοῦ Σολομῶνος h. — 22 Γρηγόριον y. — Ἀρτασήριν y. — 23 πιστοῖς *om.* x. — τρισίν y Proc. τισίν xz. — 25 ἑστιωμένων c Proc. ἑστιομένων dy ἐσθιομένων g ἐσθιωμένων h. — ὄπιθεν x. — νόμος] μόνους c. — 26 τὸ πρᾶγμα ἄφνω h. — 27 ποιήσει fz. — Ἀρτασήριν hy Ἀρτασήρην x Ἀρτασήριον g. — 29 ἐπιλεξάμενον d. — 30 μὲν *om.* z. — *post* ἐξειπεῖν *intercidisse quaedam videntur.* — 31 Γοτθάριδος xz Γογθάριδος y. — τῷ οἴνῳ καταβεβρ. d. — καταβεβραγμένῳ y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀρτασήρας σπασάμενος τὸ ξίφος κατὰ τοῦ τυράννου ἐχώρει. ‖ εἶς δὲ Proc. I, 531
τῶν οἰκετῶν ἰδὼν τὸ ξίφος γυμνὸν ἀνέκραγεν, "τί τοῦτο, ὦ βέλτιστε;" λέγων. ὁ δὲ Γόνθαρις στρέψας τὸ πρόσωπον εἰς αὐτὸν ἔβλεπεν. Ἀρτασήρας δὲ αὐτὸν τῷ ξίφει ἔπαισε καὶ τὴν δεξιὰν χεῖρα αὐτοῦ ἀφεῖλεν. ἀναπηδήσαντα δὲ τοῦτον Ἀρταβάνης μάχαιραν σπασάμενος ἐν τῇ τοῦ τυράννου πλευρᾷ ταύτην ἔπηξεν ἄχρι τῆς λαβῆς, καὶ τοῦτον ἄφνω ἀνεῖλεν. ‖ τότε Ἀρταβάνης τὸν Ἀθανάσιον Proc. I, 532
ἐπιμελεῖσθαι τῶν ἐν τῷ παλατίῳ χρημάτων, καθὼς ἐπὶ Ἀρεοβίνδου, ἐκέλευσεν. ἐπεὶ δὲ οἱ φύλακες τὴν τοῦ Γονθάριδος τελευτὴν ἔμαθον, Ἰουστινιανὸν ἀνεβόων καλλίνικον βασιλέα. ἐντεῦθεν οἱ τῷ βασιλεῖ εὐνοηκότες εἰσπηδήσαντες εἰς τὰς τῶν στασιαστῶν οἰκίας τούτους ἔκτειναν. Ἰωάννης δὲ σὺν τοῖς Οὐανδήλοις εἰς τὸ ἱερὸν καταφεύγει, οὓς Ἀρταβάνης τὰ πιστὰ δοὺς καὶ ἐξαγαγὼν εἰς Βυζάντιον ἀπέστειλεν. γέγονε δὲ ὁ τοῦ τυράννου φόνος μετὰ λϛ' ἡμέρας τῆς τούτου τυραννίδος, ἐννεακαιδεκάτου ἔτους Ἰουστινιανοῦ ὑπ- 335 B
άρχοντος. ‖ Ἀρταβάνης δὲ ἐκ τούτου κλέος μέγα περιεβάλετο εἰς Proc. I, 533
πάντας ἀνθρώπους. Περίεκτα δέ, ἡ Ἀρεοβίνδου γυνή, μεγάλα δῶρα τῷ Ἀρταβάνῃ ἐδωρήσατο. ὁ δὲ βασιλεὺς τοῦτον στρατηγὸν Λιβύης ἐποίησεν ἁπάσης. ὁ δὲ Ἀρταβάνης μετ' οὐ πολὺ παραιτησάμενος πρὸς βασιλέα εἰς Βυζάντιον ἦλθεν, καὶ ὁ βασιλεὺς Ἰωάννην, τὸν Πάππου ἀδελφόν, στρατηγὸν Λιβύης κατέστησεν. ὁ δὲ Ἰωάννης τὴν Λιβύην καταλαβὼν κατὰ Ἀντάλα καὶ Μαυρουσίων τῶν ἐν Βυζακίῳ ἐπεστράτευσε καὶ τούτους πολεμήσας νίκην ἤρατο καὶ πολεμίους πολλοὺς ἔκτεινε καὶ τὰ σημεῖα, ἅπερ Σολόμωνος οἱ βάρβαροι ἔλαβον, ἀφελόμενος ἐξ αὐτῶν τῷ βασιλεῖ εἰς Βυζάντιον ἔπεμψεν. τοὺς δὲ λοιποὺς τῶν βαρβάρων ἐδίωξε τῆς Ῥωμαίων ἀρχῆς. χρόνῳ δὲ ὑστέρῳ οἱ Λευάθαι στρατῷ μεγάλῳ ἐκ τῶν ἐπὶ Τριπόλεως χωρίων εἰς Βυζάκιον ἀφικόμενοι τῷ Ἀντάλᾳ ἠνώθησαν· οἷς Ἰωάννης ἀπαντήσας ἡττήθη καὶ πολλοὺς ἀποβαλὼν εἰς Καρχηδόνα ἐπανῆκεν. οἱ δὲ βάρβαροι μέχρι Καρχηδόνος κατελθόντες τὰ ἐκείνης χωρία ἐληΐσαντο. ὕστερον δὲ Ἰωάννης τῶν στρατιωτῶν τὴν προθυμίαν διεγείρας καὶ Μαυρουσίους ἄλλους τε καὶ ‖ τοὺς ὄντας σὺν τῷ Κουτζίνᾳ Proc. I, 534

---

1 Ἀρτασείρας σπ. g Ἀρτασὴρ ἀσπασ. h. — 3 Γότθαρις xz Γόγθαρις y. — 4 Ἀρτασήρας—5 ἀφεῖλεν om. m. — 5 ἀφεῖλεν] ἀπέτεμεν d. — 6 ἔπληξεν h. — 7 ἄμφω ἀνεῖλεν x ἄμφω ἀνεῖλον cmz ἄφνω ἀνεῖλον f. — 9 Γοτθάριδος xz Γογθάριδος y. — 12 Οὐανδήλοις z Οὐανδηλοῖς xy. — 13 εἰς τὸ Βυζ. f ἐν τῷ Βυζαντίῳ d. — 15 ἐννεακαιδέκατον (ἐννακ. y) ἔτος Ἰ. ὑπάρχον yz. — 16 περιεβάλλετο dg. — 17 Περιέκτα em sine acc. c Πρεϊέκτα Proc. — 19 ὁ δὲ Ἀρτ.—21 κατέστησεν om. d. — 19 μεθ' οὐ yz. — 21 ὁ γοῦν Ἰω. d. — 22 Ἄνταλα dhy Ἀνταλᾶ g sine acc. c. — τῶν om. d. — 24 ἃ παρὰ Σολ.?. — 28 Ἄνταλᾳ dfh Ἀνταλᾷ g sine acc. c. — 30 ἐκείνη?. — 32 Μαυρουσίους τε ἄλλους καὶ z. — τοὺς ὄντας] τοσούτους y. — Κουτζινάῃ g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

336 B εἰς συμμαχίαν λαβὼν καὶ τούτους πολεμήσας ἔτρεψεν. καὶ δίωξιν μεγάλην ποιησάμενος πολὺ πλῆθος ἀνεῖλεν, οἱ δὲ λοιποὶ εἰς τὰς ἐσχατιὰς τῆς Λιβύης ἔφυγον, καὶ οὕτω τὰ πράγματα ἐν Λιβύῃ εἰρήνης βαθείας ἔτυχον. ‖

533/4 A. M. 6027 Ἱεροσολύμων ἐπίσκοπος Ἰωάννης ἔτη ια΄. 5
ϛκζ΄. φκζ΄. η΄. ι΄. γ΄. ιε΄. α΄. ιε΄. η΄.

183 P Τούτῳ τῷ ἔτει ὁ τῶν Ἰβήρων βασιλεὺς Ζαμαναρξὸς ἀνῆλθεν ἐν Κωνσταντινουπόλει πρὸς τὸν εὐσεβέστατον βασιλέα Ἰουστινιανὸν μετὰ τῆς γυναικὸς καὶ τῶν συγκλητικῶν αὐτοῦ, παρακαλῶν αὐτὸν τοῦ εἶναι αὐτὸν σύμμαχον Ῥωμαίων καὶ φίλον γνήσιον. ὁ δὲ βασι- 10
λεὺς τὴν τοιαύτην προαίρεσιν ἀποδεξάμενος πολλὰ αὐτὸν ἐφιλοτιμήσατο καὶ τοὺς αὐτοῦ συγκλητικούς· ὁμοίως καὶ ἡ αὐγούστα τῇ αὐτοῦ γυναικὶ κόσμια παντοῖα διὰ μαργαριτῶν ἐχαρίσατο. καὶ ἀπέλυσεν αὐτοὺς ἐν εἰρήνῃ εἰς τὴν ἰδίαν βασιλείαν.

534/5 A. M. 6028 Ῥώμης ἐπίσκοπος Ἀγαπητὸς ἔτη β΄. 15
ϛκη΄. φκη΄. θ΄. ια΄. α΄. ιϛ΄. β΄. ιϛ΄. θ΄.

Mal. p. 436, 17 ‖ Τούτῳ τῷ ἔτει ἔπαθεν ὑπὸ θεομηνίας Ὁμπηϊούπολις τῆς Μυσίας. ἐσχίσθη γὰρ ἡ γῆ ὑπὸ τοῦ σεισμοῦ, καὶ ἐχαώθη τὸ ἥμισυ τῆς πόλεως μετὰ τῶν οἰκητόρων. καὶ ἦσαν ὑπὸ τὴν γῆν, καὶ αἱ
337 B φωναὶ αὐτῶν ἠκούοντο βοώντων ἐλεηθῆναι. καὶ πολλὰ ἐδωρήσατο 20
ὁ βασιλεὺς πρὸς τὸ ἐκχοηθῆναι καὶ βοηθηθῆναι αὐτούς, καὶ τοὺς ξήσαντας ἐφιλοτιμήσατο. ‖

Niceph. XVII, 28 cf. Georg. Mon. p. 526, 22 cf. Mal. p. 479, 17 ‖ Τῷ δ' αὐτῷ ἔτει παρέδωκεν Ἰουστινιανὸς τοῦ ψάλλεσθαι ἐν ταῖς ἐκκλησίαις τό· "ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ." ‖ ἐποίησε δὲ καὶ τὸ ὡρολόγιον τοῦ Μιλίου. ‖ 25

535/6 A. M. 6029

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
ϛκθ΄.	ἔτη φκθ΄.	Ἰουστινιανὸς	Χοσρόης	Ἀγαπητὸς
		ἔτη λη΄.	ἔτη μη΄.	ἔτη β΄.
		ι΄.	ιβ΄.	β΄.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἄνθιμος	Ἰωάννης	Τιμόθεος	Ἐφραΐμιος
ἔτος α΄.	ἔτη ια΄.	ἔτη ιζ΄.	ἔτη ιη΄.
α΄.	γ΄.	ιζ΄.	ι΄.

---

1 καὶ δίωξιν—2 ἀνεῖλεν om. f. — 7 Ζαμαναρξός (-ξόν m) cy Ζανάμαρξος d Ζαμαναρσός z Zamanardus A Ζαμαναξός Mal. 429, 15. — ἀνῆλθε x ἦλθε yz *cf. p.* 217, 5 ascendit A. — 10 τὸ εἶναι h. — Ῥωμαίοις y. — 11 δεξάμενος c. — 12 αὐγοῦστα g *sine acc.* c. — ἑαυτοῦ g. — 13 μαργαρίτων egm. — ἀπέλυσεν] dimiserunt A. — 17 Ὁμπηούπολις gx Ὁμπιούπολις hy. — 19 αἱ om. yz. — 21 ἐκχωηθῆναι z. — 23 τῷ δ' αὐτῷ ἔτει—25 Μιλίου f *in mg. exhibet.* — 24 τοῦ om. *mg.* f. — 25 Μηλίου codd. *praeter* c. — 28⁴ Χοσρώης hy. — 33¹ Ἄνθημος h. — 33⁴ Εὐφραΐμιος g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τούτῳ τῷ ἔτει Ἐπιφανίου, ἐπισκόπου Κωνσταντινουπόλεως, cf. Cram. An. II, 110
τελευτήσαντος μηνὶ Ἰουνίῳ ε', ἰνδικτιῶνος ιε', ἐπισκοπήσαντος ἔτη
ις' καὶ μῆνας γ', Ἄνθιμος, αἱρετικός, ἐπίσκοπος Τραπεζούντων,
μετετέθη ἐν Κωνσταντινουπόλει. ‖ *Ἀγαπητὸς δέ, ὁ ἐπίσκοπος Ῥώμης,* Mal. p. 479, 7
ἐν τούτῳ τῷ ἔτει ἀνελθὼν ἐν Κωνσταντινουπόλει σύνοδον ἐκρότησε
κατὰ τοῦ δυσσεβοῦς Σευήρου καὶ Ἰουλιανοῦ τοῦ Ἁλικαρνασέως καὶ 184 P
τῶν λοιπῶν Θεοπασχιτῶν· ἐν οἷς καὶ Ἄνθιμος, ὁ ἐπίσκοπος Κων-
σταντινουπόλεως, ὡς ὁμόφρων αὐτῶν καθαιρεθεὶς ἐξεβλήθη τῆς cf. Cram. An. II, 112
βασιλίδος ἐπισκοπήσας μῆνας ι'· καὶ ἐχειροτονήθη ἀντ' αὐτοῦ Μη-
νᾶς, πρεσβύτερος καὶ ξενοδόχος τῶν Σαμψών, ὑπὸ Ἀγαπητοῦ, τοῦ
πάπα Ῥώμης. Ἀγαπητὸς δέ, ὁ ἐπίσκοπος Ῥώμης, ἐν Βυζαντίῳ ὢν
ἐκοιμήθη, ‖ *καὶ ἐχειροτονήθη ἀντ' αὐτοῦ Σιλβέριος ζήσας ἔτος ἕν.*

Ῥώμης ἐπίσκοπος Σίλβεστρος ἔτος α'. A. M. 6030 536/7
Κωνσταντινουπόλεως ἐπίσκοπος Μηνᾶς ἔτη ις'. 338 B
Ἀλεξανδρείας ἐπίσκοπος Γαϊνᾶς ἔτος α'.
ια'. ιγ'. α'. α'. δ'. α'. ια'.

‖ *Τούτῳ τῷ ἔτει μηνὶ Δεκεμβρίῳ κζ', ἰνδικτιῶνος α', γέγονε τὰ* Cram. II, 112
πρότερα ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας· καὶ ἐξῆλθεν ἡ λιτὴ ἀπὸ cf. Mal. p. 479, 21
τῆς ἁγίας Ἀναστασίας, καθημένου Μηνᾶ τοῦ πατριάρχου ἐν τῷ
βασιλικῷ ὀχήματι, καὶ τοῦ βασιλέως συλλιτανεύοντος τῷ λαῷ. γίνον-
ται οὖν ἀπὸ τῆς ἡμέρας τῆς καύσεως τῆς ἁγιωτάτης μεγάλης ἐκκλη-
σίας μέχρι τῶν ἐγκαινίων ἔτη ε' μῆνες ια' ἡμέραι ι'. ‖

Ῥώμης ἐπίσκοπος Βιγίλιος ἔτη ιη'. A. M. 6031 537/8
Ἀλεξανδρείας ἐπίσκοπος Θεοδόσιος ἔτη β'.
ιβ'. ιδ'. α'. β'. ε'. α'. ιβ'.

‖ *Τούτῳ τῷ ἔτει ἐκίνησαν οἱ Βούλγαροι, δύο ῥῆγες μετὰ πλή-* Mal. p. 437, 19
θους Βουλγάρων καὶ δρούγγου, εἰς τὴν Σκυθίαν καὶ Μυσίαν,
στρατηλάτου ὄντος τῆς Μυσίας Ἰουστίνου καὶ τῆς Σκυθίας Βαου-
δαρίου. οἵ τινες ἐξελθόντες κατὰ τῶν Βουλγάρων συνέβαλον πόλεμον,

---

A vers. 1 *τούτῳ τῷ ἔτει usque ad p.* 232, 29 *ἐργαζομένων intercid. omnia in cod.* f. — 2 *ἰνδικτιόνος* h *ἰνδ rell.* — *ἐπισκοπήσας* em. — 3 *Ἄνθημος* h. — 5 *ἔτει*] *χρόνῳ* g. — *ἐκράτησε* em. — 6 *Ἁλικαρνασέως* dhm *sine spir.* ce. — 7 *Θεοπασχητῶν* dehm. — *Ἄνθημος* h. — *ὁ om.* x. — 8 *αὐτοῖς* x. — *καθαιρεθεὶς ἐξεβλήθη*] depositus a throno proiectus est et exivit A. — *τῆς βασιλίδος add. ex* xΛ *om.* emz. — 10 *Σαμψῶν* mx *Σαμψῶ* ez. — *τοῦ om.* emx. — 11 *πάππα* g. — *Ἀγαπητὸς—Ῥώμης om.* em. — 12 Silverius A *Σίλβεστρος codd.* — 13 *Σιλβέριος*? — 14 *Κ. ἐπ. Γαϊνᾶς* (*-νάς* m) *ἔτος α'* em. — 16 *ια'. ιγ'. α'. α'. ια'* ceg *om.* h. — 17 *ις'* em. — *ἰνδ codd.* — 20 *συνλιτανεύοντος* cemz. — 22 *καὶ ἡμέραι ι'* emz *καὶ om.* c Cr. — 23 *Βιγήλιος* c. — 25 *ιβ'. ιδ'. ια' β'. ε'. α'. ιβ'* ceg. — 26 *Βούλγαρεις* z. — *πλῆθος* em. — 27 *καὶ δρούγγου om.* dh *καὶ δρουγγ'* em. — *μετὰ πλήθους, Βούλγαρ καὶ Δρούγγ? ex* A: moti sunt Vulgarum duo reges, Vulger scilicet et Droggo. — *Σκυθίαν* Mal. Lyciam A *Λυσίαν codd.* — 28 *Σκυθίας*] *Κυσίας* c. — *Βαδουαρίου* Mal. Bandarius A. — 29 *συνέβαλλον* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐσφάγη Ἰουστῖνος ὁ στρατηλάτης ἐν τῷ πολέμῳ, καὶ ἐγένετο ἀντ' αὐτοῦ Κωνσταντῖνος ὁ Φλωρεντίου· καὶ ἦλθον οἱ Βούλγαροι ἕως τῶν μερῶν τῆς Θρᾴκης. καὶ ἐξῆλθε κατ' αὐτῶν ὁ στρατηλάτης Κωνσταντῖνος καὶ Γώδιλας καὶ [ἀκούσας] ὁ στρατηλάτης τοῦ Ἰλλυρικοῦ, Ἀκοὺμ ὁ Οὔννος, ὃν ἐδέξατο ὁ βασιλεὺς ἀπὸ τοῦ βαπτίσματος· καὶ μέσον βαλόντες τοὺς Βουλγάρους ἔκοψαν αὐτοὺς καὶ
339 B ἀπέκτειναν πλήθη πολλά, καὶ ἐξετίναξαν πᾶσαν τὴν πραΐδαν καὶ ἐνίκησαν κατὰ κράτος φονεύσαντες καὶ τοὺς δύο ῥῆγας αὐτῶν. καὶ
185 P ἐν τῷ ὑποστρέφειν αὐτοὺς μετὰ χαρᾶς ὑπήντησαν αὐτοῖς ἄλλοι Βούλγαροι, καὶ ὡς ἀπὸ κόπου ὄντες οἱ στρατηλάται δέδωκαν αὐτοῖς νῶτα, καὶ κατεδίωξαν αὐτοὺς οἱ Βούλγαροὶ καὶ ἐσώκισαν αὐτοὺς φεύγοντας, Κωνσταντῖνον καὶ τὸν Ἀκοὺμ καὶ Γώδιλαν. καὶ ὁ μὲν Γώδιλας μετὰ τοῦ παραμηρίου αὐτοῦ κόψας τὸν σῶκον ἐξείλησεν, ὁ δὲ Κωνσταντῖνος σὺν τῷ Ἀκοὺμ συνελήφθησαν ζῶντες. καὶ τὸν μὲν Κωνσταντῖνον δέδωκαν λαβόντες χίλια νομίσματα, καὶ ἦλθεν ἐν Κωνσταντινουπόλει, τὸν δὲ Ἀκοὺμ ἐκράτησαν εἰς τὴν ἰδίαν πατρίδα μετὰ καὶ ἄλλων αἰχμαλώτων. ‖

Mal. p. 479, 23 ‖ Τῷ δ' αὐτῷ ἔτει παρέλαβε Χοσρόης, ὁ βασιλεὺς Περσῶν, Ἀντιόχειαν τῆς Συρίας τὴν μεγάλην, καὶ εἰσῆλθεν ἐν Ἀπαμείᾳ καὶ ἑτέραις πόλεσιν. ‖

538/9. A. M. 6032	Κόσμου ἔτη ,ϛλβ'.	Τῆς θείας σαρκώσεως ἔτη φλβ'.	Ῥωμαίων βασιλεὺς Ἰουστινιανὸς ἔτη λη'. ιγ'.	Περσῶν βασιλεὺς Χοσρόης ἔτη μη'. ιε'.	Ῥώμης ἐπίσκοπος Βιγίλιος ἔτη ιη'. β'.

Κωνσταντ. ἐπίσκοπος Μηνᾶς ἔτη ις'. γ'.	Ἱεροσολύμων ἐπίσκοπος Ἰωάννης ἔτη ια'. ϛ'.	Ἀλεξανδρείας ἐπίσκοπος Θεοδόσιος ἔτη β'. β'.	Ἀντιοχείας ἐπίσκοπος Ἐφραΐμιος ἔτη ιη'. ιγ'.

Mal. p. 459, 19 ‖ Τούτῳ τῷ ἔτει προσερρύη Ῥωμαίοις Μοῦνδος ἐκ τοῦ γένους τῶν Γηπαίδων καταγόμενος, υἱὸς Γιέσμου, ὅστις μετὰ τὴν τελευτὴν

---

2 ὁ *Κωνσταντ.* g. — Constantius A *Κωνσταντίολος* Mal. — *Φλορεντίου* dehm. — *Βούλγαρεις* z. — 4 *Κωνσταντῖνος—στρατηλάτης add.* h Mal. *om. rell.* A. — *Γογδιλας sine acc.* h *Γοδιλᾶς* Mal. — *ἀκούσας del.* — *τοῦ om.* g. — 5 *Ἀκοῦμ* h *Ἀσκούμ* Mal. — *Οὔννος* degm *Οὖνος* h. — *φωτίσματος* x. — 7 *ἐξετείναξαν* gx *ἐξαιτίναξαν* em. — *πραΐδα* dem. — 9 *ὑποστρ. αὐτόν* x. — 10 *Βούλγαρεις codd. praeter* d. — *καὶ ὡς—11 Βούλγαροι om.* em. — 11 *τὰ νῶτα* cg *τὰ om.* dh Mal. — *Βούλγαρεις codd.* — *ἐσώκησαν* x *ἐσσόκευσαν* Mal. — *αὐτούς*] *τούς* d. — 12 *Γώδηλαν* emx *Γωδίλλαν* g *Γοδῆλαν* h *item in seq.* — *καὶ*] *ἀλλ'* d. — 13 *παραμερίου codd. corr.* Classen. — *σωκόν* z *σοκόν* em *σόκον* Mal. — *ἐξήλησεν codd. ἐξήλασεν vulg.* — 15 *χίλια*] *μύρια* Mal. — *ἦλθον* z. — 18 *Χοσρώης* dem *Χωσρώης* h. — 23[4] *Χοσρώης* ehm. — 23[5] *Βιγήλιος* c. — 28[4] *Εὐφραΐμιος* g. — 31 *ἐκ τὸ γένος* egm. — 32 *Γηπέδων* g. — *Γηέσμου* x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ πατρὸς αὐτοῦ ἦλθε πρὸς Ῥῆγαν, τὸν θεῖον αὐτοῦ ἀπὸ μητρός, ῥῆγα ὄντα τοῦ Σερμίου. καὶ γνοὺς τοῦτο ὁ ῥὴξ Ῥώμης, ὁ Θευδέριχος, πέμψας πρὸς αὐτόν, καὶ πεισθεὶς ἀπῆλθε πρὸς αὐτὸν καὶ ἦν μετ' αὐτοῦ συμμαχῶν αὐτῷ. μετὰ δὲ τὴν τελευτὴν Θευδερίχου ἦλθεν ἐπὶ τὸν Δανούβιον ποταμὸν καὶ ἠτήσατο τὸν βασιλέα Ἰουστινιανὸν 340 B εἶναι ὑπὸ τὴν βασιλείαν αὐτοῦ· καὶ ἦλθεν ἐν Κωνσταντινουπόλει. καὶ πολλὰ αὐτὸν φιλοτιμησάμενος ὁ βασιλεὺς καὶ τὸν υἱὸν αὐτοῦ ἀπέλυσεν αὐτούς, ποιήσας αὐτὸν στρατηλάτην τοῦ Ἰλλυρικοῦ. καὶ ἐν τῷ παραγενέσθαι αὐτὸν εἰς τὸ Ἰλλυρικόν, ἐξῆλθον οἱ Βούλγαροι πλῆθος πολύ, καὶ ὁρμήσας κατ' αὐτῶν πάντας ἀνήλωσεν. καὶ ἀπέστειλεν ἐν Κωνσταντινουπόλει ἐκ τῆς αἰχμαλωσίας τὸν ἡγούμενον αὐτῶν μετὰ καὶ ἄλλων, καὶ ἐπόμπευσαν ἐν τῷ ἱππικῷ. καὶ ἐγένετο εἰρήνη βαθεῖα ἐν τῇ Θρᾴκῃ, μηκέτι τολμώντων τῶν Οὔννων περᾶσαι τὸν Δανοῦβιν. ‖ τοὺς δὲ αἰχμαλώτους τῶν Βουλγάρων ἔπεμψεν ὁ βασιλεὺς εἰς Ἀρμενίαν καὶ εἰς Λαζικήν, καὶ κατετάγησαν ἐν τοῖς νουμερίοις ἀριθμοῖς.

Ἀλεξανδρείας ἐπίσκοπος Παῦλος ἔτη β'. A. M. 6033 539/40.
ιδ'. ις'. γ'. δ'. ξ'. α'. ιδ'.

‖ Τῷ ιδ' ἔτει Ἰουστινιανοῦ Χοσρόης, ὁ τῶν Περσῶν βασιλεύς, Proc. Bell. Pers. II, 20
τετάρτην εἰσβολὴν εἰς τὴν τῶν Ῥωμαίων γῆν ἐποιήσατο. ἐλθόντι 186 P
δὲ εἰς τὴν Κωμαγηνῶν χώραν κατὰ Παλαιστίνης καὶ Ἱεροσολύμων διενοεῖτο χωρεῖν, ὅπως τὰ ἐν Ἱεροσολύμοις κειμήλια ληΐσηται. χώραν γὰρ ταύτην ἀγαθὴν καὶ πολυχρύσων οἰκητόρων ἥκουεν εἶναι. Ῥωμαῖοι δὲ τούτοις ὑπαντιάζειν τρόπῳ οὐδενὶ διενοοῦντο, τὰ δὲ ὀχυρώματα καταλαβόντες, ὡς ἕκαστος ἠδύνατο, ταῦτα διαφυλάττειν καὶ 341 B αὐτοὶ σώζεσθαι ἠβούλοντο. γνοὺς δὲ ταῦτα Ἰουστινιανὸς Βελισάριον αὖθις ἐκ τῶν ἑσπερίων ἐληλυθότα ἐπ' αὐτοὺς ἔπεμψεν. ὁ δὲ ἵπποις τοῖς τοῦ δημοσίου ὀχούμενος τάχει πολλῷ εἰς τὴν Εὐφρατησίαν ἀφίκετο. Ἰοῦστος δέ, ὁ τοῦ βασιλέως ἀνεψιός, σὺν Βούζῃ, τῷ στρατηγῷ τῆς ἑῴας, ἐν Ἱεραπόλει καταφυγὼν ἐτύγχανεν. ἀκούσαντες

1 Ῥίγαν em Γήγαν d Θραυστίλαν Mal. — 2 Σερμείου em. — 3 πέμψας προετρέψατο αὐτόν? cum Mal. — 4 μετ' αὐτοῦ om. h. — 5 Δανούβην x Δανοῦβιν h. — 9 εἰς] ἐκ c. — Βούλγαροι dm Βούλγαρεις cz Βούλγαρις e. — 11 τὸν ἡγούμενον scr. e Mal.: ἕνα ῥῆγα, τῶν ἡγουμένων codd. — 12 ἄλλων πολλῶν c. — 13 Οὔνων h. — 14 Δανούβιν m Δάνουβιν g Δανούβην ex Δανοῦβην h. — 15 ἑκατετάκησαν h. — 16 νουμέροις em. — ἐν τοῖς νουμέροις (del. ἀριθμοῖς)? — 19 τούτῳ τῷ ἔτει τῷ ιδ' Ἰουστ. g. — Χοσρώης ehm. — 20 τρίτην? cf. Proc. — τῶν om. c. — 21 τὴν τῶν Κωμ. z. — χώραν] γῆν h. — 22 διενοεῖτο—Ἱεροσολύμοις om. x διενοεῖτο—κειμήλια om. em. — κειμήλια ληΐσηται z Proc. κειμηλίαν λιΐζεται d κειμηληΐζεται c ληΐζεται em. — 23 ἀγαθήν] ἀθήν em. — πολυχρύσων Proc. πολύχρυσον codd. — οἰκητόρων τε πανευπόρων d. — ἥκουσεν h. — 24 τούτους dem. — 26 ἐβούλοντο x ἠβούλοιντο ehm. — Βελλισάριος g ubique. — 28 τοῦ δημοσίου] δημοσίοις c Proc. — 29 Ἰουστῖνος d. — 30 ἐν ἱερᾷ πόλει em. — ἀκούσας emz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ Βελισάριον ἥκειν γράφουσι πρὸς αὐτοὺς ἀφίκεσθαι, καὶ τὴν Ἱεράπολιν διαφυλάττειν. ὁ δὲ Βελισάριος τούτους λίαν κατεμέμψατο, γράψας πρὸς αὐτούς, οὐ δίκαιον εἶναι μίαν πόλιν φυλάττειν καὶ τοὺς ἐχθροὺς ἀφιέναι ἐπὶ τὴν τῶν Ῥωμαίων χώραν μετὰ ἀδείας βαδίζειν καὶ τὰς τῆς βασιλείας πόλεις λυμαίνεσθαι. "εὖ γὰρ ἴστε, ὅτι τὸ σὺν τῇ ἀρετῇ ἀπολωλέναι τοῦ σεσῶσθαι ἀμαχητὶ ἄμεινον. οὐ γὰρ ἂν σωτηρία τοῦτο κληθείη, ἀλλὰ προδοσία δικαίως. ἀλλ' ἥκετε τάχιστα εἰς Εὔρωπον τὸ χωρίον, οὗ δὴ συλλέξας τὸ στράτευμα ὅλον, ὅσ' ἂν ὁ θεὸς θέλῃ ἐλπίδα ἔχω τοὺς πολεμίους ἐργάσασθαι." ταῦτα ἀκούσαντες οἱ ἄρχοντες ἐθάρσησαν, καὶ Ἰοῦστον μὲν σὺν ὀλίγοις τισὶ φυλάττειν τὴν Ἱεράπολιν κατέλιπον, οἱ δὲ λοιποὶ εἰς Εὔρωπον
Proc. II, 21 ἦλθον. γνοὺς δὲ Χοσρόης Βελισάριον πάντα τὸν στρατὸν Ῥωμαίων
342 B στρατοπεδεύεσθαι ἐν Εὐρώπῳ ἐξέστη· καὶ πρόσω μὲν ἐλαύνειν οὐκέτι ἔγνω, Ἀβανδάνην δὲ τὸν γραμματέα, ἄνδρα συνετόν, πρὸς Βελισάριον ἔπεμψεν, τόν τε στρατηγὸν κατασκεψόμενον καὶ τὸ στρατόπεδον, τῷ δὲ λόγῳ δῆθεν μεμψόμενον, ὅτι βασιλεὺς Ἰουστινιανὸς τοὺς πρέσβεις ἐν Περσίδι οὐκ ἔπεμψε τὴν εἰρήνην πρυτανεύσοντας. ὁ δὲ Βελισάριος μαθὼν τοὺς πρέσβεις ἥκειν, αὐτὸς μὲν ἑξακισχιλίους ἀπολεξάμενος ἄνδρας εὐμήκεις τε καὶ τὰ σώματα καλοὺς ἄπωθεν τοῦ στρατοπέδου κυνηγήσων ἐξῆλθεν. Διογένην δὲ τὸν δορυφόρον καὶ Ἀδούλιον, ἄνδρα Ἀρμένιον, τὸν ποταμὸν διαβῆναι σὺν ἱππεῦσι χιλίοις ἐκέλευσεν, ὡς ψηλαφήσοντας τὴν τοῦ ποταμοῦ διάβασιν. Βελισάριος δέ, ἐπεὶ τὸν πρεσβευτὴν ἐγγὺς ἐρχόμενον ἔγνω, τὸν παπυλεῶνα ἐπήξατο ἐν χωρίῳ ἐρήμῳ παραδηλῶν ὅτι οὐδεμιᾷ παρασκευῇ ἐνταῦθα ἥκει. τοὺς δὲ στρατιώτας διέταξεν, τῆς μὲν καλύβης ἐφ' ἑκάτερα εἶναι Θρᾳκάς τε καὶ Ἰλλυριούς, Γότθους τε καὶ Ἐλούρους, μεθ' οὓς Οὐανδήλους τε καὶ Μαυρουσίους. τοῦ τε πεδίου
187 P ἐπὶ πλεῖστον διῆκον· οὐ γὰρ εἰς ἕνα τόπον ἵσταντο, ἀλλ' ἐβάδιζον

4 ἐπὶ τῇ—χώρᾳ yz. — 6 μετὰ ἀρετῆς x. — ἐσῶσθαι em. — 8 Εὔρωπον m Εὔροπον h *Ευρωπον sine acc. et spir.* c. — 9 ὅσα Proc. ὡς *codd.* — ἐθέλῃ fl θελήσῃ h. — 10 ἐθάρσησαν z Proc. ἐθάρρησαν emx. — 11 Εὔρωπον gm Εὔροπον h *Ευρωπον sine acc. et spir.* c. — 12 ἐλθόντες om. — Χοσρώης ehm. — Βελ. καὶ πάντα z. — παντὶ τῷ στρατῷ ἑστρατοπεδεῦσθαι Proc. — 13 Εὐρώπῳ *sine spir.* c Εὐρόπῳ m. — πρόσω μὲν ἐλαύνειν x Proc. πρὸς ὃ μὲν ἤλαυνεν emz. — 14 Ἀβανδάζην (-ξειν ehm) *codd. cf. p.* 221, 3. — 15 κατασκεψάμενον e κατασκεψάμενος m. — 16 τῷδε ce τὸ δὲ h. — μεμψάμενον e μεμψάμενος m. — ὁ βασιλεὺς em. — 17 πρυτανεύσαντας em πρυτανεύσων d. — 18 τοὺς πρεσβεύειν h τοῦ πρεσβεύειν g. — 19 ἀπολεξάμενος x Proc. ἐπιλεξάμενος emz. — ἄποθεν ehm. — 20 Διογένη c Διογένει g. — 21 Ἀδόλιον Proc. — 24 οὐδεμίᾳ (*sine acc.* e) παρασκευῇ ex οὐδὲ μία παρασκευὴ mz. — 25 διέταξεν em Proc. ἐπέταξεν hx διεπέταξεν g. — 26 Ἰλλυρικούς m Ἰλλυρίους *rell.* — Αἰλούρους em Αιλούρους *sine spir.* c Ἐρούλους Proc. — 27 Οὐανδηλούς mx Οὐάνδηλους *sine acc.* e. — τε *post* Οὐανδ. *om.* g. — 28 ἐπίπλειστον em ἐπιπλειστον *sine acc.* x. — διηκόνουν οὐχ εἰς ἕνα τόπον ἱστάμενοι d διηκόνουν γὰρ ἢ (ἡ e ἡ h εἰ c *om.* m) εἰς ἕνα τόπον ἵσταντο *rell. corr.* e Procop.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰλυόμενοι, ὡς κυνηγετοῦντες, καὶ παρέργως, τὸ δοκεῖν, τὸν Χοσρόου πρεσβευτὴν ἔβλεπον· διεζωσμένοι τε ἐβάδιζον καὶ φαιδροὶ τὰ πρόσωπα, πελέκεις τε βαστάζοντες καὶ μεναύλους. ὁ δὲ Ἀβανδάνης εἰς ὄψιν 343 B
Βελισαρίου ἐλθὼν λυπεῖσθαι τὸν Χοσρόην ἔφασκεν, ὅτι δή, καθὰ συνέθετο, οὐκ ἔπεμψεν Ἰουστινιανὸς πρέσβεις πρὸς αὐτὸν περὶ τῆς εἰρήνης καὶ ἠνάγκασε Χοσρόην κατὰ Ῥωμαίων στρατεύεσθαι. Βελισάριος δὲ ἀντ' οὐδενὸς τούτου τοὺς λόγους ἐποιεῖτο τὸν Χοσρόην λέγων αἴτιον εἶναι τοῦ πολέμου. εἰ γὰρ εἰρήνης ἐφίετο, οὐκ ἂν εἰς τὴν τῶν Ῥωμαίων γῆν ἀφικόμενος ταύτην ἐζήτει, ἀλλ' εἰς τὴν ἰδίαν χώραν μένων τοὺς πρέσβεις ἐξεδέχετο. καὶ ταῦτα εἰπὼν τὸν πρέσβιν ἀπεπέμψατο. ὁ δὲ πρὸς Χοσρόην ἀφικόμενος ἔφη στρατηγὸν ἑωρακέναι Βελισάριον συνετόν τε καὶ ἀνδρεῖον ὑπεράγαν, στρατιώτας δὲ οἵους αὐτὸς ἄλλους οὐ πώποτε εἶδεν, "ὧν τὴν εὐκοσμίαν ἐθαύμασα ἐκ διαφόρων ἐθνῶν συνειλεγμένους·" καὶ συνεβούλευσε Χοσρόῃ μὴ συμπλέκεσθαι εἰς μάχην μετ' αὐτῶν, ὅπως μὴ ἡττηθέντος αὐτοῦ τὸ πᾶν διαπέσῃ τῆς τῶν Περσῶν βασιλείας ἐν γῇ Ῥωμαίων ὑπάρχοντι καὶ φυγῆς τόπον μὴ ἔχοντι. καὶ τὸ νικᾶν αὐτὸν οὐ μέγα, στρατηγὸν γὰρ τῶν Ῥωμαίων καὶ μόνον νικήσειεν. ὁ δὲ Χοσρόης τῇ τούτου παραινέσει ἀναστρέφειν εὐθὺς ἐπὶ τὰ ἴδια διενοεῖτο. ἐφοβεῖτο γὰρ τὴν διάβασιν τοῦ ποταμοῦ ποιήσασθαι, ὡς τῶν Ῥωμαίων ταύτην κατεχόντων. καὶ πολλὰ διαλογισάμενος ἀπέστειλε πρὸς Βελι- 344 B
σάριον παρακαλῶν αὐτὸν τοῦ τὸν ποταμὸν διαβάντας ἀναστεῖλαι καὶ τούτῳ τὴν πάροδον ἀκωλύτως παρέχειν. Βελισάριος δὲ εὐθὺς πρὸς αὐτὸν πρέσβεις ἔπεμψε καὶ τοῦτον τῆς ἀναχωρήσεως ἐπῄνεσε καὶ πρέσβεις ἐκ τοῦ βασιλέως συντόμως ἥκειν διεβεβαιώσατο, ὅπως τὴν εἰρήνην βραβεύσωσιν. ἠξίου δὲ Χοσρόης τὸν Βελισάριον διὰ τῆς τῶν Ῥωμαίων γῆς τὴν πάροδον ποιήσασθαι ἀκινδύνως. ὁ δὲ Βελισάριος Ἰωάννην τὸν Ἐδεσηνόν, ἄνδρα διαφανέστατον, ὅμηρον τῷ Χοσρόῃ ἀπέστειλε πρὸς τὸ ἀκινδύνως παρελθεῖν αὐτὸν τὴν τῶν Ῥωμαίων χώραν. οἱ δὲ Ῥωμαῖοι τὸν Βελισάριον ἐν εὐφημίαις εἶχον, μᾶλλον [δὲ] ἐνευδοκιμήσαντα ἐν τούτῳ τῷ ἔργῳ, ἢ ὅτε Γελίμερά τε

---

1 εἰλιόμενοι emx ἠλιώμενοι h εἰλισσόμενοι g. — κυνηγοῦντες d. — τῷ δοκ. c τὸ *om.* m. — Χοσρώου em Χωσρώου h. — 3 πελυκάς h πελέκυς g. — βαστάζοντας e βαστάζων h. — μεναύλιος g. — 4 Χοσρώην em Χωσρώην h *item v. v.* 6, 11. — 6 κατὰ τῶν Ῥ. h. — στρατεύεσθαι ehm στρατεύσασθαι gx. — 7 ἀνθ' οὐδενός em. — τούτους m. — Χοσρώην dehm. — 10 μένειν em. — πρέσβην dmz πρεσβευτήν ce. — 13 οἷος dez. — ἄλλος gm. — οὐ] ἐν g. — 14 συνηλεγμένους z συνειλελεγμένους c. — Χοσρώῃ h Χοσρώην em. — 16 Περσῶν] Ῥωμαίων c. — 18 τῶν *om.* d. — Χοσρώης ehm. — 21 διαλογησάμενος dem. — 22 τοὺς τὸν m τοῦτον e. — 23 πρὸς αὐτὸν εὐθύς x. — 25 διεβεβαιοῦτο xz. — 26 Χοσρώης ehm. — 28 Λίδεσινόν *codd.* — 29 Χοσρώῃ dehm. — 30 τόν *om.* x. — ἐν *om.* em. — 31 μᾶλλον δὲ ἐνευδ. xz μᾶλλον δὲ δὲ εὐδ. e μ. δὲ εὐδοκ. m δὲ *uncis inclus.* Classen. δή?

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δορυάλωτον καὶ Οὐιττίγιν τοὺς δύο βασιλεῖς εἰς Βυζάντιον ἤγαγεν. ἦν γὰρ ὡς ἀληθῶς λόγου τε καὶ ἐπαίνου ἄξιον, πεφοβημένων τῶν Ῥωμαίων καὶ ἐν τοῖς ὀχυρώμασι κρυπτομένων πάντων, Χοσρόου δὲ στρατῷ μεγάλῳ ἐν μέσῳ γεγονότος τῆς Ῥωμαίων ἀρχῆς, ἄνδρα ἕνα ἐν τῷ ὀξεῖ δρόμῳ ἐκ Βυζαντίου ἥκοντα ἀπεναντίας τοῦ τῶν Περσῶν βασιλέως στρατοπεδεύσασθαι, Χοσρόην δὲ ἐκ τοῦ ἀπροσδοκήτου τῇ τούτου σοφίᾳ ἐξαπατηθέντα ἄπρακτον εἰς τὴν οἰκείαν ἀναχωρῆσαι χώραν. ‖

345 B Τῷ δ' αὐτῷ ἔτει Τιμοθέου, ἐπισκόπου Ἀλεξανδρείας, τελευτήσαντος, Σευῆρος ὁ δυσσεβής, Ἀντιοχείας μοιχὸς πρόεδρος, καὶ Ἰουλιανὸς ὁ Ἁλικαρνασεὺς ἐν Ἀλεξανδρείᾳ φυγόντες, περὶ φθαρτοῦ καὶ ἀφθάρτου διενεχθέντες κατ' ἀλλήλων γεγόνασιν, ὡς ἀληθείας ὄντες ἀλλότριοι. καὶ ὁ μὲν Θεοδόσιον, ὁ δὲ Γαϊνᾶν προεβάλοντο εἰς ἐπισκόπους Ἀλεξανδρείας· καὶ Γαϊνᾶς μὲν ἐκράτησε τῆς ἐπισκοπῆς ἐνιαυτόν, ὁ δὲ Θεοδόσιος δύο. τούτους δὲ Ἰουστινιανὸς πέμψας ἤγαγεν ἐν Βυζαντίῳ καὶ ἀλλήλων κεχωρισμένους διαιτᾶσθαι προσέταξεν, Παῦλον δέ τινα δοκούμενον εἶναι ὀρθόδοξον ἐπίσκοπον Ἀλεξανδρείας προεβάλετο. οὗτος τὴν μνήμην Σευήρου τοῦ ἀνιέρου

Cram. An. II, 110 ποιήσας ‖ ἐξεβλήθη τῆς ἐπισκοπῆς ὀργῇ τοῦ βασιλέως καὶ ἐλθὼν διέτριβεν εἰς Ἱεροσόλυμα. ‖

540/1 - A. M. 6034 ιε'. ιζ'. δ'. ε'. η'. β'. ιε'.

Cram. An. II, 113 ‖ Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνος ε', γέγονεν ἐν

Cram. An. II, 110 cf. II, 113 Βυζαντίῳ τὸ μέγα θανατικόν. ‖ καὶ τῷ αὐτῷ χρόνῳ ἡ ὑπαπαντὴ τοῦ κυρίου ἔλαβεν ἀρχὴν ἐπιτελεῖσθαι ἐν τῷ Βυζαντίῳ τῇ β' τοῦ Φε-

Mal. p. 486, 23 βρουαρίου μηνός. ‖ καὶ τῷ Αὐγούστῳ μηνὶ ιε' τῆς αὐτῆς ε' ἰνδικτιῶνος ἐγένετο σεισμὸς μέγας ἐν Κωνσταντινουπόλει, καὶ ἔπεσον ἐκκλησίαι καὶ οἶκοι καὶ τὸ τεῖχος, μάλιστα τὸ κατὰ τὴν Χρυσῆν πόρταν. ἔπεσε δὲ καὶ ἡ λόγχη, ἣν ἐκράτει ὁ ἀνδριὰς ὁ ἑστὼς εἰς τὸν φόρον

346 B τοῦ ἁγίου Κωνσταντίνου, καὶ ἡ δεξιὰ χεὶρ τοῦ ἀνδριάντος τοῦ Ξηρολόφου· καὶ ἀπέθανον πολλοί, καὶ ἐγένετο φόβος μέγας. ‖

541/2 A. M. 6035 Ἀλεξανδρείας ἐπίσκοπος Ζώϊλος ἔτη ζ'.

ις'. ιη'. ε'. ς'. θ'. α'. ις'.

Mal. p. 433, 2 Niceph. H. E. XVII, 32 ‖ Τούτῳ τῷ ἔτει συνέβη πολεμῆσαι ἀλλήλους τὸν βασιλέα τῶν

1 Οὐηττίγην x Οὐηττιγήν em Οὐηττήτην h Εἰουττίγην g. — 3 κρυπτουμένων z. — Χοσρώου em. — 4 τῆς τῶν Ῥ. cz. — 6 Χοσρώην ehm. — τὴν τ. σοφίαν cem. — 7 τὴν om. em. — εἰς τὰ οἰκεῖα ἀναχωρῆσαι x. — 10 Σεύηρος cg. — 11 Ἁλικαρνασεὺς demz *sine spir.* c. — περὶ φθαρτοῦ τε καὶ xz. — 13 ὁ μὲν — ὁ δέ xA οἱ μὲν — οἱ δὲ emz. — Γαϊνάν hm *sine acc.* c Gaïanum A. — προεβάλλοντο emz. — 14 Γαϊνᾶς h Γαϊνός c Γαϊανός emA. — 17 δοκόμενον em. — 18 προεβάλλετο g. — 19 δι' ὀργὴν x. — 22 ἰνδικτιόνος h ἰῦ *vell. item v.* 25. — 23 ὑποπαντή x ὑποπαντί ehm. — 24 Φευρουαρίου dmz. — 25 καὶ τῷ αὐτῷ Αὐγ. em. — ις' *om.* x. — 26 αἱ ἐκκλησίαι g. — 29 χεῖρα g. — 30 Ζηρολόφου g. — 31 Ζώηλος em Ζῶηλος h. — 33 ἀλλήλοις d. — τῶν] τόν em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αὐξουμιτῶν Ἰνδῶν ..... Ἰουδαίων ἐξ αἰτίας τοιαύτης. ὁ τῶν Αὐξουμιτῶν βασιλεὺς ἐνδότερός ἐστι τῆς Αἰγύπτου, [ἰουδαΐζων.] οἱ δὲ τῶν Ῥωμαίων πραγματευταὶ διὰ τοῦ Ὁμηρίτου εἰσέρχονται ἐπὶ τὸν Αὐξουμίτην καὶ τὰ ἐνδότερα μέρη τῶν Ἰνδῶν καὶ Αἰθιόπων. τῶν δὲ πραγματευτῶν κατὰ τὸ εἰωθὸς εἰσελθόντων ἐν τοῖς ὁρίοις τοῦ Ὁμηρίτου, Ἀαμιανός, ὁ τούτων βασιλεύς, ἐφόνευσεν αὐτοὺς καὶ 189 P
ἀφείλατο πάντα αὐτῶν λέγων, ὅτι· "οἱ Ῥωμαῖοι κακοποιοῦσι τοὺς ἐν τῇ χώρᾳ αὐτῶν Ἰουδαίους καὶ φονεύουσιν αὐτούς." καὶ ἐκ τούτου ἔλυσαν τὴν πραγματείαν τῶν ἐνδοτέρων Ἰνδῶν τοῦ Αὐξουμίτου. καὶ ἀγανακτήσας ὁ τῶν Αὐξουμιτῶν βασιλεὺς Ἀδὰδ ἐδήλωσε τῷ Ὁμηρίτῃ, ὅτι· "ἔβλαψας τὴν βασιλείαν μου καὶ τὴν ἐνδοτέραν Ἰνδίαν, κωλύσας τοὺς Ῥωμαίων πραγματευτὰς τοῦ εἰσέρχεσθαι πρὸς ἡμᾶς." καὶ ἦλθον εἰς ἔχθραν μεγάλην καὶ συνέβαλον πόλεμον μετ' ἀλλήλων. καὶ ἐν τῷ μέλλειν αὐτοὺς πολεμεῖν Ἀδάδ, ὁ τῶν Αὐξουμιτῶν βασιλεύς, ἐτάξατο λέγων, ὅτι· "εἰ νικήσω τὸν Ὁμηρίτην, Χριστιανὸς γίνομαι, ὅτι ὑπὲρ Χριστιανῶν πολεμῶ." καὶ τῇ τοῦ θεοῦ συνεργίᾳ 347 B
ἐνίκησε κατὰ κράτος καὶ ἔλαβεν αἰχμάλωτον ζῶντα Ἀμιανόν, τὸν βασιλέα αὐτῶν, καὶ τὴν χώραν αὐτῶν καὶ τὰ βασίλεια αὐτῶν· καὶ εὐχαριστήσας τῷ θεῷ Ἀδάδ, ὁ βασιλεὺς τῶν Αὐξουμιτῶν, ἔπεμψε πρὸς τὸν βασιλέα Ἰουστινιανὸν λαβεῖν ἐπίσκοπον καὶ κληρικούς, καὶ διδαχθῆναι καὶ γενέσθαι Χριστιανός. καὶ ἐχάρη ἐπὶ τούτῳ μεγάλως Ἰουστινιανός, καὶ ἐκέλευσε δοθῆναι αὐτοῖς ἐπίσκοπον, ὃν ἂν θελήσωσιν. καὶ ἐπελέξαντο οἱ αὐτοὶ πρεσβευταὶ περιεργασάμενοι παραμονάριον τοῦ ἁγίου Ἰωάννου ἐν Ἀλεξανδρείᾳ τῇ μεγάλῃ, ἄνδρα. εὐλαβῆ καὶ παρθένον, ὀνόματι Ἰωάννην, ἐτῶν ξβ'. καὶ λαβόντες αὐτὸν ἀπῆλθον εἰς τὴν ἰδίαν χώραν πρὸς Ἀδάδ, τὸν βασιλέα αὐτῶν καὶ οὕτως ἐπίστευσαν τῷ Χριστῷ καὶ ἐφωτίσθησαν [ἅπαντες αὐτῶν.] ‖

---

1 Ἐξουμιτῶν (-μητῶν z) codd. Αὐξουμιτῶν ubique scr. e Mal. Niceph. Azumitenses A. — Post Ἰνδῶν lacunam subesse sic fere explendam: καὶ τὸν βασιλέα τῶν Ὁμηριτῶν, vidit Combefis. — 2 ἐνδότερον x. — ἐνδότερός ἐστι τῶν Ἀμεριτῶν, ὁ δὲ τῶν Ὁμηριτῶν πλησίον ἐστὶ τῆς Αἰγύπτου Mal. — Ἰουδαΐζων xzA om. em Mal. — 4 Αὐξουμίτην d Ἀξουμίτην g Ἀζουμίτην cehm. — 5 ὁρίοις x ὀρίοις h ὠρείοις g ὅροις em. — 6 Δίμνος Mal. Δάμνος Nic. — 7 ἀφείλετο xz. — αὐτῶν πάντα h πάντα τὰ αὐτῶν g. — 9 Ἀζουμίτου cehm Ἀξουμίτου dg. — 10 Ἀζουμιτῶν cehm Ἀξομιτῶν d Ἀξουμητῶν g item v. 14. — ἐδ. ἐν τῷ em. — 15 συνετάξατο Mal. — 16 γίν. καὶ ὅτι z. — συνεργίᾳ c συνεργείᾳ d ἐνεργείᾳ emz. — 18 βασίλεια αὐτοῦ c. — 19 Δανΐδ Nic. — ὁ τῶν Ἀξ. βασιλεύς x. — Ἀζουμιτῶν cehm Ἀξουμιτῶν d Ἀξουμητῶν g. — 21 Christianus A Χριστιανούς codd. — 23 οἱ αὐτοῦ πρ. c αὐτοὶ οἱ πρ. g ἑαυτοῖς δι' ἑαυτῶν οἱ πρ. d. — 27 ἅπαντες αὐτῶν om. xA.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

542/3 A. M. 6036 *Κόσμου* ἔτη ,ϛλϛ΄. *Τῆς θείας* σαρκώσεως ἔτη φλϛ΄. *Ῥωμαίων* βασιλεὺς Ἰουστινιανὸς ἔτη λη΄. ιϛ΄. *Περσῶν* βασιλεὺς Χοσρόης ἔτη μη΄. ιθ΄. *Ῥώμης* ἐπίσκοπος Βιγίλιος ἔτη ιη΄. ϛ΄.

Κωνσταντ. ἐπίσκοπος Μηνᾶς ἔτη ιϛ΄. ϛ΄. *Ἱεροσολύμων* ἐπίσκοπος Ἰωάννης ἔτη ια΄. ι΄. *Ἀλεξανδρείας* ἐπίσκοπος Ζώϊλος ἔτη ϛ΄. β΄. *Ἀντιοχείας* ἐπίσκοπος Ἐφραΐμιος ἔτη ιη΄. ιϛ΄.

Mal. p. 482, 12 ‖ *Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ ϛ΄, ἡμέρᾳ α΄, ἰνδικτιῶνος ϛ΄, γέγονε σεισμὸς μέγας εἰς ὅλον τὸν κόσμον, ὥστε πτωθῆναι τὸ ἥμισυ τῆς Κυζίκου. καὶ τῷ αὐτῷ ἔτει ἐπληρώθη ὁ χαλκοῦς κίων ὁ μέγας, ὁ πλησίον τοῦ παλατίου, ὁ λεγόμενος Αὐγουστεύς. καὶ ἀνηνέχθη*

Mal. p. 453, 15 *ἡ στήλη τοῦ βασιλέως Ἰουστινιανοῦ ἔφιππος. ‖ καὶ τῷ αὐτῷ ἔτει*

348 B *ἀνεφάνη τις ἐκ τῆς τῶν Ἰταλῶν χώρας κωμοδρόμος ὀνόματι Ἀνδρέας ἔχων μεθ' ἑαυτοῦ κύνα ξανθὸν καὶ τυφλόν, ὅστις κελευόμενος ὑπ' αὐτοῦ ἐποίει θαύματα· ἑστῶτος γὰρ αὐτοῦ ἐν τῇ ἀγορᾷ, καὶ ὄχλου παρεστῶτος, λάθρα τοῦ κυνὸς ἐκομίζετο τὰ τῶν ἑστώτων δακτυλίδια*

190 P *χρυσᾶ τε καὶ ἀργυρᾶ καὶ σιδηρᾶ· καὶ ἐτίθει εἰς τὸ ἔδαφος περισκέπων αὐτὰ τῷ χώματι καὶ ἐπέτρεπε τῷ κυνί, καὶ ἔπαιρνεν καὶ ἐδίδου ἑκάστῳ τὸ ἴδιον. ὁμοίως καὶ διαφόρων βασιλέων νομίσματα μιγνύμενα ἐπεδίδου κατ' ὄνομα. ἀλλὰ καὶ παρεστῶτος ὄχλου ἀνδρῶν τε καὶ γυναικῶν, ἐπερωτώμενος ἐδείκνυε τὰς ἐν γαστρὶ ἐχούσας καὶ τοὺς πόρνους καὶ μοιχοὺς καὶ κνιποὺς καὶ μεγαλοψύχους· καὶ ὑπεδείκνυε πάντα μετὰ ἀληθείας. ὅθεν ἔλεγον, ὅτι "πνεῦμα ἔχει Πύθωνος." ‖*

543/4 A. M. 6037 *ιη΄. κ΄. ζ΄. η΄. ια΄. γ΄. ιη΄.*

cf. Mal. p. 481, 11 cf. Georg. Mon. p. 528, 4 ‖ *Τούτῳ τῷ ἔτει ἐπανέστη ἡ θάλασσα τῇ Θρᾴκῃ ἐπὶ μίλια δ΄ καὶ ἐκάλυψεν αὐτὴν ἐπὶ τὰ μέρη Ὀδύσσου καὶ Διονυσοπόλεως καὶ τὸ Ἀφροδίσιον· καὶ πολλοὶ ἐπνίγησαν ἐν τοῖς ὕδασιν. καὶ πάλιν τῷ τοῦ θεοῦ προστάγματι ἀπεκατέστη ἡ αὐτὴ θάλασσα εἰς τοὺς ἰδίους τόπους. ‖*

3⁴ *Χοσρώης* ehm. — 3⁵ *Μηνᾶς* c. — 8¹ *Μηνάς* em. — 8³ Ζώηλος em Ζῶηλος h. — 8⁴ *Εὐφραΐμιος* g. — 11 *ἰνδικτιόνος* h δ *in rell.* — 12 *πτοηθῆναι ex πτοηθῆναι corr.* h. — 13 *χαλκός codd.* — 16 *ἀνεφάνη* d Mal. *ἐφάνη* c apparuit A *om.* emz. — *τῆς om.* h. — *κομοδρόμος* emz. — 18 *Θεάματα* z. — *τῇ om.* c. — 20 *ἐτίθει αὐτά* xz *αὐτά om.* em Mal. ponebantur A. — 21 *ἔπερνεν* ehm *ἔπτερνεν* g *ἔπαιρεν* c *et ut vid.* d tollebat A. — 22 *ἑκάστου* em. — 23 *παρεστώς* em. — 25 *τοὺς μοιχούς* emz. — 29 *μήλια* x. — 30 *Διονυσσοπόλεως* g. — 32 *ἀπεκατέστη* em. *ἀπεκατεστάθη* xz *cf. p.* 228, 4. — 33 *τόπους*] *ὅρους* d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἱεροσολύμων ἐπίσκοπος Πέτρος ἔτη κ'. A. M. 6038 544/5
Ἀντιοχείας ἐπίσκοπος Δόμνος ἔτη ιδ'.
ιθ'. κα'. η'. θ'. α'. δ'. α'.

‖ *Τούτῳ τῷ ἔτει γέγονε λεῖψις σίτου καὶ οἴνου ‖ καὶ χειμερία* Mal. p. 482, 18
πολλή. καὶ ἐγένετο σεισμὸς μέγας ἐν Βυζαντίῳ, ‖ καὶ διαστροφὴ 349 B
περὶ τοῦ ἁγίου πάσχα. καὶ ἐποίησαν οἱ δῆμοι τὴν ἀποκρεώσιμον Mal. p. 482, 19 Niceph. XVII, 32
μηνὶ Φεβρουαρίῳ δ'. ὁ δὲ βασιλεὺς προσέταξεν ἑτέραν ἑβδομάδα
πραθῆναι κρέα. καὶ πάντες οἱ κρεωπῶλαι ἔσφαξαν καὶ προέθηκαν,
καὶ οὐδεὶς ἠγόραζεν, οὔτε ἤσθιεν. τὸ δὲ πάσχα γέγονεν, ὡς ὁ
βασιλεὺς ἐκέλευσεν, καὶ εὑρέθη ὁ λαὸς νηστεύων ἑβδομάδα περιττήν. ‖

κ'. κβ'. θ'. ι'. β'. ε'. β'. A. M. 6039 545/6

‖ *Τούτῳ τῷ ἔτει παρελήφθη ἡ Ῥώμη ὑπὸ τῶν Γότθων. καὶ* Mal. p. 483, 3
ὁ πάπας Βιγίλιος παρεγένετο ἐν Κωνσταντινουπόλει, ‖ καὶ δεχθεὶς Niceph. H. eccl. XVII, 36
ὑπὸ τοῦ βασιλέως μετὰ μεγάλης τιμῆς ὑπισχνεῖτο ποιεῖν ἕνωσιν τῆς
καθολικῆς ἐκκλησίας καὶ ἀναθεματίζειν τὰ τρία κεφάλαια, τοσοῦτον
τιμηθεὶς ὑπὸ τοῦ βασιλέως, ὡς ἐπαρθέντα ἀκοινωνησίαν τεσσάρων cf. Mal. p. 484, 11
μηνῶν δοῦναι Μηνᾷ, τῷ Κωνσταντινουπόλεως ἐπισκόπῳ, εἰς ἐπι- 191 P
τίμιον. καὶ Μηνᾶς δὲ αὐτῷ τὸ αὐτὸ ἐπιτίμιον δέδωκεν. ἀγανακτήσας
δὲ ὁ βασιλεὺς κατὰ Βιγιλίου διὰ τὸ ἐπιτίμιον καὶ διὰ τὸ ὑπερτίθε-
σθαι πληρῶσαι τὰ δόξαντα περὶ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν ἀπ-
έστειλε συλλαβεῖν αὐτόν. ὁ δὲ φοβηθεὶς τὴν ὀργὴν τοῦ βασιλέως cf. Mal. p. 485, 4
τῷ θυσιαστηρίῳ Σεργίου τοῦ μάρτυρος μονῆς τῶν Ὁρμίσδου προσ-
έφυγεν. κἀκεῖθεν ἑλκόμενος κατέσχε τοὺς βαστάζοντας τὸ θυσιαστή- 350 B
ριον κίονας καὶ τούτους κατέστρεψεν, βαρὺς ὢν καὶ μέγας τῷ σώματι.
ὁ δὲ βασιλεὺς μεταμεληθεὶς ἐδέξατο τὸν πάπαν Βιγίλιον. καὶ
παρακληθεὶς Βιγίλιος ὑπὸ Θεοδώρας τῆς αὐγούστης ἐδέξατο Μηνᾶν, cf. Mal. p. 483, 14
τὸν πατριάρχην Κωνσταντινουπόλεως, τῇ κθ' τοῦ Ἰουνίου μηνὸς τῶν
ἁγίων ἀποστόλων.

‖ *Τῷ δ' αὐτῷ ἔτει μηνὶ Μαΐῳ ια', τῷ σαββάτῳ τῆς ἁγίας* Mal. p. 483, 9
πεντηκοστῆς, τοῦ γενεθλίου ἀγομένου ἱππικοῦ, γέγονε μάχη τῶν δύο
μερῶν. καὶ ἀποστείλας ὁ βασιλεὺς τοὺς ἐκσκουβίτορας καὶ στρα-

---

3 ιθ'. κα'. η'. α'. θ'. δ'. α'. *codd. praeter* m. — 5 *ἐν τῷ Βυζ.* dh. — 6 *ἀποκρεώσιμον* yz Mal. *ἀποκρέωσιν* c *ἀπόκρεον* d. — 7 *Φευρουαρίῳ* dmz. — 8 *πραθῆναι codd. et* Mal. *προθεῖναι* Nic. apponi A. — *τὸ κρέα* d. — *κρεωπῶλαι* Mal. Georg. Mon. p. 541 *κρεωπῶλοι* x *κρεοπῶλοι* z *κρεοπόλοι* em. — *ἔσφαζον* d. — *προσέθηκαν* m. — 9 *εἰσθιεν* c *et ut vid.* g. — 13 *πάππας* g. — *Βιγήλιος* c *Βιγίλλιος* g *item v.* 19. — 18 *Μηνάς* em. — *M. δὲ αὐτὸ τὸ ἐπιτ.* g. — 22 *Ὁρμίσδου* emx. — 25 *πάπταν* g. — *Βιγίλλιον* g. — 26 *Βιγήλιος* c *om.* d. — *αὐγούστας* c. — *Μηνάν* em. — 27 *Post πατριάρχην* d *addit: ὁμοίως καὶ Μηνᾶς αὐτὸν ἐδέξατο.* — 27 *Κωνσταντ.* — 28 *ἀποστόλων om.* d. — 27 *τῶν ἁγίων ἀποστόλων om.* em festivitate apostolorum A *καὶ ἀπῆλθεν εἰς τὴν ἄθλησιν τῶν ἁγίων ἀποστόλων* Mal. — 31 *ἐκσκουβήτορας* x *ἐκσκουβίτωρας* em *ἐξκουβίτορας* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τιώτας ξιφήρεις ἀνεῖλον πολλοὺς ἐξ αὐτῶν, καὶ ἐπνίγησαν φεύγοντες πολλοί. ἄλλοι δὲ καὶ ἐσφάγησαν, καὶ γέγονεν ὄλεθρος πολύς. ‖

546/7 A. M. 6040 κα'. κγ'. ι'. ια'. γ'. ϛ'. γ'.

Mal. p. 483, 19 ‖ Τούτῳ τῷ ἔτει ἐγένοντο σεισμοὶ συνεχεῖς ‖ καὶ βροχαὶ μεγάλαι, ὁμοίως καὶ τῷ Φεβρουαρίῳ μηνὶ σεισμὸς μέγας, ὥστε πάντας ἀπογινώσκειν καὶ ἐν φόβῳ μεγάλῳ γίνεσθαι καὶ λιτανεύειν καὶ δέεσθαι τοῦ θεοῦ ῥυσθῆναι τῶν ἐπικειμένων ἀπειλῶν.

cf. Mal. p. 484, 4 cf. Cram. An. p. 113 ‖ Τῷ δ' αὐτῷ ἔτει μηνὶ Ἰουνίῳ, ἰνδικτιῶνος ια', ἐκοιμήθη ἡ βασίλισσα Θεοδώρα εὐσεβῶς. ‖

547/8 A. M. 6041 κβ'. κδ'. ια'. ιβ'. δ'. ζ'. δ'.

Mal. p. 483, 22 351 B ‖ Τούτῳ τῷ ἔτει γεγόνασι βρονταὶ καὶ ἀστραπαὶ φοβεραὶ πάνυ, ὥστε πολλοὺς καθεύδοντας ἐκ τῶν ἀστραπῶν βλαβῆναι. καὶ τῇ ἡμέρᾳ τοῦ ἁγίου Ἰωάννου γεγόνασι βρονταὶ καὶ ἀστραπαὶ πάνυ φοβεραί, ὥστε τοῦ Ξηρολόφου κίονος ἀποπεταλωθῆναι μέρος καὶ ἡ

Mal p. 484, 6 κεφαλὴ ἡ γεγλυμμένη τοῦ αὐτοῦ κίονος. ‖ τῷ δὲ Ἰουλίῳ μηνὶ γέγονε συμβολὴ ἐξ ἀμφοτέρων τῶν μερῶν, καὶ ἐνεπυρίσθη ἡ οἰκία ἡ λεγομένη τῶν Πάρδου· καὶ ἐκαύθησαν πολλά, τοῦτ' ἔστιν ἀπὸ τοῦ χαλκοῦ τετραπύλου ἕως τῆς λεγομένης τὰ Ἐλευσίας. καὶ ἐγένοντο φόνοι πολλοί. ‖ προκένσου δὲ γενομένου ἐν τῷ Ἑβδόμῳ ἀπώλεσαν

192 P οἱ βεστίτορες τὸ στέμμα τοῦ βασιλέως, ὅπερ μετὰ μῆνας ἡ εὑρέθη. ὅπου καὶ ἐν μαργαριτάριν καὶ πᾶσα ἡ λοιπὴ αὐτοῦ λιθέα ἐσώθη καὶ εὑρέθη.

548/9. A. M. 6042

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ϛμβ'.	ἔτη φμβ'.	Ἰουστινιανὸς	Χοσρόης	Βιγίλιος
		ἔτη λη'.	ἔτη μη'.	ἔτη ιη'.
		κγ'.	κε'.	ιβ'.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Μηνᾶς	Πέτρος	Ἀπολινάριος	Δόμνος
ἔτη ις'.	ἔτη κ'.	ἔτη ιθ'.	ἔτη ιδ'.
ιγ'.	ε'.	α'.	ε'.

Mal. p. 484, 9 ‖ Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ ιγ' ἀχθέντος ἱππικοῦ πρεσβευ-

---

1 ἀνεῖλεν x. — ἐπνίγησαν emz Mal. ἐπλήγησαν x. — 5 Φευρουαρίῳ dmz. — 8 ἰνδικτιόνος h ἰῆ rell. — ια'] α' em δεκάτης Mal. sed ια' etiam Cram. — 10 δ' in fin. om. em. — 12 ἐκ om. em. — 14 ἀποπεταλλωθῆναι g. — 14. 15 καὶ τοῦ αὐτοῦ ἡ κεφ. ἡ γεγλ. ἐν τῇ κεφαλῇ τοῦ αὐτοῦ κίονος cem καὶ ἡ γεγλ. κεφαλὴ ἐν τῷ αὐτῷ κίονι d. — 15 γέγονε—19 πολλοί om. d. — 16 τῶν add. ex c om. emz. — 17 ἐκατεκαύθησαν g. — ἀπὸ τοῦ χαλκοῦ om. em. — 18 Εὐλυσίας c. — 19 δὲ om. d. — 20 βεστήτορες codd. — ηὑρέθη d. — 21 λιθέα d θέα rell. — 25[1] ,ϛμϛ' codd. — 25[2] φμϛ' codd. — 25[4] Χοσρώης ehm. — 25[6] Βιγήλιος c. — v. 28[3]—32[3] om. h. — 30[1] Μηνάς em. — 30[2] Ἀπολλινάριος g. — 31[3] ἔτη ιβ' egm. — 33 Ὀκτωβρίῳ ἰνδικτιῶνος ιγ' ?

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς Ἰνδῶν ἦλθεν ἐν Κωνσταντινουπόλει φέρων ἐλέφαντα· καὶ εἰσῆλθεν ἐν τῷ ἱπποδρομίῳ. ‖ τῷ δὲ Ἰαννουαρίῳ μηνὶ κατεβιβάσθη Mal. p. 484, 11
τὸ ὄνομα Μηνᾶ, πατριάρχου Κωνσταντινουπόλεως, καὶ προεβιβάσθη τὸ ὄνομα Βιγιλίου προτασσομένου ἐν τοῖς διπτύχοις. ‖ τῷ δὲ Μαρτίῳ μηνὶ ἐξείλησεν ὁ ἐλέφας νυκτὸς ἀπὸ τοῦ σταύλου καὶ πολλοὺς ἐφόνευσε καὶ ἄλλους ἐκύλλωσεν. ‖ τῷ δὲ Ἀπριλλίῳ μηνὶ ις' ἐγένετο 352 B
συμβολὴ τῶν δήμων πρὸς ἀλλήλους ἐν δειλινῇ, ἱππικοῦ ἀγομένου· Mal. p. 484, 14
καὶ πολλοὶ ἀπέθανον ἀμφοτέρων ‖ τῶν μερῶν· καὶ εἰς ἐργαστήρια εἰσῆλθον καὶ ἥρπαζον, εἴ τι εὕρισκον, ἐπάρχου ὄντος Ἰωάννου τοῦ ἐπιλεγομένου Κοκκοροβίου. ‖ τῷ δὲ Ἰουνίῳ μηνὶ κη' ἡμέρᾳ γ' γέγονε Mal. p. 484, 17
τὰ ἐγκαίνια τῶν ἁγίων ἀποστόλων καὶ ἡ κατάθεσις τῶν ἁγίων cf. Cram. An. II, 113
λειψάνων Ἀνδρέου, Λουκᾶ καὶ Τιμοθέου, τῶν ἀποστόλων. καὶ Niceph. XVII, 26
διῆλθεν ὁ ἐπίσκοπος Μηνᾶς μετὰ τῶν ἁγίων λειψάνων καθήμενος ἐν ὀχήματι χρυσῷ βασιλικῷ διαλίθῳ κρατῶν τὰς τρεῖς θήκας τῶν ἁγίων ἀποστόλων εἰς τὰ γόνατα αὐτοῦ· καὶ οὕτως ἐποίησε τὰ ἐγκαίνια.

κδ'. κς'. ιγ'. ιδ'. ς'. β'. ς'. A. M. 6043 549/50.

‖ Τούτῳ τῷ ἔτει μηνὶ Ἀπριλλίῳ, ἰνδικτιῶνος ιδ', ἐπέμφθη Ναρσῆς Mal. p. 484, 22
ὁ κουβικουλάριος εἰς Ῥώμην ὀφείλων πολεμῆσαι τοῖς Γότθοις τοῖς παραλαβοῦσι τὴν Ῥώμην, ἐπειδὴ μετὰ τὸ παραλαβεῖν αὐτὴν τὸν Βελισάριον πάλιν ἐπανέστησαν καὶ παρέλαβον αὐτὴν οἱ Γότθοι. ‖
τῷ δὲ Ἰουλίῳ μηνὶ θ' ἐγένετο σεισμὸς μέγας καὶ φοβερὸς ἐν πάσῃ Mal. p. 485, 8
τῇ χώρᾳ Παλαιστίνης καὶ Ἀραβίας καὶ Μεσοποταμίας καὶ Συρίας καὶ Φοινίκης, καὶ ἔπαθε Τύρος καὶ Σιδὼν καὶ Βηρυτὸς καὶ Τρίπολις καὶ Βύβλος· καὶ ἀπέθανον ἐν αὐταῖς ἀνθρώπων πλήθη πολλά.
ἐν δὲ τῇ πόλει Βότρυος ἀπεσπάσθη ἀπὸ τοῦ παρακειμένου τῇ θα- 353 B
λάσσῃ ὄρους, τοῦ λεγομένου Αἰθοπροσώπου, μέρος πολὺ καὶ εἰσηνέχθη εἰς τὴν θάλασσαν καὶ ἀπετέλεσε λιμένα, ὡς δύνασθαι ὁρμᾶν ἐν αὐτῇ πλοῖα πολλὰ παμμεγέθη. οὐκ εἶχε γὰρ ἡ αὐτὴ πόλις πρὸ 193 P

---

2 ἱπποδρομείῳ emx. — Ἰανουαρίῳ z. — 3 προανεβιβάσθη z. — 4 Βιγηλίου c Βιγιλλίου g. — praecedens (προτασσόμενον) A. — ὃ ἐξήλησεν xz. — τοῦ om. h. — καὶ πολλοὺς ἐπάταξε καὶ ἄλλους ἐφόνευσε z. — 6 καὶ τῷ Ἀπρ. emz. — Ἀπριλίῳ h. — μηνί om. emx. — ις' om. m. — 7 ἐν δειλινῆς codd. corr. Classen ἓν δειλινοῖς Combefis ἐν δείλῃ μὴ ἀγομένου ἱππ.? μὴ ἀγομένου τοῦ ἱππικοῦ Mal. — 9 ηὕρισκον h. — ὑπάρχου xz. — 10 Κοκοροβίου m κοκηοροβίου h. — Ἰουνίῳ xA Mal. Cram. Ἰουλίῳ emz. — εἰκάδι ἀγδόῃ c ια' Cram. κθ' Niceph. — γέγοναν z. — 11 καὶ ἡ κατάθ.—12 ἀποστόλων om. em. — 12 καὶ prius om. h. — τῶν ἁγίων ἀποστόλων z ἁγίων om. xA. — 13 Μηνάς em. — 14 τρεῖς om. em. — 17 ἀπριλίῳ h. — ἰνδ. ιδ' om. x. — ἰνδικτιόνος h ιδ' rell. — ιδ' scr. e coni. δ' codd. — Ναρσής dg. — 18 ἐν Ῥώμῃ z om. em. — τοὺς Γότθους emz. — 21 τῇ δὲ θ' τοῦ Ἰουλ. μηνός d. — 23 Βιρυτός cc Βίρυτος d Βύριτος m. — καὶ Τρίπολις om. x. — 25 Βότρυος corr. e Mal. Βόστρυος codd. — τῆς θαλάσσης em. — 26 εἰσηνέχθη x (κατηνέχθη Mal.) εἰσήχθη emz. — 27 ὡς δύνασθαι—p. 228, 1 λιμένα om. em. — ὁρᾶν h ὁρμεῖν? — 28 αὕτη ἡ πόλις Classen. *at cf.* Mal. *l. l.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτου λιμένα. ὁ δὲ βασιλεὺς ἀπέστειλε χρήματα πρὸς τὸ ἀνεγεῖραι τὰ πεπτωκότα τῶν αὐτῶν πόλεων. ἔφυγε δὲ ἡ θάλασσα εἰς τὸ πέλαγος ἐπὶ μίλιον ἕν, καὶ ἀπώλοντο πλοῖα πολλά. καὶ πάλιν τῇ τοῦ θεοῦ κελεύσει ἀπεκατέστη εἰς τὴν ἰδίαν κοίτην. ‖

650/51 A. M. 6044 κε'. κζ'. ιδ'. ιε'. ζ'. γ'. ζ'.

Mal. p. 486, 1 cf. Cram. An. II, 113 ‖ Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ, ἰνδικτιῶνος ιε', γεγόνασι τὰ ἐγκαίνια τῆς ἁγίας Εἰρήνης πέραν ἐν Συκαῖς. καὶ ἐξῆλθον τὰ ἅγια λείψανα ἐκ τῆς μεγάλης ἐκκλησίας μετὰ καὶ τῶν δύο πατριαρχῶν, Μηνᾶ τοῦ Κωνσταντινουπόλεως καὶ Ἀπολιναρίου Ἀλεξανδρείας. καὶ ἐκάθισαν ἀμφότεροι ἐν τῷ βασιλικῷ ὀχήματι κατέχοντες ἐν τοῖς γόνασιν αὐτῶν τὰ ἅγια λείψανα· ‖ καὶ ἦλθον ἕως τοῦ Περάματος καὶ ἐπέρασαν, καὶ ὑπήντησεν αὐτοῖς ὁ βασιλεύς. καὶ ἠνέῳξαν τὴν cf. Mal. p. 486, 8 αὐτὴν ἐκκλησίαν τῆς ἁγίας μάρτυρος Εἰρήνης. ‖ τῷ δ' αὐτῷ ἔτει cf. Cram. An. II, 113 ἐκαθαρίσθη ὁ λιμὴν τοῦ Ἑβδόμου. ‖ καὶ τῷ αὐτῷ χρόνῳ τελευτᾷ Mal. p. 486, 10 Niceph. XVII, 26 Μηνᾶς, ὁ ἐπίσκοπος Κωνσταντινουπόλεως, καὶ γέγονεν ἀντ' αὐτοῦ Εὐτύχιος, ὁ ἀποκρισιάριος Ἀμασείας, μοναχὸς τῆς ἐν Ἀμασείᾳ μονῆς 354 B καὶ πρεσβύτερος τῇ αὐτῇ ἡμέρᾳ, τοῦ λειψάνου Μηνᾶ ἔτι κειμένου Mal. p. 486, 14 ἐν τῷ ἱερατείῳ. ‖ καὶ τῷ Αὐγούστῳ μηνὶ ἐπινίκια ἦλθον ἀπὸ Ῥώμης Ναρσῆ, τοῦ κουβικουλαρίου καὶ ἐξάρχου Ῥωμαίων. συμβαλὼν γὰρ πόλεμον μετὰ Τοτίλα, ῥηγὸς τῶν Γότθων, κατὰ κράτος ἐνίκησε καὶ ἔλαβε τὴν Ῥώμην καὶ ἐσφαξε τὸν Τότιλαν καὶ τὰ ἱμάτια αὐτοῦ ἡμαγμένα σὺν τῷ διαλίθῳ καμηλαυκίῳ αὐτοῦ ἔπεμψεν ἐν Κωνσταντινουπόλει· ‖ καὶ ἐρρίφησαν εἰς τοὺς πόδας τοῦ βασιλέως ἐπὶ σεκρήτου. ‖ [δεῖ δὲ ταγῆναι καὶ τὸ τοῦ Ἀνθίμου ἔτος εἰς τὸν πατριάρχην Μηνᾶν, ἵνα συσταθῶσι τὰ ις' ἔτη.]

651/2 A. M. 6045 Κωνσταντινουπόλεως ἐπίσκοπος Εὐτύχιος ἔτη ιγ'.
κς'. κη'. ιε'. α'. η'. δ'. η'.

cf. Georg. Mon. p. 528, 17 Τούτῳ τῷ ἔτει γέγονεν ἡ ἁγία καὶ οἰκουμενικὴ πέμπτη σύνοδος κατὰ Ὠριγένους τοῦ παράφρονος καὶ Διδύμου τοῦ ἀπὸ ὀμμάτων καὶ Εὐαγρίου καὶ τῆς ἑλληνόφρονος αὐτῶν ληρῳδίας καὶ αὖθις κατὰ

---

3 ἐπί] ὡσεί h. — μήλιον gx. — 4 κελεύσει xz Mal. βοηθείᾳ em. — 6 μηνὶ αὐγούστῳ Cram. — ἰνδικτιόνος h ἰῆ̅ *rell.* — 8 καὶ *add.* x Mal. *om.* emz. — 9 Μηνά em. — 10 ἐκάθησαν ehm. — ἐν τῷ ὀχ. τῷ βασιλικῷ c. — 12 ἀνέῳξαν d. — 14 ἐκαθαιρίσθη d καθαιρίσθη *spatio unius lit. initio vacuo rel.* c ἐκαθερίσθη *rell.* — 15 Μηνάς em. — 18 ἀποκρισάριος em. — Ἀμασίας *et* Ἀμασίᾳ *codd. praeter* h. — 17 τοῦ αὐτοῦ λειψ. Μηνά em. — προκειμένου z. — 18 ἱερατίῳ gm. — ἦλθον dem Mal. ἦλθεν cz. — 19 Ναρσή emx. — 20 Τώτιλλα g Τότιλα *rell.* — 21 Τίλαν em. Τώτιλλαν g. — 22 αἱμαγμένα d. — 23 σεκρήτου em σηκρίτου c σεκρέτου dz coram senatu (ἐπὶ συγκλήτου) A *quod probat* Combefis. — 24 δεῖ—25 ἔτη *om.* dA. *haec verba interpolata esse demonstravi in diss. de Codd. Theoph.* — Ἀνθήμου h. — 25 Μηνάν em. — 29 Ὠριγένους m Ὀριγένους c. — ἀπὸ ὀμμάτου cem.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν [ἀκεφάλων] κεφαλαίων. Βιγίλιος δὲ ὁ Ῥώμης τοῖς συνελθοῦσιν
οὐ συνήδρευσεν· ἀπελύθη δὲ πολλῶν κινηθέντων ὑπὸ τοῦ βασιλέως 194 P
καὶ ἐν τῷ Ἰλλυρικῷ ἐτελεύτησε τὴν ἐπὶ Ῥώμην ἀναλύων ὁδόν.

κξ'. κθ'. ιξ'. β'. θ'. ε'. θ'. A. M. 6046 552/3.

‖ Τούτῳ τῷ ἔτει μηνὶ Αὐγούστῳ ιε', ἰνδικτιῶνος β', ὥρᾳ μεσο- Mal. p. 486, 23 cf. Cram. An. II, 113
νυκτίου, διαφαυούσης κυριακῆς, ἐγένετο σεισμὸς φοβερός, ὥστε παθεῖν
οἴκους πολλοὺς καὶ λουτρὰ καὶ ἐκκλησίας καὶ μέρος τῶν τειχῶν 355 B
Κωνσταντινουπόλεως, μάλιστα τὸ τῆς Χρυσῆς πόρτης· καὶ πολλοὶ
ἀπέθανον. πέπτωκε δὲ καὶ Νικομηδείας μέρος πολύ. ἐπεκράτησε δὲ
ὁ αὐτὸς σεισμὸς ἡμέρας μ'. ‖ καὶ πρὸς ὀλίγον οἱ ἄνθρωποι κατενύ-
γησαν λιτανεύοντες καὶ προσεδρεύοντες καὶ εἰς τὰς ἐκκλησίας μέ-
νοντες, καὶ πάλιν φιλανθρωπίας θεοῦ γενομένης ἐπὶ τὸ χεῖρον
γεγόνασιν. γίνεται δὲ ἡ μνήμη τοῦ σεισμοῦ τούτου κατ' ἔτος ἐν
τῷ Κάμπῳ, λιτανεύοντος τοῦ λαοῦ. οἱ δὲ Λαζοὶ ἀθετήσαντες Ῥω-
μαίους διὰ τὰς Ἰωάννου τοῦ ἄρχοντος αὐτῶν φιλαργυρίας καὶ ἀδικίας
καὶ πρὸς Πέρσας αὐτομολήσαντες πάλιν τῷ χρύνῳ τούτῳ τοῖς
Ῥωμαίοις προσερρύησαν, καὶ τὴν Πέτραν τὸ φρούριον παρέλαβον
οἱ Ῥωμαῖοι καὶ τοὺς Πέρσας ἀπήλασαν.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 6047 553/4.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,ϛμξ'.	ἔτη φμζ'.	Ἰουστινιανὸς	Χοσρόης	Βιγίλιος	
		ἔτη λη'.	ἔτη μη'.	ἔτη ιη'.	
		κη'.	λ'.	ιζ'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Εὐτύχιος	Πέτρος	Ἀπολινάριος	Δόμνος
ἔτη ιγ'.	ἔτη κ'.	ἔτη ιθ'.	ἔτη ιδ'.
γ'.	ι'.	ϛ'.	ι'.

Τούτῳ τῷ ἔτει μηνὶ Ἰουλίῳ ια', ἰνδικτιῶνος γ', ἐν τῇ συνάξει
τῆς ἁγίας Εὐφημίας τοῦ Ὄρου, γέγονε σεισμὸς μέγας· καὶ τῷ αὐτῷ

---

1 ἀκεφάλων om. A. *E coniectura ad* κεφαλαίων *adscripta natum esse videtur.* — κεφαλαίων om. x. — Βιγήλιος c. — 3 τὴν ἐπὶ Ῥώμην — *p.* 231, 16 *Κωνσταντινουπόλεως uno folio interciso deerant in* h *et postea manu rec. addita sunt e cod.* c *ut vid.* — 4 κξ'] ιξ' c. — 5 ιε'] ις' Cram. — ἰν̄ *codd.* — 7 λουτρά g λουτρά x. — 8 πολύ c. — 9 δέ *prius om.* c. — ἐπεκράτει d ἐπεκράτη c. — 10 κατηνύγησαν degm. — 11 προεδρεύοντες c. — 13 κατ' ἔτος *om.* d καθ' ἔτος m. — ἐν τῷ κ. κατ' ἔτος c. — 14 κάππῳ em. — 15 φιλαργυρίας καὶ *om.* em. — 16 τούτῳ *post* 17 προσερρ. *collocat* c. — 17 τὸ φρούριον c τοῦ φρουρίου d τῶν φρουρίων (-ρείων e) egm. — *Numeros anni* 6047 *cod.* d *ad annum sequentem p.* 230, 4 *annotat.* — 21⁴ Χοσρώης em. — 21⁵ Βιγήλιος c. — 26³ Ἀπολιναρίος em. — 28² ι'] ϛ' em. — 29 ια'] α' g. — ἰν̄ *codd.* — 30 τῆς ἁγίας] τῇ ἁγίᾳ g. — Εὐφημίας *om.* cg *pr. m. in mg.* e. — ὄρου dm ὁρου *sine spir.* e Ὀλυβρίου *coni.* Goar. — 30 καὶ — *p.* 230, 1 βρονταί *om.* x.

Δήμόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μηνὶ ιθ΄ ἐγένοντο βρονταὶ καὶ ἀστραπαὶ φοβεραὶ καὶ ἄνεμος Λιψ φοβερός, ὥστε πεσεῖν τὸν σταυρὸν τὸν ἔσωθεν ἱστάμενον τῆς πόρτης τοῦ Ῥησίου.

554/5 A. M. 6048 κθ΄. λα΄. ιη΄. δ΄. ια΄. ζ΄. ια΄.

Mal. p. 487, 10 cf. Herm. VI, 378 356 B ‖ Τούτῳ τῷ ἔτει μηνὶ Ἰουλίῳ, ἰνδικτιῶνος δ΄, ἐστασίασαν Ἰουδαῖοι καὶ Σαμαρεῖται ἐν Καισαρείᾳ τῆς Παλαιστίνης καὶ ποιήσαντες πρὸς ἀλλήλους ἐν τάξει πρασινοβενέτων ἐπῆλθον τοῖς Χριστιανοῖς τῆς αὐτῆς πόλεως καὶ πολλοὺς ἀνεῖλον καὶ ἐκκλησίας κατέκαυσαν,
195 P Στέφανον δέ, τὸν ἔπαρχον τῆς αὐτῆς πόλεως, ἐν τῷ πραιτωρίῳ ἀνεῖλον καὶ τὴν ὑπόστασιν αὐτοῦ καθήρπαξαν. ἡ δὲ γυνὴ αὐτοῦ ἀνελθοῦσα ἐν τῇ πόλει προσῆλθε τῷ βασιλεῖ· καὶ ἐκέλευσεν Ἀμαντίῳ τῷ στρατηλάτῃ κατελθεῖν ἐν Παλαιστίνῃ καὶ τὸν φόνον τοῦ Στεφάνου ἐκζητῆσαι· ὅστις εὑρὼν τοὺς μὲν ἐφούρκισεν, τοὺς δὲ ἀπεκεφάλισεν, τοὺς δὲ ἠκρωτηρίασε καὶ ἐδήμευσεν. καὶ ἐγένετο φόβος μέγας ἐν πᾶσι τοῖς ἀνατολικοῖς μέρεσιν. τῷ δὲ Δεκεμβρίῳ μηνὶ ἐγένετο θνῆσις ἀνθρώπων ἐν διαφόροις πόλεσιν, μάλιστα δὲ τῶν παίδων. ὁμοίως καὶ τῷ Μαΐῳ μηνὶ ἐγένετο σπάνις ἄρτου ἐν Βυζαντίῳ. καὶ ἐστενώθησαν καὶ ἔκραζον τῷ βασιλεῖ· "δέσποτα, εὐθηνίαν τῇ πόλει." καὶ ἀνέσκαψαν τὸν ἔπαρχον ἐν γενεθλιακῷ θεωρίῳ, ὄντων ἐν τῷ ἱππικῷ καὶ πρεσβευτῶν τῶν Περσῶν. καὶ ἀγανακτήσας ὁ βασιλεὺς κελεύει Μουσωνίῳ τῷ ἐπάρχῳ κρατῆσαι τοὺς τοῦτο ποιήσαντας, καὶ ἐκολάσθησαν. ἐλύπησαν γὰρ τὸν βασιλέα, ὅτι ἐπὶ
357 B τοῦ πρεσβευτοῦ τῶν Περσῶν κατέκραζον αὐτοῦ οἱ δῆμοι. οἴνου μὲν γὰρ καὶ λάρδου καὶ παντοίου εἴδους εὐθηνία ἦν, σίτου δὲ καὶ κριθῆς λεῖψις. τῷ δὲ Ἰουλίῳ μηνὶ ιγ΄, ἡμέρᾳ ε΄, ἐγένοντο ἀστραπαὶ καὶ βρονταὶ φοβεραί, ὥστε πολλοὺς βλαβῆναι, ‖ καὶ βροχὴ πολλή, ὥστε ἀπὸ πολλῆς ἀβροχίας οὖσαν κορεσθῆναι τὴν γῆν.

555/6 A. M. 6049 Ῥώμης ἐπίσκοπος Πελάγιος ἔτη ε΄.

λ΄. λβ΄. α΄. ε΄. ιβ΄. η΄. ιβ΄.

Τούτῳ τῷ ἔτει μηνὶ Νοεμβρίῳ ϛ΄ εἰς τὴν μνήμην τῆς κόνεως ἐτελεύτησε Τιμόθεος, ὁ ἔξαρχος τῶν μοναστηρίων καὶ ἡγούμενος τῆς Δαλμάτου μονῆς· καὶ ἐγένετο ἀντ' αὐτοῦ Ἄνθιμος, ἔγκλειστος τοῦ
Mal. p. 488, 15 αὐτοῦ μοναστηρίου. ‖ καὶ ἐφάνη πῦρ ἐν τῷ οὐρανῷ ὡς εἶδος λόγχης

---

3 Rhesii A Ῥυσίου x Ῥουσίου emg. — 5 ἰνδ codd. — 7 πρὸς ἀλλ. ἓν ὡς ἐν τ.? e Mal. et facti quasi in ordine A. — πρασινοβενέτων cA Mal. πρασινοβένετον rell. — 9 ὕπαρχον gx. — 10 κατήρπαξαν codd. Mal. — 11 Ἀμαντείῳ em. — 12 ἐν Παλαιστίνῃ] ἐν Καισαρείᾳ d ἐν Κωνσταντινουπόλει c. — Στεφάνου] ὑπάρχου x. — 16 πόλεσιν] μέρεσιν x. — 18 ἔκραξαν g Mal. — εὐθηνία em. — 19 ὕπαρχον gx. — 20 τῶν om. x. — 21 Μουσουνίῳ egm. — ὑπάρχῳ gx. — 23 αὐτοῦ x αὐτῷ egm. — 24 νάρδου g. — παντός g. — δέ om. egm. — 27 οὖσα em. — 30 Νοεμβρίῳ x Δεκεμβρίῳ egm. — κόνης em. — 32 Δελμάτου egm. — Ἄνθημος m. — ἐγκλειστός c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπὸ ἄρκτου ἕως δυσμῶν. καὶ τῷ Ἀπριλλίῳ μηνὶ ις', ἡμέρᾳ β', ἐγένετο σεισμὸς φοβερὸς καὶ ἀβλαβής. ‖

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 6050 556/7.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,ϛν'.	ἔτη φν'.	Ἰουστινιανὸς	Χοσρόης	Πελάγιος	
		ἔτη λη'.	ἔτη μη'.	ἔτη ε'.	
		λα'.	λγ'.	β'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Εὐτύχιος	Πέτρος	Ἀπολινάριος	Δόμνος
ἔτη ιγ'.	ἔτη κ'.	ἔτη ιθ'.	ἔτη ιδ'.
ϛ'.	ιγ'.	θ'.	ιγ'.

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ ιθ', ἡμέρᾳ ϛ', ἰνδικτιῶνος ϛ', γέγονε σεισμὸς μέγας διαφαύοντος σαββάτου. ‖ καὶ τῷ Δεκεμβρίῳ μηνὶ ιδ' γέγονεν ἕτερος σεισμὸς φοβερὸς πάνυ, ὥστε παθεῖν τὰ δύο τείχη Κωνσταντινουπόλεως, τό τε Κωνσταντινιακὸν καὶ τὸ ὑπὸ Θεοδοσίου κτισθέν. κατέπεσον δὲ ἐν ἐξαιρέτῳ ἐκκλησίαι καὶ τὰ ἐπέκεινα τοῦ Ἑβδόμου καὶ ὁ ἅγιος Σαμουὴλ καὶ ἡ ἁγία Θεοτόκος τῶν Πεταλᾶ καὶ τοῦ ἁγίου Βικεντίου καὶ πολλὰ θυσιαστήρια ἐκκλησιῶν καὶ κιβώρια, ἀπὸ τῆς Χρυσῆς πόρτης ἕως τοῦ Ῥησίου· καὶ 358 B οὐκ ἦν τόπος ἢ προάστειον, ὃ οὐκ ἔπεσεν ἀπὸ τῆς φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ. τὸ δὲ Ῥήγιον οὕτως ἔπεσεν ἕως ἐδάφους, ὥστε μὴ γνωρίζεσθαι αὐτό. ἔπεσε δὲ καὶ ἡ ἐκκλησία τοῦ ἁγίου Στρατονίκου καὶ Καλλινίκου ἕως ἐδάφους, αἳ οὖσαι ἐν τῷ Ῥηγίῳ. καὶ ὁ κίων δὲ ὁ πορφυροῦς, ὁ ἑστὼς ἔμπροσθεν τοῦ παλατίου Ἰουκουνδιανῶν μετὰ τῆς ἐπικειμένης αὐτῷ στήλης ἔπεσε καὶ ἐπάγη εἰς τὴν γῆν πόδας ὀκτώ. ἔπεσε δὲ καὶ ἡ στήλη Ἀρκαδίου τοῦ βασιλέως ἡ εἰς τὴν ἀψίδα τοῦ Ταύρου, ἡ εἰς τὸ ἀριστερὸν μέρος ἑστῶσα. καὶ πολλοὶ ἔπαθον ἐν τοῖς συμπτώμασιν, ἕτεροι δὲ καὶ μεθ' ἡμέρας ἐκ τῶν καταληφθέντων ὑπὸ τῶν συμπτωμάτων διεσώθησαν μετὰ δύο καὶ τρεῖς ἡμέρας. ἠκούσθη δὲ ὅτι καὶ ἐν ἑτέραις πόλεσι τὸ αὐτὸ γέγονεν. τοιοῦτον γὰρ μέγαν καὶ φοβερὸν σεισμὸν οὐ μέμνηται ἄνθρωπος ἐπὶ τῆς γῆς ἐν τῇ γενεᾷ ἐκείνῃ. ἔμεινε δὲ σειομένη ἡ γῆ νυκτὸς καὶ ἡμέρας μετὰ φιλανθρωπίας ἡμέρας δέκα, καὶ πρὸς ὀλίγον οἱ

196 P Mal. p. 488, 20 cf. Cram. An. II, 113

1 ἀπὸ ἄρκτου] ἀπὸ τῶν ἀνατολικῶν μερῶν Mal. — 5^4 *Χοσρώης* em. — 7^5 β'] ϛ' c. — 10^3 *Ἀπολιναρίος* em. — 13 *ἰν. codd.* — 14 *διαφαύοντος* g *διαφαίνοντος* emx. — 17 *ἐνεξαιρέτως* em *ἐξαιρέτως* Mal. *κατ' ἐξαίρετον* Cram. — 19 *Πεταλά* x *Πέταλα* Cram. — 20 *κιβούρια* (*κηβ.* h) *codd.* — *Ῥησίου* em Cram. *Ῥυσίου* x *Ῥουσίου* z. — 22 *Ῥήγειον* em. — *κατέπεσεν* z. — 25 *Ἰουκουνδιανῶν* Goar *coll.* Procop. de aedif. *cp.* 11 *p.* 207, 4 (*cf.* Chron. Pasch. *p.* 591, 1) *Ἰουκουρδιανῶν* ehmx *Ἰουκαρδιανῶν* g *Σεκουνδιανῶν* Mal. — 26 *στήλης. ἔπεσε δὲ καὶ* eh. — 27 *ἡ posterius om.* g. — 28 *ἡ om.* x. — 29 *ἐκ τῶν scr. e* Mal. *ἡ* (= *ὀκτώ*) *codd.* — 30 *καταληφθέντων* em *καταληφθέντες* xz. — 33 *ἡμέρας καὶ νυκτός* g. — 34 *μετὰ φιλανθρωπίας uncis incl.* Classen *at cf.* Mal. *p.* 490, 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄνθρωποι κατενύγησαν λιτανεύοντες, φιλανθρωπίας δὲ γενομένης παρὰ θεοῦ ἐπὶ τὸ χεῖρον πάλιν γεγόνασιν. ὁ δὲ βασιλεὺς οὐκ ἐφό-
359 B ρεσε τὸ στέμμα ἐπὶ ἡμέρας μ', ἀλλὰ καὶ τῇ ἁγίᾳ Χριστοῦ γεννήσει χωρὶς αὐτοῦ προῆλθεν ἐν τῇ ἐκκλησίᾳ· ὥστε καὶ τὰ ἐξ ἔθους γινόμενα ἄριστα εἰς τὰ ιθ' ἀκούβιτα ἔπαυσε καὶ τὴν τούτων ἔξοδον τοῖς
Mal. p. 489, 11 cf. Cram. An. II, 114 πτωχοῖς δέδωκεν. ‖ τῷ δ' αὐτῷ χρόνῳ εἰσῆλθεν ἔθνος ἐν Βυζαντίῳ παράδοξον τῶν λεγομένων Ἀβάρων, καὶ πᾶσα ἡ πόλις συνέτρεχεν εἰς τὴν θέαν αὐτῶν, ὡς μηδέποτε ἑωρακότες τοιοῦτον ἔθνος. εἶχον γὰρ τὰς κόμας ὄπισθεν μακρὰς πάνυ, δεδεμένας πρανδίοις καὶ
V πεπλεγμένας, ἡ δὲ λοιπὴ φορεσία αὐτῶν ὁμοία τῶν λοιπῶν Οὔννων. οὗτοι φυγόντες ἐκ τῆς ἰδίας χώρας ἦλθον εἰς τὰ μέρη Σκυθίας καὶ Μυσίας καὶ ἔπεμψαν πρὸς Ἰουστινιανὸν πρέσβεις αἰτοῦντες δεχθῆναι
Mal. p. 489, 15 197 P αὐτούς. ‖ τῷ δὲ Φεβρουαρίῳ μηνὶ γέγονε θνῆσις ἀνθρώπων ἀπὸ βουβῶνος, μάλιστα δὲ τοῖς νέοις, ὥστε μὴ ἐπαρκεῖν τοὺς ζῶντας θάπτειν τοὺς τεθνεῶτας· ἐπεκράτησε δὲ ἡ θνῆσις ἀπὸ μηνὸς Φεβρουαρίου ἕως μηνὸς Ἰουλίου. ‖

557/8. A. M. 6051

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος
,ϛνά'.	ἔτη φνά'.	Ἰουστινιανὸς	Χοσρόης	Πελάγιος
		ἔτη λη'.	ἔτη μη'.	ἔτη ε'.
		λβ'.	λδ'.	γ'.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Εὐτύχιος	Πέτρος	Ἀπολινάριος	Δόμνος
ἔτη ιγ'.	ἔτη κ'.	ἔτη ιθ'.	ἔτη ιδ'.
ζ'.	ιδ'.	ε'.	ιδ'.

Mal. p. 489, 19 cf. Cram. An. II, 114 ‖ Τούτῳ τῷ ἔτει μηνὶ Μαΐῳ ξ', ἡμέρᾳ γ', ὥρᾳ ε', φιλοκαλουμένου τοῦ τρούλλου τῆς μεγάλης ἐκκλησίας, (ἦν γὰρ διερρηγμένος ἐκ τῶν γενομένων σεισμῶν) ἐργαζομένων τῶν Ἰσαύρων, ἔπεσε τὸ ἀνατολικὸν
360 B μέρος τῆς προϋποστολῆς τοῦ ἁγίου θυσιαστηρίου καὶ συνέτριψε τὸ κιβώριον καὶ τὴν ἁγίαν τράπεζαν καὶ τὸν ἄμβωνα. καὶ κατεγινώσκοντο οἱ μηχανικοί, ὡς ὅτι περ ἀποκάτωθεν οὐκ ἐποίησαν τὴν κρέμασιν φυγόντες τὴν ἔξοδον, ἀλλ' ἐτρύπησαν τοὺς πινσοὺς τοὺς βαστάζοντας τὸν τροῦλλον, καὶ διὰ τοῦτο οὐκ ἐβάσταξαν. λοι-

1 κατηνύγησαν emz. — 3 μ'] τριάκοντα Mal. — τοῦ Χριστοῦ em τοῦ om. xz Cram. — 5 εἰς τά om. em. — ἀκούβητα z. — ἔπαυσεν xA ἔπαυσαν yz. — 6 δέδωκαν z. — 8 ἔθνος τοιοῦτον d ἔθνος τοιοῦτο c. — 9 ὄπιθεν c. — πραντίοις h. — 10 ὁμοία τῶν om. em. — τοῖς λοιποῖς Οὔννοις x. — Οὖννον h. — 12 Σμυσίας c. — αἰτοῦντες om. g. — 13 Φευρουαρίῳ demz item v. 15. — 14 ἐπαρκεῖν em. — 15 ἐπεκράτησε x Mal. ἐκράτησε emz. — 19[a] Χοσρώης ehm. — 24[B] Ἀπολιναρίος em. — 28 τρούλον elm. — διαρερηγμένος cmz. — 29 γεναμένων dem. — 30 πρό ὑποστολῆς, lacuna sex fere literarum inter πρό et ὑπ. interposita f. — 31 κηβώριον em. — 32 μιχανικοί d χειμερικοί cy. — 33 ἐτρύγησαν hxy. — 34 τοὺς om. f. — τροῦλον hy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πὸν συνιδὼν ὁ εὐσεβέστατος βασιλεὺς ἤγειρεν ἄλλους πινσοὺς καὶ ἐδέξατο τὸν τροῦλλον, καὶ οὕτως ἐκτίσθη, ὑψωθεὶς πλέον εἴκοσι πόδας εἰς ἀνάστασιν ἐπάνω τοῦ πρώτου κτίσματος. ‖ ἐδέξαντο

‖ Τῷ δ' αὐτῷ ἔτει ἐπανέστησαν οἱ Οὖννοι καὶ οἱ Σκλάβοι τῇ Mal. p. 490, 6
Θρᾴκῃ πλήθη πολλὰ καὶ ἐπολέμησαν αὐτὴν καὶ πολλοὺς ἐφόνευσαν καὶ ἠχμαλώτευσαν. ἐπίασαν δὲ καὶ Σέργιον τὸν στρατηλάτην, τὸν υἱὸν Βάκχου τοῦ πρεσβυτέρου, καὶ τὸν Ἐδερμᾶν, τὸν στρατηγὸν Καλοποδίου, τοῦ ἐνδοξοτάτου κουβικουλαρίου καὶ πραιποσίτου. εὑρόντες δὲ τοῦ τείχους τοῦ Ἀναστασιακοῦ τόπους τινὰς πεπτωκότας ἐκ τῶν σεισμῶν, εἰσελθόντες ἠχμαλώτευσαν ἕως ‖ Δρυπίας καὶ Νυμφῶν καὶ Χίτου κώμης· καὶ πάντες ἔφυγον ἐν τῇ πόλει μετὰ τῶν ὑπαρχόντων αὐτῶν. τοῦτο δὲ γνοὺς ὁ βασιλεὺς ἐδημότευσε πολλοὺς καὶ ἔπεμψεν εἰς τὸ μακρὸν τεῖχος· καὶ συγκρούσαντες πόλε- 361 B
μον ἐκεῖ πολλοὶ ἀπέθανον τῶν Ῥωμαίων καὶ σχολαρίων. λοιπὸν ἐκέλευσεν ὁ βασιλεὺς καὶ κατηνέχθησαν τὰ ἀργυρᾶ κιβώρια καὶ αἱ ἅγιαι τράπεξαι αἱ ἀργυραῖ αἱ ἔξω τῆς πόλεως, καὶ παρεφύλαττον τὰς πόρτας πάσας τοῦ τείχους τοῦ Θεοδοσιακοῦ αἱ σχολαὶ καὶ οἱ προτίκτορες καὶ οἱ ἀριθμοὶ καὶ πᾶσα ἡ σύγκλητος. ἰδὼν δὲ ὁ βασιλεὺς ὅτι ἐπιμένουσιν οἱ βάρβαροι, ἐκέλευσε Βελισάριον τὸν πατρί- 198 P
κιον ἐξελθεῖν κατ' αὐτῶν μετὰ ἑτέρων τῆς συγκλήτου. ὁ δὲ Βελισάριος ἔλαβε πᾶσαν τὴν ἵππον, τήν τε βασιλικὴν καὶ τοῦ ἱππικοῦ καὶ τῶν εὐαγῶν οἴκων καὶ παντὸς ἀνθρώπου, ὅπου ἦν ἵππος· καὶ ὁπλίσας λαὸν ἐξῆλθεν εἰς Χίτου κώμην· καὶ ἐποίησε φωσάτον καὶ ἤρξατο πιάζειν ἐξ αὐτῶν τινὰς καὶ φονεύειν. καὶ ἐκέλευσε κοπῆναι δένδρα καὶ σύρεσθαι ὄπισθεν τοῦ ἐξερκέτου αὐτῶν, καὶ ἐγένετο ἐκ τοῦ ἀνέμου κονιορτὸς μέγας, καὶ ἐπῆγεν ἐπάνω τῶν βαρβάρων. οἱ δὲ νομίσαντες, ὅτι πλῆθος πολύ εἰσιν, ἔφυγον καὶ ἦλθον εἰς τὰ μέρη τοῦ ἁγίου Στρατονίκου εἰς τὸ Δέκατον. μαθόντες δὲ ἐκ τῶν κατασκόπων, ὅτι παραφυλακὴ πολλή ἐστιν εἰς τὰ τείχη Κωνσταντι-

---

2 τροῦλον chy. — 3 εἰς ἀνάβασιν z *om.* d. — ἐπάνω *om.* em. — 4 οἱ *ante* Οὖννοι *om.* yz. — Οὖννοι emx Οὖνοι h. — οἱ *ante* Σκλάβοι *om.* z. — 5 Θρ. καὶ ἐπολ. αὐτὴν πλήθη πολλά g. — 6 τὸν *ante* υἱόν *om.* z. — 7 Ἐδερμάν cegm Ἔδερμαν Mal. — 8 κουβουκουλαρίου f. — πρεποσίτου gy. — 10 Δρυπίας f. — 11 καὶ Χιτ. κ. *om.* d. — Χιτουκώμης c Χίτουκωμεως e Χίτου κώμεως m Χιτουκόμεως g Χιτουκομέως f Ἐχίτου κόμεως h (Χέττου κώμης Agath. V, 16 init.). — 13 τό *add.* dh *om.* cgy. — 15 ἀργυρά emz *om.* x. — κιβούρια *codd. praeter* h. — 16 αἱ *ante* ἀργ. *om.* f. — αἱ *post* ἀργ. *add. ex* d *om. rell.* — 18 πρωτίκτορες c. — 19 μένουσιν f. — 20 μετὰ καὶ ἄλλων συγκλητικῶν x. — 23 ἐξοπλίσας x. — ἐξῆλθεν *om.* g. — Χιτουκώμην dem Χιτούκωμην f Χιτοῦ κώμην c Χίτου κόμην g Σχῖτου κόμην h. — φωσάτον m φοσάτον hx φωσσάτον efg. — 25 ὀπίσω x. — ἐξερκετοῦ cem. — αὐτοῦ mx. — 26 κονιορτὸς ἐκ τοῦ ἀν. μ. x. — τῶν βαρβάρων] αὐτῶν x. — 27 πλήθη πολλά x. — ἐστιν h. — 29 ἐστὶ πολλή x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νουπόλεως, ἦλθον εἰς τὰ μέρη Τζουρουλοῦ καὶ Ἀρκαδιουπόλεως καὶ
362 B τοῦ ἁγίου Ἀλεξάνδρου Ζουπαρῶν καὶ ἔμειναν ἐκεῖ παρακαθήμενοι ἕως τὸ ἅγιον πάσχα. μετὰ δὲ τὴν ἑορτὴν τοῦ πάσχα ἐξῆλθεν ὁ βασιλεὺς καὶ πάντες τῆς πόλεως σὺν αὐτῷ ἐν Σηλυμβρίᾳ ἐπὶ τὸ κτίσαι τὸ τεῖχος τὸ μακρόν, ὅθεν οἱ βάρβαροι εἰσῆλθον. καὶ ἔμειναν ὁ βασιλεὺς ἐκεῖ ἕως τοῦ Αὐγούστου μηνός· ὁμοίως καὶ οἱ βάρβαροι ἔξω τῆς πόλεως περιεπόλευον ἕως τοῦ Αὐγούστου. λοιπὸν ἐκέλευσεν ὁ βασιλεὺς γενέσθαι πλοῖα διάπρυμνα, ὥστε ἀπελθεῖν εἰς τὸν Δανοῦβιν καὶ ἀπαντῆσαι τοῖς βαρβάροις περνοῦσι καὶ πολεμῆσαι αὐτούς. τοῦτο γνόντες οἱ βάρβαροι παρεκάλεσαν διὰ πρεσβευτοῦ ἀκινδύνως ἐᾶσαι αὐτοὺς περᾶσαι τὸν Δανοῦβιν. καὶ ἔπεμψεν Ἰουστῖνον, τὸν ἀνεψιὸν αὐτοῦ καὶ κουροπαλάτην, καὶ διέσωσεν αὐτούς.

558/9. A. M. 6052 Ἀντιοχείας ἐπίσκοπος Ἀναστάσιος ἔτη ια'.

λγ'. λε'. δ'. η'. ιε'. ια'. α'.

Τούτῳ τῷ ἔτει ἤρξατο κτίζειν ὁ βασιλεὺς τὴν γέφυραν τοῦ Σαγάρεως ποταμοῦ. καὶ ἀποστρέψας τὸν αὐτὸν ποταμὸν ἐν ἄλλῃ κοίτῃ εἴλησε καμάρας φοβερὰς πέντε καὶ ἐποίησεν αὐτὸν διοδεύεσθαι, ξυλίνης πρότερον οὔσης τῆς γεφύρας.

559/60. A. M. 6053 λδ'. λς'. ε'. θ'. ις'. ιβ'. β'.

Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ θ', ἡμέρᾳ ε', ἰνδικτιῶνος θ',
363 B 199 P ἐφημίσθη ἐν Κωνσταντινουπόλει, ὅτι ἐτελεύτησεν ὁ βασιλεύς· ἦν γὰρ ἐλθὼν ἀπὸ τῆς Θρᾴκης καὶ οὐδένα ἐθεώρει. καὶ λοιπὸν οἱ δῆμοι ἥρπασαν τοὺς ἄρτους αἰφνίδιον ἐκ τῶν ἀρτοπωλίων καὶ μαγκιπίων, καὶ περὶ ὥραν τρίτην οὐχ εὑρίσκετο ἄρτος ἐν πάσῃ τῇ πόλει· καὶ βροχὴ μεγάλη τῇ αὐτῇ ἡμέρᾳ. ἐκλείσθησαν δὲ καὶ τὰ ἐργαστήρια, καὶ ἐθρυλήθη τὸ παλάτιον, ὅτι οὐδεὶς ἐκ τῆς συγκλήτου ἐθεώρει τὸν βασιλέα διὰ τὸ κεφαλαλγεῖσθαι αὐτόν. ἐκ τούτου ἐπίστευον, ὅτι ἀπέθανεν. περὶ ὥραν δὲ ἐννάτην συμβούλιον ἐποίησεν ἡ σύγκλητος, καὶ ἀπέστειλαν τὸν ἔπαρχον καὶ ἐποίησαν φῶτα ἅψαι εἰς πᾶσαν τὴν πόλιν, ὅτι ὑγίανεν ὁ βασιλεύς. καὶ τούτῳ τῷ τρόπῳ κατέστη

1 Τζουρουλοῦ dh *Τζουρούλου* c *Τζουρουλλοῦ pr. m. corr. e Τζουρούλου* g *Τζουρούλλου* y. — 2 Ζουπάρων d *sine acc. c.* — 3 μετὰ δὲ τὸ ἅγιον πάσχα x. — 4 Συλυμβρίᾳ df *Σολυμβρίᾳ* h *Συλυβρίᾳ* cem *prima syllaba incerta in* g. — 6 ἐκεῖ ὁ βασ. ἕως Αὐγ. μ. x. — 9 Δανούβην emx *Δανοῦβην* fh *Δάνουβιν* g. — καὶ ἀπ. τοῖς βαρβ. περνοῦσι *om.* x. — τοὺς βαρβάρους emz. — περοῦσι *sec. m.* f περῶσι *coni.* Classen. — 10 αὐτοῖς g. — 11 περᾶσαι *om.* h. — Δανούβιν f *Δανούβην* emx *Δανοῦβην* h *Δάνουβιν* g. — Ἰουστινιανόν y Ἰουστινιανὸς Ἰουστῖνον d. — 12 κουροπαλάτην *codd.* — ὃς διέσ. em. — 13 Ἀθανάσιος f. — 16 Σαγάρεος f Ἀγάρεος em. — 17 ἤλισε fm ἤλισυν e ἤγειρε xz volvit A. — 20 $\overset{\delta}{\iota\nu}$. *codd.* — θ'] ε' fg. — 23 ἀρτοπολίων dhy. — μαγκηπίων (-πείων c) hxy. — 26 ἐθρυλλήθη z. — 27 κεφαλαργεῖσθαι efg. — 28 περὶ δὲ ὥραν x. — ἐποίησαν c. — 29 ἀπέστειλαν emxA ἀπέστειλεν fz. — ὕπαρχον xz. — ἐποίησαν] fecerunt A ἐποίησεν *codd.* — 30 κατεστάθη z.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ πόλις ἐκ τῆς ταραχῆς. μετὰ δὲ τὸ ὑγιᾶναι τὸν βασιλέα Εὐγένιος ὁ ἀπὸ ἐπάρχων διέβαλε Γεώργιον, τὸν κουράτορα τῶν Μαρίνης, καὶ Αἰθέριον, τὸν κουράτορα τῶν Ἀντιόχου, ὡς θελήσαντας ποιῆσαι βασιλέα Θεόδωρον, τὸν υἱὸν Πέτρου τοῦ μαγίστρου, οἷς συνεφώνησε καὶ Γερόντιος, ὁ ἔπαρχος τῆς πόλεως. ζητηθείσης δὲ τῆς ὑποθέσεως καὶ μὴ ἀποδειχθείσης, ἠγανακτήθη Εὐγένιος, καὶ ἐδημεύθη ὁ οἶκος αὐτοῦ. προσφυγὼν δὲ ἐκεῖνος τῇ ἐκκλησίᾳ ἐσώθη. τῷ δὲ Δεκεμβρίῳ μηνὶ γέγονεν ἐμπυρισμὸς μέγας ἐν τῷ λιμένι 364 B
Ἰουλιανοῦ, καὶ πολλοὶ οἶκοι ἐκάησαν καὶ ἐκκλησίαι ἀπὸ ἀρχῆς τοῦ λιμένος ἕως τῶν Πρόβου. γέγονε δὲ καὶ θανατικὸν μέγα ἐν Κιλικίᾳ καὶ Ἀναξαρβῷ καὶ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ, καὶ σεισμοί. καὶ συνέβαλον κατ' ἀλλήλων οἱ ὀρθόδοξοι καὶ οἱ Σευηριανοί, καὶ πολλοὶ φόνοι γεγόνασιν. καὶ ἀποστείλας ὁ βασιλεὺς Ζήμαρχον, τὸν κόμητα τῆς ἀνατολῆς, ἐκώλυσε τοὺς ἀτάκτους καὶ πολλοὺς ἐξώρισε καὶ ἐδήμευσε καὶ ἠκρωτηρίασεν.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 6054 560/1
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,ϛνδ'.	ἔτη φνδ'.	Ἰουστινιανὸς	Χοσρόης	Ἰωάννης	
		ἔτη λη'.	ἔτη μη'.	ἔτη η'.	
		λε'.	λζ'.	α'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Εὐτύχιος	Πέτρος	Ἀπολινάριος	Ἀναστάσιος
ἔτη ιγ'.	ἔτη κ'.	ἔτη ιθ'.	ἔτη ια'.
ι'.	ιϛ'.	ιγ'.	γ'.

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ ιβ', ἡμέρᾳ δ', ἰνδικτιῶνος ι', ἑσπέρας βαθείας, γέγονεν ἐμπυρισμὸς μέγας ἐν τοῖς Καισαρίου ἕως τῆς λεγομένης Ὀμφακερᾶς· καὶ ἐκάησαν ὅλα τὰ ἐργαστήρια καὶ οἱ πυλεῶνες ἕως τοῦ Βοός. τῷ δὲ Νοεμβρίῳ μηνὶ ἱππικοῦ ἀγομένου, πρὸ τοῦ ἀνελθεῖν τὸν βασιλέα γέγονε δημοτικὴ ταραχή, καὶ ἐπῆλθον οἱ Πράσινοι τοῖς Βενέτοις· καὶ γνοὺς ὁ βασιλεὺς ἀνῆλθεν ἐν 200 r
τῷ καθίσματι, καὶ θεασάμενος τὴν μάχην ἐκέλευσε Μαρίνῳ, τῷ κόμητι τῶν ἐκσκουβιτόρων, σὺν τῷ κουράτορι τῶν Καισαρίου κατ-

---

2 ὑπάρχων xz. — διέβαλλε g. — Γεώργιον τὸν κουρ.] τὸν κουρ. Εὐγένιον x. — κουράτωρα g *item in sqq.* — τῶν] τόν efh *om.* m. — 3 Ἐθέριον y Αἰθαίριον h. — τὸν Ἀντ. fh. — θελήσαντα y. — 4 οἷς d ὡς c ὃς y ᾧ z. — 5 ὕπαρχος xz. — 6 ὁ Εὐγένιος z. — 9 οἶκοι] τόποι y. — 10 τῶν] τόν f. — 10 γέγονε—15 ἠκρωτηρίασεν *om.* d. — 11 Ἀναξάρβῳ g. — ἐν *om.* c. — συνέβαλλον z. — 13 Ζίμαρχον g. — 14 ἐκόλασε cz. — καὶ ἐδ. καὶ ἠκρωτηρίασεν *om.* c. — 18⁴ Χοσρώης hy. — 23³ Ἀπολιναρίος f. — 25¹ γ' em ιγ' f. — 25² ιζ' *om.* y. — 26 ἰνδικτιόνος h ἰν *rell.* — 27 Καισαρείου g. — 28 καὶ ἐκάησαν *om.* y. — 32 Μαρίνῳ h Mal. 491, 10 Μαριανῷ *rell.* — 33 ἐκσκουβητόρων c ἐκσουβιτόρων y ἐξκουβιτόρων g. — κουράτωρι egm. — Καισαρείων g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ελθεῖν καὶ χωρίσαι τὰ μέρη. οἱ δὲ ἀπελθόντες οὐκ ἠδυνήθησαν
365 B χωρίσαι αὐτούς. καὶ πολλοὶ μὲν ἀπέθανον ἐξ ἀμφοτέρων τῶν μερῶν,
πολλοὶ δὲ καὶ ἐπληγώθησαν. εἰσελθόντες δὲ οἱ Βένετοι εἰς τὰ βάθρα
τῶν Πρασίνων ἔκραζον· "ἄψον ὧδε, ἄψον ἐκεῖ· ὧδε Πράσινος οὐ
φαίνεται." καὶ πάλιν οἱ Πράσινοι ἔκραζον· "αἴ, αἴ, ὅλοι, ὅλοι." 7
εἰς τὴν Μέσην ἦλθον, εἰς τὰς γειτονίας τῶν Βενέτων, καὶ ἐλίθαζον
οὓς εὕρισκον καὶ ἔκραζον· "ἄψον, ἄψον· ὧδε Βένετος οὐ φαίνεται."
καὶ εἰσήρχοντο εἰς τὰς γειτονίας διαφανούσης κυριακῆς καὶ ἥρπαζον
τὰς ὑποστάσεις. καὶ ἐκέλευσεν ὁ βασιλεὺς συσχεθῆναι τοὺς Πρασί-
νους, καὶ πολλαῖς βασάνοις ἐκολάσθησαν. οἱ δὲ Βένετοι προσέφυγον 10
τῇ ἐκκλησίᾳ τῆς θεοτόκου τῶν Βλαχερνῶν. οἱ δὲ ἐξειλήσαντες
Πράσινοι προσέφυγον εἰς τὴν ἁγίαν Εὐφημίαν ἐν Χαλκηδόνι· οὓς
ἐκβαλὼν ὁ ἔπαρχος ἐτιμωρήσατο. ἤρξαντο δὲ αἱ γυναῖκες αὐτῶν
καὶ αἱ μητέρες κράζειν εἰς τὰς ἐκκλησίας τῷ βασιλεῖ, ἵνα παράσχῃ
τοῖς Πρασίνοις ἐνδουλγεντίας· καὶ ἐδιώχθησαν μετὰ βάκλων, καὶ οὐ 15
διηλλάγη αὐτοῖς ὁ βασιλεὺς ἕως τῆς Χριστοῦ γεννήσεως. τῷ δὲ
Φεβρουαρίῳ μηνὶ ἐκέλευσεν ὁ βασιλεὺς τῶν ἑπτὰ σχολαρίων τοὺς
καθεζομένους ἐν τῇ Νικομηδείᾳ καὶ Κίῳ καὶ Προύσῃ καὶ Κυζίκῳ
366 B καὶ Κοτυαείῳ καὶ Δορυλαίῳ ἀπελθεῖν καὶ καθίσαι ἐν τῇ Θράκῃ, ἔν
τε Ἡρακλείᾳ καὶ ταῖς πέριξ αὐτῆς πόλεσιν. τῷ δὲ Μαρτίῳ μηνὶ 20
ἐπανέστησαν αἱ σχολαὶ τῷ κόμητι αὐτῶν διά τινας συνηθείας, ἃς
ἐλάμβανον· καὶ ἀπέκοψαν αὐτάς. καὶ ἐπῆλθον αὐτῷ. εὑρέθη δὲ ἐκεῖ
Θεόδωρος, ὁ υἱὸς Πέτρου τοῦ μαγίστρου, ὁ Κονδοχέρης, καὶ ἀπειλη-
τικοῖς λόγοις χρησάμενος ἠδυνήθη αὐτοὺς καταπραῦναι. τῷ δ' αὐτῷ
ἔτει παρελήφθη * Ὀβαισίπολις ὑπὸ τῶν Οὔννων· καὶ ἔπεμψεν ὁ 25
βασιλεὺς Μάρκελλον τὸν στρατηλάτην καὶ ἴδιον αὐτοῦ ἀνεψιὸν μετὰ
πλήθους στρατοῦ, τοῦ ἀναρρύσασθαι τὴν πόλιν καὶ τὴν * Περσίδα.
τῷ δὲ Ἀπριλλίῳ μηνὶ παρελήφθη καὶ ἡ Ἀναστασιούπολις τῆς Θράκης

---

1 χωρῆσαι *codd. praeter* g *item v.* 2. — μέρη] μέτρη* f. — 3 βάθρα d *et sec. m.* m μέλαθρα (ελ *in lit. sec. m.*) f ράραθρα *rell. cf. p.* 563, 6 B. — 4 πράσινος] βένετος d. — 5 αἴ, αἴ chy. — ὅλοι, ὅλοι ce. — 6 καὶ εἰς τὴν *M.*? — εἰς τάς] εἰς τὰ e, τῆς h. — 7 ἄψον ὧδε, ἄψον ἐκεῖ, ὧδε (ὧδε *om.* g) Βένετος xz. — 8 διαφαούσης f. — 11 ἐξηλήσαντες (-λίσαντες h) *codd.* — 13 ὕπαρχος xz. — 14 αἱ *om.* h. — ἐν ταῖς ἐκκλησίαις κράζειν x. — 15 ἐνδουλγεντίαις (ἰγδ. g) eg ἐνδουλεγεντίαις f ἐνδουλγελγεντίαις h. — 16 γέννης cemz. — 16 τῷ δὲ—*p.* 237, 4 βασιλίσσης *om.* d. — 17 φευρουαρίῳ mz. — 18 ἐν τῇ Βιθυνίᾳ καὶ Νικομηδείᾳ c. — 19 Κοτυαείῳ g Κοτυαγίῳ chy. — Δορυλλαίῳ g Δορυλέῳ chy. — 20 τε c τῇ yz. — 22 ἐπανῆλθον f ἀπῆλθον m. — 23 Κογδοχέρης c Κονδοχαίρης g Γογδοχέρης h Γογδοχαίρης y Κονδόχειρ?. — 24 αὐτοῖς g. — 25 ἔτει] μηνί c. — Ὀβαισίπολις c Ὀβεσίπολις h Ὀβαισι πολις (*spatio octo fere literarum ante* πόλις *vacuo relicto*) g πόλις (*om.* ὀβαισι) y Hobes civitas A Νόβαι ἡ πόλις?. — 26 αὐτοῦ *om.* c. — 27 στρατοῦ] στρατιωτῶν c στρατῶν αὐτοῦ h. — καὶ τὴν Περσίδα *om.* A περισικίδα? — 28 Ἀπρηλίῳ h. — ἡ *om.* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπὸ τῶν αὐτῶν Οὔννων. ‖ καὶ τῷ Μαΐῳ μηνὶ γ' κατηγορήθη Ζήμαρχος, ὁ κουράτωρ τῶν Πλακιδίας, ὡς κατὰ τοῦ βασιλέως πολλὰ λαλήσας καὶ δεινά, ὑπὸ Γεωργίου, κουράτορος τῶν Μαρίνης, καὶ Ἰωάννου ἀπὸ ὑπάτων, συγγενῶν Θεοδώρας τῆς βασιλίσσης. ‖ Mal. p. 490, 13

λς'. λη'. β'. ια'. ιη'. ιδ'. δ'. A. M. 6055 561/2.

‖ Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ γέγονε στάσις δημοτικὴ ἐν τοῖς Πιττακίοις, καὶ πολλοὺς ὁ βασιλεὺς ἐτιμωρήσατο. ‖ τῷ δὲ Νοεμβρίῳ μηνὶ ἀβροχία πολλὴ ἐγένετο καὶ λεῖψις ὑδάτων, ὥστε γενέσθαι μάχας πολλὰς ἐν τοῖς ὑδρείοις. ἐφύσησε δὲ καὶ βορρᾶς ἄνεμος ⟨ἀπὸ⟩ Αὐγούστου μηνός, καὶ οὐδαμοῦ νότος, καὶ οὐκ ἤρχοντο τὰ πλοῖα ἐν τῇ πόλει, ὥστε καὶ λιτὰς ἐκβαλεῖν Εὐτύχιον τὸν πατριάρχην εἰς Ἱερουσαλήμ, τοῦτ' ἔστιν εἰς τὸν ἅγιον Διομήδην. ‖ τῷ δ' αὐτῷ μηνὶ ἐπινίκια ἦλθον ἀπὸ Ῥώμης Ναρσοῦ τοῦ πατρικίου δηλοῦντα παραλαβεῖν αὐτὸν πόλεις ὀχυρὰς τῶν Γότθων δύο, Βηρωΐαν καὶ Βρίγκας. ‖ τῇ δὲ κε' τοῦ αὐτοῦ μηνὸς ἡμέρᾳ σαββάτῳ ἑσπέρας ἐπιβουλὴν ἐμελέτησάν τινες τοῦ φονεῦσαι τὸν βασιλέα, ὡς κάθηται ἐν τῷ παλατίῳ. ἦσαν δὲ Ἀβλάβιος ἀπὸ μελιστῶν καὶ Μάρκελλος ἀργυροπράτης καὶ Σέργιος, ὁ ἀνεψιὸς τοῦ κουράτορος Αἰθερίου. ἡ δὲ μελέτη αὐτῶν ἦν αὕτη· ὡς κάθηται ἐν τῷ τρικλίνῳ ἑσπέρας πρὸ τοῦ μισεῦσαι, εἰσπηδήσαντες σφάξωσιν αὐτόν, ἔχοντες ἰδίους ἀνθρώπους συνεργοῦντας αὐτοῖς Ἰνδοὺς κρυπτομένους εἰς τὸ Σελεντιαρίκιν καὶ εἰς τὸν Ἀρχάγγελον καὶ εἰς τὸ Ἅρμα, ἵνα γενομένης τῆς ἐπιβουλῆς ταραχὴν ποιήσωσιν. ὁ δ' αὐτὸς Ἀβλάβιος καὶ χρυσίον ἔλαβε παρὰ Μαρκέλλου τοῦ ἀργυροπράτου λίτρας ν' εἰς τὸ συνεργῆσαι αὐτῷ. καὶ τοῦ θεοῦ εὐδοκήσαντος ἐθάρρησεν ὁ Ἀβλάβιος Εὐσεβίῳ, τῷ ἀπὸ ὑπάτων ὄντι κόμητι φοιδεράτων, καὶ Ἰωάννῃ τῷ λογοθέτῃ, τῷ κατὰ Δομεντζίολον, λέγων, ὅτι "ἐν τῇ ἑσπέρᾳ ταύτῃ βουλόμεθα ἐπελθεῖν τῷ βασιλεῖ." ὁ δὲ μηνύσας τῷ βασιλεῖ ἐκρά- Mal. p. 492, 7 201 P. Mal. p. 492, 11 367 B Mal. p. 492, 17 Mal. p. 493, 1 cf. Hermes VI, p. 378 368 B

---

1 Ζίμαρχος g. — 2 Πλακηδίας h Πλακίδας cy. — ὡς] ὃς y. — 3 λαλήσας πολλά c. — κουράτωρος g. — 9 ὑδρίοις d ἰδρύοις y. — ἐφύσησε] ἐγένετο x. — βορᾶς hm. — 10 ἀπὸ Αὐγούστου μηνός scr. e Mal. Αὐγούστου μηνός xy Αὐγούστῳ μηνί x. — 11 ὥστε γενέσθαι λεῖψιν τῶν ἀναγκαίων. Εὐτύχιος δὲ ὁ πατριάρχης προσέταξε λιτὰς ἀπελθεῖν εἰς Ἱερ. d. — ἐκβαλεῖν c ἐκβάλαι rell. — 12 τῷ δ' αὐτῷ μηνί scr. e Mal. τῷ δ' αὐτῷ ἔτει μηνί seq. lacuna yz (cf. p. 238, 28 not.) idem lacuna non interposita c τῷ δ' αὐτῷ ἔτει μηνὶ Ἰουλίῳ d. — 14 παραλαμβάνειν y. — Βηρώϊαν dy Βερωΐαν c sine acc. h Veronam A sed Mal. etiam Βεροΐαν. — 15 σαββάτῳ c Mal. σαββάτου rell. — 16 ὡς] ὅς em. — 17 ἦσαν δέ om. em. — Ἀβλάκιος h hic et infra. — μελιτῶν f. — 18 κουράτωρος dg. — 19 μελέτη] ἐπιβουλή x. — ἦν αὕτη hA Mal. ἦν om. rell. — 20 μισεῦσαι hx μησεῦσαι g μησεύσει y priusquam discedendi licentia detur A μισσεῦσαι? πρὸ μινσῶν Mal. — 22 σελεντιαρίκην cem σελεντηαρίκην f σηλεντιαρίκην h σιλεντιαρίκην d σιλεντηαρίκιν g. — ἅρμα df. — 24 ν'] ν' g. — 25 ὁ om. g. — 26 φυδεράτων codd. — 27 τῷ] τό y. — Δομεντίολον Mal. Δομνιντζίολον Herm. — ἐν om. z. — 28 βουλώμεθα g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τησεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς φοροῦντας κρυπτὰ ξίφη. καὶ ὁ μὲν ἀργυροπράτης Μάρκελλος ἀστοχήσας τοῦ προσδοκωμένου, σύρας ὃ ἐφόρει ξίφος δέδωκεν ἑαυτῷ τρεῖς πληγὰς ἐν τῷ τρικλίνῳ συσχεθεὶς καὶ τελευτᾷ. Σέργιός τε, ὁ Αἰθερίου ἀνεψιός, διαδρὰς προσέφυγεν ἐν Βλαχέρναις, ὃν ἐξαγαγόντες τῆς ἐκκλησίας καὶ ἐξετάσαντες ἔπεισαν ὁμολογῆσαι, ὡς καὶ Ἰσάκιος ὁ ἀργυροπράτης καὶ Βελισάριος ὁ ἐνδοξότατος πατρίκιος καὶ αὐτὸς συνήδει τῇ τοιαύτῃ ἐπιβουλῇ, καὶ Βῖτος ὁ ἀργυροπράτης καὶ Παῦλος, ὁ κουράτωρ τοῦ αὐτοῦ Βελισαρίου, ἐγίνωσκον τὴν σκέψιν. καὶ συσχεθέντων ἀμφοτέρων καὶ ἐκδοθέντων Προκοπίῳ τῷ ἐπάρχῳ, κατέθεντο καὶ κατεῖπον Βελισαρίου τοῦ πατρικίου. αὐτίκα οὖν ὁ βασιλεὺς γέγονεν ὑπὸ ἀγανάκτησιν Βελισαρίου· πολλοὶ δὲ καὶ φυγῇ ἐχρήσαντο. καὶ τῇ ε' τοῦ
202 P 369 B Δεκεμβρίου μηνὸς ἐποίησεν ὁ βασιλεὺς σελέντιον ἐνέγκας καὶ τὸν ἁγιώτατον πατριάρχην Εὐτύχιον, κελεύσας ἀναγνωσθῆναι τὰς αὐτῶν καταθέσεις· καὶ ἀκούσας Βελισάριος μεγάλως ἐβαρήθη καὶ γέγονεν ὑπὸ ἀγανάκτησιν τοῦ βασιλέως. καὶ πέμψας ὁ βασιλεὺς ἔλαβε πάντας τοὺς ἀνθρώπους αὐτοῦ καὶ αὐτὸν ἐκάθισεν ἐν τῷ οἴκῳ αὐτοῦ παρα-
Mal. p. 495, 9 cf. Cram. II, 114 φυλαττόμενον. ‖ τῷ δὲ Δεκεμβρίῳ μηνὶ κδ' γέγονε τὰ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας τὸ δεύτερον· ἡ δὲ παννυχὶς τῶν αὐτῶν ἐγκαινίων γέγονεν εἰς τὸν ἅγιον Πλάτωνα, καὶ ἐξῆλθεν ἐκεῖθεν ὁ πατριάρχης Κωνσταντινουπόλεως Εὐτύχιος μετὰ τῆς λιτῆς, συμπαρόντος καὶ τοῦ βασιλέως, καθεζόμενος ἐν τῷ ὀχήματι καὶ φορῶν τὸ ἀποστολικὸν σχῆμα καὶ κρατῶν τὸ ἅγιον εὐαγγέλιον, πάντων ψαλλόντων τό·
Mal. p. 495, 19 "Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν." ‖ τῷ δ' αὐτῷ μηνὶ παρελήφθη μέρη τινὰ τῆς Ἀφρικῆς ὑπὸ τῶν Μαυριτάνων, ἐπαναστάντων αὐτῶν τῇ Ἀφρικῇ τρόπῳ τοιούτῳ. Κουτζίνας τις ὀνόματι ἐκ τοῦ αὐτοῦ ἔθνους, ἔξαρχος τῶν Μαυριτάνων, εἶχεν ἔθος λαμβάνειν παρὰ τοῦ κατὰ τὸν καιρὸν ἄρχοντος τῆς Ἀφρικῆς ῥητὸν χρυσίον. ἐλθόντος δὲ αὐτοῦ λαβεῖν αὐτό, Ἰωάννης, ὁ ἄρχων Ἀφρικῆς, ἐφόνευσεν αὐτόν.

---

2 προσδοκουμένου (προσδωκ. e) ehm προσδοκομένου d. — 4 τε] δέ dA. — 5 ἐξετάξαντες h ἀνετάσαντες x. — 6 ὡς] ὃς em. — ὁ ἀργυροπράτης *om.* x. — 7 συνείδη dhy. — 8 Βίτος cem Βίος f. — τοῦ αὐτοῦ *om.* d. — 9 ἐγίνωσκεν d. — σκῆψιν g. — ἀμφοτέρων y Mal. πάντων ἀμφοτέρων g πάντων hx *cf.* Reiske ad Constant. Porph. II *p.* 501 Bonn. — 10 *A verbo* Προκοπίῳ *iterum omnia intercidерunt in* f *usque ad p.* 246, 20 ἐκράτησεν αὐτόν. — ὑπάρχῳ xz. — 11 γοῦν d *om.* em. — *Immo leg. cum* A ὁ Βελισάριος γέγονεν ὑπὸ ἀγανάκτησιν τοῦ βασιλέως. — 12 Βελισαρίῳ x. — καὶ τῇ ε' c τῇ δὲ ε' dhm τῇ ε' eg. — 13 σελέντιον x Mal. σιλέντιον egm σηλέντιον h. — ὃ ἐνέγκας g. — 15 ἐβαρήθη] ἐλυπήθη x. — 17 ἐκάθησεν dh *om.* em. — 18 κδ' Cr. Chron. Pasch. *p.* 687, 12 κ' *codd.* A. — τά *om.* g. — 20 ἐκεῖθεν *om.* d. — 21 Κωνσταντινουπόλεως *om.* d. — καὶ *om.* mx. — 22 τό *om.* g. — 23 πάντων τῶν λαῶν ψ. z. — τό *om.* cem. — 24 τῷ δ' αὐτῷ ἔτει μηνί ch τῷ δ' αὐτῷ ἔτει d. — 25 αὐτοῖς c. — αὐτῶν τῇ Ἀφρικῇ uncis *inclusit* Classen. — 26 Κουτζῖνας g. — 28 ἄρχοντος *om.* emz ἄρχοντα c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνέστησαν δὲ τὰ τέκνα τοῦ αὐτοῦ Κουτζίνα ἐκδικοῦντες τὸ πατρῷον
αἷμα, καὶ ἐπαναστάντες τῇ Ἀφρικῇ παρέλαβον αὐτῆς μέρη τινὰ 370 B
πραιδεύσαντες. ὁ οὖν βασιλεὺς γνοὺς τοῦτο ἀπέστειλε πρὸς βοή-
θειαν τῆς Ἀφρικῆς Μαρκιανόν, τὸν ἀνεψιὸν αὐτοῦ καὶ στρατηλάτην,
μετὰ ἐξερκέτου πρὸς τὸ εἰρηνεῦσαι τοὺς Μαύρους. καὶ προσερρύησαν
αὐτῷ, καὶ εἰρήνευσεν ἡ Ἀφρική. ‖ τῷ δὲ Ἀπριλλίῳ μηνὶ διεδέχθη
Προκόπιος, ὁ ἔπαρχος τῆς πόλεως, καὶ γέγονεν ἀντ' αὐτοῦ Ἀνδρέας,
ὁ ἀπὸ λογοθετῶν. καὶ ἐξερχομένου αὐτοῦ ἐκ τοῦ παλατίου τῆς
Χαλκῆς καθημένου ἐν τῷ ὀχήματι καὶ ἀπερχομένου εἰς τὸ πραιτώ-
ριον, ὑπήντησαν αὐτῷ οἱ Πράσινοι εἰς τὸ Λαῦσον· καὶ ἤρξαντο
αὐτὸν ὑβρίζειν καὶ λιθάζειν· καὶ ἐγένετο ἀταξία μεγάλη ἐν τῇ Μέσῃ
τῶν δύο μερῶν. καὶ εἰσῆλθον ἐν ταῖς φυλακαῖς, καὶ ἐκράτησεν ἡ
μάχη ἀπὸ ὥρας ι'. καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἰουστῖνον, τὸν ἀνεψιὸν
αὐτοῦ καὶ κουροπαλάτην, καὶ ἀπεδίωξεν αὐτούς. καὶ πάλιν περὶ
ὥραν ιβ' συνέβαλον μάχην καὶ ἐκρατήθησαν καὶ ἐπόμπευσαν ἐπὶ
πολλὰς ἡμέρας· καὶ ἔκοψαν τοὺς ἀντίχειρας αὐτῶν, ὅσοι μετὰ ξιφῶν
ἐμαχήσαντο. καὶ τῇ ιθ' τοῦ Ἰουλίου μηνὸς ἐδέχθη Βελισάριος ὁ
πατρίκιος, ἀπολαβὼν καὶ πάσας αὐτοῦ τὰς ἀξίας. ἔφθασε δὲ καὶ
Πέτρος ὁ μάγιστρος ἀπὸ Περσίδος ποιήσας πάκτα εἰρήνης ἔτη ιξ' 203 P
ἕνεκεν Λαζικῆς καὶ τῶν μερῶν τῆς ἀνατολῆς. τῷ δ' αὐτῷ μηνὶ
ἦλθον ⟨εἰς Κωνσταντινούπολιν⟩ πρέσβεις Ἀσκήλ, τοῦ ῥηγὸς Ἑρμη- 371 B
χιόνων, τοῦ ἔσωθεν κειμένου τοῦ τῶν βαρβάρων ἔθνους πλησίον
τοῦ ὠκεανοῦ. τῷ δὲ Αὐγούστῳ μηνὶ γέγονε λεῖψις ὕδατος, ὥστε
σφαλισθῆναι τὰ δημόσια λουτρά, καὶ γενέσθαι φονοκόπια εἰς τὰ
ὑδρεῖα.

---

1 τὰ τοῦ αὐτοῦ *K.* τέκνα d τὰ τέκνα αὐτοῦ τοῦ *K.* cem τὰ τέκνα αὐτοῦ *K.* h filii Cutzinae A. — ἐκδικοῦντες emz Mal. ἐκζητοῦντες c ἐκζητοῦντα d. — 2 αἷμα z Mal. λῆμα c λῆμμα dem acceptum A. — παρέλαβεν h. — 5 ἐξερκετοῦ cem. — 6 Ἀπριλίῳ h. — 7 ὕπαρχος xz. — 8 ἐκ τῆς Χαλκῆς τοῦ παλατίου? — 9 ἐν τῷ πραιτωρίῳ g. — 10 αὐτόν d. — εἰς τὸν Λαῦσον d εἰς τὰ Λαύσου? — 11 γέγονεν x. — 13 ἀπὸ ὥρας ι' ἕως ἑσπέρας z. — Ἰουστινιανόν em. — 14 κοροπαλάτην e κωροπαλάτην d κουροπελάτην g. — ἀπεδίωξαν x. — 15 συνέβαλλον g. — 17 ιθ'] ιβ' h. — Martii mensis A. — 18 τὰς αὐτοῦ ἀξίας g. — 19 μαγίστρος de *sine acc.* c. — ἔτη ζ' xz. — 20 τῷ δ' αὐτῷ — 23 ὠκεανοῦ *om.* d. — eodem anno A. — 21 ἦλθον εἰς Κωνστ. *scr.* c. A: venerunt — Constantinopolim. ἐλθόντες (*om.* εἰς Κωνστ.) cem ἦλθον (*om.* εἰς Κωνστ.) z. — Ascelti regis A. — Ἑρμηχιόνων c Ἑρμιχιόνων g Ἑρμηχίων ὧν em. — 22 βαρβάρων] Ἀβάρων? — 25 ὕδατα em *cf. p.* 237, 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

562/3. A. M. 6056 Κόσμου ἔτη ,ξνϛ'. Τῆς θείας σαρκώσεως ἔτη φνϛ'. Ῥωμαίων βασιλεὺς Ἰουστινιανὸς ἔτη λη'. λζ'. Περσῶν βασιλεὺς Χοσρόης ἔτη μη'. λθ'. Ῥώμης ἐπίσκοπος Ἰωάννης ἔτη η'. γ'.

Κωνσταντ. ἐπίσκοπος Εὐτύχιος ἔτη ιγ'. ιβ'. Ἱεροσολύμων ἐπίσκοπος Πέτρος ἔτη κ'. ιθ'. Ἀλεξανδρείας ἐπίσκοπος Ἀπολινάριος ἔτη ιθ'. ιε'. Ἀντιοχείας ἐπίσκοπος Ἀναστάσιος ἔτη ια'. ε'.

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνος ιβ', ἀπῆλθεν ὁ βασιλεὺς Ἰουστινιανὸς χάριν εὐχῆς ἐν τοῖς Μυριαγγέλοις, ἦγουν ἐν Γερμίοις, πόλει τῆς Γαλατίας. τῷ δὲ Νοεμβρίῳ μηνὶ εἰσῆλθεν ἐν Βυζαντίῳ Ἀρέθας, ὁ πατρίκιος καὶ φύλαρχος τῶν Σαρακηνῶν, ὀφειλὰς ἀγαγεῖν τῷ βασιλεῖ, τίς τῶν τέκνων αὐτοῦ ὀφείλει μετὰ τὴν αὐτοῦ ἀποβίωσιν κρατῆσαι τῆς φυλαρχίας αὐτοῦ, καὶ περὶ τῶν γινομένων ὑπὸ Ἄμβρου, τοῦ υἱοῦ Ἀλαμουνδάρου, εἰς τοὺς τόπους αὐτοῦ. τῷ δὲ Δεκεμβρίῳ μηνὶ γέγονεν ἐμπυρισμὸς μέγας, καὶ ἐκαύθη τελείως ὁ ξενὼν τῶν Σαμψὼν καὶ τὰ ἔμπροσθεν τῶν Ῥούφου οἰκήματα καὶ τὸ μεσίαυλον, τὸ πλησίον τῆς μεγάλης ἐκκλησίας, τὸ λεγόμενον Γαρσονοστάσιον, καὶ τὰ δύο ἀσκητήρια τὰ πλησίον τῆς ἁγίας Εἰρήνης σὺν τῷ μεσιαύλῳ αὐτῆς καὶ μέρος τοῦ νάρθηκος αὐτῆς.

563/4. A. M. 6057 λη'. μ'. δ'. ιγ'. κ'. ις'. ϛ'.

Τούτῳ τῷ ἔτει μηνὶ Μαρτίῳ, ἰνδικτιῶνος ιγ', τελευτᾷ Βελισάριος
372 B ὁ πατρίκιος ἐν Βυζαντίῳ, καὶ ἡ τούτου περιουσία ἦλθεν εἰς τὸν δεσποτικὸν οἶκον τῶν Μαρίνης. τῇ δὲ αὐτῇ ιγ' ἰνδικτιῶνι, μηνὶ Ἀπριλλίῳ ιβ', Εὐτύχιος, ὁ πατριάρχης Κωνσταντινουπόλεως, καθηρέθη καὶ ἐξωρίσθη ἐν Ἀμασείᾳ ὑπὸ Ἰουστινιανοῦ. καὶ γέγονεν ἀντ' αὐτοῦ Ἰωάννης ὁ ἀπὸ σχολαστικῶν, ἀποκρισιάριος ὢν Ἀντιοχείας τῆς μεγάλης καὶ πρεσβύτερος τῆς αὐτῆς ἐκκλησίας.

Cram. An. II, p. 111 ‖ Τῷ δ' αὐτῷ ἔτει Ἰουστινιανὸς ὁ βασιλεὺς τὸ περὶ φθαρτοῦ

3[4] Χοσρώης ehm. — 8[3] Ἀπολιναρίος em. — 11 ἰνδικτιῶνος om. d ἶδ͂ *rell.* — β' h. — ὁ βασιλεύς om. h. — 13 πόλιν ehmx. — 15 ὀφείλας x *sine acc.* em. — ἀγάγαι em. — τῆς τ. τέκν. αὐτ. ὀφειλῆς ἕνεκα *legisse vid.* A. — 17 Ἀμάρου xz Ἀβάρου em Ἄμβρου *scripsi e* Menandr. Prot. frg. 11, IV, *p.* 211; 216 Müller. — 19 τῶν x τοῦ em τά z. — Σαμψῶν gmx Σαμψῷ e Σαμψοῦ h. — τοῦ Ῥούφου mx. — 22 σὺν τῶν μεσιαύλων z. — αὐτῆς *prius om.* z. — 24 ἰνδικτιῶνος om. dem ἶδ͂ *rell.* — γ' h. — 26 τῶν] τόν x om. h. — ἶδ͂ *codd.* — 27 Ἀπριλίῳ h. — ὁ om. g. — 28 Ἀμασίᾳ *codd.* — ὑπὸ Ἰουστινιανοῦ βασιλέως διὰ τὸν ὑπ' αὐτοῦ γεγονότα ἴνδικτον μὴ καταδέξασθαι h *om. etiam* A *cf.* Nic. Chron. *p.* 117. 18 *ed.* de Boor. — 29 τῆς Ἀντ. demz. — 30 τῆς μεγάλης cz *om.* dem. — *Post* μεγάλης c *solus addit* καὶ πρεσβύτερος ὢν τῆς Ἀντιοχείας, *reliqui nihil addunt.* et presbyter eiusdem ecclesiae *addit* A. *unde scripsi ut in textu.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἀφθάρτου κινήσας δόγμα καὶ ἴδικτον πανταχοῦ καταπέμψας ἀλλότριον τῆς εὐσεβείας, θεοῦ προφθάσαντος, ἐτελεύτησε μηνὶ Νοεμβρίῳ ιδ' τῆς ἐχομένης ιδ' ἰνδικτιῶνος, βασιλεύσας ἔτη λη' μῆνας ζ' 204 P
ἡμέρας ιγ'. καὶ γίνεται τούτου διάδοχος ὁ ἀνεψιὸς αὐτοῦ Ἰουστῖ-
5 νος ‖ ὁ κουροπαλάτης.

Τῷ δ' αὐτῷ ἔτει Θεοδοσιανοὶ καὶ Γαϊανῖται ἐν Ἀλεξανδρείᾳ κτίζειν ἤρξαντο συνᾶκτήρια, καὶ αὐθεντήσαντες οἱ Γαϊανῖται ἐπίσκοπον ἑαυτοῖς ἐχειροτόνησαν Ἐλπίδιον, τὸν ἀρχιδιάκονον αὐτῶν· ὃν ὁ βασιλεὺς δεδεμένον ἐλθεῖν προσέταξεν. ἐρχόμενος δὲ κατὰ τὸν
10 Σίγριν ἀπέθανεν. Θεοδοσιανοὶ δὲ Δωρόθεον κρυπτῶς ἐν νυκτὶ ἐπίσκοπον ἑαυτοῖς ἐχειροτόνησαν. καὶ εἰς ἓν συνελθόντες οἵ τε Γαϊανῖται καὶ οἱ Θεοδοσιανοὶ κοινὸν ἐπίσκοπον ἑαυτοῖς ἐνεθρόνισαν. Ἰωάννην δέ τινα μοναχόν, * ὃν οἱ Γαϊανῖται δόλον ὑπομεμενηκέναι 373 B
νομίσαντες τὸν πώγωνα τοῦ ἀββᾶ σὺν τῷ δέρματι καὶ τῇ σαρκὶ ἐξ-
15 έδειραν.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Ῥώμης	A. M. 6058
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,ϛνη'.	ἔτη φνη'.	Ἰουστῖνος	Χοσρόης	Ἰωάννης	
		ἔτη ιγ'.	ἔτη μη'.	ἔτη η'.	
20		α'.	μα'.	ε'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἰωάννης	Μακάριος	Ἀπολινάριος	Ἀναστάσιος
ἔτη ιβ'.	ἔτη β'.	ἔτη ιθ'.	ἔτη ια'.
25 α'.	α'.	ιζ'.	ζ'.

Τούτῳ τῷ ἔτει μηνὶ Νοεμβρίῳ ιδ', ἰνδικτιῶνος ιδ', ἐβασίλευσεν Ἰουστῖνος, ὁ ἀνεψιὸς Ἰουστινιανοῦ, στεφθεὶς ὑπὸ Ἰωάννου πατριάρχου τοῦ ἀπὸ σχολαστικῶν. ἦν δὲ τῷ γένει Θρᾴξ, μεγαλόψυχός τε καὶ εἰς πάντα ἐπιδέξιος, φιλοκτίστης. εἶχε δὲ καὶ γυναῖκα Σοφίαν
30 ὀνόματι, ἥν τινα καὶ ἔστεψεν αὐγούσταν. εὐσεβὴς δὲ ὢν ἐπεκόσμησε

---

1 *δόγμα κινήσας* x. — *ἴνδικτον* m. — 2 *Νοεμβρίῳ ια'* cz. — 3 *τῆς ἐχομ. ιδ' ἰνδ.* *om.* em. — *ιδ' om.* h. — *ἰνδικτιόνος* h $^{\delta}$*ἰν rell.* — 5 *κοροπαλάτης* emx. — 6 *Γαϊανίται* c *Γαϊαννίταν* g *Γαϊανήται* em *Γαϊανοὶ τά* h. — 7 *Γαϊανίται* c *Γαϊανήται* h *Γαϊαννίται* g. — 8 *ἑαυτοῖς*] *ἐν αὐτοῖς* g. — 10 *κρυπτῶς Δωρόθεον* c. — 11 *καὶ* — 12 *ἐνεθρόνισαν om.* g. — 12 *Γαϊανίται* c *Γαϊανήται* h *Γαϊανισταί* em; — *ἐνεθρόνισαν* cemA *ἐχειροτόνησαν* h *ἐνεθρόνησαν καὶ ἐχειροτόνησαν* d. — 13 *Ἰωάννην* — 14 *ἐξέδειραν om.* d. — *δέ delet* Goar. — *Γαϊανίται* c *Γαϊανῆται* h *Γαϊαννίται* g *Γαϊανισταί* em. — *δοῦλον ὑπομεμνηκέναι* em *δόλον ὑπομεμελετηκέναι coni.* Classen *cum* Combefis. — 14 *ἀββά* em. — *ἐξέδηραν* ehm. — 15 Taliter haereticorum amentia gerere consuevit, adeo ut ea quae paganorum sunt multotiens operentur *add.* A. — 18[4] *Χοσρώης* ehm. — 23[3] *Ἀπολιναρίος* e. — 25[4] *ζ'*] *α'* em. — 26 *ἰνδικτιόνος* h $^{\delta}$*ἰν rell.* — *ιδ'* x *δ'* emz. — 29 *γυναῖκαν* g. — 30 *αὐγοῦσταν* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰς ἐκκλησίας τὰς κτισθείσας ὑπὸ Ἰουστινιανοῦ, τήν τε μεγάλην ἐκκλησίαν καὶ τοὺς ἁγίους ἀποστόλους καὶ ἄλλας ἐκκλησίας καὶ μοναστήρια, χαρισάμενος αὐτοῖς κειμήλια καὶ πᾶσαν πρόσοδον. ἦν δὲ
Cram. Anecd. II, p. 111 ὀρθόδοξος πάνυ. ‖ καὶ ἀπέστειλε τὸν ἀββᾶν Φωτεινόν, τὸν προγονὸν Βελισαρίου τοῦ πατρικίου, δοὺς αὐτῷ ἐξουσίαν κατὰ παντὸς προσ- 5
ώπου καὶ πράγματος ‖ τοῦ εἰρηνεῦσαι τὰς ἐκκλησίας πάσας τὰς Αἰγύπτου καὶ Ἀλεξανδρείας.

565/6 A. M. 6059 β'. μβ'. ς'. β'. β'. ιή'. ή'.

cf. Euagr. H. E. V, 3 Τούτῳ τῷ ἔτει Αἰθέριος καὶ Αὔδιος καὶ ὁ σὺν αὐτοῖς ἰατρὸς ἐπεβούλευσαν τῷ βασιλεῖ Ἰουστίνῳ καὶ γνωσθέντες ἀπέθανον ξίφει. 10
ἐποίησε δὲ ὑπατείαν καὶ ἔρριψε χρήματα πολλά, ὥστε πολλοὺς πλουτίσαι.

374 B Cram. An. II, 110 ‖ Τῷ δ' αὐτῷ ἔτει ὁ ἀββᾶς Ἀγάθων, ἀδελφὸς Ἀπολιναρίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας, ἐλθὼν εἰς Ἀλεξάνδρειαν καὶ λόγους εἰσπραττόμενος Εὐστόχιον μοναχόν, μέγαν ὄντα [καὶ] οἰκονόμον 15
205 P Ἀλεξανδρείας τότε, τῆς οἰκονομίας χάριν ἐφρούρησε τοῦτον· ὃς φυγὼν διὰ τῆς στέγης ἦλθεν ἐν Βυζαντίῳ, Μακαρίου τότε ἐκβληθέντος τῆς ἐκκλησίας κατὰ συσκευήν· καὶ ἐχειροτονήθη Εὐστόχιος ἀντὶ Μακαρίου ἐπίσκοπος Ἱεροσολύμων. ‖

566/7 A. M. 6060 Ἱεροσολύμων ἐπίσκοπος Εὐστόχιος ἔτος α'. 20
γ'. μγ'. ζ'. γ'. α'. ιθ'. θ'.

Τούτῳ τῷ ἔτει μεταστειλαμένη Σοφία, ἡ εὐσεβεστάτη αὐγούστα, τούς τε ἀργυροπράτας καὶ σημαδαρίους ἐκέλευσεν ἐνεχθῆναι τὰς ὁμολογίας τῶν χρεωστούντων καὶ τὰ σημάδια· καὶ ἐντυχοῦσα αὐτοῖς ἔλαβε τὰ σημάδια παρασχομένη αὐτὰ τοῖς χρεωστοῦσι καὶ ἀπέδωκεν 25
αὐτὰ τοῖς ἰδίοις δεσπόταις· καὶ μεγάλως εὐφημίσθη ἐπὶ τούτῳ ὑπὸ
Cram. An. II, 111 πάσης τῆς πόλεως. ‖ Εὐστόχιος δὲ ἀπελθὼν εἰς Ἱεροσόλυμα μίσει τῷ πρὸς Ἀπολινάριον καὶ Ἀγάθωνα καὶ Μακάριον τοὺς τῆς νέας λαύρας μοναχοὺς ἐξέβαλεν ὡς Ὠριγενιστάς· ‖ καὶ διὰ τοῦτο ἐξεβλήθη· καὶ πάλιν ἀπεκατέστη Μακάριος εἰς τὸν ἴδιον θρόνον. 30

---

3 αὐταῖς x. — δὲ καὶ ὀρθ. h. — 4 ἀββάν em ἀβᾶν c. — πρόγονον cz. — 6 πάσας om. d. — τὰς] τῆς c om. dz. — 7 Αἰγ. τε καί z. — 9 Αὔδιός z Ἀδδαῖος Euagr. — ὁ om. em. — 11 ὑπατίαν h. — 12 πλουτῖσαι gx πλουτῆσαι em. — 13 τῷ δ' αὐτῷ — 19 Ἱεροσολύμων om. d. — 13 ἀββάς em. — Ἀπολληναρίου em. — 15 εἰσπραττομένους em. — μέγα cehm. — καὶ uncis incl. coll. Cr. habent codd. et A. — 19 ἐπίσκοπος Ἱεροσ. om. m. — ἐπισκόπου eh ἐπισ̈ sine acc. g. — v. 21 om. codd. — 22 αὐγοῦστα eg. — 23 σημανδαρίους h. — 26 εὐφημείσθη de ἐφημείσθη m ἐφημίσθη h. — ἐπὶ τοῦτο ehm. — 27 Εὐστόχιος — 30 θρόνον om. d. — 27 ἀπελθών] ingressus A. — 28 Ἀγάθονα ehm. — τούς] τοῦ em. — 29 ἐξέβαλλεν g. — Ὠριγενιστάς g Ὀριγενίστας em Ὠριγενιαστάς h. — καὶ ἐξεβλήθη διὰ τοῦτο c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἱεροσολύμων ἐπίσκοπος Μακάριος πάλιν ἔτη δ'. Α. Μ. 6061 567/8
Ἀλεξανδρείας ἐπίσκοπος Ἰωάννης ἔτη ια'.
δ'. μδ'. ή'. δ'. α'. α'. ι'.

Τούτῳ τῷ ἔτει ἱπποδρομίας ἐπιτελεσθείσης, καὶ φιλονεικούντων 375 B
τῶν μερῶν πρὸς ἀλλήλους, ἔπεμψε μανδάτα εἰς ἑκάτερα τὰ μέρη ὁ βασιλεὺς λέγων εἰς μὲν τοὺς Βενέτους, ὅτι "Ἰουστινιανὸς ὁ βασιλεὺς παρ' ὑμῖν ἐτελεύτησεν," εἰς δὲ τοὺς Πρασίνους, ὅτι "Ἰουστινιανὸς ὁ βασιλεὺς παρ' ὑμῖν ζῇ·" καὶ ἀκούσαντα τὰ μέρη ἐσίγησαν καὶ οὐκέτι ἐφιλονείκησαν.

Τῷ δ' αὐτῷ ἔτει ἤρξατο κτίζειν τὸ παλάτιον τῶν Σοφιανῶν ἐπ' ὀνόματι τῆς αὐτοῦ γυναικὸς Σοφίας, προφάσει τοῦ ἐκεῖσε ταφῆναι Ἰοῦστον τὸν υἱὸν αὐτοῦ πρὸ τοῦ βασιλεῦσαι αὐτόν, ἔτι κουροπαλάτου ὄντος αὐτοῦ, ἐν τῷ οἴκῳ τοῦ ἀρχαγγέλου τῶν ἐκεῖσε, κοσμήσας αὐτὸ ὑπὸ διαφόρων πολυτίμων μαρμάρων.

Ῥώμης ἐπίσκοπος Βενέδικτος ἔτη [ε']. Α. Μ. 6062 568/9
ε'. με'. [α'.] ε'. β'. β'. ια'.

Τούτῳ τῷ ἔτει Ἰουστῖνος ὁ βασιλεὺς ἤρξατο κτίζειν τὸ παλάτιον 206 P
τὸ δεύτερον ἐν τῷ προαστείῳ αὐτοῦ, ὃ εἶχε πρὸ τοῦ βασιλεῦσαι αὐτόν. ὁμοίως δὲ καὶ ἐν τῇ νήσῳ τῆς Πριγκίπου καὶ αὐτῷ ὄντι προαστείῳ αὐτοῦ ἐν τῷ λιμένι, καὶ τὴν ἐκκλησίαν τῶν ἁγίων Ἀναργύρων ἐν τοῖς Δαρείου. ἀπεκατέστησε δὲ καὶ τὸ λουτρὸν τοῦ Ταύρου τὸ δημόσιον καὶ ἐπωνόμασεν αὐτὸ Σοφιανὰς ἐπ' ὀνόματι τῆς γυναικὸς αὐτοῦ Σοφίας.

Τῷ δ' αὐτῷ ἔτει Ἀναστάσιος, ὁ ἐπίσκοπος Ἀντιοχείας ὁ μέγας, 376 B
καθαψάμενος ἐν τοῖς ἀντιγράφοις τῶν συνοδικῶν Ἰωάννου τοῦ Κωνσταντινουπόλεως, τοῦ χειροτονήσαντος Ἰωάννην τὸν Ἀλεξανδρείας, καὶ τούτου χειροτονηθέντος ἐξεβλήθη τῆς ἰδίας ἐπισκοπῆς κατὰ ἀγανάκτησιν Ἰουστίνου, καὶ ἐχειροτονήθη Γρηγόριος, μοναχὸς καὶ ἀποκρισιάριος τῆς μονῆς τῶν Βυζαντίων.

Ἀντιοχείας ἐπίσκοπος Γρηγόριος ἔτη κδ'. Α. Μ. 6063 569/70.
ς'. μς'. [β'.] ς'. γ'. γ'. α'.

Τούτῳ τῷ ἔτει Ναρσῆς, ὁ κουβικουλάριος καὶ πρωτοσπαθάριος,

---

1 καὶ (καὶ *om.* h) πάλιν Μακάριος z πάλιν *om.* m. — ἔτη δ'] ἔτος α' em. — 2 ἔτη ια'] ἔτος α' em. — *v.* 3 *om. codd.* — 4 τῷ δ' αὐτῷ ἔτει d. — ἱπποδρομείας em. — φιλονικούντων mx. — 5 ἐφ' ἑκάτερα x. — τά *om.* cem. — ὁ βασιλεύς *om.* c. — 6 λέγων—ὁ βασιλεύς *om.* e. — 8 παρ' ὑμῖν Ἰουστ. ὁ βασ. ζῇ emz. — 10 ἤρξαντο x. — τὰ τῶν Σοφ. παλάτια d. — τὸ παλάτιον *om.* c. — 12 κουροπαλάτου emx. — 13 τοῦ ἐκεῖσε d. — 14 αὐτῷ emz αὐτόν x. — ὑπό] ἐκ d. — 15 Βενεδίκτος c. — ε' *om.* cem. — *v.* 16 *om.* cem. — 19 Πριγκήπου cem. — 20 προάστειον g. — 21 λουετρόν ex λοετρόν m. — 23 αὐτῷ em. — 24 τῷ δ' αὐτῷ—29 Βυζαντίων *om.* d. — 26 τοῦ *ante* Κωνστ. *om.* c. — 27 καὶ τοῦ χειροτονηθέντος Vales. ad. Euagr. V, 5. — *v.* 31 *om.* m. — 31 ς'. μς'. ς'. γ'. γ'. α' cg ς'. μς'. β' γ'. γ'. α' h. — 32 Ναρσῆς eg.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ ἀγαπητὸς τοῦ βασιλέως Ἰουστίνου, εἰς ὃν καὶ ἐλοιδορεῖτο, ἔκτισε
cf. Ioh. Ant. frg. 217 b τὴν οἰκίαν Ναρσοῦ καὶ τὴν μονὴν τῶν Καθαρῶν. ‖ ἀκούσας δὲ
Ἰουστῖνος ὁ βασιλεὺς περὶ τοῦ ἀνεψιοῦ αὐτοῦ, ὃν εἶχεν ἐν Ἀλεξαν-
δρείᾳ αὐγουστάλιον, ὅτι συσκευὴν μελετᾷ κατὰ τοῦ βασιλέως, πέμψας
ἀπεκεφάλισεν αὐτόν. ‖

570/1 A. M. 6064 ζ'. . μξ'. [γ'.] ξ'. δ'. δ'. β'.

Τούτῳ τῷ ἔτει ἤρξατο κτίζειν Ἰουστῖνος τὴν ἐκκλησίαν τῶν
ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου ἐν τῷ ὀρφανοτροφείῳ, καὶ
τῶν ἁγίων ἀποστόλων ἐν τῷ Τρικύγχῳ, τὴν καεῖσαν ἐπὶ Ζήνωνος
τοῦ βασιλέως. προσέθηκε δὲ καὶ εἰς τὴν ἐκκλησίαν τῆς ἁγίας θεο-
τόκου τῶν Βλαχερνῶν τὰς δύο ἀψῖδας, τῆς τε ἄρκτου καὶ μεσημ-
377 B βρίας, ἐν τῷ μεγάλῳ ναῷ καὶ ἐποίησε τὴν ἐκκλησίαν κατὰ σταυρίου.
Theophyl. Sim. p. 132, 12 ‖ Τῷ δ' αὐτῷ ἔτει Ῥωμαῖοί τε καὶ Πέρσαι τὴν εἰρήνην διέφθει-
Mal. p. 456, 23 ραν, καὶ πάλιν ὁ Περσικὸς ἀνεκαινίσθη πόλεμος ‖ διὰ τὸ πρεσβεῦσαι
τοὺς Ὁμηρίτας Ἰνδοὺς πρὸς Ῥωμαίους, καὶ ἀποστεῖλαι τὸν βασιλέα
Ἰουλιανὸν τὸν μαγιστριανὸν μετὰ σάκρας πρὸς Ἀρέθαν, τὸν βασιλέα
207 P τῶν Αἰθιόπων, διὰ τοῦ Νείλου ποταμοῦ ἀπὸ Ἀλεξανδρείας καὶ τῆς
Ἰνδικῆς θαλάσσης· καὶ ἀπεδέχθη παρὰ τῷ βασιλεῖ Ἀρέθᾳ μετὰ χαρᾶς
πολλῆς ὡς ἐφιεμένῳ τὴν φιλίαν τοῦ βασιλέως Ῥωμαίων. ἐξηγεῖτο
δὲ ἐπανελθὼν ὁ αὐτὸς Ἰουλιανός, ὅτι, ὅτε ἐδέξατο αὐτόν, γυμνὸς
ἦν ὁ βασιλεὺς Ἀρέθας, καὶ κατὰ τοῦ ζώσματος αὐτοῦ εἶχεν εἰς τὰς
ψύας αὐτοῦ λινόχρυσα ἱμάτια· κατὰ δὲ τῆς γαστρὸς ἐφόρει σχιστὰ
διὰ μαργαριτῶν τιμίων, καὶ ἐν τοῖς βραχίοσιν ἀνὰ πέντε κλαβίων,
καὶ χρυσᾶ ψέλια εἰς τὰς χεῖρας αὐτοῦ· ἐν δὲ τῇ κεφαλῇ αὐτοῦ
λινόχρυσον φακιόλιν ἐσφενδονισμένον, ἔχον ἐξ ἀμφοτέρων τῶν δεσμῶν
σειρὰς τέσσαρας, καὶ μανιάκην χρυσοῦν ἐν τῷ τραχήλῳ αὐτοῦ· καὶ
ἵστατο ἐπάνω τεσσάρων ἐλεφάντων ἑστώτων καὶ ἐχόντων ζυγὸν καὶ
τροχοὺς τέσσαρας, καὶ ἐπάνω ὡς ὄχημα ὑψηλὸν ἠμφιεσμένον χρυ-
σέοις πετάλοις, ὥσπερ ἐστὶ τὰ τῶν ἀρχόντων τῶν ἐπαρχιῶν ὀχήματα·
καὶ ἑστὼς ἐπάνω αὐτοῦ ἐβάσταξε σκουτάριν μικρὸν κεχρυσωμένον
καὶ δύο λαγκίδια χρυσᾶ· καὶ ἡ σύγκλητος αὐτοῦ πᾶσα μετὰ ὅπλων
378 B ᾄδοντες μέλη μουσικά. εἰσενεχθεὶς οὖν ὁ πρέσβις τῶν Ῥωμαίων
καὶ προσκυνήσας ἐκελεύσθη παρ' αὐτοῦ ἀναστῆναι καὶ ἀχθῆναι
πρὸς αὐτόν. δεξάμενος δὲ τὴν τοῦ βασιλέως σάκραν κατεφίλησε τὴν

---

1 Ἰουστινιανοῦ c. — 2 Καθαρᾶ d. — 3 περὶ τοῦ ἀν. αὐτοῦ om. c τοῦ ἀν. αὐτοῦ om. d. — οὗ — αὐγουσταλίου d. — 6 ζ'. μξ'. ζ'. ξ'. δ'. δ'. β' cegm. — 8 ὀρφανοτροφίῳ x. — 16 μετὰ σάκρας om. x. — 18 παρὰ om. g. — 19 ἐφιέμενοι emz. — 22 αὐτοῦ om. em. — 23 μαργαρίτων emg. — 24 ψέλλια z. — 25 λινόχρυσον] χρυσόν em om. A. — φακιόλιν h φακιόλιον dg. — 26 μανιάκιν g. — 28 ἠμφιεσμένοις egm. — χρυσοῖς d χρυσέοις c. — 30 σκουτάρην d. — μικρὸν χρυσοῦν κεχρυσ. c. — 31 λαγκήδια hx. — 32 εἰσηνεχθείς g. — πρέσβης deh πρέσβεις m πρέσβυς g πρεσβευτής c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σφραγῖδα τὴν ἔχουσαν τὸ στηθάριον τοῦ βασιλέως· δεξάμενος δὲ καὶ τὰ δῶρα ἐχάρη μεγάλως. ἀναγνοὺς δὲ εὗρε περιέχοντα τοῦ ὁπλίσασθαι αὐτὸν κατὰ τοῦ βασιλέως Περσῶν, καὶ τὴν πλησιάζουσαν αὐτῷ χώραν τῶν Περσῶν ἀπολέσαι καὶ τοῦ λοιποῦ μηκέτι συν-
5 ἄλλαγμα ποιεῖν μετὰ τῶν Περσῶν, ἀλλὰ δι' ἧς ὑπέταξε χώρας τῶν Ὁμηριτῶν διὰ τοῦ Νείλου ποταμοῦ ἐπὶ τὴν Αἴγυπτον ἐν Ἀλεξανδρείᾳ τὴν πραγματείαν ποιεῖσθαι. εὐθέως δὲ στρατεύσας ὁ βασιλεὺς Ἀρέθας ἐπ' ὄψεσι τοῦ πρεσβευτοῦ Ῥωμαίων ἐκίνησε πόλεμον κατὰ Περσῶν προπέμψας τοὺς ὑπ' αὐτὸν Σαρακηνούς. ἀπελθὼν δὲ
10 καὶ αὐτὸς ἐπὶ τὴν Περσικὴν χώραν ἐξεπόρθησε πᾶσαν τὴν ἐν τοῖς μέρεσιν ἐκείνοις. κρατήσας δὲ ὁ βασιλεὺς Ἀρέθας τὴν κεφαλὴν Ἰουλιανοῦ καὶ δεδωκὼς αὐτῷ εἰρήνης φίλημα ἀπέλυσεν αὐτὸν ἐν πολλῇ θεραπείᾳ σὺν πολλοῖς χαρίσμασιν. ‖ ἐγένετο δὲ καὶ ἄλλη αἰτία Theophyl. Sim. p. 132, 18
ταράξασα τὸν Χοσρόην. Οὖννοι γὰρ κατ' ἐκεῖνο καιροῦ, οὓς Τούρ-
15 κους λέγειν εἰώθαμεν, πρεσβεύουσι πρὸς Ἰουστῖνον διὰ τῆς τῶν Ἀλανῶν χώρας ἀποστείλαντες. τοῦτο φοβηθεὶς Χοσρόης προεφασίσατο τὴν τῶν Ἀρμενίων πρὸς αὐτὸν ἀνταρσίαν καὶ πρὸς Ἰουστῖνον προσχώρησιν καὶ ἠτεῖτο τοὺς πρόσφυγας. ἐτέλει γὰρ ὁ βασιλεὺς τῶν Ῥωμαίων ἀνὰ ἔτος πεντακοσίας λίτρας χρυσίου, ὅπως τὰ πλησιάζοντα
20 τοῦ τόπου φρούρια διαφυλάττωσι Πέρσαι, ἵνα μὴ εἰσβαλόντα τὰ ἔθνη ἑκατέραν διαλύσωσι πολιτείαν· καὶ κοινοῖς ἀναλώμασι τὰ φρού- 208 P
ρια ἐφυλάττοντο. ὁ δὲ Ἰουστῖνος ἔλυσε τὴν εἰρήνην φάσκων ἐπονείδιστον εἶναι φορολογεῖσθαι ὑπὸ τῶν Περσῶν τοὺς Ῥωμαίους. διὰ τοῦτο χώραν ἔλαβεν ὁ μέγας οὗτος Περσῶν τε καὶ Ῥωμαίων πόλεμος.
25 ὁ δὲ Ἰουστῖνος Μαρτῖνον, τὸν πατρίκιον καὶ συγγενῆ αὐτοῦ, στρατηγὸν χειροτονήσας τῆς ἀνατολῆς κατὰ Περσῶν ἐξέπεμψεν. ‖

---

3 ὁπλισθῆναι c. — 6 ἐν Ἀλεξ. τὴν πραγμ. x Mal. τὴν ἐν Ἀλ. πραγ. em τὴν ἐν Ἀλ. τὴν πραγ. z. — 8 πρεσβυ g. — 9 ὑπ' αὐτῷ em. — ἐπελθών Mal. — 12 τοῦ πρεσβευτοῦ Ἰουλιανοῦ xz τοῦ πρεσβ. om. emA. — φίλημα Mal. osculum A φιλήματα codd. — 13 χρήμασιν em. — 14 Χοσρώην ehm. — Οὖννοι ehmx. — κατ' ἐκείνῳ καιρῷ em κατ' ἐκείνῳ τῷ καιρῷ z. — 15 πρὸς τὸν Ἰουστινιανόν x. — 16 Χοσρώης ehm. — προσεφασίσατο em. — 18 προχώρησιν egm. — 20 διαφυλάττουσι emz. — 21 τὸ φρούρειον em. — 23 ὑπὸ τῶν Π. φορολογεῖσθαι x. — 24 ἀνέλαβεν em. — 25 Μαρτῖνον codd. A Μαρκιανόν Theophyl. Euagr. — τόν om. x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

571/2 A. M. 6065 *Κόσμου ἔτη ,ξξε΄.* *Τῆς θείας σαρκώσεως ἔτη φξε΄.* *Ῥωμαίων βασιλεὺς Ἰουστῖνος ἔτη ιγ΄. η΄.* *Περσῶν βασιλεὺς Χοσρόης ἔτη μη΄. μη΄.* *Ῥώμης ἐπίσκοπος [Βενέδικτος] [ἔτη ε΄.] [δ΄.]*

Κωνσταντ. ἐπίσκοπος Ἰωάννης ἔτη ιβ΄. η΄. *Ἱεροσολύμων ἐπίσκοπος Ἰωάννης ἔτη κ΄. α΄.* *Ἀλεξανδρείας ἐπίσκοπος Ἰωάννης ἔτη ια΄. ε΄.* *Ἀντιοχείας ἐπίσκοπος Γρηγόριος ἔτη κδ΄. γ΄.*

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ ς΄ ἠσθένησεν ὁ βασιλεὺς καὶ ἐν λύπῃ γέγονε πρὸς Βαδουάριν τὸν ἴδιον ἀδελφὸν καὶ ὕβρισεν αὐτὸν ἐσχάτως, ἐπιτρέψας τοῖς κουβικουλαρίοις γρονθιζόμενον ἐξαγαγεῖν αὐτὸν ἐπὶ σελεντίου. ἦν δὲ κόμης τῶν βασιλικῶν σταύλων. μαθοῦσα δὲ Σοφία ἐλυπήθη καὶ ἐνεκάλεσε τῷ βασιλεῖ· ὁ δὲ μετεμελήθη καὶ
380 B *κατελθὼν πρὸς αὐτὸν εἰς τὸν σταῦλον εἰσῆλθεν ἄφνω μετὰ τοῦ πραιποσίτου τῶν κουβικουλαρίων. ὁ δὲ Βαδουάριος ἰδὼν τὸν βασιλέα ἔφυγεν ἀπὸ ζακὸς εἰς ζάκα φόβῳ τοῦ βασιλέως. ὁ δὲ βασιλεὺς ἔκραξεν· "ὁρκίζω σε κατὰ τοῦ θεοῦ, ἀδελφέ μου, μεῖνόν με." καὶ δραμὼν ἐκράτησεν αὐτόν, καὶ περιπλακεὶς κατεφίλησεν αὐτὸν λέγων· "ἔπταισά σοι, ἀδελφέ μου· ἀλλὰ δέξαι με ὡς ἀδελφόν σου πρῶτον καὶ ὡς βασιλέα. ἐκ γὰρ διαβολικῆς ἐνεργείας οἶδα ὅτι τοῦτο γέγονεν." ὁ δὲ πεσὼν εἰς τοὺς πόδας αὐτοῦ κλαίων εἶπεν· "ἀληθῶς, δέσποτα, ἐξουσίαν ἔχεις· πλὴν παρουσίᾳ τῆς συγκλήτου εὐτέλισας τὸν δοῦλόν σου· ἄρτι, ὁ δεσπότης, τούτοις ἀπολόγησαι." καὶ ἐδείκνυεν αὐτῷ τὰ ἄλογα. ὁ δὲ βασιλεὺς παρεκάλεσεν αὐτὸν συμφαγεῖν αὐτῷ, καὶ εἰρήνευσαν.*

Theophyl. Sim. 134, 6 ‖ *Τῷ δ' αὐτῷ χρόνῳ γέγονε πόλεμος περὶ τὸ Σάργαθον Περσῶν καὶ Ῥωμαίων μέγας, καὶ ἐνίκησαν οἱ Ῥωμαῖοι.* ‖

572/3 A. M. 6066 *Περσῶν βασιλεὺς Ὀρμίσδας ἔτη ιε΄.*

θ΄. α΄. [ε΄.] θ΄. β΄. ς΄. δ΄.

cf. Euagr. H. E. V, 11 *Τούτῳ τῷ ἔτει ἦλθον οἱ Ἄβαρεις εἰς τὰ μέρη τοῦ Δανουβίου,*

3[4] *Χοσρώης* ehm. — 3[5] *Βενέδικτος* h *Ἰωάννης* cg *om.* em. — 4[5] *ἔτη ε΄* h *om. rell.* — 5[5] *δ΄* h *om. rell.* — 8[2] *Ἰωάννης om.* h. — 8[3] *Γρηγόριος* ceg. — 9[3] *ἔτη ια΄* h *ἔτη δ΄ rell.* — 10[3] *ε΄* h *γ΄ rell.* — 12 *Βαδουάριν* xA *Βαδούριον* emz. — hunc iniuriis laceravit. novissime vero praecepit A. — 13 *γρονθιζόμενον* g. — 14 *σηλεντίου* g *σιλεντίου* h. — *στάβλων* z. — 15 *Σοφία ἡ αὐγούστα* d. — *μετεβλήθη* em. — 16 *σταῦβλον* g. — 17 *πρεποσίτου* em *πρεπωσίτου* g. — *Βαδουάριος* xA *Βαδούριος* emz. — 18 *ζάκος* cem *ζάκας* h. — *ζάκαν* z. — 19 *μου om.* h. — 24 *εὐτέλησας* fz *εὐτελίσας* c *εὐτελήσας* em. — 25 *ὁ*] *ὡς* h. — 26 *αὐτόν*] *αὐτῷ* g. — 27 *αὐτῷ om.* em. — 28 *Περσῶν τε καί* x. — Romanorum atque Persarum A. — 30 *Ὀρμίσδας* cy. — 31 *θ΄. α΄. θ΄. β΄. ς΄. δ΄* cgy *θ΄. α΄. ε΄. β΄. ς΄. δ΄* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ μαθὼν ὁ βασιλεὺς ἀπέστειλε Τιβέριον, τὸν κόμητα τῶν ἐκσκουβιτόρων, κατ' αὐτῶν· καὶ συμβαλὼν αὐτοῖς ἡττήθη αἰφνιδιασθεὶς ὑπ' αὐτῶν, καὶ ἀποβαλὼν πολλοὺς ὑπέστρεψεν. ‖ Ὁρμίσδας δέ, ὁ βασιλεὺς Περσῶν, Ἀρδαμάνην στρατηγὸν χειροτονήσας ἀπέστειλε περᾶσαι τὸν Εὐφράτην καὶ τὴν Ῥωμαίων χώραν λυμήνασθαι. αὐτὸς δὲ παραλαβὼν τὰς δυνάμεις ἐπέστη τοῖς τὴν Νισίβιν πολιορκοῦσι Ῥωμαίοις. ‖ ὁ δὲ Μαρτῖνος τοῦτο γνούς, καταλιπὼν τὴν Νισίβιν ἀνεχώρησεν ἐπὶ τὰ Ῥωμαϊκὰ μέρη. ‖ Ἀρδαμάνης δὲ περὶ τὴν Ἀντιόχειαν γενόμενος καὶ διαφθείρας τὰ προάστεια τῆς πόλεως ἐπὶ τὴν Κοίλην Συρίαν ἐχώρει. οὕτω μὲν οὖν ὁ Ἀρδαμάνης αἰχμαλωσίας πολλῆς κρατήσας εἰς τὴν ἑαυτοῦ χώραν ἐπανέζευξεν. ὁ δὲ αὐτοκράτωρ Ἰουστῖνος ἐπὶ τοῖς πραττομένοις δεινοπαθῶν τὸν μὲν Μαρτῖνον τῆς στρατηγίας ἀπέπαυσεν, Ἀρχέλαον δὲ χειροτονεῖ στρατηγόν. ὁ δὲ Ἀρδαμάνης τὸ Δαρᾶς παρέλαβε καὶ οὕτως ὑπέστρεψεν. ‖ καὶ τοῦτο μαθὼν Ἰουστῖνος, καταπλαγεὶς τῷ μεγέθει τῆς συμφορᾶς νόσῳ παραφορᾶς περιβάλλεται καὶ σπονδὰς ποιῆσαι αἰτεῖται τῷ Ὁρμίσδᾳ, ὅστις ἐνιαυσιαίας σπονδὰς ποιῆσαι κατεδέξατο. ‖ 209 P Theoph. Sim. 134, 21 381 B Theoph. Sim. 135, 19 Theoph. Sim. 135, 4 Theoph. Sim. 136, 2

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	Κωνσταντ.	A. M. 6067 573/4.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	ἐπίσκοπος	
,ςξξ΄.	ἔτη φξξ΄.	Ἰουστῖνος	Ὁρμίσδας	Ἰωάννης	
		ἔτη ιγ΄.	ἔτη ιε΄.	ἔτη ιβ΄.	
		ι΄.	β΄.	ι΄.	
	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας		
	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος		
	Ἰωάννης	Ἰωάννης	Γρηγόριος		
	ἔτη κ΄.	ἔτη ια΄.	ἔτη κδ΄.		
	γ΄.	ζ΄.	ε΄.		

Τούτῳ τῷ ἔτει Ἰουστῖνος ὁ βασιλεὺς Τιβέριον, τὸν κόμητα τῶν ἐκσκουβιτόρων, υἱοποιησάμενος καίσαρα ἀνηγόρευσε καὶ συγκάθεδρον αὐτοῦ ἐποίησεν ἔν τε ταῖς ἱπποδρομίαις καὶ αἰσίαις ἡμέραις. ἦν γὰρ ὁ βασιλεὺς στυφόμενος τοὺς πόδας καὶ τὸ πλεῖον κατακείμενος.

---

1 ἐκσκουβητόρων hx ἐκσουβιτόρων f ἐξκουβιτόρων g. — 2 αἰφνιδιασθεὶς — 3 ὑπέστρεψεν *om.* h. — 3 Ὁρμίσδας x (*Χοσρόης* Th. S.). — 4 Ἀρδαμάνην emxA Zonaras XIV, 10 Ἀρδαβάνην f Ἀρταβάνην z Ἀδορμαανήν Th. S. Ἀδαορμάνην Euagrius V, 9. — στρατηγόν] ducem Persarum A. — 6 Νησίβιν cem Νισίβην fh Νίσιβιν g. — 7 Νισίβην h Νίσιβιν g Νήσιβιν c. — 8 Ἀρδαμάνης d Ἀρδαβάνης cy Ἀρταβάνης z. — 9 περιγενάμενος f. — καὶ διαφθ. τὰ τῆς π. προάστ. c καὶ τὰ τῆς π. διαφθ. προάστ. d. — 10 κύλιν y. — Συρίας hy. — Ἀρδαβάνης fm Ἀρταβάνης z. — 12 δεινοπαθήσας d. — 13 Ἀρχέλαον] Ἀκάκιον τὸν Ἀρχελάου Th. S. Ἀκάκιον Euagr. V, 9. — 14 Ἀρδαβάνης g Βαρδάνης f Ἀρταβάνης h. — Δαρᾶς cem. — 16 αἰτεῖ df. — Ὁρμίσδᾳ dem *sine spir.* cf. — 17 ἐνιαυσίας g. — *v.* 18 *sqq.* Ῥώμης ἐπίσκοπος Πελάγιος ἄλλος ἔτη ς΄ *inter Persarum regem et episcopum Constant. interpolat* h. — 20[1] ,ςξγ΄ z. — 20[2] φξγ΄ z. — 20[4] Ὁρμίσδας fm *sine spir.* ce. — 26[3] ἔτη κ΄ f ἔτη κγ΄ h. — 29 ἐκσκουβητόρων c ἐκσουβιτόρων f ἐξκουβιτόρων g. — συνκάθεδρον efz. — 30 τε *om.* y. — ἱπποδρομείαις em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

574/5. A. M. 6068 ια'. γ'. ια'. δ'. η'. ς'.

382 B Τούτῳ τῷ ἔτει ἔκτισεν Ἰουστῖνος τὸν μέγαν ἀγωγὸν τοῦ Οὐάλεντος καὶ ἐχορήγησε τῇ πόλει δαψίλειαν ὕδατος.

575/6 A. M. 6069 ιβ'. δ'. ιβ'. ε'. θ'. ζ'.

Τούτῳ τῷ ἔτει Ἰουστῖνος ὁ βασιλεὺς τὴν συναγωγὴν τῶν Ἑβραίων, τὴν οὖσαν ἐν τοῖς Χαλκοπρατείοις, ἀποσπάσας ἐξ αὐτῶν ἐποίησεν ἐκκλησίαν τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας Θεοτόκου, πλησιάζουσαν τῇ μεγάλῃ ἐκκλησίᾳ.

Τῷ δ' αὐτῷ ἔτει μηνὶ Αὐγούστῳ λα', ἰνδικτιῶνος ι', ἐτελεύτησεν Ἰωάννης, ὁ ἐπίσκοπος Κωνσταντινουπόλεως.

576/7 A. M. 6070 Κωνσταντινουπόλεως ἐπίσκοπος Εὐτύχιος πάλιν ἔτη δ'. ιγ'. ε'. α'. ς'. ι'. η'.

210 P Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνος ια', Εὐτύχιος ἀπ-

Th. S. 136, 18 cf. Euagr. H. E. V, 13 ἔλαβε πάλιν τὸν θρόνον Κωνσταντινουπόλεως. ‖ ὁ δὲ βασιλεὺς ἀσθενήσας καὶ μικρὸν ἀνεθεὶς τῆς νόσου προσεκαλέσατο τόν τε ἀρχιερέα καὶ τὴν σύγκλητον καὶ πάντας τοὺς ἱερεῖς καὶ πολιτευομένους· καὶ ἀγαγὼν τὸν καίσαρα Τιβέριον παρουσίᾳ πάντων ἀνηγόρευσεν αὐτὸν βασιλέα, τοῖσδε τοῖς λόγοις χρησάμενος· "ἴδε ὁ θεὸς ὁ ἀγαθύνας σε, τοῦτο τὸ σχῆμα ὁ θεός σοι δέδωκεν, οὐκ ἐγώ. τίμησον αὐτό, ἵνα τιμηθῇς ὑπ' αὐτοῦ. τίμησον τὴν μητέρα σου, τὴν ποτέ σου δέσποιναν γενομένην. οἶδας, ὅτι πρῶτον αὐτῆς δοῦλος

383 B ἦς, νῦν δὲ υἱός. μὴ ἐπιχαρῇς αἵμασιν. μὴ ἐπικοινωνήσῃς φόνων. μὴ κακὸν ἀντὶ κακοῦ ἀποδώσῃς. μὴ εἰς ἔχθραν ὁμοιωθῇς ἐμοί· ἐγὼ γὰρ ὡς ἄνθρωπος ἔπταισα. καὶ γὰρ πταιστὸς καὶ ἐγενόμην καὶ ἀπέλαβον κατὰ τὰς ἁμαρτίας μου. ἀλλὰ δικάσομαι τοῖς ποιήσασί μοι τοῦτο ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ. μὴ ἐπάρῃ σε τοῦτο τὸ σχῆμα, ὡς καὶ ἐμέ. οὕτω πρόσεχε πᾶσιν, ὡς ἑαυτῷ. γνῶθι τίς ἦς καὶ τίς νῦν εἶ. μὴ ὑπερηφανήσῃς, καὶ οὐχ ἁμαρτάνεις. οἶδας τίς ἦμην, καὶ τίς ἐγενόμην, καὶ τί εἰμί. ὅλοι οὗτοι τέκνα σού εἰσι καὶ δοῦλοι. οἶδας, ὅτι τῶν σπλάγχνων μου προετίμησά σε. τούτους [οὓς] βλέπεις, ὅλους τῆς πολιτείας βλέπεις. πρόσεχε τῷ στρατιώτῃ σου. μὴ

---

2 Ἄλεντος y. — 3 δαψιλίαν cy δαψηλείαν h δαψλείαν d. — 6 quae erat Constantinopoli in Chalc. A. — Χαλκοπρατίοις yz. — 7 ὑπεραγίας z. — 9 ἰνδικτιόνος h ἰῦ̄ rell. — 11 πάλιν Εὐτύχιος c. — 12 ιγ'. ε'. γ'. α'. ς'. ι'. η' h. — 13 ἰνδικτιόνος c ἰῦ̄ rell. — 19 ὁ ante ἀγαθύνας om. f. — καὶ οὐκ ἐγώ z. — 20 τιμηθεῖς d τιμηθείς cehm. — 21 γεναμένην yz. — οἶδα y. — πρῶτος f. — 22 ἐπιχαρεῖς ehm. — αἵματι x. — ἐπικοινωνεῖς y. — φόνον y φόνῳ c φόνοις z. — 23 ἀποδώσεις fg δώσῃς e δόσῃς m. — ὁμοιωθεῖς y ὁμοιωθείς z. — 24 ἐγενάμην hy. — 25 μοι] μου cy με g. — 26 ἐπάρει y. — 27 ὡς καὶ ἐμέ om. x. — οὕτος ef. — ἐμαυτῷ z. — 28 ἁμαρτάνῃς z ἁμαρτήσῃς d. — 30 οὓς uncis incl. coll. Th. S. hos cum videas A. — 31 ὅλους τοὺς τῆς πολ. Th. S.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συκοφάντας δέξῃ. μὴ εἴπωσί σοί τινες, ὅτι ὁ πρό σου οὕτω διεγένετο· ταῦτα γὰρ λέγω ἀφ' ὧν ἔπαθον. οἱ ἔχοντες οὐσίας ἀπολαυέτωσαν αὐτῶν· τοῖς δὲ μὴ ἔχουσι δώρησαι." καὶ γενομένης εὐχῆς παρὰ τοῦ πατριάρχου, καὶ ⟨μετὰ τὸ⟩ λεχθῆναι παρὰ πάντων τὸ ἀμήν, ἔπεσεν ὁ καῖσαρ εἰς τοὺς πόδας τοῦ βασιλέως, καὶ ἔφη αὐτῷ ὁ βασιλεύς· "ἐὰν θέλῃς, εἰμί· ἐὰν θέλῃς, οὐκ εἰμί. ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα, ἃ ἐπελαθόμην εἰπεῖν σοι, αὐτὸς ἐμβαλεῖ εἰς τὴν καρδίαν σου." ταῦτα διεξελθὼν ὁ βασι- 384 B
λεὺς ἐπλήρου δακρύων τὸ ἄθροισμα. τοῦ δὲ συλλόγου διαλυθέντος, ὁ Τιβέριος δῶρα τοῖς ὑπηκόοις διένειμε καὶ ὅσα ταῖς βασιλικαῖς ἀναγορεύσεσιν εἴθισται. ‖

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	A. M. 6071 577/8.
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	
ϛοα'.	*ἔτη φοα'.*	*Τιβέριος*	*Ὁρμίσδας*	
		ἔτη δ'.	*ἔτη ιε'.*	
		α'.	*ϛ'.*	
Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*	
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*	
Εὐτύχιος	*Ἰωάννης*	*Ἰωάννης*	*Γρηγόριος*	
ἔτη δ'.	*ἔτη κ'.*	*ἔτη ια'.*	*ἔτη κδ'.*	
β'.	*ζ'.*	*ια'.*	*θ'.*	

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνος ιβ', ἐβασίλευσε Τιβέ- 211 r
ριος στεφθεὶς ὑπὸ Εὐτυχίου πατριάρχου, ὡς προλέλεκται. ὑπῆρχε δὲ τῷ γένει καὶ αὐτὸς Θρᾴξ. βασιλεύσαντος δὲ αὐτοῦ, ἔκραξαν τὰ μέρη ἐπὶ τῆς ἱπποδρομίας· "ἴδω, ἴδω τὴν αὐγούσταν Ῥωμαίων." ὁ δὲ ἔπεμψε μανδάτον λέγων· "ἡ ἄντικρυς τοῦ δημοσίου λουτροῦ Δαγιστέως, ἥ τις ὀνομάζεται ἐκκλησία; ὁμώνυμός ἐστιν ἡ αὐγούστα." καὶ ἔκραξαν τὰ μέρη· "Ἀναστασία αὐγούστα, τούβικας. σῶσον, κύριε, οὓς ἐκέλευσας βασιλεύειν." ἀκούσασα δὲ Σοφία, ἡ τοῦ Ἰουστίνου γυνή, ἐπλήγη τὴν ψυχήν. ἐβούλετο γὰρ λαβεῖν Τιβέριον καὶ μεῖναι αὐγούστα. οὐ γὰρ ᾔδει ὅτι εἶχε γυναῖκα. τινὲς δὲ ἔλεγον,

1 *συκοφάντας scr. e* Th. S. *στρατιώτας codd.* — *σοι*] *σου* yz. — *οὕτος* y. — 2 *λέγω μαθὼν ἀφ' ὧν* z. — 4 *παρά*] *ὑπό* x. — *μετὰ τὸ add. e coni.* — *λεχθῆναι* y *λεχθέντος* cz. — 4. 5 *καὶ πάντων εἰπόντων τὸ ἀμήν* d. — 5 *καίσαρ* dfhm. — *τοὺς om.* c. — 6 *ἐὰν ρὺ θέλῃς* g *sed eraso ὺ. ἐὰν μὴ θέλῃς οὐκ εἰμί* Th. S. — 8 *ἐμβαλῇ* e *ἐμβάλλῃ* g *ἐμβάλει* h. — *ἐμβ. αὐτὰ εἰς* z. — 9 *δακρύων sec. m.* fmΔ *δεικνύων* y *διαλύων* xz. — 11 *ἤθιστται* h *ἤθεισθαι* y. — 12 *sqq. Ῥώμης ἐπίσκοπος Εὐτύχιος ἔτη δ'. β'. inter Persarum regem et episc. Constant. interserunt* cgy. — 14[1] *Ὁρμίσδας* em *sine spir.* cfg. — 17[1]—21[1] *om.* f. — 20[2] *ἔτη κ'*] *ἔτη ια'* cgy. — 21[2] *ζ'*] *ια' codd.* — 22 *ἰνδικτιόνι* h *ἰνδ rell.* — *ιβ'*] *β' codd. praeter* h. — 25 *ἱπποδρομείας* y. — *αὐγοῦσταν* g. — 26 *ἔπεμψεν αὐτοῖς μανδάτορα* d. — *λουετροῦ* hy. — 27 *Δαγισθέως* d. — *εἴ τις* y *ἤ εἴ τις* h *τίνος* x. — *αὐγοῦστα* fg *sine acc.* x. — 28 *αὐγοῦστα* fg. — *τούβηκας* g *τοῦ βικας* h. — 30 *Τιβέριον λαβεῖν* dg. — 31 *αὐγοῦστα* g. — *εἴδει* y *ἤδη* dh

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι καὶ ἐπὶ ζωῆς Ἰουστίνου προσεφιλώθη αὐτῷ, καὶ αὐτὴ ἔπεισεν Ἰουστῖνον τοῦ ποιῆσαι αὐτὸν καίσαρα. ὁ δὲ Τιβέριος πέμψας ἤγαγεν Ἀναστασίαν τὴν γυναῖκα αὐτοῦ ἔχουσαν καὶ θυγατέρας δύο ἐξ αὐτοῦ
385 B Χαριτὼ καὶ Κωνσταντῖναν. καὶ ἔστεψεν αὐτὴν αὐγούσταν καὶ ἔρριψεν ὑπατείαν πολλήν.

578/9. A. M. 6072 Ἀλεξανδρείας ἐπίσκοπος Εὐλόγιος ἔτη κξ'.
β'. ζ'. γ'. η'. α'. ι'.

Τούτῳ τῷ ἔτει ἔκτισεν ὁ βασιλεὺς Τιβέριος τὸ παλάτιον τὸ ἐν τῷ Ἰουλιανοῦ λιμένι καὶ ἐπωνόμασεν αὐτὸ ἐπ' ὀνόματι Σοφίας, τῆς γυναικὸς Ἰουστίνου· καὶ ἀπεκατέστησεν αὐτὴν ἐν αὐτῷ δεδωκὼς αὐτῇ καὶ κουβικουλαρίους εἰς ὑπουργίαν αὐτῆς, κελεύσας τιμᾶσθαι αὐτὴν ὡς μητέρα αὐτοῦ, κτίσας καὶ λουτρὸν καὶ πᾶσαν θεραπείαν
Th. S. 138, 5 cf Euagr. V, 14 αὐτῆς. ‖ ἀπέστειλε δὲ πρέσβεις πρὸς τὸν βασιλέα Περσῶν κατὰ τὸ ἔθος μηνύων τὴν ἀναγόρευσιν αὐτοῦ· καὶ οὐ προσήκατο τὴν εἰρήνην ὁ τῶν Περσῶν βασιλεύς. τότε Τιβέριος μεγάλας δυνάμεις συνήθροιζε καὶ διασπείρας τοὺς βασιλικοὺς θησαυροὺς πολλὰ στρατόπεδα ἐποίησεν, χειροτονήσας Ἰουστινιανόν τινα στρατηγὸν ἀνατολῆς· ὃς ἀναλαβὼν τὰς δυνάμεις ἐπὶ τὸ Δαρᾶς παραγίνεται. στρατοπεδεύουσι δὲ καὶ Πέρσαι πλησίον αὐτῶν στρατηγούμενοι ὑπὸ Ταμ-
212 P χοσρόου. τῆς δὲ παρατάξεως γενομένης, εἰς λόγους ἦλθον καὶ σπένδονται πρὸς ἀλλήλους, ἐφ' ᾧ χρόνον τριετῆ Ῥωμαίους τε καὶ Πέρσας τὴν ἀνατολὴν μὴ λυμήνασθαι· τὸν δὲ πόλεμον ἐπὶ τὴν Ἀρμενίαν συστήσασθαι. ‖

579/80. A. M. 6073 γ'. η'. δ'. θ'. β'. ια'.

386 B Th. S. 139, 17 ‖ Τούτῳ τῷ ἔτει ὁ τῶν Περσῶν βασιλεὺς ἀναλαβὼν τὰς ἑαυτοῦ δυνάμεις ἐπὶ τὴν Ἀρμενίαν χωρεῖ. ἀκηκοὼς δὲ ὁ τῶν Ῥωμαίων στρατηγὸς τὸν τῶν Περσῶν βασιλέα μέλλειν τὸν πόλεμον αὐτουργεῖν ἔκλυτος γέγονεν· δέος γὰρ εἰσῆλθεν εἰς τὸν λαὸν τῶν Ῥωμαίων. διὰ τοῦτο λόγοις Ἰουστινιανὸς πρὸς τὰς δυνάμεις χρησάμενος ἀπέπαυσε
Th. S. 144, 19 τῆς δειλίας τὸ μάχιμον. ‖ πολέμου δὲ κροτηθέντος, καὶ τῆς τοξείας

---

1 ἐπὶ τῆς ζωῆς d. — προσεφιλιώθη d. — αὖτη f αὕτη em. — 4 Χαριτῶ codd. — Κωνσταντίναν dz Κωνσταντίαν m. — αὐγοῦσταν g. — 5 ὑπατίαν codd. praeter c. — 7 β'. ζ'. ε'. γ'. ιβ'. α'. ι'. h. — 8 τὸ ante ἐν om. yz. — 9 αὐτῷ y. — 11 αὐτῇ] αὐτῷ g. — καὶ om. emx. — 12 λουετρόν h. — πᾶσαν τὴν θερ. x. — 14 οὗ om. f. — τὴν εἰρήνην om. x. — 18 Δαρᾶς ehmx Δαρρᾶς f. — 19 πλησίον αὐτοῦ x. — ὑπὸ Ταμχοσρόου scr. e Th. S. ὑπὸ τοῦ Μεχοσρόου (-χοσρώου fm -χωσρόου e) cy ὑπὸ τοῦ Χοσρόου d ὑπὸ τὰ μέρη Χοσρόου (-ρώου h) z Inter μέ et ρη unius literae spatium in g. — 20 γεναμένης g. — 21 ἐφ' ὅ yz. — χρόνον τε τριετῆ ch χρόνον τε (χρόντε em) καὶ τριετῆ y χρόνον τετραετῆ dg ἐπὶ τριετίᾳ Zon. XIV, 11. — 22 μὴ om. codd. praet. d. — ἐπὶ τὴν Ἀρμενίαν x τὴν Ἀρμ. (om. ἐπί) y τῆς Ἀρμενίας (om. ἐπί) z. — 27 στρατός d. — τόν] τοῦ c τό fg. — 30 τὸ μάχιμον] τὴν μάχην hA. — τοξίας hy.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν Περσῶν πολλῆς γεγονυίας, ὡς καὶ τὰς ἡλιακὰς ἀποκρύπτειν ἀκτῖνας, Ῥωμαῖοι ταῖς ἀσπίσι τὰς ἐκ τῶν τόξων βολὰς ἀπορριψάμενοι τῆς κατασυστάδην μάχης ἀπήρχοντο· ‖ βαθείας δὲ καθεστώσης Th. S. 144, 12
τῆς τῶν Ῥωμαίων ἐκτάξεως, φέρειν οὐκ εἶχον οἱ Πέρσαι· ‖ καὶ τρέ- Th. S. 145, 9
πεται ἡ τῶν Βαβυλωνίων πληθύς, καὶ ἀναιροῦνται πλήθη πολλά. παραλαμβάνουσι δὲ καὶ τὸ τῶν Περσῶν τοῦλδον καὶ τὸ βασιλικὸν σκηνοπήγιον καὶ πᾶσαν τὴν ἀποσκευὴν ἐπίδοξον οὖσαν. κρατοῦσι δὲ καὶ τῶν ἐλεφάντων οἱ Ῥωμαῖοι καὶ πρὸς Τιβέριον πέμπουσι τὰ ἐπίσημα ἐκεῖνα καὶ βασιλικὰ λάφυρα. νομοθετεῖ τοίνυν ὁ τῶν Περ- cf. Euagr. H. E. V, 15
σῶν βασιλεὺς τὴν αἰσχύνην μὴ φέρων μηκέτι βασιλέα Περσῶν εἰς πόλεμον ἐξέρχεσθαι. ‖ ὁ δὲ Ῥωμαϊκὸς στρατὸς ἐπετίθετο ταῖς Περ- Th. S. 146, 1 cf. Euagr. V, 14
σικαῖς συμφοραῖς καὶ πρὸς τὰ ἐνδότερα τῆς Περσίδος ἐχώρησε καὶ 387 B
πολλὴν αἰχμαλωσίαν καὶ ἅλωσιν ἐν Περσίδι πεποίηκε φθάσας καὶ μέσον τῆς Ὑρκανικῆς θαλάσσης. χειμῶνος δὲ γενομένου, οὐκ ἐπανέζευξαν οἱ Ῥωμαῖοι εἰς τὰ ἴδια, ἀλλὰ ἐν Περσίδι παρεχείμασαν. ‖

Τῷ δ' αὐτῷ ἔτει ἤρξατο κτίζειν Τιβέριος τὸ δημόσιον Βλαχερνῶν καὶ ἀνενέωσε πολλὰς ἐκκλησίας καὶ ξενῶνας καὶ γηροκομεῖα· καὶ ἐκέλευσε γράφεσθαι ἑαυτὸν ἐν τοῖς συμβολαίοις Τιβέριος Κωνσταντῖνος.

Κωνσταντινουπόλεως ἐπίσκοποι Ἰωάννης ἔτη ιγ'. A. M. 6074 580/1
δ'. θ'. α'. ι'. γ'. ιβ'.

Τούτῳ τῷ ἔτει μηνὶ Ἀπριλλίῳ ς', ἰνδικτιῶνος ιε', ἐτελεύτησεν 213 P
Εὐτύχιος ὁ πατριάρχης, καὶ ἐχειροτονήθη μετὰ ἓξ ἡμέρας Ἰωάννης, διάκονος τῆς μεγάλης ἐκκλησίας, ὁ Νηστευτής. ὁ δὲ βασιλεὺς Τιβέ- cf. Euagr. H. E. V, 14
ριος ἀγοράσας σώματα ἐθνικῶν κατέστησε στράτευμα εἰς ὄνομα ἴδιον, ἀμφιάσας καὶ καθοπλίσας αὐτοὺς χιλιάδας ιε', δεδωκὼς αὐτοῖς στρατηγὸν Μαυρίκιον, τὸν κόμητα τῶν φοιδεράτων, καὶ ὑποστράτηγον αὐτοῦ Ναρσῆν· καὶ ἀπέστειλεν αὐτοὺς κατὰ Περσῶν. πολέμου δὲ κροτηθέντος μεγάλου, νικῶσι Ῥωμαῖοι κατὰ κράτος καὶ ἀφείλαντο ἐκ τῶν Περσῶν πόλεις τε καὶ χώρας, ἃς ἐπὶ Ἰουστινιανοῦ καὶ Ἰουστίνου παρέλαβον. ἀπελθὼν δὲ Μαυρίκιος ἐν Κωνσταντινου- 388 B
πόλει ἐδέχθη ὑπὸ τοῦ βασιλέως μετὰ τιμῆς μεγάλης, καὶ ἐθριάμ-

---

2 ἀκτῖνας ἀποκρύπτειν dh. — 3 κατασυστάδην] κατὰ Περσῶν d. — 4 τῆς om. f. — ἐκτάξεως] φάλαγγος xz. — 8 δέ om. h. — οἱ om. x. — 10 τῶν Περσῶν yz. — 11 ἐξέρχεσθαι εἰς πόλεμον x. — ἐπείθετο f. — 12 ἐνδότερα xz Zonaras ἐνδότατα y intima A. — 14 ὑρκανῆς f. — 16 τῶν Βλαχερνῶν h. — Βλ. λουτρόν z. — 17 ἀνανέωσεν y. — ξενεῶνας g. — γηροκομία h. — 18 αὐτόν g. — 22 Ἀπριλίῳ h. — ἰνδικτιῶνος ιε' om. yz. — ἐν x. — 24 ὁ ante Νηστ. om. f. — 26 ιε'] ε' z δώδεκα Zonaras. — 27 τὸν Μαυρ. c. — φυδεράτων codd. — 28 Ναρσήν degm Ἀρσῆν f. — 28 Περσῶν — 29 κατὰ om. f. — 29 μεγάλου om. x. — 30 πόλεις] πολιτείας g. — τε om. c. — καὶ Ἰουστίνου om. em. — 31 ἀπελθών xyA ἀνελθών z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βευσε Τιβέριος τὰς νίκας Μαυρικίου καὶ προσελάβετο αὐτὸν γαμβρὸν εἰς Κωνσταντῖναν, τὴν ἑαυτοῦ θυγατέρα. ὁμοίως δὲ καὶ Γερμανῷ τῷ στρατηγῷ ἔζευξε τὴν θυγατέρα αὐτοῦ Χαριτώ, ποιήσας ἀμφοτέρους καίσαρας.

Τῷ δὲ Αὐγούστῳ μηνὶ ιδ', ἰνδικτιῶνος ιε', φαγὼν συκάμινα πρώϊμα ἀξιοθέατα νενοθευμένα φθίσει περιέπεσεν· καὶ μέλλων τεθνάναι προσκαλεσάμενος τὸν πατριάρχην Ἰωάννην καὶ τὴν σύγκλητον ἅμα τοῖς στρατεύμασιν ἐν τῷ τριβουναλίῳ καὶ ἀχθεὶς ἐν φορείῳ, λαλῆσαι μὴ δυνάμενος δι' ἐπαναγνωστικοῦ τὰ συμφέροντα τοῖς πράγμασι τῶν Ῥωμαίων τῷ λαῷ κατάδηλα πεποίηκε καὶ Μαυρίκιον, τὸν ἴδιον γαμβρόν, βασιλέα ἀνηγόρευσεν. πάντων δὲ εὐφημησάντων τὸν βασιλέως σκοπὸν καὶ Μαυρίκιον τὸν βασιλέα, ὑποστρέψας Τιβέριος ἐν τῇ ἰδίᾳ κλίνῃ τέθνηκε βασιλεύσας ἔτη γ' μῆνας ι' ἡμέρας η'.

581/2 A. M. 6075	*Κόσμου*	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*
	ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς
	,ϛοε'.	ἔτη φοε'.	*Μαυρίκιος*	*Ὁρμίσδας*
			ἔτη κ'.	ἔτη ιε'.
			α'.	ι'.
	Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
	Ἰωάννης	Ἰωάννης	Εὐλόγιος	Γρηγόριος
	ἔτη ιγ'.	ἔτη κ'.	ἔτη κζ'.	ἔτη κδ'.
	β'.	ια'.	δ'.	ιγ'.

cf. Theophyl. Sim. 51, 5

Τούτῳ τῷ ἔτει ἐβασίλευσε Μαυρίκιος ἐτῶν ὑπάρχων μγ', ‖ καὶ μετ' ὀλίγον τὸν γάμον πεποίηκεν, Παύλου τοῦ πατρὸς αὐτοῦ ἐλθόντος
389 B εἰς τὸ Βυζάντιον, καὶ παρενύμφευσε Μαρίτης ὁ εὐνοῦχος τοῦ παλα-
cf. Theophyl. Sim. 53, 12. τίου μέγας ὑπάρχων. ‖ τῷ δὲ Ἀπριλλίῳ μηνὶ γέγονεν ἐν τῷ Φόρῳ ἐμπυρισμός, καὶ ἀνέμων καταιγίδες συνεργοῦσαι τῷ πυρὶ πολλὰς
cf. Theophyl. Sim. 58, 9 οἰκίας διώλεσαν. ‖ καὶ τῇ ι' τοῦ Μαΐου μηνὸς γέγονε σεισμὸς μέγας,
214 P καὶ πάντες κατέφυγον εἰς τὰς ἐκκλησίας, καὶ τὸ γενέθλιον ἱππικὸν
οὐκ ἐπετελέσθη. ‖ τῷ δ' αὐτῷ μηνὶ πρεσβεύουσιν οἱ Ἄβαρεις πρὸς
Theophyl. Sim. 38, 9 τὸν αὐτοκράτορα Μαυρίκιον, ‖ οἳ πρὸ ὀλίγου χρόνου τὸ Σέρμιον χειρωσάμενοι, πόλιν τῆς Εὐρώπης ἐπίσημον, ἠξίουν ταῖς ὀγδοήκοντα χιλιάσι τοῦ χρυσοῦ, αἷς ἐλάμβανον κατ' ἔτος παρὰ Ῥωμαίων, προσ-

2 *Κωνσταντίναν* dfz. — 3 *Χαριτῶ codd.* — 5 *ἰνδικτιόνος* h *ἰν rell.* — *φαγὼν Τιβέριος ὁ βασιλεὺς συκ.* d. — *συκάμηνα* efh *συκαμηνᾶ* m. — 6 *πρωϊνᾶ* ef *πρωϊνά* m. — *φθήσει* hy. — 7 *Ἰωάννην τὸν πατριάρχην* x. — 8 *φορίῳ* emx *φωρίῳ* f *φρουρίῳ* h. — 12 *καὶ ὑποστρέψας* yz. — 13 *καὶ μῆνας* efh. — *καὶ ἡμέρας* efz. — *ἡμέρας δέκα* Goar. — 16[4] *Ὁρμίσδας* fm *sine spir.* ce. — 22[3] *ἔτη ιζ'* c. — 22[4] *ἔτη κα'* ef. — 24 *ἐτῶν om.* em. — 26 *Μαργαρίτης* Th. S. — *ὁ om.* g. — 27 *Ἀπριλίῳ* h. — 28 *καὶ πολλὰς* dz. — 29 *διώλεσεν* h *διέλυσεν* g. — *καὶ om.* y. — *μέγιστος* cf. — 30 *γεννέθλιον* g. — 31 *Ἄβαρεις sine acc.* em. — 32 *πρὸ ὀλίγον χρόνον* g. — *Σέρμιον* c *Σερμίον* em *Σερμεῖον* dfz. — 34 *χρυσοῦ* yz Theoph. S. *χρυσίου* x. — *κάτετος* g *καθέτος* y. — *παρὰ Ῥωμαίοις* yz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τεθῆναι ἄλλας κ'· ὁ δὲ βασιλεὺς εἰρήνης ἐφιέμενος τοῦτο κατεδέξατο. ἤτησε δὲ καὶ ἐλέφαντα, ζῶον Ἰνδικόν, ἐκπεμφθῆναι αὐτῷ πρὸς θέαν· καὶ ὁ βασιλεὺς τὸν μείζονα πάντων ἀπέστειλε πρὸς αὐτόν· καὶ τοῦτον θεασάμενος πάλιν ἔπεμψεν αὐτὸν πρὸς τὸν βασιλέα. ὁμοίως καὶ κλίνην χρυσῆν ἤτησε σταλῆναι αὐτῷ· ὁ δὲ βασιλεὺς καὶ ταύτην ἀπέστειλεν, αὐτὸς δὲ καὶ ταύτην ἀπέστρεψεν εὐτελίσας αὐτήν. ἤτει δὲ πάλιν ἄλλας κ' χιλιάδας προστεθῆναι ταῖς ρ'. τοῦ δὲ βασιλέως μὴ καταδεξαμένου, στρατεύσας ὁ Χαγάνος τὴν Σιγγιδόνα πόλιν κατέστρεψε καὶ πολλὰς ἑτέρας πόλεις ἐχειρώσατο τὰς ὑπὸ τὸ Ἰλλυρικὸν τελούσας. παρέλαβε δὲ καὶ τὴν Ἀγχίαλον, ἠπείλει δὲ καὶ τὰ 390 B
Μακρὰ τείχη καταστρέψαι. ‖ ὁ δὲ βασιλεὺς Ἐλπίδιον τὸν πατρίκιον Theophyl. Sim. 41, 2
σὺν Κομεντιόλῳ πρέσβεις πρὸς τὸν Χαγάνον ἐξαπέστειλεν. καὶ ὁ βάρβαρος ἐπὶ ταῖς τῶν πάκτων συνθήκαις εἰρήνην ἄγειν καθωμολόγησεν. ‖ ἐν δὲ τῇ ἀνατολῇ Ἰωάννην τὸν Μυστάκωνα στρατηγὸν Theophyl. Sim. 49, 16
Ἀρμενίας ὁ βασιλεὺς πεποίηκεν· ὃς ἐληλυθὼς ἐν τῷ Νυμφίῳ ποταμῷ, ἔνθα τῷ Τίγριδι μίγνυται, συμβάλλει πόλεμον μετὰ Καρδαρίγα (Καρδαρίγας δὲ οὐκ ἔστι κύριον ὄνομα, ἀλλ' ἀξία μεγίστη παρὰ Πέρσαις) τοῦ τῶν Περσῶν στρατηγοῦ, καὶ κρατοῦσι τῶν βαρβάρων οἱ Ῥωμαῖοι. Κροῦς δὲ ὁ ὑποστράτηγος φθόνῳ ζηλοτυπήσας τρέπεται. τοῦτον ἰδόντες καὶ οἱ λοιποὶ τῶν Ῥωμαίων ἐτράπησαν καὶ μόλις ἐπὶ τὸν χάρακα διασώζονται. ‖ δευτέρας δὲ συμβολῆς γενομένης Theophyl. Sim. 57, 5
ἡττῶνται Ῥωμαῖοι καὶ πολλοὶ ἐξ αὐτῶν διεφθάρησαν. ‖

β'. ια'. γ'. ιβ'. ε'. ιδ'. A. M. 6076 582/3

Τούτῳ τῷ ἔτει μηνὶ Δεκεμβρίῳ κε', ἰνδικτιῶνος β', ‖ ὕπατος ὁ Theophyl. Sim. 59, 1
βασιλεὺς ἀναγορεύεται, καὶ πολλοὺς θησαυροὺς τῇ πόλει ἐδωρήσατο. ‖ προβάλλεται δὲ Φιλιππικὸν στρατηγὸν τῆς ἑῴας ποιήσας αὐτὸν Theophyl. Sim. 59, 13
γαμβρὸν εἰς Γορδίαν τὴν ἰδίαν ἀδελφήν. ὁ δὲ Φιλιππικὸς καταλαβὼν τὰ Περσικὰ μέρη ἐπλησίασε τῇ Νισίβει· καὶ ἀθρόως εἰς τὴν 391 B
Περσίδα εἰσβαλὼν πολλὴν αἰχμαλωσίαν ἔλαβεν. τοῦτο δὲ μαθὼν Καρδαρίγας, ὁ τῶν Περσῶν στρατηγός, ἔγκρυμμα ποιήσας ἠβουλήθη λοχῆσαι τὰ τῶν Ῥωμαίων στρατόπεδα. ὁ δὲ Φιλιππικὸς τὴν αἰχμα-

---

4 πάλιν ἔπεμψεν] ἀπέστειλεν x. — 5 καὶ ταῦτα em. — 6 ἀπέστρεψεν] ἀπέστειλεν g. — εὐτελήσας y. — 9 τόν g. — 12 ἀπέστειλεν x. — 13 ἐπὶ τὰς f. — πρακτῶν y. — καθομολόγησεν hy. — 14 Μυστάκωνα A Th. Sim. Μουστάκωνα g Μουστάκονα hxy. — 15 ὁ βασιλεὺς om. yA. — 16 ἀναμίγνυται x. — μετὰ Καρδαρίγαν ehm μετὰ Καρδαρῆγαν g. — 17 Καρδαρίγας (-ῆγας g) δὲ οὐκ ἔστι zA δὲ οὐκ ἔστι (om. Καρδ.) em ὃ οὐκ ἔστι x οὐκ ἔστι f. — 17 μεγίστη xA μεγάλη yz. — 19 Κρούς dy Κρους sine acc. c Κούρσ Theoph. Sim. δ Enagr. V, 14. — 20 τρέπονται g. — 24 κε' x κ' yz. — ἰνδικτιόνος h ἰν rell. — 26 Φίλιππον g. — 27 ἰδίαν] οἰκείαν x. — 28 τῇ Νισίβει g τῇ Νισίβῃ x τὴν Νισίβιν y τὴν Νίσιβην h. — 29 ἐμβαλών g. — ἔλαβεν x ἀνέλαβεν yz. — δὲ om. x. — 30 Καρδαρῆγας g. — 31 λογῆσαι y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

215 P λωσίαν διασώσας διὰ τῶν ὀρέων εἰς τὴν τῶν Μήδων χώραν παρέβαλε καὶ πολλὰ χωρία διέφθειρε τῆς Μηδικῆς καὶ ὑπέστρεψεν ἐπὶ
Theophyl. Sim. 46, 8 τὰ Ῥωμαϊκά. ‖ ὁ δὲ Χαγάνος τὴν εἰρήνην διαλῦσαι δόλῳ ἔσπευδεν. τὰ γὰρ Σκλαυινῶν ἔθνη κατὰ τῆς Θράκης ἐξώπλισεν· ἃ τινα παρεγένοντο μέχρι τῶν Μακρῶν τειχέων πολλὴν ἅλωσιν ποιούμενα. ὁ δὲ βασιλεὺς τὰ τοῦ παλατίου στρατεύματα ἐξαγαγὼν τῆς πόλεως καὶ τοὺς δήμους φυλάττειν τὰ Μακρὰ τείχη ἐκέλευσεν. καὶ Κομεντίολον στρατηγὸν χειροτονήσας καὶ ἐξοπλίσας κατὰ τῶν βαρβάρων ἀπέστειλεν. ὁ δὲ ἀδοκήτως τοῖς βαρβάροις ἐπιπεσὼν πολλὰ πλήθη ἀνεῖλε καὶ τούτους ἀπήλασεν. παραγενόμενος δὲ ἐν Ἀδριανουπόλει περιέτυχεν Ἀρδαγάστῳ πλήθη Σκλαυινῶν μετὰ αἰχμαλωσίας ἐπιφερομένῳ· καὶ τούτῳ ἐπιπεσὼν τήν τε αἰχμαλωσίαν διέσωσε καὶ νίκην μεγάλην περιεβάλετο. ‖

583/4 A. M. 6077 γ'. ιβ'. δ'. ιγ'. ς'. ιε'.

Theophyl. Sim. 61, 5 Τούτῳ τῷ ἔτει Φιλιππικὸς ἀναλαβὼν τὰ στρατεύματα ἐπὶ τὴν
392 B Περσικὴν χώραν ἐξώρμησεν. καὶ καταλαβὼν τὴν Ἀρζανηνὴν μεγάλης αἰχμαλωσίας ἐκράτησε καὶ δειλίαν τοῖς Περσικοῖς ἐμποιεῖ στρατεύμασιν· νόσῳ δὲ περιπεσὼν ὁ Φιλιππικὸς ἐπὶ τὴν Μαρτυρόπολιν παραγίνεται χειροτονήσας τὸν Ἀνεψὶχ ἐξηγεῖσθαι τῶν λαῶν, καὶ Στέφανον ταγματάρχην προστησάμενος. ὁ δὲ Καρδαρίγας καταλαβὼν τὴν Μαρτυρόπολιν ταύτης τὰ προάστεια ἐμπρήσας πάντα ὑπέστρεψεν. ὁ δὲ Φιλιππικὸς ἐν Κωνσταντινουπόλει νοσῶν παραγέγονεν, καὶ τὰ στρατεύματα ὑπέστρεψεν ἀβλαβῶς εἰς τὰ ἴδια. ‖

Τῷ δ' αὐτῷ ἔτει ἐτέχθη τῷ βασιλεῖ υἱός, καὶ ἐπωνόμασεν αὐτὸν Θεοδόσιον.

584/5 A. M. 6078 δ'. ιγ'. ε'. ιδ'. ζ'. ις'.

Theophyl. Sim. 62, 23 ‖ Τούτῳ τῷ ἔτει Φιλιππικὸς ἐξεληλυθὼς τῆς βασιλίδος πόλεως
Theophyl. Sim. 65, 14 στρατοπεδεύεται ἐπὶ τὴν Ἄμιδαν πόλιν, ‖ καὶ ἀθροίσας τὸ ὁπλιτικὸν ἠρώτα, εἰ προθύμως ἔχουσι πρὸς τὸν πόλεμον χωρῆσαι. τῶν δὲ Ῥωμαίων ὅρκοις πεισάντων αὐτὸν μετὰ προθυμίας πολεμεῖν παρα-

---

1 *παρέβαλλεν* g *κατέλαβεν* y transtulit A. — 2 *Μηδίας* g *Μηδείας* h. — 3 Chaganus Avarum A. — 4 *Σκλαβίνων* g *item v.* 11. — 5 *τείχων* f. — 6 *στρατόπεδα* g. — 8 *τῶν om.* y. — 9 *περιπεσών* gy. — 10 *περιέπεσεν* x (*συντυγχάνει* Th. S.). — 11 *Ἀρδαγάστῳ* z Th. Sim. *Ἀρδραγάστῳ* e *Ἀνδραγάστῳ* cfmA *Ἀνδραγάσῳ* d. — *ἐπιφερόμενον* yz. — 12 *τοῦτο* hy. — 13 *περιεβάλλετο* g. — 16 *Ἀρζανηνὴν* Th. S. Arxenene A *Ἀρζανὴν* dy *Ἀρζάνην* z *Ἀρζανην sine acc.* c. — 18 *ὁ om.* g. — 19 *Ἀνεψὶχ* (*-ψὴχ* c) x *ἀνεψιὸν* yz *Ἀψίχ* Th. S. — *ἐξηγεῖσθαι* x *καθηγεῖσθαι* yz *cf. p.* 205, 22. — *τὸν λαὸν* h *τοῦ λαοῦ* f. — 20 *Καρδαρῆγας* g. — *τὴν om.* c. — 21 *ὁ δὲ Φιλιππικὸς* — 23 *ὑπέστρεψεν hic om.* h *et ὁ δὲ Φιλ.* — 23 *εἰς τὰ ἴδια initio* A. M. 6078 *inserit.* — 23 *ὑπέστρεψαν* d. — 27 *τῷ δ' αὐτῷ ἔτει* h *cf. v.* 21. — 28 *Ἄμιδαν* g *Ἀμιδᾶ* f *Ἄμιδα* cehm (*in* ch *accentus minus bene dignoscitur*).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γίνεται ἐπὶ τὸ Ἄρξαμον. ‖ ὁ δὲ Καρδαρίγας τοῦτο μαθὼν γέλωτι Theophyl. Sim. 68, 22
τὴν ἀκοὴν ἀπεπέμπετο, ἐνύπνιον εἶναι δοκῶν τὸ λεγόμενον. καλέσας
δὲ τοὺς μάγους ἠρώτα, τίς ἔσται τῆς νίκης κύριος. οἱ δὲ τῶν δαι-
μόνων θεραπευταὶ Πέρσας ἔφασκον ὑπὸ τῶν θεῶν τὴν νίκην ἀπ- 393 B
ενέγκασθαι. σκιρτῶσι τοίνυν ἐπὶ τούτοις οἱ Πέρσαι ταῖς τῶν μάγων
ὑποσχέσεσιν εὐφραινόμενοι καὶ δημιουργοῦσιν εὐθὺς ξυλοπέδας ἐκ
ξύλου τε καὶ σιδήρου, ὅπως τοῖς Ῥωμαίοις ὑποβάλωσιν. ὁ δὲ στρα- 216 P
τηγὸς παρεγγυᾷ τοῖς Ῥωμαίοις τοὺς γεωργικοὺς μὴ λυμαίνεσθαι
πόνους, ὅπως μὴ ἡ μισοπόνηρος δικαιοσύνη τοῦ θεοῦ ἐπὶ τοὺς βαρ-
βάρους μετοικίσῃ τὴν νίκην. τῇ οὖν ἐπιούσῃ ἀποστέλλει ὁ στρατηγὸς
δύο φυλάρχους τῶν Σαρακηνῶν, καὶ ζωγροῦσι Πέρσας ζῶντας, δι'
ὧν ἔγνωσαν τῶν ἐναντίων τὰ κινήματα· οἳ ἔφασαν τῇ κυριακῇ ἡμέρᾳ
βούλεσθαι τοὺς βαρβάρους ἐπιθέσθαι τοῖς Ῥωμαίοις. ὁ δὲ Φιλιππι-
κὸς ἐξ ἑωθινοῦ τοὺς Ῥωμαίους συντάξας τρισὶ φάλαγξιν ἀπήντα πρὸς
πόλεμον. αὐτὸς δὲ ἀναλαβὼν τὴν θεανδρικὴν μορφήν, ἣν ἀχειρο-
ποίητον οἱ Ῥωμαῖοι δοξάζουσιν, διατρέχων τὰς τάξεις τῷ ὁπλιτικῷ
μετεδίδου θείας δυνάμεως. καὶ στὰς ὀπίσω τῆς παρατάξεως τοῦτο
κατέχων τὸ ὅπλον δάκρυσι πολλοῖς τὸ θεῖον εὐμενίζετο· ὅστις τὰς
οὐρανίους ταξιαρχίας συμμάχους προσελάβετο. ‖ τοῦ δὲ πολέμου κρο- Theophyl. Sim. 72, 12
τηθέντος, Βιταλιανὸς ὁ ταξίαρχος πάντων θρασύτερον κινηθεὶς τὴν
φάλαγγα τῶν Περσῶν διέσπασε καὶ τὸ τοῦλδον παρέλαβεν. οἱ δὲ 394 B
Ῥωμαῖοι περὶ τὰ σκῦλα ἤρξαντο ἀσχολεῖσθαι· οὓς θεασάμενος ὁ Φι-
λιππικός, φοβηθεὶς μὴ εἰς τὰ λάφυρα καὶ οἱ λοιποὶ τραπέντες τῆς
παρατάξεως ἐπιλάθωνται, καὶ στραφέντες οἱ βάρβαροι ἀπολέσωσιν
αὐτούς, Θεοδώρῳ τῷ Ἰλιβινῷ τὴν ἑαυτοῦ περικεφαλαίαν περιθεὶς
ἐξαπέστειλε τῷ ξίφει πλήττειν τοὺς ἐνασχολουμένους ἐπὶ τὰ λάφυρα.
ὃν ἰδόντες καὶ νομίσαντες Φιλιππικὸν εἶναι, καταλιπόντες τὰ σκῦλα
ἐπὶ τὸν πόλεμον ἐχώρησαν. τοῦ δὲ πολέμου κροτηθέντος ἐπὶ ὥρας
πολλάς, φωνὴ γίνεται παρὰ τοῦ στρατηγοῦ τοὺς ἵππους τῶν Περσῶν
πλήττειν τοῖς δόρασιν. τούτου δὲ γενομένου, ἐτράπη τὸ Περσικὸν

---

1 τὸ Ἄρξαμον h τὸ Ἄρξαβον g τὸ Ἄρξαμον y τὸ Ἄρξαβον c τὸ Ἀζαρβον (*sine acc.*) d τὸ Ἀρξάμων Th. S. Anazarbon A. — Καρδαρῆγας g. — 2 ἀκοήν] νίκην d. — ἐνυπνίου d. — τὸ γενόμενον y. — 3 τίς ἐστι g. — 6 ξυλόπεδας xy ξυλόποδας g. — 7 τοὺς Ῥωμαίους g. — ὑποβάλλωσιν z. — 8 παρεγγύα f παρηγγύα d παρεγγυᾶτο z. — λυμήνασθαι c. — 9 μὴ *om.* z. — ἠσοπόνηρος y. — 11 μετοικήσῃ g μετοικήσει hy. — 13 ὁ δὲ Φιλ.—14 τοὺς Ῥωμαίους *om.* y. — 14 τοὺς Ῥωμαίους ἐξ ἑωθινοῦ g. — φάλαξι y. — 15 ὁ αὐτός d. — 17 ἐπεδίδου y. — ἐν μέσῳ? *cf.* Th. Sim. 71, 3. — 18 τὸ θεῖον d Th. Sim. 71, 13 τὸν θεόν *rell.* A. — ηὐμενίζετο y ἐξευμενίζετο d. — 18 ὅστις—19 προσελάβετο *om.* f. — 19 ταξιαρχείας h τάξεις g. — συμμάχους dem συμμαχούσας cz. — 20 Βιτάλιος Th. Sim. — 23 μὴ *om.* em. — 24 ἐπιλάθονται hxy. — 25 Ἰλβινῷ x. — κεφαλαίαν περιτιθεὶς g. — 26 πλήσσειν g. — 27 Φιλιππικὸν g *m. 2 ex* Φίλιππον. — 29 τοῖς ἵπποις g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στράτευμα, καὶ νίκην μεγάλην οἱ Ῥωμαῖοι ἀνεδήσαντο καὶ πολλοὺς ἀνήλωσαν καὶ τούτους ἐσκύλευσαν. τῇ δὲ ὑστεραίᾳ ἀναλαβὼν τὰς ἑαυτοῦ δυνάμεις ὁ Καρδαρίγας πάλιν πρὸς πόλεμον ὁπλίζεται. καὶ δευτέρου πολέμου κροτηθέντος, νικῶσι πάλιν Ῥωμαῖοι, καὶ ἀναιροῦνται Πέρσαι πολλοί, χειροῦνται δὲ καὶ ζῶντες δισχίλιοι καὶ εἰς
Th. S. 75, 23 Βυζάντιον πέμπονται. ‖ προσέφυγε δὲ καὶ Καρδαρίγας εἰς τὸ Δαρᾶς· οἱ δὲ Πέρσαι μεθ' ὕβρεων τοῦτον ἀπεπέμψαντο. ὁ δὲ Φιλιππικὸς Ἡράκλειον, τὸν Ἡρακλείου τοῦ αὐτοκράτορος πατέρα, ὑποστράτηγον
395 B Th. S. 78, 6 ὄντα ἐπὶ κατασκοπῇ τῶν βαρβάρων ἐξέπεμψεν, ‖ καὶ αὐτὸς τοὺς ἐν πολέμῳ τραυματίας γενομένους πρὸς τὰς πόλεις ἰατρεύεσθαι παρ-
Th. S. 79, 17 ἔπεμψεν. ‖ ἀναλαβὼν δὲ τὸ στράτευμα εἰς τὴν Βαβυλωνίαν εἰσβάλλει
217 F Th. S. 80, 13 καὶ τὸ Χλομαρῶν φρούριον παρακαθέζεται. ‖ ὁ δὲ Καρδαρίγας στρατολογεῖ ἰδιώτας μετὰ ὑποζυγίων καὶ ὀχλαγωγήσας στρατοπεδεύειν
Th. S. 82, 13 ἐκόμπαζε ‖ καὶ δι' ὀχυρῶν τόπων ἐν ἀσελήνῳ νυκτὶ ἐπὶ τὰ νῶτα γίνεται τῶν Ῥωμαίων μηδαμῶς θαρρῶν χεῖρας αὐτοῖς ἐμβαλεῖν. φόβος δὲ ἄκαιρος ἐπιπεσὼν τῷ Φιλιππικῷ, καταλιπὼν τὸ φρούριον φυγῇ ἀλόγῳ ἐχρήσατο. καὶ τοῦτο γνόντες οἱ Ῥωμαῖοι εἰς φυγὴν ἐτρέποντο διὰ τόπων δυσεξοδεύτων μεγάλοις κινδύνοις περιπεσόντες· ἦν γὰρ καὶ ἀσέληνος ἡ νύξ. ἡλίου δὲ ἀνατείλαντος τῆς συμφορᾶς ἀπηλλάττοντο. καταλαβόντες δὲ τὸν στρατηγὸν ὕβρεσιν αἰσχίσταις τοῦτον ἐβλασφήμουν. οἱ δὲ Πέρσαι ἐπίπλαστον νομίσαντες τὴν φυγὴν διῶξαι
Th. S. 85, 23 οὐκ ἐτόλμησαν. ‖ Ἡράκλειος δὲ διαπεράσας τὸν Τίγριν, ὅσα τῆς Μηδικῆς χώρας ἦσαν ἐπίσημα χωρία, παρεδίδου πυρί, καὶ οὕτω πρὸς Φιλιππικὸν ἀνέκαμψε μετὰ σκύλων πολλῶν.

---

3 *Καρδαρῆγας* g *Καρδαρίγων* em. — 4 *πάλαι* h. — 5 *χειρ. δὲ καὶ* ζ. xA *χειρ. δὲ καὶ Πέρσαι* ζ. hy *χειρ. Πέρσαι* ζ. g. — 6 *προέφυγε* em. — *δὲ καὶ Καρδ.* y *δὲ Καρδ.* hx *Καρδ.* (*om. δὲ καὶ*) g aufugit quoque K. A. — *Καρδαρήγων* g *Καρδαρίγον* hy. — *Δαρᾶς* fz *Δαράς* emx. — 7 *ὕβρεων corr. ex ὕβρεσιν* f. — 9 *ἐν τῷ πολέμῳ* z. — 11 *τὴν om.* f. — 12 *Χλομαρῶν* Th. S. Chlomarorum A *Χλόμαρον* h *Χλωμαρόν* dy *Χλώμαρον* g *Χλωμαρον sine acc.* c. — *Καρδαρήγων* g *Καρδαρίγων* em *Καρδαρίγον* h *Καρδαρίγος* f. — 15. 16 *φόβος δὲ ἄκαιρος ἐπιπεσὼν τῷ Φιλιππικῷ* yzA *φόβῳ δὲ ἀκαίρῳ περιπεσὼν ὁ Φιλιππικός* x. — 17 *ἀλόγῳ* xA *ἀλόγως* yz. — 19 *καὶ om.* d. — liberabantur nemine persequente A *quare μηδενὸς διώκοντος post ἀπηλλάττοντο addendum videtur.* — 21 *τὴν om.* xy. — *τὴν φ. Ῥωμαίων* z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	Τῆς	Ῥωμαίων	Περσῶν	A. M. 6079 585/6
ἔτη	Θείας	βασιλεὺς	βασιλεὺς	
,ϛοθ΄.	σαρκώσεως	Μαυρίκιος	Ὁρμίσδας	
	ἔτη φοθ΄.	ἔτη κ΄.	ἔτη ιε΄.	
		ε΄.	ιδ΄.	
Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας	
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	
Ἰωάννης	Ἰωάννης	Εὐλόγιος	Γρηγόριος	
ἔτη ιγ΄.	ἔτη κ΄.	ἔτη κζ΄.	ἔτη κδ΄.	
ϛ΄.	ιε΄.	η΄.	ιζ΄.	

‖ *Τούτῳ τῷ ἔτει ὁ τῶν Ἀβάρων Χαγάνος τὰς σπονδὰς διαλύσας* Th. S. 48, 18 396 B
τήν τε Μυσίαν καὶ Σκυθίαν κατεπολέμει δεινῶς καταστρέψας τήν τε Ῥατιάρναν καὶ Βονωνίαν καὶ Ἄκυς καὶ Δορόστολον καὶ Ζάρδαπα καὶ Μαρκιανούπολιν. ‖ *ὁ δὲ Κομεντίολος ἐπὶ τὴν Ἀγχίαλον ἦλθε καὶ* Th. S. 87, 4
διελὼν τὸ στράτευμα τοὺς ἀδοκίμους ἐκ τῶν ἀριστέων διέκρινεν· καὶ τὴν μὲν ἄχρηστον δύναμιν μ΄ χιλιάδας φυλάττειν τὸν χάρακα κελεύει, τοὺς δὲ ἐπιλέκτους ἑξακισχιλίους ὄντας παραλαβὼν δύο χιλιάδας παρέδωκε τῷ Κάστῳ καὶ δύο τῷ Μαρτίνῳ, καὶ τὰς δύο αὐτὸς ἀναλαβὼν κατὰ τῶν βαρβάρων χωρεῖ. ὁ δὲ Κάστος ἐλθὼν ἐπὶ τὰ Ζάρδαπα καὶ τὸν Αἶμον, εὑρὼν τοὺς βαρβάρους ἠμελημένους πολλοὺς διέφθειρεν. αἰχμαλωσίας δὲ κρατήσας πολλῆς δορυφόρῳ διασώζειν ἐδίδου. Μαρτῖνος δὲ εἰς τὰ περὶ Τόμεα τὴν πόλιν γενόμενος, τῷ Χαγάνῳ ἀπροσδοκήτως περιπεσὼν πολλοὺς τῆς αὐτοῦ δυνάμεως ἀνεῖλεν, ὥστε αὐτὸν φυγῇ τὴν σωτηρίαν πραγματεύσασθαι. ὁ δὲ Μαρτῖνος ἐπίδοξον νίκην ἀράμενος πρὸς τὸν στρατηγὸν ἐπανήρχετο, ἔνθα ἐπηγγείλατο ἀναμένειν αὐτούς. ὁ δὲ Κομεντίολος δειλίᾳ κατασχεθεὶς εἰς Μαρκιανούπολιν ὑπέστρεψεν. οἱ δὲ μὴ εὑρόντες αὐτὸν ἐπεσύναξαν τὰ ἴδια στρατεύματα καὶ ἐπὶ τοὺς στενωποὺς τοῦ Αἵμου στρατοπεδεύονται. ‖ *ἰδὼν δὲ ὁ Μαρτῖνος τὸν Χαγάνον διαπερῶντα τὸν ποταμὸν πρὸς τὸν στρατηγὸν ἐπανῆλθεν. ὁ δὲ Κάστος* Th. S. 90, 13 397 B 218 P

3[4] *Ορμίσδας sine spir.* cg. — 9[1] *ἔτη κ΄* g. — 9[3] *ἔτη ιζ΄* y. — 9[4] *ἔτη κα΄* y. — *v.* 10 *om.* f. — 11 *βαρβάρων* ehm *Ἀράβων* f. — 12. 13 *τὴν τερατιάρναν* dh *τηντερατιάρναν* cem *τὴν τερατίαρναν* f Ratiarnam A (*Ῥατηρίαν* Th. S.). — 13 *Βονωνίαν* c *Βωνωνίαν* d *Κονωνίαν* h *Κονονίαν* y *Κωνωνίαν* g Bononiam A (*Βονώνειαν* Th. S.). — *Ἄκυς* hy *acc. om.* c. — *Δωρόστολον* g. — *Ζάρδαπα* g *Ζάνδαπα* dh *Ζανδάπα* y *Ζανδαπα acc. om.* c Zandapa A (*Σαλδαπὰ* Th. S.). — 14 *Κομεντιόλος* h. — 15 *ἀριστερῶν* xy. — 16 *μ΄* x *τεσσαράκοντα* yz *τέτταρες* Th. S. — 20 *Ζάρδαπα* d *Ζαρδαπα om. acc.* c *Ζάρπαδα* em *Ζαρπάδα* f *Τζάπαρδα* z Zardapa A (*Ζαλδαπά* Th. S.). — *καὶ τὸν Αἶμον om.* y. — *τὸν Αἶμον* g *τὸν ἐμὸν* c *τὸν έμον om. spir.* d *τῶν ἐμῶν* h. — *καὶ εὑρών* yz. — 21 *δωροφόρῳ* g. — 22 *Τόμεα scr. e coni.* (*τὸ μέα cod.* Theoph. Sim.) *Τομέαν* yz *Τομαῖαν* g *τὸ μεάν* h Mean A. — 23 *τῆς*] *τούς* c. — 24 *αὐτούς* x. — 28 *στενωποὺς τοῦ*] *νεοποὺς τοῦ* f *νεοποστοῦ* em. — 29 *Αἵμου* g *Ἔμου* d *Ἐμοῦ* cy *Ἑρμοῦ* h. — *διαπερόντα* hx *διαπερών* y. — 30 *τὸν prius om.* z. — *Κάτος* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν ποταμὸν διαπεράσας καὶ πλησιάσας τοὺς προτρέχοντας τῶν Ἀβάρων τῆς μάχης κρατεῖ. σκαιοῦ δέ τινος δαίμονος ὑποθήκαις οὐκ ἀνέστρεψεν ἐπὶ τὸν στρατηγόν. τῇ δὲ ἐπιούσῃ κρατήσας τὰς διαβάσεις ὁ Χαγάνος ἀπέκλεισεν αὐτόν. περισχίζεται τοίνυν ὁ λαός, καὶ ἕκαστος ὡς εἶχε δυνάμεως διὰ τοῦ ἄλσους ἔφυγον. θηρεύονται τοίνυν τινὲς παρὰ τῶν βαρβάρων καὶ καταμηνύουσιν, ποῦ ἐκέκρυπτο Κάστος, καὶ
Th. S. 91, 18 τοῦτον ζωγρήσαντες περιεσκίρτων καὶ ἠγάλλοντο. ‖ ὁ δὲ Χαγάνος διὰ τῆς μεσημβρίας ὁδεύσας κατὰ τῆς Θρᾴκης χωρεῖ καὶ τὰ Μακρὰ τείχη κατέλαβεν. ὁ δὲ Κομεντίολος ἐν ταῖς ὕλαις τοῦ Αἵμου κρυ-
Th. S. 98, 14 πτόμενος ἐξῆλθε σὺν τῷ Μαρτίνῳ. ‖ καὶ καταλαβὼν τὸν Χαγάνον ἀνετοιμότατον διὰ τὸ τὴν πληθὺν τῶν βαρβάρων περικεχῦσθαι τῇ Θρᾴκῃ, πρώτῃ φυλακῇ κατ' αὐτοῦ χωρεῖ. καὶ ἦν αὐτῷ μέγα τῶν ἐπιχείρων τὸ κατόρθωμα, εἰ μὴ τύχῃ τινὶ παρεσφάλη τοῦ ἐγχειρήματος. ἑνὸς γὰρ ζώου τὸν φόρτον διαστρέψαντος, ἕτερος τὸν δεσπότην τοῦ ζώου προσφωνεῖ τὸν φόρτον ἀνορθῶσαι τῇ πατρῴᾳ φωνῇ·
398 B "τόρνα, τόρνα, φράτερ." καὶ ὁ μὲν κύριος τῆς ἡμιόνου τὴν φωνὴν οὐκ ἠσθάνετο, οἱ δὲ λαοὶ ἀκούσαντες καὶ τοὺς πολεμίους ἐπιστῆναι αὐτοῖς ὑπονοήσαντες εἰς φυγὴν ἐτράπησαν, "τόρνα, τόρνα" μεγίσταις φωναῖς ἀνακράζοντες. ὁ δὲ Χαγάνος μεγάλην δειλίαν περιβαλόμενος ἀκρατῶς ἔφυγεν. καὶ ἦν ἰδεῖν Ἀβάρους τε καὶ Ῥωμαίους ἀλλήλους
Th. S. 100, 3 διαδιδράσκοντας, μηδενὸς διώκοντος. ‖ ὁ δὲ Χαγάνος ἀναλαβὼν τὰς δυνάμεις τὴν Ἀπειρίαν πόλιν παρεκάθισεν. εὑρὼν δὲ Βουσᾶν, τὸν τῆς πόλεως μαγγανάριν, ἀνελεῖν αὐτὸν ἐπειρᾶτο. ὁ δὲ Βουσᾶς παρεκάλει χρήματα ἱκανὰ αὐτῷ παρέχειν, εἴπερ τὸ ζῆν αὐτῷ φιλοτιμήσοιτο· οἱ δὲ τοῦτον δεσμήσαντες τῇ πόλει παρέστησαν. αὐτὸς δὲ ἐζήτει τοὺς τὴν πόλιν οἰκοῦντας ὠνήσασθαι αὐτόν, διηγούμενος ὅσα ὑπὲρ τῆς πόλεως ἠγωνίσατο. πολίτης δέ τις τὰ πλήθη ἀνέπειθε μὴ τοῦτο ποιεῖν, λόγος δὲ τοῦτον τῇ Βουσᾶ γυναικὶ παρευνάζεσθαι.

---

1 προστρέχοντας cemz τοῖς προτρέχουσι? — τῶν βαρβάρων y. — 2 καὶ οὐδέ τινος δεόμενος ὑποθήκης codd. correxit Combefis ex A et Th. S. — 5 ἄλσου y. — fugiebat A. — 6 ποῦ ἐκέκρυπτο ἕκαστος y ἕκαστος ποῦ ἐκρύπτετο g. — 7 τούτους y. — 9 Αἵμου g Ἐμοῦ efx Ἑρμοῦ h τοῦ Αἵμου om. m. — 10 Χαγάνον] Μαρτῖνον c. — 11 ἑτοιμότατον h. — βαρβάρων codd. Abarum A. — 12 κατ' αὐτῶν x. — 13 ἐπιχειρῶν f. — ἐπιχειρήματος g. — 14 διαστρέψαντες y. — 14 ἕτερος—15 ἀνορθῶσαι om. h. — ἑταῖρος c quidam A. — τοῦ δεσπότου cy. — 15 τὸν φόρτον—φωνῇ om. f. — ἀνορθῶσαι] erigere A ἀνορθώσας egm ἀναστρέψας x. — patria voce dicens A. — 16 φράτρε z. — τῆς] τοῦ g. — τῆς φωνῆς z. — 17 ᾔσθετο g. — καὶ om. chy. — 18 αὐτούς dg. — 19 μεγ. αἰσχύνην περιβαλλόμενος g. — 20 ἔφυγεν] fugiebat A. — Ἀβάρους] barbari A. — 21 διαδιδράσκοντες g. — 22 Ἀπειρίαν] Ἀππιάρειαν Th. S. — πόλιν hA πάλιν rell. — δέ] τε? que A. — Βουσᾶν z Βοῦσαν y Βουσάν d Βουσαν sine acc. c. — 22 τὸν τῆς—23 Βουσᾶς om. m. — 23 μαγγανάρην dg. — Βουσᾶς Th. Sim. Βουσᾶν z Βοῦσαν ef Βουσάν d Βουσαν sine acc. c. — 24 αὐτὸ φιλ. y αὐτὸν φιλ. h. — 28 λόγος—παρευν. om. A. — Βουσᾶ c Βουσά d Βουζᾶ g Βοῦζα y Βουζα sine acc. h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπεὶ τοίνυν κατεφρονήθη ὁ Βουσᾶς, ὑπισχνεῖτο τῷ Χαγάνῳ παραδιδόναι τὴν πόλιν, καὶ πολιορκητικὸν ὄργανον συμπηξάμενος, ὃν κριὸν ὀνομάζουσιν, τὴν πόλιν παρέλαβεν. μαθόντες δὲ οἱ βάρβαροι τὸ τεχνούργημα πλείστας καὶ ἄλλας πόλεις ἐδουλώσαντο καὶ μετὰ πολλῆς αἰχμαλωσίας ὑπέστρεψαν. ‖ ἀκούσαντες δὲ οἱ Βυζάντιοι, ὅτι Κάστος 339 B Th. S. 103, 7
ὑπὸ τῶν βαρβάρων αἰχμάλωτος γέγονεν, μεγάλαις λοιδορίαις κατὰ Μαυρικίου ἐχρῶντο καὶ εἰς φανερὸν τοῦτον ἐβλασφήμουν. ‖ κατὰ Th. S. 104, 16
τοῦτον δὲ τὸν χρόνον Ἡράκλειος, ὁ τοῦ Ἡρακλείου πατήρ, Περσικῷ φρουρίῳ προσβάλλει, καὶ τοῦτο εἶλεν· ὁμοίως καὶ Θεόδωρος τὸ Μα- 219 P
ζαρῶν φρούριον. ἀμφότεροι δὲ εἰς τὸ Βεϊουδὲς παραγίνονται. ‖ καὶ Th. S. 107, 2
τοῦ φρουρίου ὀχυροῦ ὄντος, στρατιώτης τις, Σαπφήρης ὀνόματι, σκόλοπας τεχνουργήσας καὶ κατὰ τὰς ἁρμογὰς τῶν λίθων τούτους πηγνύων τὴν ἄνοδον ἐποιήσατο. ὡς δὲ ἐπέβη ἐκεῖνος τῇ στεφάνῃ τοῦ τείχους, Πέρσης ἀνὴρ τοῦτον ἐξώθησεν. πίπτει οὖν ὁ Σαπφήρης κάτω, καὶ ὑποδέχονται αὐτὸν οἱ Ῥωμαῖοι ταῖς ἀσπίσιν· καὶ αὖθις τοῦ ἔργου κατατολμᾷ, καὶ πάλιν ἐξωθεῖται τοῦ ὀχυρώματος· πάλιν δὲ οἱ Ῥωμαῖοι ταῖς ἀσπίσιν αὐτὸν ὑποδέχονται, καὶ πάλιν πρὸς τὴν ἐπιβουλὴν ἐνεχείρησεν. ἐπὶ δὲ τῇ κεφαλῇ τοῦ τείχους γενόμενος τὸν Πέρσην ἀπέτεμεν· εἶτα τὴν κεφαλὴν ὑπατεύσας Ῥωμαίους θάρσους ἐνέπλησεν. καὶ πολλῶν μιμησαμένων τὸν ἀριστέα καὶ διὰ τῶν πασσάλων ἐπιβάντων τοῦ τείχους, παραδίδοται Ῥωμαίοις τὸ φρούριον καὶ τοὺς μὲν τῶν Περσῶν ἀνεῖλον, τοὺς δὲ αἰχμαλώτους λαβόντες 400 B
σὺν τῇ ἀποσκευῇ τὸ φρούριον ... παρέδωκαν. ὁ δὲ Φιλιππικὸς αὖθις εἰς Βυζάντιον τὴν ὁδὸν ἐποιήσατο Ἡράκλειον καταλιπὼν ἡγεμόνα Ῥωμαίων. ‖ ἐλθὼν δὲ εἰς Ταρσὸν καὶ μαθών, ὅτι ὁ βασιλεὺς Πρίσκον Th. S. 112, 1
στρατηγὸν ἀνατολῆς χειροτονήσας ἀπέστειλεν, γράφει Ἡρακλείῳ καταλιπόντι τὸ στράτευμα εἰς Ἀρμενίαν παραγενέσθαι πρὸς Ναρσῆν καὶ τὴν τοῦ Πρίσκου παρουσίαν κατάδηλον ποιῆσαι. ἦν γὰρ ὁ αὐτο-

---

1 ἐπεὶ δὲ ὁ B. κατεφρονήθη x. — ὁ om. g. — Βουζᾶς z Βούζας y Βουσάν d Βουσαν sine acc. c Busa A. — τῷ om. yz. — 2 ὅν] ὃ d. — 4 πλείστας] plures A. — 6. 7 κατὰ τοῦ Μαυρ. c. — 7 φανερὸν τόπον τοῦτον f. — 8 ὃ om. y. — 9 προσβάλει ehm. — Μαζαρῶν c Mazarorum A Μαζαρόν yz Μάζαρον d Ματζαρῶν Th. S. — 10 Βεϊουδές y Βεϊοῦδες z Βεϊούδες d Βεϊουδες sine acc. c Baiudes A Βεϊουδαές Th. S. — 11 ἰσχυροῦ x. — Σαπφήρεις y Σαμφήρης h Σάπειρ Th. S. — 12 κατὰ om. h. — 13 ἐπέστη y. — ἐκεῖνος] fortis ille A ἐκεῖνος ὁ ἀριστεύς? coll. v. 20. — 14 Σαπφήρεις y Σαπφήρης ὀνόματι h. — 17 οἱ om. cy. — ὑπεδέχοντο y. — πάλιν] tertio A om. xy. — 18 ἐπεί cg. — 19 θάρσος hy. — 20 καὶ δὴ πολλῶν d. — πασάλων h. — 21 ἐπιβάντες cyz. — 22 καὶ τοὺς μὲν—23 παρέδωκαν om. y. — 23 πυρὶ παρέδωκαν scr. Classen e coni. Goari assentiente A. Equidem cum Combefisio coll. Theoph. S. p. 109, 1 φρουροῖς vel simile quid addere malim. — 24 τὴν ἐπὶ τὸ Βυζ. ὁδόν d ἐπὶ τὸ B. τὴν ὁδόν c. — καταλελοιπὼς x. — 26 ἀνατολῆς στρατηγὸν χειρ. g ἀνατολῆς χειρ. στρατηγόν h στρατηγόν om. y. — Ἡράκλειον καταλιπόντα y Ἡρακλείῳ καταλιπόντα h. — 27 Ναρσήν gy σύναρσιν d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κράτωρ τῷ Φιλιππικῷ κελεύσας τετάρτην μοῖραν τῆς ῥόγας τῷ στρατῷ ἀποστερῆσαι. ἐνόσει γὰρ Μαυρίκιος τὸ φιλόχρυσον. ὁ δὲ Φιλιππικὸς φοβηθεὶς μὴ ἀφορμὴ τυραννίδος γένηται τοῦτο, τῷ βασιλεῖ οὐχ ὑπήκουσε διά τε τοῦτο τῆς στρατηγίας ἀποπαύεται. Πρίσκος δὲ καταλαβὼν τὴν Ἀντιόχειαν προστάττει τοὺς στρατιώτας ἐπὶ τὸ Μονόκαρτον συναχθῆναι· προσκαλεῖται δὲ καὶ Γερμανόν, τὸν τὴν Ἐδεσηνῶν ἀρχὴν πεπιστευμένον, σὺν τῷ ἐπισκόπῳ· καὶ σὺν αὐτοῖς πρὸς τὸ στρατόπεδον ἀπήρχετο τὴν ἑορτὴν τοῦ πάσχα σὺν αὐτοῖς ποιησόμενος. οἱ δὲ ἡγεμόνες τοῦ στρατοῦ ὑπήντησαν αὐτῷ μετὰ τῶν βάνδων ἀπὸ δύο σημείων τοῦ στρατοπέδου. ὁ δὲ Πρίσκος κατὰ τὸ
401 B εἰωθὸς οὐκ ἀπέβη τοῦ ἵππου οὐδὲ ταῖς συνήθεσι προσηγορίαις ἐχρήσατο. ἐντεῦθεν αὐτῷ τοῦ μίσους γέγονεν ἔναρξις· ἐπὶ ταῖς κοιναῖς
Th. S. 113, 18 γὰρ ὕβρεσι τὰ πλήθη ἀνιῶνται. ‖ μετὰ δὲ τὴν ἑορτὴν τὰ τοῦ βασιλέως σοβαρῶς ἐπεδείκνυ γράμματα. συρρέουσι τοίνυν τὰ πλήθη ἐπὶ τὸ τοῦ στρατηγοῦ σκηνοπήγιον, τὰ μὲν ξίφη ἐπιφερόμενα, τὰ δὲ λίθους, τὰ δὲ ξύλα. γίνεται τοίνυν περιδεὴς ὁ Πρίσκος καὶ ἐπιβὰς τῷ ἵππῳ φυγῇ ἀπέδρα τὸν κίνδυνον. οἱ δὲ διαρρήξαντες τὸ τούτου σκηνοπήγιον πάντα τὰ αὐτοῦ διήρπασαν. ὁ δὲ καταλαβὼν τὴν Κωνσταντίαν ὑπὸ
Th. S. 115, 8 ἰατρῶν τὰς βολὰς τῶν λίθων καὶ τὰ ἕλκη ἐθεραπεύετο. ‖ καὶ ἀποστέλλει τὸν ἐπίσκοπον τῆς πόλεως ἀπολογούμενος τῷ στρατοπέδῳ, ὑπισχνούμενος πείθειν τὸν αὐτοκράτορα μηδὲν αὐτοῖς ἀποστερεῖν τῶν
220 P εἰωθότων παρασχέσθαι. ὁ δὲ στρατὸς τὸν ἐπίσκοπον μετὰ ὕβρεως ἀπεπέμπετο τόν τε Γερμανὸν ἄκοντα στρατηγὸν ἀνηγόρευσαν ἐπὶ ἀσπίδος ὑψώσαντες, τούς τε βασιλικοὺς ἀνδριάντας κατέστρεψαν καὶ τὰς τούτου εἰκόνας ἠφάνισαν· καὶ ἐπὶ τυραννίδα χωρεῖν ἤμελλον καὶ τὰς πόλεις σκυλεύειν, εἰ μὴ ὁ Γερμανὸς τοῦτο πολλῇ νουθεσίᾳ καὶ
Th. S. 117, 3 παραινέσει τούτους ἐκώλυσεν. ‖ ὁ δὲ Πρίσκος ταῦτα τῷ βασιλεῖ κατάθηλα πεποίηκεν. καὶ ὁ βασιλεὺς τὸν Φιλιππικὸν πάλιν στρατη-
402 B γὸν τῆς ἀνατολῆς πεποίηκεν· καὶ ὁ Πρίσκος εἰς Βυζάντιον ὑπέστρε-

---

1. 2 τὸν στρατόν xz τῷ στρατηγῷ y. — 2 ἐνόσει γὰρ Μαυρ. τὸ φιλόχρυσον om. A Th. S. — 3 τὸν βασιλέα y. — 4 διά τε τοῦτο τῆς στρατηγίας ἀποπαύεται scripsi ex A: ideoque a praetura deponitur, *Combefisium secutus*. διὰ τὸ τῆς στρατείας (στρατίας x) ἀποπαύεσθαι codd. — 6 Γερμανόν zA Γέμονον d Γεμόνον e Γεμονον sine acc. cm ἡγεμόνα f. — τῷ—πεπιστευμένῳ d τῶν—πεπιστευμένον c. — Ἐδεσινῶν y Αἰδεσινῶν (Αἰδ. c) xz. — 8 ποιησάμενος y. — 9 αὐτοῖς x. — 13 ἀνιόντο (ὁ in lit.) d ἀνιωντα sine acc. c. — 14 ἐπεδείκνυεν g ἀπεδείκνυ f. — 14, 15 ἐπὶ τῇ — σκηνοπηγίᾳ d. — 17 διαρρήξ. τοῦτο τὸ σκην. h. — 18 Κωνσταντίναν Th. S. — 20 ἀπολογούμενον x. — 21 μηδὲν αὐτοῖς ἀποστερεῖν πείθειν (δὲ μᾶλλον add. d) τὸν αὐτοκρ. x. — 22 παρέχεσθαι x. — exercitus—respuerunt A. — μεθ' ὕβρεων c ταῖς ὕβρεσι d om. h. — 23 παρεπέμπετο g. — 25 ἔμελλον d. — 26 σκυλεύειν m dispoliare A κυκλεύειν rell. — νουθεσίᾳ καὶ παραινέσει xA παραινέσει καὶ νουθεσίᾳ yz. — τούτους om. d. — 28 στρατηγὸν πάλιν y. — 29 Πρίσκος πάλιν εἰς cz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ψεν. ὁ δὲ στρατὸς ὅρκοις κατησφαλίζετο μηδαμῶς ὑπὸ Μαυρικίου βασιλεύεσθαι. οἱ δὲ βάρβαροι ταῖς Ῥωμαϊκαῖς συμφοραῖς ἐνετρύφων. ‖ ὁ δὲ αὐτοκράτωρ Ἀριστόβουλον, τὸν κουράτορα τῶν βασιλικῶν Th. S. 118, 15
οἴκων, πρὸς τὸν στρατὸν ἀπέστειλεν, ὅπως ὅρκοις καὶ δώροις διαλύσῃ τὴν τυραννίδα· ὃ καὶ πεποίηκεν. τῆς δὲ τυραννίδος ἀποσπασθείσης, γίνεται Περσῶν καὶ Ῥωμαίων κατὰ τὴν Μαρτυρόπολιν πόλεμος μέγιστος. τῶν δὲ Ῥωμαίων δυνάμει καὶ στρατηγίᾳ καταπολεμησάντων τοὺς Πέρσας, ἀναιρεῖται ὁ τῶν Περσῶν στρατηγὸς Μαρουζᾶς. συλλαμβάνονται δὲ καὶ ζῶντες τρισχίλιοι καὶ οἱ τῶν Περσικῶν ταγμάτων ταξίαρχοι· χίλιοι δὲ μόνοι τὸν ἀριθμὸν διεσώθησαν, οἳ καὶ μετὰ κινδύνων ἐπὶ τὴν Περσίδα ἀνέστρεψαν. οἱ δὲ Ῥωμαῖοι ἐκπέμπουσι πρὸς τὸν αὐτοκράτορα ἐκ τῶν Περσικῶν λαφύρων πολλὰ καὶ τοὺς ζωγρηθέντας ἅπαντας σὺν τοῖς βάνδοις. ‖ ὁ δὲ Μαυρίκιος ἔκτισε τὸν Καριανὸν ἔμβολον ἐν Βλαχέρναις ὑπογράψας ἐν αὐτῷ διὰ ζωγράφων τὰς ἑαυτοῦ πράξεις ἐκ παιδόθεν μέχρι τῆς αὐτοῦ βασιλείας· καὶ ἀνεπλήρωσε καὶ τὸ ἐν αὐτῷ δημόσιον λουτρόν.

Κόσμου	Τῆς Θείας	Ῥωμαίων	Περσῶν	A. M. 6080 S 86/7.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	
,ςπ΄.	ἔτη φπ΄.	Μαυρίκιος	Ὁρμίσδας	
		ἔτη κ΄.	ἔτη ιε΄.	
		ς΄.	ιε΄.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Ἰωάννης	Ἰωάννης	Εὐλόγιος	Γρηγόριος
ἔτη ιγ΄.	ἔτη κ΄.	ἔτη κζ΄.	ἔτη κδ΄.
ζ΄.	ις΄.	θ΄.	ιή΄.

Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ, ἰνδικτιῶνος ς΄, ‖ οἱ Λογγί- Th. S. 120, 2 403 B
βαρδοι πόλεμον κατὰ Ῥωμαίων ἤραντο, καὶ τὰ τῶν Μαυρουσίων ἔθνη κατὰ τὴν Ἀφρικὴν μεγάλας ταραχὰς ἐποιήσαντο. ‖ ἐν δὲ τῇ Th. S. 120, 19
Περσίδι φυλακὴ ὑπάρχει λεγομένη Λήθη, καὶ πολλοὺς ὁ τῶν Περσῶν βασιλεὺς ἀπὸ διαφόρων ἐθνῶν ἐν ταύτῃ κατέκλεισε σὺν τοῖς αἰχμαλώτοις τῆς πόλεως τοῦ Δαρᾶς. οὗτοι οὖν ἀπογνόντες ἑαυτῶν ἐπανίστανται κατὰ τῶν φυλασσόντων αὐτούς· καὶ ἀνελόντες τὸν

---

2 Ῥωμαϊκαῖς A βαρβαρικαῖς codd. — ἐνετρύφουν h. — 3 κουράτωρα g. — 4 ἀπέλυσεν h. — 6 γένηται c. — μέγας h. — 7 στρατηγείᾳ y. — 8 Μαρουζᾶς Th. S. Maruzas A Βαρουζᾶς z Βαροῦζας f Βαρούζας dem Βαρουζας *sine acc.* c. — 13. 14 τὸν τῶν Καριανῶν ἔμβολον x. — 15 ἐκ παιδόθεν πράξεις z. — 19⁴ Ὁρμίσδας cem *sine spir.* f. — 25⁴ ἔτη κα΄ codd. — 26¹ ζ΄] ια΄ f. — 26² ις΄] ιγ΄ f. — 26⁴ ιή΄ om. f. — 27 ἰνδικτιόνος h ἰν *rell.* — Λιγγηβάρδοι h Langobardi A. — 28 κατὰ Ῥωμαίων πόλεμον yz. — ἤραντο fhx. — 30 λίθη hy. — ὁ βασιλεὺς τῶν Περσῶν x. — 32 Δαράς dem *sine acc.* c. — ἑαυτούς h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

221 P Μαρουσᾶν καὶ τὴν τούτου κεφαλὴν λαβόντες εἰς τὸ Βυζάντιον ἦκαν·
Th. S. 122, 5 ὁ δὲ βασιλεὺς μετὰ χαρᾶς μεγάλης αὐτοὺς ὑπεδέξατο· ‖ τὸν δὲ Φι-
Th. S. 122, 23 λιππικὸν μόλις στρατηγὸν ὁ στρατὸς κατεδέξατο. ‖ πολέμου δὲ Περ-
σῶν καὶ Ῥωμαίων ἐν Μαρτυροπόλει γεγονότος, ἡττῶνται Ῥωμαῖοι.
ὁ δὲ αὐτοκράτωρ πάλιν τῆς στρατηγίας τὸν Φιλιππικὸν διαδεξάμενος
Κομεντίολον στρατηγὸν τῆς ἀνατολῆς ἀπέστειλεν. ὁ δὲ Κομεντίολος
περὶ τὴν Νισίβιν γενόμενος καὶ οἱ Πέρσαι κατὰ τὸ Σαρβανῶν ἀλ-
λήλοις συνέβαλον. Ἡράκλειος δέ, ὁ τοῦ Ἡρακλείου πατήρ, ἐνευδο-
κιμήσας ἐν τῷ πολέμῳ ἀνεῖλε τὸν τῶν Περσῶν στρατηγόν. Ἀφραάτου
δὲ ἀναιρεθέντος, τρέπονται Πέρσαι, καὶ διώκουσι Ῥωμαῖοι. πολλῆς
404 B καὶ πολλὰ λάφυρα ἐν Βυζαντίῳ ἐκπέμπουσιν. ὁ δὲ αὐτοκράτωρ ἱπ-
πικαῖς θεωρίαις καὶ πανηγύρεσι τὴν πόλιν ἐφαίδρυνε καὶ τὰς νίκας
Th. S. 124, 9 cf. Nicephr. H. eccl. XVIII, 19 ἐθριάμβευσεν. ‖ ὁ δὲ Ὀρμίσδας, ⟨ὁ τῶν Περσῶν βασιλεύς,⟩ στρατηγὸν
χειροτονήσας τὸν Βαρὰμ ἅμα δυνάμεσι πολλαῖς κατὰ Σουανίας ἐκ-
πέμπει. ἀδοκήτως δὲ ταύτῃ ἐπιστάς, καταπολεμηθέντων τῶν Τούρκων
ὑπὸ τῶν Περσῶν, τοσοῦτον Ὀρμίσδας ηὐξήθη, ὡς καὶ φόρους μ΄
χιλιάδας χρυσοῦ παρὰ τῶν Τούρκων λαβεῖν, πρότερον τούτου τὰ
Th. S. 125, 19 ἴσα τοῖς Τούρκοις τελοῦντος. ‖ τοῦ δὲ Βαρὰμ περιδόξου κατὰ τὸν
πόλεμον τοῦτον γεγονότος καὶ εἰς τὸν Ἀράξην ποταμὸν στρατοπεδευ-
ομένου, ὁ Μαυρίκιος τοῦτο μαθὼν Ῥωμανὸν χειροτονεῖ στρατηγόν,
καὶ ἐν Σουανίᾳ μετὰ δυνάμεως ἐκπέμπει. καταλαβὼν δὲ ὁ Ῥωμανὸς
τὴν Λαζικὴν καὶ εἰς τὸν Φάσιδα γενόμενος ποταμὸν ἐπὶ τὴν Ἀλ-
βανίαν στρατοπεδεύεται. ὁ δὲ Βαρὰμ τὸν τῶν Ῥωμαίων στρατὸν
ἐπιθημήσαντα ἀκηκοὼς διεγέλα τὸ πρᾶγμα· ἐπεθύμει δὲ καὶ Ῥωμαϊκῆς
παρατάξεως πεῖραν λαβεῖν· οὐ γὰρ ἦν ποτε Ῥωμαίους πολεμήσας.
διαβὰς τοίνυν τὸν γείτονα ποταμόν, ὡς ἐπὶ τὰ ἐνδότερα μέρη τῆς
Th. S. 127, 10 Περσίδος τοὺς Ῥωμαίους ἐφελκόμενος ἦγει· ‖ ὁ δὲ Ῥωμανὸς τὴν Ῥω-

---

1 Marusan A *Μαρουζᾶν* Th. S. *Μανουσᾶν* fz *Μανοῦσαν* d *Μανούσαν* em *Μανουσαν sine acc.* c. — *κεφαλήν* Th. S. caput A *ἀδελφήν codd.* — *ἦκασι* d. — 3. 4 *Ῥωμαίων καὶ Περσῶν* g. — 5 *στρατηγείας* y. — 7 *Νισίβιν* f *Νισίβην* h *Νίσιβιν* g *Νισιβιν sine acc.* em *Νησίβην* x. — *κατὰ τὸ Σαρβανὸν* (*Σορβ.* h) z *κατὰ Σαρβανῶν* cy *κατὰ Σαρβανόν* d (*περὶ τὸ Σισαρβάνων* Th. S.). — 8 *συνέβαλλον* gm. — *εὐδοκιμήσας* h. — 9. 10 *Ἀφραάτου δὲ ἀναιρ.*] Aphrahato vero interempto A *cf.* Th. S. *p.* 123, 15 *τοῦ δὲ ἀναιρεθέντος* yz *τοῦ δὲ στρατηγοῦ ἀναιρ.* x *Ἀφραάτην· τοῦ δέ?* — 11 *γινομένης* g. — 14 *ἐθριάμπευσεν* f. — *Ὀρμίσδας* df *sine spir.* c. — *ὁ τῶν Π. βασ. add. ex* A, *om. codd.* — 15 *Βαράν* m *plerumque.* — *ἅμα καὶ* f. — *Σουμανίας* f *Σοβανίας* d. — 16 *αὕτη* d *ταύτης* hm. — *Τουρκῶν* h *item v.* 18. — 17 *τοιοῦτον* y. — *Ὀρμίσδας* fx. — *ὃς* y. — 20 *τούτου* g. — *Ἀρράξην* g *Ἀσράξιν* h *Ἀσραξὶν* y *Ἀσραξιν sine acc.* c. — 22 *Σουμανίᾳ* f. — *ἐκπέμπει* x *πέμπει* yz. — *ὁ om.* yz. — 22. 23 *τὴν* (*om.* c) *Λαζ. ὁ Ῥωμανός* x. — 23 *Φασίδα* h *Φασιδᾶ* f. — *Ἀλκανίαν* cfz. — 24 *τὸν om.* f. — *τῶν Ῥωμαίων om.* em. — *στρατηγόν* d. — 26 *πεῖραν λαβεῖν*] manu capere A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μαϊκὴν πληθὺν ἐχώριζεν, τοὺς ἀδοκίμους εἰς τὸ τοῦλδον καταλιπών· καὶ δέκα χιλιάδας ἐπιλέκτους λαβὼν κατὰ τῶν βαρβάρων ἐχώρει, δύο δὲ χιλιάδας προτρέχειν τοῦ στρατοῦ παρακελεύεται· οἵ τινες συναν- 405 B
τήσαντες τοὺς προτρέχοντας τῶν Περσῶν τούτους τρέπουσι καὶ πάντας ἀνήλωσαν. τῆς γὰρ φυγῆς γενομένης, καὶ κρημνοῦ συναντήσαντος αὐτοῖς, ἀποκλεισθέντες πάντες ἀνῃρέθησαν· οἱ δὲ Ῥωμαῖοι μέχρι τοῦ χάρακος τῶν βαρβάρων ἐγένοντο, ὡς καταπλαγῆναι τὸν Βαρὰμ ἐπὶ τούτῳ. ‖ τοῦτο ἀκηκοὼς Ῥωμανὸς παραθαρρύνει τὸ στρα- Th. S. 127, 25
τόπεδον, καὶ παρατάσσονται ἐν πεδίῳ τῆς Ἀλβανίας. ‖ ὁ δὲ Βαρὰμ Th. S. 128, 15
ἀπεπειρᾶτο κλέψαι τὸν πόλεμον, διητύχησε δὲ τοῦ βουλεύματος· συνέσει γὰρ ὁ Ῥωμανὸς ἐκεκόσμητο. συμβαλόντων δὲ ἀλλήλοις, καὶ 222 P
πολλῶν ἀναιρεθέντων βαρβάρων, μεγίστη Ῥωμαίων γίνεται νίκη· σκυλεύονται τοίνυν οἱ βάρβαροι καὶ ταφῆς ἀμοιρήσαντες τοῖς θηρίοις γίνονται κατάβρωμα. τοῦτο ἀκούσας ὁ τῶν Περσῶν βασιλεὺς καὶ τὴν αἰσχύνην μὴ φέρων γυναικείαν ἐσθῆτα τῷ Βαρὰμ ἐξέπεμψεν, καὶ τῆς στρατηγίας τοῦτον ἀπέπαυσεν. νεωτερίζει τοίνυν ὁ Βαρὰμ καὶ πρὸς τυραννίδα χωρεῖ· καὶ ἀνθυβρίζει διὰ γραμμάτων τὸν Ὁρμίσδαν ἐπιγράψας τὴν ἐπιστολήν· Ὁρμίσδᾳ, τῇ θυγατρὶ Χοσρόου, ὁ Βαρὰμ ταῦτα ἐπιστέλλει. ‖ συναγαγὼν δὲ τὰ στρατεύματα ἔφασκεν Th. S. 154, 21
ἀγανακτεῖν τὸν Ὁρμίσδαν κατὰ τῶν στρατευμάτων, ὡς ὑπὸ Ῥωμαίων 406 B
ἡττηθέντων. ἐπεδείκνυε δὲ καὶ ἐπίπλαστα γράμματα ὡς ἀπὸ Ὁρμίσδα πρὸς τὸ ὑπομειῶσαι τὰς τῶν στρατιωτῶν ῥόγας, ‖ ὑπομιμνήσκων αὐ- Th. S. 149, 20
τοὺς τό τε ἀπηνὲς τοῦ Ὁρμίσδα καὶ ὠμότατον, τὸ φιλάργυρόν τε καὶ βίαιον, καὶ ὅπως φόνοις μὲν ἀρεσκόμενος, εἰρήνης δὲ ἀπεχόμενος, καὶ πῶς τοὺς μεγιστᾶνας δεσμοῖς καθυπέβαλεν, καὶ τοὺς μὲν ξίφει ἀπέτεμεν, τοὺς δὲ ἀπέπνιξεν ἐν τῷ Τίγριδι· καὶ πῶς κατηνάγκαζε Πέρσας ἐν μεγάλοις πολέμοις χωρεῖν, ὅπως διαφθαρῶσι καὶ μὴ κατ' αὐτοῦ στασιάσωσιν. τοιούτοις δὲ λόγοις συμβαλὰν ὁ Βαρὰμ τὰ στρατεύματα ‖ τυραννίδα μεγάλην κατὰ Ὁρμίσδα ἐξῆψεν· καὶ ὅρκοις τὸν Th. S. 155, 2 cf. 158, 22
Βαρὰμ ὀχυρώσαντες δογματίζουσι πάντες καθελεῖν τὸν Ὁρμίσδαν. ‖

---

1 τὸ *om.* em. — 2 παραλαβών g. — 5 γενεμένης g. — κρημνοῦς h κρυμνοῦ em. — 6 ἀνηλώθησαν g. — 8 ἐπὶ τοῦτο hy. — 9 Ἀλκανίας f. — 10 διηστύχησεν f. — δὲ] τε xy. — 11 surrexit enim Romanus et comptissime parabatur A. — 13 τοῖς *om.* g. — 14 Hormisdas, Pers. rex A. — 15 ἀπέπεμψεν g. — 17 Ὁρμίσδαν dfm *sine spir.* ce. — 17. 18 Ὁρμ. ἐπιγρ. τὴν ἐπιστολήν *om.* h. — 18 Ὁρμίσδᾳ dy *sine spir.* c. — Χοσρώου hy *ubique fere.* — 19 Ἀράμ d. — τὰ στρατόπεδα g. — 20 Ὁρμίσδαν dy *sine spir.* c. — 21 ἡττηθέντας y. — ὑπό xy. — Ὁρμίσδα y *sine spir.* c. — 23 τοῦ *om.* d. — Ὁρμίσδου xy. — 25 τοὺς μεγιστάνας dz τοὺς μεγιστάνους e τοῖς μεγιστανοις y. — καθυπέβαλλεν z. — 26 ἐν *om.* y. — κατηνάγκασε d. — 27 χωρεῖν] separari A. — 28 δὲ] γοῦν d ergo A. — 29 Ὁρμίσδα xy. — καὶ *om.* y. — 30 Ὁρμίσδαν d Ὁρμίσδαν *sine spir.* c Ὁρμίσδα y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Th. S. 159, 18 ὁ δὲ Ὁρμίσδας Φεροχάνην, τὸν μάγιστρον αὐτοῦ, καθοπλίσας μετὰ
δυνάμεως ἀπέστειλε κατὰ Βαράμ. ὁ δὲ Βαρὰμ ἐδήλου τῷ Φεροχάνῃ
καὶ τοῖς στρατεύμασιν, ὅτι οὐ δεῖ ὅπλα κατὰ Περσῶν ἐπιφέρεσθαι
Πέρσας· καὶ ὑπεμίμνησκεν αὐτοὺς τὴν τοῦ Ὁρμίσδα τραχύτητα, τὸ
ἄδικον, τὸ αἱμοχαρὲς καὶ φιλόφονον, τὸ ἄπιστον καὶ ἀλαζονικόν τε καὶ 5
407 B βίαιον. τούτων αἰσθόμενοι ἀληθῶς εἰρημένων οἱ περὶ τὸν Φεροχάνην
Th. S. 161, 15 λαοὶ πρὸς Βαρὰμ μετατίθενται ‖ καὶ τὸν Φεροχάνην ἀνελόντες τῷ
Th. S. 162, 3 Βαρὰμ ἠνώθησαν καὶ ἐπὶ Κτησιφῶντα ὥρμησαν. ‖ ὁ δὲ Ὁρμίσδας εἶχεν
ἐν δεσμοῖς Βινδόην τὸν ἐν ἀξίᾳ μεγάλῃ τελοῦντα. ἐν δὲ σάλῳ μεγάλῳ
τῶν πραγμάτων ὄντων, Βεστάν, ὁ τοῦ Βινδόου ἀδελφός, εἰς τὴν φρου- 1
ρὰν εἰσπηδήσας ἐξάγει Βινδόην, τὸν ἀδελφὸν αὐτοῦ, καὶ συναθροίσαντες
πλῆθος ἀγροίκων τε καὶ πολιτικῶν τρίτῃ ὥρᾳ τῆς ἡμέρας εἰσέρχονται
εἰς τὰ βασίλεια· καὶ εὑρόντες τὸν Ὁρμίσδαν ἐπὶ τοῦ θρόνου βασιλικῶς
καθεζόμενον, ὕβρεσι τοῦτον πολλαῖς καθυπέβαλον. ὁ δὲ Βινδόης κρα-
τήσας τὸν Ὁρμίσδαν ἀφείλατο τὸ διάδημα ἀπὸ τῆς κεφαλῆς αὐτοῦ καὶ 1
223 V εἰς φρουρὰν τοῦτον παρέδωκεν, παρεκάλει δὲ Χοσρόην τοῦ πατρῴου
Th. S. 163, 21 θρόνου ἀνθέξεσθαι. ‖ ὁ δὲ Ὁρμίσδας ἐκ τῆς φρουρᾶς ἄγγελον ἐξ-
έπεμψε τοῖς Πέρσαις αἰτούμενος λαλῆσαι τὰ συμφέροντα τῇ Περσίδι.
γίνεται τοίνυν τῇ ἐπαύριον, καὶ συνηθροίσθη ἡ σύγκλητος τῶν
Περσῶν ἐν τοῖς βασιλείοις σὺν τῷ πλήθει, καὶ ἄγουσι τὸν Ὁρμίσδαν 2
δέσμιον. ὁ δὲ Ὁρμίσδας ἀνεμίμνησκε Πέρσας, ὡς οὐ δεῖ περὶ τοὺς
408 B βασιλεῖς τοιαῦτα ἐξαμαρτάνειν, καὶ ὅσα, ἀφ' οὗ ἐβασίλευσεν, τρό-
παια πεποίηκεν, καὶ ὅσα εὐεργέτησε Πέρσας, καὶ ὅπως Τούρκους
τῇ Περσίδι φόρους τελεῖν πεποίηκεν, Ῥωμαίους δὲ εἰρήνης ἐρᾶν,
καὶ ὅπως τὴν Μαρτυρόπολιν παρέλαβεν· καὶ τὰς πατρῴας ἀριστείας 2
ἐξήγγειλεν. ἠξίου δὲ ἀποχειροτονηθῆναι Χοσρόην τῆς βασιλείας ὡς
φιλόδικον καὶ ἄπληστον καὶ αἱμοχαρῆ, ὑπεροπτικόν τε καὶ ὑβριστὴν
καὶ φιλοπόλεμον· ὑπεῖναι δὲ αὐτῷ ἄλλον παῖδα, καὶ τοῦτον εἰς

---

1 Ὁρμίσδας δέ z. — Ὁρμίσδας dy *sine spir.* c. — 1 *sqq.* Φεροχάνην *scripsi ex* Th. S. Niceph. *et* A Φερογάνην *codd. ubique.* — μαγίστρον em μάγειρον xz. — 2 Φεργάνῃ f. — 3 κατὰ τῶν Περσῶν h. — 4 Πέρσαις d. — Ὁρμίσδα y Ὁρμίσδου (*sine spir.* c) x. — 5 ἄπιστόν τε καὶ ἀλαζ. καί g. — 6 τοῦτον cgy. — φερομένων g. — 8 Ὁρμίσδας dy *sine spir.* c. — 9 ἐν μεγάλῃ ἀξίᾳ x. — τελοῦνται em. — 10 Βεστάν (*sine acc.* c) x Βεσδάν fm Βεσδᾶν g Βεσδάμ eh Βεστάμ Th. S. *ex Anastasii codicibus optimus* Bestan, *vell.* Bestam. — 11 ἐξαγαγεῖν cem ἐξάγει f *m. 2 in lit.* — 12 ἀγροῖκον c. — πολιτικόν cy πολιτῶν g. — εἰσέρχεται g. — 13 τὸν *om.* f. — Ὁρμίσδαν xy. — τοῦ *om.* x. — 14 καθεζόμενος em. — τοῦτο y. — καθυπέβαλλον cg. — 15 Ὁρμίσδαν dy *sine spir.* c *item* v. 20. — ἀφείλετο x. — 16 τούτων y. — 17 ἀνεδέξεσθαι g. — Ὁρμίσδας y Χοσρόης x. — 21 Ὁρμίσδας y *sine spir.* c. — Πέρσαις d. — 22 τοιαῦτα d huiuscemodi A ταῦτα *vell.* — 22 ἀφ' οὗ—23 ὅσα *om.* em. — 23 καὶ ὅσους φόρους Τούρκους τῇ Περσίδι τελ. πεπ. g. — 27 φιλόδικον gy litis amicum A φίλερις Th. S. φιλάδικον hx. — 28 ὑπ. δὲ αὐτῷ μᾶλλον παῖδα καὶ τοῦτον xy ὑπ. δὲ αὐτ. παῖδα καὶ τοῦτον μᾶλλον z esse autem sibi alterum filium perhibebat, quem in regem provehi flagitabat A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βασιλέα προχειρίσασθαι παρεκάλει. ‖ Βινδόης δὲ πρὸς τὸν Ὁρμίσδαν Th. S. 168, 4
ἀντέλεγε καὶ τὰ τούτου σφάλματα εἰς μέσον προβαλλόμενος πάντας
διήγειρε κατὰ Ὁρμίσδα· ‖ καὶ ἄγουσιν εἰς μέσον τήν τε γυναῖκα Th. S. 170, 13
Ὁρμίσδα καὶ τὸν υἱόν· καὶ τοῖς † προσειωθόσιν ἐπ' ὄψεσιν Ὁρ-
μίσδα τούτους ἐδιχοτόμησαν. τὸν δὲ Ὁρμίσδαν τυφλώσαντες τῇ
φρουρᾷ ἐναπέθεντο. ‖ καὶ ὁ μὲν Χοσρόης ἄχρι τινὸς τὸν πατέρα Th. S. 172, 14
ἐφιλοφρόνησεν ἐν τῇ φρουρᾷ πᾶσαν ἡδονὴν παρέχων· ὁ δὲ Ὁρμίσδας
ὕβρεσι τοῦτον ἠμείβετο καταπατῶν τὰ ὑπὸ τοῦ βασιλέως πεμπόμενα.
ὀργισθεὶς δὲ ὁ Χοσρόης ῥοπάλοις ἀγρίοις ἐκέλευσε κατὰ τῶν λαγό-
νων τυπτόμενον τοῦτον ἀποθανεῖν. τοῦτο δὲ ἐλύπησε τοὺς Πέρσας 409 B
καὶ μῖσος κατὰ τοῦ Χοσρόου ἐνέθηκεν. Χοσρόης δὲ συναθροίσας
δυνάμεις, τῶν βασιλείων ὑπεξελθὼν κατὰ τοῦ Βαρὰμ παρεγένετο
ἐν πεδίῳ τοῦ Ζάβα ποταμοῦ, ἔνθα Βαρὰμ τὸν χάρακα εἶχεν. ‖ ὑπο- Th. S. 177, 16
λαβὼν δὲ Χοσρόης, ὅτι τινὲς τῶν ἀρχόντων πρόσκεινται τῷ Βαράμ,
τούτους ἐφόνευσεν. ταραχθέντος δὲ τοῦ λαοῦ, ἀποδιδράσκει Χοσρόης
μετά τινων ὀλίγων· καὶ πάντες οἱ περὶ τὸν Χοσρόην τῷ Βαρὰμ
προσεχώρησαν. ‖ ὁ δὲ Χοσρόης ἠπόρει, τί δρᾶσαι, ἐνίων μὲν συμ- Th. S. 178, 8
βουλευόντων αὐτῷ πρὸς Τούρκους χωρεῖν, ἑτέρων δὲ πρὸς Ῥωμαίους.
ὁ δὲ Χοσρόης τοῦ ἵππου ἐπιβὰς καὶ τὸν χαλινὸν ἐάσας προστάττει
πᾶσιν ἕπεσθαι τοῖς τοῦ ἵππου κινήμασιν· ὁ δὲ ἵππος ἐπὶ τὰ Ῥω-
μαϊκὰ μέρη ἀπεκίνησεν. καὶ πρὸς τὸ Κερκέσιον παραγίνεται καὶ πρέσβεις
ἐκπέμπει τὴν ἑαυτοῦ ἄφιξιν Ῥωμαίοις κατάδηλον ποιούμενος. ἔτυχε
δὲ Πρόβον τὸν πατρίκιον ἐκεῖ ὄντα τοῦτον ὑποδέξασθαι καὶ διὰ
γραμμάτων τῷ βασιλεῖ μηνῦσαι τὰ κατ' αὐτόν. ‖ ὁ δὲ Βαρὰμ ἀπ- 224 P
Th. S. 191, 20
έστειλε πρέσβεις πρὸς Μαυρίκιον αἰτούμενος μὴ συμμαχῆσαι τῷ
Χοσρόῃ· ‖ κελεύει δὲ ὁ βασιλεὺς Μαυρίκιος Κομεντιόλῳ στρατηγῷ Th. S. 183, 21
εἰς Ἱεράπολιν τὸν Χοσρόην ὑποδέξασθαι καὶ βασιλικαῖς θεραπείαις
τιμῆσαι. ‖

Τῷ δ' αὐτῷ ἔτει κατέδειξεν ὁ βασιλεὺς Μαυρίκιος γενέσθαι εἰς 410 B

---

1 Ὁρμίσδαν dm *sine spir.* ce. — 3 κατὰ τοῦ Ὁρμ. z. — Ὁρμίσδου (*sine spir.* c) xy. — 4 τοῦ Ὁρμ. h. — Ὁρμίσδου z Ὁρμίσδου xy. — προσειωθόσιν cg προσειωθῶσιν dh προειωθῶσιν y πριόνοσιν m *m. 2* serrae sectione A πριόνος ὀδοῦσι?. — Ὁρμίσδου h Ὁρμίσδου gxy. — 5 Ὁρμίσδαν dem *sine spir.* c. — τυφλώσσαντες g. — ἐν τῇ φρουρᾷ g. — 6 παρέθεντο d. — καὶ ὁ μὲν *X*, zA ὁ μὲν *X*. y ὁ μὲν οὖν *X*. x. — 7 Ὁρμίσδας dem *sine spir.* c. — 8 καταπατῶν — πεμπόμενα *om.* f. — 9 ὠργίσθη δὲ ὁ *X*. καὶ g. — κατὰ τὸν λαγόνα τύπτεσθαι g. — 11 κατὰ τ. Χοσρόη g. — 12 καὶ τῶν βασ. h. — βασιλειῶν cyz. — 13 Ζαβά em *sine acc.* c. — Μαράμ em. — 17 δράσαι dm δράσει f *sed* ει *sec. m. in lit.* δράσοιτο z. — 18 πρὸς Τούρκοις — πρὸς Ῥωμαίοις g. — 19 τῶν ἵππων g. — 21 Κερκέσιον z Κέρσιον xy *item codd.* A Cercesium (Cassinensis) *et* Cersium (Palatinus) *praebent.* Κιρκήσιον Th. S. — 22 κατάδηλον Ῥωμαίοις z. — 24 μηνῦσαι τὰ κατ' αὐτόν xA μηνύσαντα κατ' αὐτόν f μηνύσαντα τὰ κατ' αὐτόν emz. — 26 Κομεντίολον g. — 27 Ιεραπόλιν *sine spir.* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν μνήμην τῆς ἁγίας Θεοτόκου τὴν λιτὴν ἐν Βλαχέρναις καὶ ἐγκώμια λέγειν τῆς δεσποίνης, ὀνομάσας αὐτὴν Πανήγυριν.

587/8 A. M. 6081

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*
ϛπα΄.	*ἔτη φπα΄.*	*Μαυρίκιος*	*Χοσρόης*
		ἔτη κ΄.	*ἔτη λϑ΄.*
		ξ΄.	*α΄.*
Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Ἰωάννης	*Ἰωάννης*	*Εὐλόγιος*	*Γρηγόριος*
ἔτη ιγ΄.	*ἔτη κ΄.*	*ἔτη κξ΄.*	*ἔτη κδ΄.*
η΄.	*ιζ΄.*	*ι΄.*	*ιϑ΄.*

Th. S. 210, 16 *Τούτῳ τῷ ἔτει* ‖ *τεκνοποιηθεὶς ὁ βασιλεὺς Μαυρίκιος Χοσρόην,*
Th. S. 191, 2 *τὸν βασιλέα Περσῶν,* ‖ *Δομετιανόν, ἐπίσκοπον Μελιτηνῆς, πρὸς*
Th. S. 208, 13 *αὐτὸν ἐξέπεμψεν, τὸν ἴδιον συγγενῆ,* ‖ *σὺν Ναρσῇ, τὴν ἡγεμονίαν*
τοῦ πολέμου τούτῳ καταπιστεύσας. οἵ τινες παραλαβόντες τὸν Χοσ-
ρόην καὶ πάσας τὰς Ῥωμαϊκὰς δυνάμεις εἰς τὴν Περσίδα εἰσβάλλου-
Th. S. 219, 16 *σιν.* ‖ *ὁ δὲ Βαραὰμ τοῦτο μαθών, τὰς περὶ αὐτὸν δυνάμεις ἀναλαβὼν*
ἐν τόπῳ Ἀλεξανδρινῆς ὀνομαζομένῳ ἐστρατοπέδευσεν, κωλύειν οἰόμε-
νος τὰ ἐκ τῆς Ἀρμενίας ἐρχόμενα στρατεύματα τοῦ μὴ ἑνωθῆναι τῷ
Ναρσῇ. ἐκέλευσε γὰρ Μαυρίκιος Ἰωάννην τὸν Μυστάκωνα, τὸν τῆς
Ἀρμενίας στρατηλάτην, ἀναλαβεῖν τὰ στρατεύματα καὶ ἑνωθῆναι τῷ
Ναρσῇ, τοῦ ἅμα συστήσασθαι τὸν πρὸς τὸν Βαραὰμ πόλεμον. διὰ
δὲ τῆς νυκτὸς ἡνώθησαν πᾶσαι αἱ Ῥωμαϊκαὶ δυνάμεις καὶ παρετάξαντο
κατὰ Βαράμ. ὁ δὲ Βαραὰμ πρὸς τὸ ὄρος ἐστρατοπέδευσε δειλίᾳ κατεχό-
Th. S. 224, 23 *μενος.* ‖ *πολέμου δὲ φοβεροῦ κροτηθέντος, ὁ Ναρσῆς τῶν Ἰνδικῶν*
καταφρονήσας θηρίων τὴν μέσην τῶν βαρβάρων διέλυσε φάλαγγα.
411 B *τούτου δὲ γενομένου καὶ αἱ λοιπαὶ τοῦ Βαραὰμ ἠσθένησαν φάλαγγες,*
καὶ γίνεται τοῦ τυράννου μεγάλη φυγή. ὁ δὲ Ναρσῆς ἀκατασχέτως
διώκων ἀνῄρει τοὺς Πέρσας, ἐξ δὲ χιλιάδας ζωγρήσας πρὸς Χοσ-
ρόην δεσμίους ἤγαγεν· ὁ δὲ Χοσρόης πάντας ἀνεῖλε τῷ δόρατι.
ὅσοι δὲ Τοῦρκοι ἐτύγχανον, τούτους τῷ αὐτοκράτορι εἰς Βυζάντιον
ἔπεμψεν. τῶν δὲ Τούρκων ἐν τοῖς μετώποις τὸν τύπον τοῦ στα-
υροῦ διὰ μέλανος κεντητοῦ ἐχόντων, ἐρωτωμένων ὑπὸ τοῦ αὐτοκρά-

---

11[1] ἔτη κ΄ g. — 11[3] ἔτη ιζ΄ ef. — 11[4] ἔτη κα΄ y. — 14 *Μελιτινῆς codd.* — 15 *συναρσῇ* em *Ναρσῇ* d *Ναρσήν* c. — 16 *τοῦτο* y *om.* d. — 17 *καὶ om.* A. — *εἰσβάλουσι* hy. — 18 *περὶ αὐτῶν* y *περὶ αὐτοῦ* c. — 19 *Ἀλεξανδρίνης* cz (*Ἀλεξανδριανά* Th. S.). — 21 *Μυστάκωνα* Th. S. *Μουστάκωνα* z *Μουστάκονα* xy Mustaconem A. — 22 *καί*] *τοῦ μή* y. — 23 *τόν ante Βαραὰμ om.* h. — 24 *πᾶσαι ἀμφότεραι αἱ* x. — *Ῥωμαῖαι* emx Romaïcae A. — 26 *κροτηθέντος φοβεροῦ* g. — *Ναρσῆς* x. — 26. 27 *καταφρον. τῶν Ἰνδ. θηρίων* x. — *διέλυσε τῶν βαρβάρων* x. — 28 *τοῦτο* c. — *γινομένου* xy. — 29 *μεγάλη τοῦ τυρ. φυγή* x. — *Ναρσῆς* ceg. — 30 *ἀνεῖλε* g. — 34 *κεντητοῦ διὰ μέλανος* g. — *ἐρωτ. δὲ ὑπό* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τορος, ποίῳ τρόπῳ τοῦτο τὸ σημεῖον ἐπιφέρονται; οἱ Τοῦρκοι ἔφασκον πρὸ πολλῶν χρόνων λοιμὸν ἐν Τουρκίᾳ γενέσθαι, τινὰς δὲ τῶν ἐν αὐτοῖς Χριστιανῶν ὑποθέσθαι τοῦτο ποιῆσαι, ὡς ἐντεῦθεν σωτηρία κατὰ τὴν χώραν ἐγένετο. ὁ δὲ στρατὸς τῶν Ῥωμαίων τὴν σκηνὴν 225 P
τοῦ Βαρὰμ καὶ τὸ τοῦλδον παραλαβόντες μετὰ τῶν ἐλεφάντων τῷ Χοσρόῃ προσήνεγκαν. ὁ δὲ Βαρὰμ ἐπὶ τὰ ἐνδότερα μέρη τῆς Περσίδος τὴν φυγὴν ἐποιήσατο· καὶ οὕτως ὁ κατ' αὐτὸν διαλύεται Th. S. 226, 21
πόλεμος. ‖ ὁ δὲ Χοσρόης μεγάλην νίκην ἀναδησάμενος τὸν ἴδιον ἀπέλαβε θρόνον καὶ ἐπινίκια εἱστία Ῥωμαίους. ὁ δὲ Ναρσῆς ἀνα-
ξευγνύων ἐπὶ τὰ ἴδια τῷ Χοσρόῃ ἔλεγεν· "μέμνησο, Χοσρόη, τῆς παρούσης ἡμέρας. Ῥωμαῖοί σοι τὴν βασιλείαν χαρίζονται." Χοσ- 412 B
ρόης δὲ τὴν δολοφονίαν δεδοικὼς ἐξήτει Μαυρίκιον χιλίους Ῥωμαίους εἰς φυλακὴν αὐτοῦ ἔχειν· ὁ δὲ Μαυρίκιος ἀγάπην πολλὴν πρὸς τὸν βάρβαρον κεκτημένος ἐπλήρου τὸ αἴτημα αὐτοῦ. καὶ οὕτως ὁ Περσικὸς τῶν Ῥωμαίων κατεπέπαυτο πόλεμος. ‖

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	A. M. 6082 588/9
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	
,ϛπβ'.	ἔτη φπβ'.	Μαυρίκιος	Χοσρόης	
		ἔτη κ'.	ἔτη λϑ'.	
		η'.	β'.	
Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας	
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	
Ἰωάννης	Ἰωάννης	Εὐλόγιος	Γρηγόριος	
ἔτη ιγ'.	ἔτη κ'.	ἔτη κζ'.	ἔτη κδ'.	
ϑ'.	ιη'.	ια'.	κ'.	

Τούτῳ τῷ ἔτει μηνὶ Μαρτίῳ κϛ', ἰνδικτιῶνος η', τῇ ἡμέρᾳ τοῦ ἁγίου πάσχα χρόνων τεσσάρων ἥμισυ ἐστέφθη Θεοδόσιος, ὁ υἱὸς τοῦ Μαυρικίου, ὑπὸ Ἰωάννου, πατριάρχου Κωνσταντινουπόλεως. τῷ δ' αὐτῷ ἔτει ὁ αὐτοκράτωρ Μαυρίκιος τὴν ἐκκλησίαν τῶν ἁγίων τεσσαράκοντα, ἣν ἀπήρξατο κτίζειν Τιβέριος, ἀνεπλήρωσεν ἐν τῇ Μέσῃ οὖσαν, ὅνπερ τόπον ἔλεγον πρώην εἶναι πραιτώριον. ‖ εἰρήνης Th. S. 235, 24
δὲ βαθείας τὴν ἀνατολὴν καταλαβούσης, Ἀβαρικὸς ἐπὶ τὴν Εὐρώπην ἐκύμαινε πόλεμος. διὰ τοῦτο ὁ αὐτοκράτωρ Μαυρίκιος τὰς δυνάμεις ἀπὸ ἀνατολῆς ἐπὶ τὴν Θρᾴκην μετήγαγεν.

---

1 τοῦτο *om.* y. — 2 λοιμοῦ—γενέσθαι c λιμοῦ—γενομένου d. — 2. 3 ἐν τοῖς f. — 7 οὗτος ef. — κατ' αὐτόν x κατ' αὐτῶν xz κατ' αὐτοῦ *sec. m.* f eorum A. — 8. 9 τ. ἴδ. θρόνον ἀπέλαβεν h. — 9 καὶ ἐπιν. εἱστία Ῥωμ. *om.* dΛ (*sed cf.* Th. S.). — Ναρσῆς c. — 13 αὐτούς f. — 14 βάρβαρον] βάρμαδον g. — 24³ ἔτη λϑ' g. — 24⁴ ἔτη κα' y. — 25⁴ κϑ' g. — 26 Μαρτίῳ] Ὀκτωβρίῳ x. — ἰνδικτιόνος h $\overset{\delta}{\text{ἰν}}$ *rell.* — 27 πάσχα] Δημητρίου d. — 27. 28 ὁ υἱὸς Μαυρικίου τοῦ αὐτοκράτορος z. — 28 τοῦ *om.* d. — τοῦ πατριάρχου h. — 30 ἀνεπλήρωσε] καὶ Ἀνδρόνικο ȩκαλλώπισε *m. 2 sprscr. in* c. — 31 ὅνπερ πρώην ἔλεγον εἶναι g. — 32 Ἀβαρικός] Avaricum A ὁ Μαυρίκιος *codd.* — 34 ἀπὸ τὴν ἀνατολήν z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

589/90 A. M. 6083 ϑ'. γ'. ί'. ιϑ'. ιβ'. κα'.

Th. S. 236, 1 ‖ Τούτῳ τῷ ἔτει ἀρχομένου τοῦ ἔαρος, καὶ τῶν ταγμάτων τὴν
Θρᾴκην καταλαβόντων, ἐξῆλθε σὺν αὐτοῖς ὁ Μαυρίκιος ἰδεῖν τὰ
413 B ὑπὸ τῶν βαρβάρων κατεστραμμένα. ἡ δὲ αὐγούστα καὶ ὁ πατρι-
άρχης καὶ ἡ σύγκλητος παρεκάλουν τὸν βασιλέα μὴ αὐτουργῆσαι
πόλεμον, ἀλλὰ στρατηγῷ τοῦτον ἐγχειρίσαι· ὁ δὲ οὐ κατεδέξατο.
ἐξελθόντι δὲ αὐτῷ ἐν τῷ Ἑβδόμῳ γέγονεν ἡλίου ἔκλειψις. ἐπεγί-
Th. S. 237, 6 νοντο δὲ καὶ ἐξαισίων πνευμάτων φυσήματα, νότος βίαιος. ‖ ἐν δὲ
226 P τῷ Ῥηγίῳ ἐλθόντος, τῶν πενήτων τὰ πλήθη ἀργυρίοις ἐψυχαγώ-
γησεν. ἐπὶ Θήραν δὲ ἐξελθὼν ὁ αὐτοκράτωρ, ὗς ἄγριος παμμεγέθης
κατὰ τοῦ καίσαρος ὥρμησεν. ὁ δὲ ἵππος διὰ τὸ φοβερὸν τοῦ θεά-
ματος ἀποβαλεῖν τὸν καίσαρα ἐγχειρεῖ· ἐπὶ πολὺ δὲ ἀκαταστατήσας
οὐκ ἠδυνήθη τὸν καίσαρα ῥῖψαι· ὁ δὲ ὗς ὑπ' οὐδενὸς τρωθεὶς
Th. S. 240, 1 ἀνεχώρησεν. ‖ ἐπὶ τὴν Πείρινθον δὲ διὰ ναυτιλίας τὴν πορείαν
ποιούμενος, ἀνέμων ἐξαισίων καὶ βροχῆς γενομένης, τῶν ναυτῶν
ἀπορησάντων, τὸ σκάφος ἐφέρετο τοῦ αὐτοκράτορος, ὥστε παραδόξως
διασωθῆναι ἐν τῷ λεγομένῳ Δαονίῳ. τῇ δὲ νυκτὶ ἐκείνῃ γύναιον
ἔτικτε καὶ βοὰς οἰκτρὰς ἠφίει· πρωΐας δὲ γενομένης, ἀπέστειλεν ὁ
βασιλεὺς ἰδεῖν, τί τὸ συμβησόμενον. καὶ εἶδον παιδίον γεννηθὲν
ὀφθαλμῶν καὶ βλεφάρων ἀμέτοχον, μήτε χεῖρας μήτε βραχίονας ἔχον,
πρὸς δὲ τῷ ἰσχίῳ ἰχθύος οὐρὰ προσφυῶς ὑπῆρχεν αὐτῷ. ⟨τοῦτο δὲ ἰδὼν
414 B ὁ βασιλεὺς ἀνελεῖν προσέταξεν.⟩ ταύτῃ δὲ τῇ ἡμέρᾳ ὁ ἵππος τοῦ βασι-
λέως, ὁ τὸν χρυσοῦν περικείμενος κόσμον, ἀθρόως διερράγη πεσών. ὁ
Th. S. 243, 15 δὲ βασιλεὺς τούτοις πᾶσιν οἰωνισάμενος, περίλυπος ἦν. ‖ τῇ δὲ ὑστεραίᾳ
ἄνδρες τρεῖς Σκλαυινοὶ τὸ γένος, μηδέν τι σιδηροῦν περιβαλλόμενοι,
ὑπὸ Ῥωμαίων ἐκρατήθησαν, κιθάρας μόνας βαστάζοντες. ὁ δὲ βασι-
λεὺς ἠρώτα, πόθεν τε εἶεν καὶ ποῦ τὰς διατριβὰς ἐποιοῦντο; οἱ δὲ
τὸ μὲν γένος ἔφασαν πεφυκέναι Σκλαυινοί· πρὸς τῷ τέλει δὲ τοῦ
ὀυτικοῦ ᾠκηκέναι ὠκεανοῦ· τὸν δὲ Χαγάνον πρὸς αὐτοὺς πρεσβείαν
πέμψαι καὶ δῶρα τοῖς ἐθνάρχαις αὐτῶν τοῦ συμμαχῆσαι αὐτῷ κατὰ

---

2 *ἐρχομένου* hy. — 3 *ἐξῆλθε om.* em. — *ὁ om.* f. — 4 *ἀπό* x. — *κατεστρεμμένα* c. — *αὐγοῦστα* fg. — 6 *στρατηγόν* g. — *ἐγχειρῆσαι codd.* — 7 *Ἑβδόμῳ* A Th. S. *πολέμῳ codd.* — 8 *νῶτος* hy *ἐκ νότου* d. — *βιαῖος* xy. — 10 *ὁ αὐτοκράτωρ om.* A. — *ὗς*] *εἷς* e. — 11 *θεάματος*] miraculi A. — 14 *Πήρινθον* hy. — *ναυτηλίας codd. praeter* c. — 15 *γινομένης* g. — 16 *ἐπεφέρετο* h. — 17 *ἐν τόπῳ λεγομένῳ legisse vid.* A. — *Δαωνίῳ* z. — 18 *φωνάς* x voces A *sed βοή etiam* Th. S. — 19 *τί om.* cy. — *ἴδον* y *ἴδεν* h. — 21 *τοῦτο* — 22 *προσέταξεν add. ex* A (*cf.* Th. S.) *om. codd.* — 23 *χρυσόν* xy. — 24 *οἰωνησάμενος* dhy. — 25 *τρεῖς om.* y. — *Σκλαβῖνοι* g *item v.* 28. — *μηδέν τισι σιδ.* cem *μηδέν τι σιδηροῦν* f *sed δὲν in lit.* — 26 *μόνον* x. — 27 *τε om.* y. — *εἶναι* m. — 28 *γένος*] *ἔθνος* c. — *ἔφασκον* d. — 29 *ὀυτικοῦ om.* g. — *ᾠκηκέναι ὠκεανοῦ* x *ὠκεανοῦ ᾠκηκέναι* yz habitare oceani A. — 30 *αὐτόν* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ῥωμαίων· οἱ δὲ ταξίαρχοι αὐτῶν ἀπέστειλαν αὐτοὺς ἀπολογήσασθαι τῷ Χαγάνῳ, ὅτι οὐ δύνανται διὰ τὸ μῆκος τῆς ὁδοῦ ἀποστεῖλαι αὐτῷ συμμαχίαν. ὀκτωκαίδεκα γὰρ μηνῶν ἔφασκον ποιήσασθαι ὁδοιπορίαν καὶ οὕτω τοῖς Ῥωμαίοις περιπεσεῖν· κιθάρας δὲ περιφέρεσθαι ὡς μὴ εἰδότας ὅπλα περιβαλέσθαι τινά, τῆς χώρας αὐτῶν ἀγνοούσης τὸ σίδηρον. ὁ δὲ αὐτοκράτωρ θαυμάσας τήν τε ἡλικίαν καὶ τὰ μεγέθη τοῦ σώματος αὐτῶν, ἐπαινέσας εἰς Ἡράκλειαν αὐτοὺς παρέπεμψεν. ‖ καταλαβὼν δὲ τὴν Ἀγχίαλον καὶ μαθών, ὅτι πρέσβεις εἰς Th. S. 245, 13
τὸ Βυζάντιον Περσῶν τε καὶ Φράγγων παρεγένοντο, ὑπέστρεψεν εἰς τὰ βασίλεια. ‖

ι΄. δ΄. ια΄. κ΄. ιγ΄. κβ΄. A. M. 6084 590/1

‖ Τούτῳ τῷ ἔτει ὁ Χαγάνος ἐζήτει προσθήκας ταῖς συνθήκαις 415 B
λαμβάνειν, ὁ δὲ αὐτοκράτωρ τοὺς λόγους τοῦ βαρβάρου οὐ παρεδέξατο. διὰ τοῦτο ὁ Χαγάνος ἤρατο πάλιν τὸν πόλεμον καὶ πολιορκεῖ τὴν Σιγγιδόνα καὶ στρατοπεδεύει κατὰ τὸ Σέρμιον. ‖ ὁ δὲ Th. S. 247, 3
αὐτοκράτωρ στρατηγὸν τῆς Εὐρώπης χειροτονεῖ τὸν Πρίσκον. ὁ δὲ Πρίσκος Σαλβιανὸν ὑποστράτηγον ποιήσας προτρέχειν ἐκέλευσεν· καὶ 227 P
κατὰ τῶν βαρβάρων χωρήσαντες συγκροτοῦσι πόλεμον, καὶ νικῶσι Ῥωμαῖοι. ὁ δὲ Χαγάνος τοῦτο ἀκηκοώς, ἀναλαβὼν τὰς δυνάμεις ἐχώρει πρὸς πόλεμον. ὁ δὲ Σαλβιανὸς ἰδὼν τὰ πλήθη καὶ καταπλαγεὶς πρὸς Πρίσκον ἀφικνεῖται. γνοὺς δὲ ὁ Χαγάνος τὴν τῶν Ῥωμαίων ὑποχώρησιν εἰς Ἀγχίαλον ἐξέρχεται ἤτοι εἰς τὸν ἅγιον Ἀλέξανδρον καὶ τοῦτον τῷ παμφάγῳ πυρὶ παραδέδωκεν. μεταβὰς δὲ εἰς τὰ Δριζίπερα ἐπιχειρεῖ ἐκπορθῆσαι τὸ πόλισμα πολιορκητικὰ ἐξεργασάμενος ὄργανα. οἱ δὲ τὰ Δριζίπερα οἰκοῦντες ἐπίπλαστον ἀντεπαρετάξαντο θράσος. τάς τε γὰρ πύλας ἀναπετάσαντες ἠπείλουν τοῖς βαρβάροις πολεμεῖν ἐν δειλίᾳ ἐξαισίῳ ὄντες. τότε δὴ τότε θεΐά τις αὐτοῖς ἐπέστη δύναμις. μεσούσης γὰρ ἡμέρας ὁρᾶν ἔδοξαν οἱ βάρβαροι Ῥωμαίων δυνάμεις ἐπεξιούσας τοῦ ἄστεως, καὶ μέλλειν 416 B
συμπλέκεσθαι, καὶ καταπλαγέντες συντόνῳ φυγῇ ἀποδιδράσκουσι καὶ

---

1 ταξιάρχαι g *et* f *sec. m.* αι *ex* οι *ut vid. correctum.* — 2 δύναται y. — 3 γάρ d enim A δέ *vell.* — 6 τὸ] τὸν df *manu corr.* — 7 τῶν σωμάτων z. — 9 τε *om.* y. — Φραγγάνων f. — 11 κβ΄] κθ΄ c. — 12 ταῖς συνθήκαις *om.* y. — 13 λαβεῖν d. — 14 ἤρατο hx ἠράτο em. — 15 Σέρμειον y Σερμεῖον h Sirmium A. — κατὰ τοῦ Σερμίου? — 16 τὸν Πρίσκον χειροτονεῖ x. — 20 Σαλβῖνος d. — 22 ἤτοι] εἴτοι h deinceps A εἶτα? (ἐντεῦθεν Th. S.). — 24 Δριζήπερα gx Δριτζίπερα h. — πολιτικά gy. — 25 Δριζήπερα gx Δρατζίπερα h. — 25. 26 ἐπὶ πλεῖστον ἀντεπαρετάξαντο θράσος x ἐπὶ πλεῖστόν τε παρετάξαντο θράσος z ἐπὶ πλεῖστόν (ἐπίπλειστόν em) τε παρέταξαν τὸ θράσος y diutius e diverso aciem direxerunt A *correxit* Combefis (εἰς ἐπίπλαστον θράσος ἐφοίτησαν Th. S.). — 27 ἐν διαλέξεσι ὄντες xz. — 27. 28 θεΐαί τις (θείτις e θεϊκή τις m) αὐτοῖς ἐπέστησαν δυνάμεις y. — 29 ἄστεος c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπὶ τὴν Πείρινθον γίνονται. ὁ δὲ Πρίσκος μηδὲ θεωρεῖν φέρων τὰ πλήθη τῶν βαρβάρων, εἰς τὸ Τζουρουλὸν εἰσελθὼν τὸ φρούριον ἠσφαλίζετο. ὁ δὲ βάρβαρος τὸν Πρίσκον πολιορκεῖν ἐνεχείρει. ‖
Th. S. 249, 15 ταῦτα δὲ ἀκηκοὼς Μαυρίκιος διηπόρει, τί δρᾶσαι, εὐβουλίᾳ δὲ καταστρατηγεῖ τῆς ἀπείρου δυνάμεως· καὶ ἕνα τῶν ἐκσκουβιτόρων μεγάλαις δωρεαῖς καὶ ὑποσχέσεσι πείθει ἑκοντὶ περιπεσεῖν τοῖς βαρβάροις· καὶ δίδωσιν αὐτῷ πρὸς Πρίσκον γράμματα περιέχοντα τάδε· "τῷ ἐνδοξοτάτῳ στρατηγῷ Πρίσκῳ. τὴν ἀλιτηρίαν τῶν βαρβάρων ἐγχείρησιν μὴ δειλιάσῃς· πρὸς γὰρ ἀπώλειαν αὐτῶν τοῦτο γέγονεν. γίνωσκε γὰρ ὅτι μετὰ πολλῆς αἰσχύνης ἔχει ὁ Χαγάνος ὑποστρέψαι εἰς τὴν ἀφιερωθεῖσαν αὐτῷ ὑπὸ Ῥωμαίων χώραν. διὰ τοῦτο καρτερήσῃ ἡ σὴ ἐνδοξότης ἐν Τζουρουλῷ περιρέμβων αὐτούς. πέμπομεν γὰρ διὰ θαλάσσης πλοῖα καὶ αἰχμαλωτίζομεν τὰς φαμιλίας αὐτῶν. καὶ ἀναγκάζεται μετὰ αἰσχύνης καὶ ζημίας εἰς τὰ ἴδια ὑποστρέψαι." ὁ δὲ Χαγάνος κρατήσας τὰ γράμματα καὶ ἀναγνοὺς γίνεται περιδεής.
417 B καὶ συνθήκας πρὸς τὸν Πρίσκον διαθέμενος καὶ εἰρηνεύσας ἐπὶ δώροις ὀλίγοις καὶ ἀναξιολόγοις εἰς τὴν ἑαυτοῦ ἐπανέξευξε γῆν μετὰ φυγῆς κραταιᾶς. ‖

591/2 A. M. 6085 Ἱεροσολύμων ἐπίσκοπος Ἀμὼς ἔτη ἡ'.
ια'. ε'. ιβ'. α'. ιδ'. κγ'.

228 P
Th. S. 251, 1 ‖ Τούτῳ τῷ ἔτει ὁ αὐτοκράτωρ Μαυρίκιος τὸν Πρίσκον σὺν πάσαις ταῖς Ῥωμαϊκαῖς δυνάμεσιν ἐπὶ τὸν Ἴστρον ποταμὸν ἔπεμψεν,
Th. S. 251, 15 ὥστε τὰ Σκλαυινῶν ἔθνη διαπερᾶσαι κωλύσῃ. ‖ τούτου δὲ ἐλθόντος ἐπὶ τὸν Δορόστολον, ὁ Χαγάνος μαθὼν πρέσβεις ἐξέπεμψε πρὸς
Th. S. 253, 1 αὐτόν, καὶ κατηγιᾶτο Ῥωμαίους ἔναρξιν τῷ πολέμῳ διδόντας. ‖ ὁ δὲ Πρίσκος ἀπελογεῖτο, ὅτι "οὐ πρὸς Ἀβάρους τὸν πόλεμον ποιῆσαι παραγέγονα, ἀλλὰ πρὸς τὰ Σκλαυινῶν ἔθνη ὑπὸ τοῦ αὐτοκράτορος ἀπεστάλην." ἀκηκοὼς δὲ ὁ Πρίσκος, ὅτι Ἀρδάγαστος τὰ πλήθη τῶν Σκλαυινῶν πρὸς τὸ πραιδεύειν διεσκόρπισεν, διαπεράσας τὸν Ἴστρον

---

1 ἐπὶ] ἕως em. — Πήρινθον hy. — μηδέ] μή y. — φέρων] θέλων x om. g nec — ferre — valens A (φέρειν οὐκ ἔχων Th. S.). — 2 Τζουρουλόν h Τζούρουλον d Τζούρουλλον em Τζουροῦλλον c Τζουρουλλόν fg Tzurulum A. — τό om. z. — 4 δράσαι fhm δράσοι g. — εὐβουλίᾳ Goar. A ἀβουλίᾳ codd. corr. in fm. — 5 infinitam barbarorum virtutem A. — ἐκσκουβητόρων x ἐκσουβιτόρων f ἐξκουβιτόρων g. — 6 πείθειν y. — 7 περιέχοντα δὲ e ἔχον τάδε m. — 8 ἀλητηρίαν gy ἀλιτήριον d. — 9 δειλιάσας g. — 10 ἔχει — ὑποστρέψαι] ὑποστρέψει h revertetur A. — 11 καρτερήσει cg. — 12 Τζουρουλῷ dh Τζουρούλῳ y Τζουρουλω sine acc. c Τζουρουλλῷ g. — αὐτόν c. — 13 τὰς φαμ. αὐτῶν] αὐτούς g. — φαμηλίας ehmx φαμελίας f. — 16 ἐπὶ ὀλίγοις δώροις x. — 17 ἀξιολόγοις c. — 19 Ἀμῶς yz. — 21 τὸν Πρίσκον om. gy. — 21. 22 συμπάσαις h. — 23 Σκλαβίνων g item v. v. 27, 29, et ubique fere in sqq. — 24 τὸ Δ. x (τήν Th. S.). — Δωρόστολον gx. — 25 κατηᾶτο y. — 26 ὅτι — 28 ὁ Πρίσκος om. y. — 26 τοὺς Ἀβάρους h τοὺς βαρβάρους g βαρβάρους (om. τούς) x barbaros A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεσούσης νυκτὸς ἀδοκήτως τῷ Ἀρδαγάστῳ συνέμιξεν. ὁ δὲ Ἀρδάγαστος τοῦ κινδύνου αἰσθόμενος ἵππου τε γυμνοῦ ἐπιβὰς μόλις διασώζεται. οἱ δὲ Ῥωμαῖοι ἀνελόντες πλήθη Σκλαυινῶν καὶ τὴν περὶ τὸν Ἀρδάγαστον διατεμόντες χώραν αἰχμαλωσίας τε κρατήσαν-
5 τες ‖ πολλοὺς εἰς τὸ Βυζάντιον ἔπεμπον διὰ Τατίμερος. ὁ δὲ Τατίμερ Th. S. 256, 1
ἐκλύτως τὴν πορείαν ποιούμενος καὶ εἰς μέθην καὶ τρυφὴν ἐπιδιδοὺς 418 B
ἠμέλει. καὶ τῇ τρίτῃ ἡμέρᾳ πλήθη Σκλαυινῶν ἐπιτίθενται αὐτῷ· καὶ δειλίᾳ συσχεθείς, φεύγων εἰς τὸ Βυζάντιον ἦκεν. οἱ δὲ σὺν αὐτῷ Ῥωμαῖοι ἐγκρατῶς τοῖς Σκλαυινοῖς μαχησάμενοι κρατοῦσι τῶν
10 βαρβάρων παραδόξως καὶ εἰς τὸ Βυζάντιον τὴν αἰχμαλωσίαν τῷ βασιλεῖ ἀποσώζουσιν· ὁ δὲ αὐτοκράτωρ εὐφρανθεὶς εὐχαριστηρίους ὕμνους μετὰ πάσης τῆς πόλεως τῷ θεῷ προσέφερεν. ὁ δὲ Πρίσκος θαρρήσας εἰς τὰ ἐσώτερα μέρη τῶν Σκλαυινῶν ἐχώρει. ‖ Γήπαις δὲ Th. S. 257, 14
ἀνὴρ τῆς θρησκείας τῶν Χριστιανῶν ὑπάρχων αὐτομολεῖ πρὸς Ῥω-
15 μαίους καὶ τὴν εἴσοδον τοῖς Ῥωμαίοις ὑπέδειξεν· καὶ τῶν βαρβάρων ἐκράτησαν· ἔφησε δὲ καὶ Μουσούκιον, τὸν ῥῆγα τῶν βαρβάρων, ἀπὸ τριάκοντα σημείων διάγειν. ‖ προδοσίᾳ δὲ τοῦ Γήπαιδος διαβὰς τὸν Th. S. 259, 19
ποταμὸν ὁ Πρίσκος μεσούσης νυκτὸς εὑρίσκει τὸν Μουσούκιον διεφθαρμένον τῇ μέθῃ· ἐπιτάφιον γὰρ ἑορτὴν τοῦ ἰδίου ἀδελφοῦ
20 ἑώρταζεν· καὶ τοῦτον συλλαβόμενος ζῶντα φόνου πολὺν ἐν τοῖς βαρβάροις εἰργάσατο. πολλῆς δὲ αἰχμαλωσίας κρατήσαντες τρυφῇ καὶ μέθῃ ἑαυτοὺς ἐκδεδώκασιν. συναθροισθέντες δὲ οἱ βάρβαροι τοῖς νενικηκόσιν ἐφίστανται· καὶ ἦν ἂν ἡ ἀντίδοσις χαλεπωτέρα τῆς 229 P
προϋπαρξάσης ἀνδραγαθίας, εἰ μὴ ὁ Γένζων μετὰ τῆς πεζικῆς δυ- 419 B
25 νάμεως τῶν Ῥωμαίων ἐπιστὰς μάχῃ κραταιᾷ διεκώλυσε τὰς ὁρμὰς τῶν βαρβάρων. ὁ δὲ Πρίσκος τοὺς τὴν φρουρὰν αὐτῷ πεπιστευμένους ἀνεσκολόπισεν. ‖

Τῷ δ' αὐτῷ χρόνῳ καὶ Παῦλος, ὁ τοῦ βασιλέως πατήρ, ἐτελεύτησεν ἐν Κωνσταντινουπόλει καὶ ἐτάφη ἐν τοῖς βασιλικοῖς μνήμα-
30 σιν· ὁμοίως καὶ Ἀναστασία ἡ αὐγούστα, ἡ πενθερὰ Μαυρικίου, γυνὴ δὲ Τιβερίου τοῦ βασιλέως, καὶ αὐτὴ ἐτάφη μετὰ Τιβερίου, τοῦ ἀνδρὸς αὐτῆς.

---

1 τῆς νυκτός hy. — Ἀρδάγας em. — 5 πολλῆς *vertit* A. — τὸ *om.* by. — διὰ Τατήμερος hx διὰ Τήμερος y διαιτίμερος g (Τατίμερ Th. S.). — Τατίμερ g Τατήμερ hx Τάτητως y. — 7 τρίτῃ] ἕκτῃ Th. S. — 8 τὸ *om.* cy. — 10 παραδόξως] gloriosissime A. — εἰς τὸ Βυζ. *non vertit* A. — τῷ βασιλεῖ *om.* y. — 11 εὐχαριστηρίοις ὕμνοις cg. — 12 τῇ θεοτόκῳ m. — προσέφερον c. — 13 ἐσσώτερα f. — 14 θρακείας e. — 16 ἐκράτησαν xz ἐκράτησεν y tenuit A. — Μουσούγιον g Μουσοῦκον d (Μουσώκιον Th. S.). — ῥήγα dfh. — 18 τῆς νυκτός dfh. — Μουσούγιον g Musacium A. — 20 ἑόρταζεν xy. — φόβου h. — 22 ἑαυτοῖς g. — 23 ἀντίδρασις g. — 25 διέλυσε g. — 28 τῷ δ' αὐτῷ — 32 αὐτῆς *om.* dA. — 30 ἡ αὐτοῦ αὐγ. f. — αὐγοῦστα g *sine acc.* f. — 31 αὐτῇ em αὕτη c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

592/3. A. M. 6086	*Κόσμου*	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*
	ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*
	ϛπϛ'.	*ἔτη φπϛ'.*	*Μαυρίκιος*	*Χοσρόης*
			ἔτη κ'.	*ἔτη λθ'.*
			ιβ'.	*ϛ'.*
	Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
	ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
	Ἰωάννης	*Ἀμὼς*	*Εὐλόγιος*	*Γρηγόριος*
	ἔτη ιγ'.	*ἔτη η'.*	*ἔτη κζ'.*	*ἔτη κδ'.*
	ιγ'.	*β'.*	*ιε'.*	*κδ'.*

Th. S. 260, 11 ‖ *Τούτῳ τῷ ἔτει τοῦ Πρίσκου πάλιν τὸν Ἴστρον καταλαβόντος καὶ τὰ Σκλαυινῶν ἔθνη πραιδεύσαντος καὶ πολλὴν αἰχμαλωσίαν τῷ βασιλεῖ ἀναπέμψαντος, ὁ βασιλεὺς τὸν Τατίμερα ἀποστείλας πρὸς Πρίσκον παρακελεύεται αὐτόθι τὸν χειμῶνα διατρῖψαι τοὺς Ῥωμαίους καιρόν. οἱ δὲ Ῥωμαῖοι τοῦτο μεμαθηκότες ἀντέλεγον, ὡς οὐκ ἐν-*
420 B *κέλευσιν πληρῶσαι.* ‖ *ὁ δὲ βασιλεὺς Μαυρίκιος ταῦτα ἀκηκοὼς Φιλιππικόν, τὸν ἴδιον γαμβρόν, τὸν τῆς ἀνατολῆς στρατηγόν, ἐποίησε κόμητα τῶν ἐκσκουβιτόρων θαρρῶν αὐτῷ, ὡς τὴν αὐτοῦ ἀδελφὴν αὐτῷ ζεύξας. ὁ δὲ Φιλιππικὸς ἤρξατο κτίζειν ἐν Χρυσοπόλει τὴν μονὴν τῆς παναγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ παλάτιον ἐν αὐτῇ ὀφεῖλον ὑποδέχεσθαι Μαυρίκιον τὸν βασιλέα καὶ τὰ τέκνα αὐτοῦ, ποιήσας ἰχθυοτροφεῖα καὶ παραδείσια ἔνδοθεν [ἔσω] εἰς τὴν θερα-*
πείαν αὐτοῦ, καὶ ἐν Κωνσταντινουπόλει τὴν οἰκίαν τὴν ἐπιλεγομένην τὰ Φιλιππικοῦ.

593/4. A. M. 6087 *Κωνσταντινουπόλεως ἐπίσκοπος Κυριακὸς ἔτη ια'.*
Ἀντιοχείας ἐπίσκοπος Ἀναστάσιος ⟨πάλιν⟩ ἔτη ϛ'.
ιγ'. ζ'. α'. γ'. ιϛ'. α'.

Th. S. 263, 18 ‖ *Τούτῳ τῷ ἔτει εἰς τὰ τοῦ Βυζαντίου προάστεια τίκτονται τέρατα, παιδίον τετράπουν, καὶ ἄλλο δικόρυφον. λέγουσι δὲ οἱ τὰς*
230 P *ἱστορίας ἐπιμελῶς ἐγγράφοντες μὴ σημαίνειν ἀγαθὰ ταῖς πόλεσιν,*

6[1] *Κωνσταντινουπόλεως ἐπίσκοπος Εὐλόγιος ἔτη κζ' ιε'* (*omissis Hierosol. et Alexandr. episcopis*) h. — 8[2] *Ἀμῶς* fgm *sine acc.* e. — 9[4] *ἔτη κη'* f. — 11 *Ἴστρον* z. — 13 *ἀναπέμψοντος* d. — *Τατήμερα* ch. — 14 *χειμῶνος* Goar. — 15 *μαθόντες* g. — 17 *ὑπομεῖναι* h. — *καὶ τὰ ψύχη om.* y. — 18 *πειθανοῖς* hy. — *αὐτοῖς* g. — *ἐκεῖσε* yz. — 18 *καὶ* — 19 *πληρῶσαι om.* h. — 21 *ἐκσκουβητόρων* hx *ἐκσουβιτόρων* f *ἐξκουβιτώρων* g. — 22 *ζεύξας αὐτῷ* z *αὐτῷ ἔζευξεν* y. — 23 *ἡμῶν δεσποίνης* g. — 23. 24 *ἐν αὐτῇ ἐν ᾧ ὀφ.* h. — 24 *ὀφείλων* dg. — 25 *ποιήσας* — 26 *αὐτοῦ om.* h. — 25 *ἰχθυτροφεῖα* (*-φία* em) gy. — *ἔνδοθεν ἔσω* cgx *ἔσωθεν* (*ἔσοθεν* em) *ἔσω* y *ἔσω uncis incl.* Classen. — 29 *πάλιν add. ex* A *om. codd.* — *v.* 30 *om.* f. — 30 *ιϛ'*] *ιβ' codd.* — *Gregorium papam Romanum ad hunc annum adnotat* A. — 32 *δύο κορυφῶν* y. — 33 *ἐπιμελῶς om.* x. — *γράφοντες* x *συγγράφοντες cum* Th. S.? — *προσημαίνειν* Georg. Mon. p. 555.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν αἷς ἂν τεχθῶσι τὰ τοιαῦτα. ὁ δὲ βασιλεὺς τὸν Πρίσκον τῆς στρατηγίας ἀποπαύει, Πέτρον δέ, τὸν ἑαυτοῦ ἀδελφόν, στρατηγὸν τῆς δυνάμεως ποιεῖται Ῥωμαίων. ὁ μὲν οὖν Πρίσκος τὰς δυνάμεις ἀράμενος πρὶν ἢ τὸν Πέτρον φθάσαι διαπερᾷ τὸν ποταμόν· ὁ δὲ Χαγάνος τὴν μετάβασιν τοῦ Ῥωμαϊκοῦ λαοῦ ἀκηκοὼς λίαν ἐθαύμαζε καὶ πρὸς τὸν Πρίσκον ἀπέστειλεν, μαθεῖν τὴν αἰτίαν ἐπιζητῶν καὶ μοῖραν λαβεῖν τῆς πραίδας καὶ οὕτω τὸν ποταμὸν διανήξασθαι. λίαν γὰρ ἐχαλέπαινεν ἐπὶ τοῖς εὐτυχήμασι τῶν Ῥωμαίων. ‖ πέμπει τοίνυν ὁ Πρίσκος περὶ τούτων πρὸς τὸν Χαγάνον πρέσβιν Θεόδωρον τὸν ἰατρὸν ἀγχινοίᾳ καὶ συνέσει κεκοσμημένον. οὗτος ἑωρακὼς τὸν Χαγάνον μέγα φρονοῦντα καὶ τὰς ἀποκρίσεις ἀλαζονικώτερον ποιούμενον (ἠπείλει γὰρ πάντων τῶν ἐθνῶν αὐτὸν εἶναι κύριον) διηγήματι παλαιῷ τὸν βαρβαρικὸν κατεπράϋνε τῦφον. ἔφασκε γάρ· "ἄκουσον, Χαγάνε, ἐπωφελοῦς διηγήματος. Σεσῶστρις, ὁ τῶν Αἰγυπτίων βασιλεύς, περιφανής τε καὶ λίαν εὐδαίμων, τῷ πλούτῳ λαμπρὸς καὶ ταῖς δυνάμεσιν ἀκαταμάχητος, πλεῖστα καὶ μεγάλα ἐδουλώσατο ἔθνη· ἐντεῦθεν εἰς ἀλαζονείαν περιπεσών, χρυσοκόλλητον ὄχημα ἐκ λίθων τιμίων κατασκευάσας ἐπικάθηται τούτῳ καὶ ὑποβάλλει τῷ ζυγῷ τῶν ἡττηθέντων βασιλέων τέσσαρας ἕλκειν τὸ ὄχημα. τούτου δὲ γινομένου ἐν ἐπισήμῳ ἑορτῇ, εἷς τῶν τεσσάρων βασιλέων συχνῶς τὸ ὄμμα ἐπέστρεφεν εἰς τοὐπίσω καὶ τὸν τροχὸν ἑώρα κυλιόμενον· τῷ δὲ Σεσώστρει ἐπερωτῶντι, "διὰ τί ὄπισθεν ἐπιστηρίζεις τὰ ὄμματα;" τοῦτον εἰπεῖν· "τὸν τροχὸν θαυμάζω ἀστατοῦντα καὶ ἄλλοτε ἄλλως κινούμενον, καὶ ποτὲ μὲν τὰ ὑψηλὰ ταπεινοῦντα, αὖθις δὲ τὰ ταπεινὰ ἀνυψοῦντα." τὸν δὲ Σεσῶστριν συνετῶς τὴν παραβολὴν ἐπισκέψαντα νομοθετῆσαι τὸ μηκέτι τοὺς βασιλεῖς ἕλκειν τὸ ὄχημα." ὁ δὲ Χαγάνος ταῦτα ἀκηκοὼς καὶ ὑπογελάσας ἔφησε τὴν εἰρήνην ἄγειν, τῇ δὲ προαιρέσει Πρίσκου, εἴ τι ἂν θέλῃ τῶν λαφύρων τὸν Χαγάνον τιμῆσαι. ὁ δὲ Πρίσκος τὴν αἰχμαλωσίαν ἀπέδωκε

cf. Nicoph. H. eccl. XVIII, 29

421 B

Th. S. 264, 16

422 B

---

1 ἐν οἷς em. — ἂν om. z. — 4 διεπέρα g. — 7 Χαγάνου δ' ἐμποδὼν γινομένου Πρίσκῳ τὸν ποταμὸν διανήξεσθαι Niceph. — οὗτος y. — 10 πρέσβιν Th. S. πρέσβην c legatum A πρέσβεις d πρεσβείαν yz. — 12 τῶν om. f. — 14 παλαιοῦ καὶ ἐπωφελοῦς Niceph. παλαιοῦ καὶ λίαν σοφοῦ Th. S. *Qua re παλαιοῦ καὶ inserendum videtur.* — Σεσώστρις c Σέσωστρις g Σεσώστρης d Σεσόστρης y Σεσόπτρης h. — 17 ἔθνη ἐδουλώσατο h. — 18 τοῦτο y. — 19 τεσσάρων h. — 20 γενομένου d. — ἑορτῇ Th. S. festivitate A ἐν ἐπισήμῳ μιᾷ ἑορτῆς ἡμέρᾳ Niceph. ἑστῶτι codd. ἑστιάσει? — 21 τὸ ἅρμα h. — εἰς τὰ ὀπίσω f. — 22 τῷ δὲ Σεσώστρει (Σεσωστρει sine acc. c Σεσῶστρι h Σεσώστρῃ d Σέσωστρι g) ἐπερωτῶντι xz τὸν δὲ Σεσώστρην (Σέσωστρην f) ἐπερωτῶντα y. — ἐπιστηρίζεις Th. S. A ἐπιστηρίζει codd. — 24. 25 αὖθις τά efh ποτὲ δ' αὖθις τά m. — 25 Σεσώστριν c Σεσώστρην dy Σέσωστριν g Σεσόστριν h. — τὴν παραβολὴν ἐπισκ. xA τὴν ἀκοὴν ἐπισκ. y τὴν παραβολὴν ἀκοὴν ἐπισκ. h τὴν παραβολὴν τῇ ἀκοῇ ἐπισκ. g. — 26 τὸ] τοῦ y. — 27 ἀκούσας ταῦτα x. — 28 εἴ τι] ὅτι d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ Χαγάνῳ ὑπὲρ τῆς διαβάσεως. τὰ δὲ λάφυρα πάντα λαβὼν ἀκινδύνως τὸν ποταμὸν διεπέρασεν. ὁ δὲ Χαγάνος ταῦτα δεξάμενος ἥσθη μεγάλως· καὶ ὁ Πρίσκος εἰς Βυζάντιον ἦκεν. ὁ δὲ Πέτρος τὴν στρατηγίαν παρέλαβεν. ‖

594/5 A. M. 6088 ιδ'. η'. β'. δ'. ιζ'. β'.

Th. S. 270, 1 231 P ‖ Τούτῳ τῷ ἔτει ἐκέλευσεν ὁ βασιλεὺς Πέτρῳ τῷ στρατηγῷ, ὥστε τὴν τρίτην μοῖραν τῆς ῥόγας διὰ χρυσοῦ τοὺς Ῥωμαίους λαβεῖν, καὶ τὴν τρίτην δι' ὅπλων, τὴν δὲ ἑτέραν τρίτην δι' ἐσθῆτος παντοίας. οἱ τοίνυν Ῥωμαῖοι τοῦτο ἀκηκοότες πρὸς τυραννίδα ἐτρέποντο. ὁ δὲ στρατηγὸς φοβηθεὶς τοῖς στρατοπέδοις ἀπελογεῖτο, ὡς οὐκ ἀληθὲς τοῦτό ἐστιν. καὶ ἐπεδείκνυε τῷ στρατῷ ἕτερα γράμματα παρακελευόμενα αὐτῷ, ὥστε τοὺς ἀριστεύσαντας καὶ ἐκ τῶν κινδύνων διασωθέντας ἐν ταῖς πόλεσιν ἀναπαύεσθαι καὶ γηροτροφεῖσθαι
423 B ἐκ τῶν δημοσίων, τοὺς δὲ παῖδας τῶν στρατιωτῶν εἰς τοὺς τόπους τῶν οἰκείων γονέων ἐγγράφεσθαι· καὶ ταύτῃ τῇ πιθανότητι τὸν λαὸν
Th. S. 271, 21 κατεπράϋνεν, καὶ τὸν καίσαρα ἀνευφήμησαν. ‖ ταῦτα δὲ ὁ Πέτρος τῷ βασιλεῖ κατεμήνυσεν. ἐλθὼν δὲ ἐπὶ Μαρκιανούπολιν ἀποστέλλει χιλίους προτρέχειν. οὗτοι περιτυχόντες Σκλαυινοῖς ἐπιφερομένοις Ῥωμαϊκὴν λεηλασίαν πολλὴν τούτους τρέπονται· οἱ δὲ βάρβαροι τὴν αἰχμαλωσίαν ἀποσφάξαντες ..... καὶ αἰχμαλωσίας πολλῆς κρατήσαντες ἐπὶ τὰ Ῥωμαϊκὰ ὑπέστρεψαν. ‖

Τῷ δ' αὐτῷ ἔτει ἔκτισεν ὁ βασιλεὺς τὸ ἡλιακὸν τῆς Μαγναύρας τὸ στρογγύλον· καὶ ἔστησεν ἐν τῷ μεσιαύλῳ τὴν ἰδίαν στήλην, καὶ ἀπέθετο ἐκεῖ τὸ ἀρμαμέντον.

595/6 A. M. 6089 ιε'. θ'. γ'. ε'. ιή'. γ'.

Th. S. 273, 5 ‖ Τούτῳ τῷ ἔτει Πέτρου τοῦ στρατηγοῦ κυνηγοῦντος, καὶ ὗς ἀγρίου αὐτῷ συναντήσαντος, τὸν πόδα τούτου ἐν δένδρῳ ἐξέθλιψεν, καὶ ἀφορήτοις ὀδύναις χρόνῳ πολλῷ ἐνοσιλεύετο. ὁ δὲ αὐτοκράτωρ γράμμασιν αἰσχίστοις καὶ ὀνειδισμοῖς ἀφορήτοις αὐτὸν περιέβαλεν
Th. S. 273, 25 ἀκούων Σκλαυινὰ ἔθνη κατὰ τοῦ Βυζαντίου κινεῖσθαι. ‖ ὁ δὲ Πέ-
Th. S. 274, 19 424 B τρος βιασάμενος εἰς Νόβας παρεγένετο. ‖ οἱ δὲ τῆς πόλεως ἐπίσημοι στρατιῶται ἅμα τῷ ἐπισκόπῳ τῷ στρατηγῷ ὑπήντων· οὓς ἰδὼν ὁ

---

4 στρατείαν h. — 8 δι' om. g. — 11 ἐπεδείκνυ d. — 13 διαναπαύεσθαι καὶ εὐτροφεῖσθαι z. — 14 δέ om. g. — 15 πειθανότητι dyz. — 16 εὐφήμησαν df ἀνεφήμησαν gm. — 19 τούτοις dem. — τρέπουσι xz. — 20 ἀποσφάξαντες ἔφυγον, ὀλίγους δὲ καὶ οἱ Ῥωμαῖοι κρατήσαντες m *manu corr.* *Eadem fere* Cedrenus *p.* 698, 19. *Equidem post* ἀποσφάξαντες *totum enuntiatum, in* ἀποσφάξαντες *et ipsum desinens, intercidisse puto.* — 22 ὁ βασ. Μαυρίκιος d. — 23 τὸ στρογγύλον om. g. — μεσιάβλῳ em. — 24 ἁρμάμεντον f ἁρμαμέντον hm. — 26 ὕεως yz. — 27 ἐν om. h. — 29 περιέβαλλεν z προέβαλεν m. — 31 Νοβάς h Νοβᾶς d Νοβας *sine acc.* c Νομάς g. — Hi vero qui erant de civitate una cum ignobilibus et episcopo A. — 32 ὑπήντουν *codd. praeter* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στρατηγὸς καὶ θαυμάσας τήν τε ἐξόπλισιν καὶ ἀνδρείαν αὐτῶν κελεύει καταλιπόντας τὸ ἄστυ τῇ Ῥωμαϊκῇ πληθύϊ συναναμίγνυσθαι· οἱ δὲ στρατιῶται ἐπὶ φρουρᾷ τῆς πόλεως συντεταγμένοι οὐκ ἐπείθοντο τοῦτο ποιῆσαι. θυμωθεὶς δὲ ὁ στρατηγὸς ἀπέστειλε Γένζωνα μετὰ πλήθους στρατιωτῶν. οἱ δὲ μαθόντες ἔφυγον εἰς τὴν ἐκκλησίαν καὶ τὰς θύρας τοῦ ναοῦ κλείσαντες ἐκάθηντο ἔνδον. ὁ δὲ Γένζων τῇ αἰδοῖ τοῦ ναοῦ ἄπρακτος διέμεινεν· Πέτρος δὲ ὀργισθεὶς ἀποχειροτονεῖ τὸν Γένζωνα τῆς στρατηγίας καὶ ἐκπέμπει σκρίβωνα ἠτιμωμένως τὸν ἐπίσκοπον πρὸς αὐτὸν ἀγαγεῖν. οἱ δὲ τῆς πόλεως πανοικεὶ συναχθέντες ἀτίμως τὸν σκρίβωνα τῆς πόλεως ἀπελαύνουσιν· καὶ τὰς πύλας τῆς πόλεως κλείσαντες τὸν μὲν Μαυρίκιον βασιλέα εὐφήμουν, τὸν δὲ στρατηγὸν ὕβρεσι περιέβαλλον· καὶ οὕτως ἀτίμως ὁ Πέτρος ἐκεῖθεν ἀνεχώρησεν. ‖ προπέμπει δὲ χιλίους ἐπὶ κατασκοπῇ· οἱ δὲ περιτυγχάνουσι Βουλγάροις χιλίοις τὸν ἀριθμόν. οἱ δὲ Βούλγαροι θαρροῦντες τῇ εἰρήνῃ τοῦ Χαγάνου ἀμερίμνως ἐβάδιζον· οἱ δὲ Ῥωμαῖοι πρὸς τοὺς Βουλγάρους τὰς ὁρμὰς ἐποιοῦντο. οἱ δὲ Βούλγαροι ἀποστέλλουσιν ἄνδρας ἑπτὰ παραινοῦντες μὴ παραλῦσαι τὴν εἰρήνην. τούτων ἀκούσαντες οἱ προτρέχοντες μηνύουσι τῷ στρατηγῷ ταῦτα. ὁ δὲ στρατηγὸς ἔφη· "οὐδὲ εἰ ὁ αὐτοκράτωρ παρέλθῃ, τούτων φείσομαι." συμβολῆς δὲ πολέμου γενομένης, τρέπονται Ῥωμαῖοι. οἱ δὲ βάρβαροι οὐκ ἐδίωξαν αὐτούς, ἵνα μὴ νικῶντες κινδύνῳ περιπέσωσιν. ὁ δὲ στρατηγὸς τὸν ταξίαρχον τῶν προτρεχόντων χαλεπῶς ἐμαστίγωσεν. τοῦτο μαθὼν ὁ Χαγάνος πρέσβεις πρὸς τὸν Πέτρον ἐξέπεμψε τὴν ἔναρξιν αἰτιώμενος, καὶ ὡς Ῥωμαῖοι ἄνευ δικαίας αἰτίας τὴν εἰρήνην διέλυσαν. ὁ δὲ Πέτρος ἀπατηλοῖς λόγοις χρησάμενος μὴ εἰδέναι τὴν κίνησιν διϊσχυρίζετο, διπλασίονα δὲ διδόναι τὰ σκῦλα ἅπαντα· καὶ οὕτως ἐν μοίραις δύο οἱ βάρβαροι τὰ ἀπολωλότα σκῦλα ἀναλαβόντες στέγουσι τὴν εἰρήνην. ‖ ὁ δὲ Πέτρος κατὰ Πηραγάστου, τοῦ ἐξάρχου τῶν Σκλαυινῶν, χωρεῖ, οἱ δὲ βάρβαροι περὶ τὴν ὄχθαν τοῦ ποταμοῦ τούτοις ὑπαντήσαντες διεκώλυον τοῦ περᾶσαι. οἱ δὲ Ῥωμαῖοι ἀπὸ τῶν πορθμίων τοξεύοντες τούτους ἀπέστρεψαν· καὶ τραπέντων αὐτῶν, πλήττεται κατὰ

232 P

Th. S. 276, 5

425 B

Th. S. 277, 24

---

2 καταλιπόντα y. — 4 Γένζονα hy. — 6 ἐκάθηντο ἔνδον om. y. — 7 τῇ (τὴν em) αἰδῶ codd. — 8 Γέντζονα y Γένζονα h. — 10 πανοικί dz. — συνηγμένοι x. — 12 περιέβαλον hy. — οὕτως] αὐτός cy. — 13 ἐκεῖθεν ὁ Πέτρος g. — 14 Βούλγαροι] Βούλγαροις ut vid. e Βουλγάροις ut vid. f Βούλγαρεις z. — 16 ὁρμάς] τομάς g. — 17 Βούλγαρεις z Βούλγαροι e sed εις pr. m. spr. οι sprscr. Βούλγαροι f sed οι sec. m. in lit. — ἄνδρας om. f. — 18. 19 τὸν στρατηγόν g. — 20 παρελύθῃ h. — τούτοις codd. huic A. — 21 οἱ Ῥωμ. dg. — 27 διπλασίονα g. — οὕτως om. f. — 29 Πηραγάστου et p. 286, 1 Πηράγαστος] Peragastus A utroque loco. Πειράγαστος Th. S. Πηρεγάστου et Πηρέγαστος codd. — 30 ὄχθαν yz ὄχθην x cf. p. 276, 34. — τούτοις] huic A. — ἀπαντήσαντες c. — 32 ὑπέστρεψαν h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς λαγόνος ὁ Πηράγαστος καὶ θνήσκει. περάσαντες δὲ οἱ Ῥωμαῖοι
Th. S. 278, 24 αἰχμαλωσίᾳ πολλῇ ἐκράτησαν καὶ εἰς τὰ ἴδια ἐπανέξευξαν. ‖ πλα-
426 B νηθέντων δὲ τῶν ὁδηγῶν καὶ ἀνύδροις τόποις περιπεσόντων, ἐκιν-
δύνευε τὸ στρατόπεδον· βαδίσαντες τοίνυν διὰ τῆς νυκτὸς περι-
τυγχάνουσι τῷ Ἡλιβακίᾳ ποταμῷ. λόχμης δὲ εἰς τὸ ἀντιπέρα ὑπούσης
τῷ ποταμῷ, οἱ βάρβαροι ἐν ταύτῃ κρυπτόμενοι τοὺς ἀρυομένους τὸ
ὕδωρ ἐτόξευον· μεγάλης τοίνυν ἐπηρείας τοῖς Ῥωμαϊκοῖς γενομένης
στρατεύμασιν, πρὸς φυγὴν ἐχώρησαν καταπολεμηθέντες ὑπὸ τῶν
βαρβάρων. ὁ δὲ Μαυρίκιος ταῦτα ἀκηκοὼς τὸν Πέτρον τῆς στρα-
τηγίας ἀπέπαυσε καὶ τὸν Πρίσκον πάλιν στρατηγὸν τῆς Θρᾴκης
ἀπέστειλεν. ‖

596/7 A. M. 6090

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς
,ςϟ΄.	ἔτη φϟ΄.	Μαυρίκιος	Χοσρόης
		ἔτη κ΄.	ἔτη λϑ΄.
		ιϛ΄.	ι΄.
Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Κυριακὸς	Ἀμὼς	Εὐλόγιος	Ἀναστάσιος
ἔτη ια΄.	ἔτη η΄.	ἔτη κζ΄.	ἔτη ϛ΄.
δ΄.	ϛ΄.	ιϑ΄.	δ΄.

233 P
Th. S. 281, 17 ‖ Τούτῳ τῷ ἔτει Πρίσκος ὁ στρατηγὸς ἐξελθὼν ἐν τῇ Θρᾴκῃ
τὰς δυνάμεις ἠρίθμησε καὶ εὗρεν ὅτι πλῆθος πολὺ διεφθάρη ἐξ
αὐτῶν. τούτους δὲ ἀναλαβὼν παραγίνεται εἰς τὸν Ἴστρον ποταμὸν
εἰς Νόβας. ὁ δὲ Χαγάνος τοῦτο μαθὼν πρέσβεις ἐξέπεμψε τὴν
αἰτίαν πυνθανόμενος τῆς ἀφίξεως. ὁ δὲ Πρίσκος προεφασίσατο διὰ
κυνηγέσια ἐληλυθέναι. ὁ δὲ Χαγάνος, "οὐ δίκαιόν ἐστιν," φησίν,
"ἐν ἀλλοτρίῳ τόπῳ κυνηγεῖν·" ὁ δὲ Πρίσκος ἴδιον ἔλεγεν εἶναι τὸν
Th. S. 288, 17 τόπον καὶ τὴν ἐξ ἀνατολῆς ἀπόδρασιν τῷ Χαγάνῳ ὠνείδιζεν. ‖ ὁ δὲ
βάρβαρος τῆς Σιγγιδόνος τὸ τεῖχος κατέλυσεν, καὶ ἐπὶ τὴν τῶν
Ῥωμαίων γῆν ἐχώρει. τοῦτο μαθὼν Πρίσκος παραγίνεται εἰς τὴν
427 B νῆσον τοῦ Ἴστρου, καὶ παραλαβὼν δρόμωνας παραγίνεται πρὸς τὸν
Χαγάνον εἰς Κωνσταντίολα, θέλων αὐτῷ ὁμιλῆσαι. ἐλθόντι δὲ τῷ
Χαγάνῳ πρὸς τὴν ὄχθαν τοῦ ποταμοῦ ὁ Πρίσκος ἀπὸ τῆς νηὸς

---

3 καὶ (καὶ om. h) ἐν ἀνύδροις τόποις yz καὶ εἰς ἀνύδρους τόπους x *corr. vulg.* — περιπεσόντες yz. — 4 τοίνυν] δέ g. — 5 Ἡλιβακίᾳ Th. S. Heliciam A Ἡλιβακίᾳ f Ἰλβακίᾳ hmx *Ιλβακίᾳ sine spir.* e Ἰλβακίῳ g. — ἀντίπερα cyz ἀντίπεραν d. — 6 ἐν ταύτῃ] ἐνταῦθα x. — τοῖς ἀρυομένοις g. — 7 Ῥωμαϊκοῖς] Romaïcis A Ῥωμαίοις cyz Ῥωμαίων d. — γενομένη f γινομένης d γενομένοις cz. — 19[2] Ἀμῶς yz. — 21[1] Θ΄ c. — *Gregorii papae Romani nomen add.* A. — 22 ὁ om. z. — ἐξῆλθεν — καὶ τὰς δυν. g. — 24 τούτους οὖν d τοὺς δέ e. — τὸν ποταμόν c. — 25 Νοβάς *Νομάς* g. — ἐξέπεμψεν] ἀπέστειλεν x. — 29 ὑπόδρασιν h. — 31 χωρεῖ h. — ὁ Πρίσκος z. — 32 δρόμονας chy. — 33 *Κωνσταντίολα* hxy Th. S. *Κωνσταντίολαν* g Constantiolam A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διελέγετο. ὁ δὲ Χαγάνος ἔφη πρὸς αὐτόν· "τί σοι, Πρίσκε, καὶ τῇ γῇ τῇ ἐμῇ; καὶ ταύτην βούλει διὰ ψεύδους λαβεῖν ἐκ τῶν χειρῶν μου; κρινεῖ ὁ Θεὸς ἀναμέσον ἐμοῦ καὶ Μαυρικίου τοῦ βασιλέως. ἐκζητήσει τὸ αἷμα τοῦ στρατοῦ τῶν Ῥωμαίων καὶ τοῦ στρατοῦ τοῦ ἐμοῦ ἐκ τῶν χειρῶν αὐτοῦ." ὁ δὲ Πρίσκος ἔφη· ⟨"Σιγγιδόνα τὴν πόλιν ἀπόδος τοῖς Ῥωμαίοις" ὁ δὲ ἔφη⟩, "σὺ μίαν πόλιν ἐγχειρεῖς παρ' ἡμῶν λαβεῖν. ὄψει μετ' ὀλίγον πεντήκοντα πόλεις Ῥωμαϊκὰς δουλουμένας Ἀβάροις. ‖ ὁ δὲ Πρίσκος διὰ τοῦ ποταμοῦ τὰς ναῦς τῇ Th. S. 291, 1
Σιγγιδόνι παραστησάμενος ταύτην ἐπόρθησε καὶ τοὺς Βουλγάρους ἐξ αὐτῆς ἐξεδίωξε καὶ τὸ τεῖχος κτίζειν ἀπήρξατο. ὁ δὲ Χαγάνος ἀγγέλους πρὸς αὐτὸν ἀπέστειλε καὶ τοὺς ψευδωνύμους ἑαυτοῦ Θεοὺς διεμαρτύρατο καταιτιώμενος τῶν γινομένων τὸν Πρίσκον. ‖ χειμῶνος δὲ καταλαβόντος, ἑκάτεροι εἰς τὰ ἴδια ὑπεχώρησαν.

Τῷ δ' αὐτῷ ἔτει Πέτρος, ὁ ἀδελφὸς Μαυρικίου, ἔκτισε τὴν ἐκκλησίαν τῆς ἁγίας Θεοτόκου τῶν Ἀρεοβίνδου κοσμήσας αὐτὴν ἐκ διαφόρων μαρμάρων· ὁμοίως καὶ Κυριακὸς ὁ πατριάρχης τὰ Διακονίσσης τὴν ἐκκλησίαν τῆς ἁγίας Θεοτόκου. 428 B

ιξ'. ια'. ε'. ζ'. κ'. ε'. A. M. 6091 597/8.

‖ Τούτῳ τῷ ἔτει συναθροίσας ὁ Χαγάνος τὰς περὶ αὐτὸν δυ- Th. S. 291, 14
νάμεις ἐπὶ τὴν Δαλματίαν ἐχώρησε καὶ καταλαβὼν τὴν Βάλκης καὶ τὰς περὶ αὐτὴν μ' πόλεις πάσας ἐπόρθησεν. ὁ δὲ Πρίσκος ταῦτα μεμαθηκὼς Γουδούην ἐπὶ κατασκοπῇ τῶν πραττομένων ἀπέστειλεν· καὶ καταλαβὼν τοὺς βαρβάρους διὰ δυσβάτων χωρίων τὴν βάδισιν ποιούμενος, ‖ περιτυγχάνει δύο βαρβάροις τῷ οἴνῳ κεκαρωμένοις· Th. S. 292, 10
καὶ τούτους διηρώτα ὁ Γουδούης τὰ τῶν βαρβάρων κινήματα. οἱ δὲ ἔφασαν δισχιλίοις ὁπλίταις τὴν αἰχμαλωσίαν τὸν Χαγάνον παραδεδωκέναι καὶ πρὸς τὰ οἰκεῖα ἀποστεῖλαι. ταῦτα ὁ Γουδούης μεμαθηκὼς κρύπτεται ἐν μικρᾷ φάραγγι, καὶ ἐξ ἑωθινοῦ ἐπὶ τὰ νῶτα 234 P
τούτων γενόμενος ἀθρόως πάντας ἀνεῖλεν· καὶ τὴν αἰχμαλωσίαν λαβὼν πρὸς τὸν Πρίσκον ἤγαγεν. ὁ δὲ Χαγάνος τὰ τῆς ἀποτυχίας

1 καὶ τῇ γῇ mA Th. S. καὶ *om. rell.* — 2 βούλη y. — 3 κρίνει xz. — τοῦ *om.* em. — 5 Σιγγιδόνα—6 ὁ δὲ ἔφη *add. ex* A *om. codd.* — 6 σύ] tu A οὐ *codd.* — πάλιν g. — 7 ὄψη y. — μετ' ὀλίγων y. — 8 δουλομένας em. — Ἀβάροις *scr. ex* A βαρβάροις *codd.* — 10 ἐπήρξατο h. — 11 πρὸς αὐτὸν ἀγγέλους g. — Θεοὺς ἑαυτοῦ h. — 12 διεμαρτύρετο gx. — 15 Ἀρεοβίνδου m *manu corr. cf.* Codin. de aedif. p. 92, 1. Zonaras XIV, 13. Niceph. XVIII, 42 Ἀρεοβίνδα d Ῥεοβίνδα z Ἀραβίνδα cy ὅτι ἐκτίσθη ταραβίνδου *mg.* f. — 16 διακονήσης h. — 17 ιξ'. ια'. ε'. ζ'. κ'. ζ' *codd.* — 20 Βάλβης g Balcam A (αἱ Βάγκεις Th. S.). — 21 πάσας] ταύτας x. — 22 Γουδούην] Γουδοῦιν Th. S. Gudohin A Γουνδούην hxy Γουγδούην g. — 23 βάδισιν g Th. S. βαδικήν chy πορείαν d. — 24 ποιούμενος cz ποιουμένους dy *cf.* Th. S. — δύο] τρεῖς Th. S. — βαρβάρους yz. — κεκαρωμένους fz. — 25 Γουνδούης xy Γουγδούης g Γουνδόης h *item v.* 27. — 26 ἔφησαν g. — δισχιλίους ὁπλίτας yz. — 30 πρὸς τὸν Πρ.—*p.* 278, 1 μαθὼν *om.* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μαθὼν εἰς τὴν ἑαυτοῦ ἐπανέξευξε χώραν· καὶ ὁ Πρίσκος ὑπέστρεψεν εἰς τὰ ἴδια. ‖

598/9 A. M. 6092	*Κόσμου*	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	
	ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	
	,ϛϡβ′.	ἔτη φϡβ′.	*Μαυρίκιος*	*Χοσρόης*	5
			ἔτη κ′.	ἔτη λϑ′.	
			ιη′.	ιβ′.	
	Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*	
	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	
	Κυριακὸς	*Ἀμὼς*	*Εὐλόγιος*	*Ἀναστάσιος*	10
	ἔτη ια′.	ἔτη η′.	ἔτη κζ′.	ἔτη ϛ′.	
	ϛ′.	η′.	κα′.	ϛ′.	

Τούτῳ τῷ ἔτει, ἰνδικτιῶνος γ′, μηνὶ Μαρτίῳ, ἀναλαβὼν τὰς δυ-
Th. S. 293, 12 — 429 B *νάμεις ὁ Πρίσκος ἐπὶ τὴν Σιγγιδόνα παραγίνεται.* ‖ *ὁ δὲ Χαγάνος συναθροίσας τὴν ἑαυτοῦ δύναμιν ἄφνω τῇ Μυσίᾳ ἐφίσταται καὶ τὴν* 15
Th. S. 293, 19? *Τομέαν πόλιν ἐνεχείρει λαβεῖν. διὰ τοῦτο καὶ Πρίσκος* ‖ *τὴν Σιγγιδόνα καταλιπὼν τούτῳ ἐπλησίασεν. τῆς δὲ ἑορτῆς τοῦ πάσχα καταλαβούσης, καὶ τῶν Ῥωμαίων λιμῷ τηκομένων, ἀκηκοὼς ὁ Χαγάνος τῷ Πρίσκῳ ἐδήλου ἀμάξας ἐκπέμψαι πρὸς αὐτόν, ὅπως δαπανήματα ἀποστείλῃ αὐτοῖς, ἵνα μετὰ ἱλαρότητος τὴν ἑαυτῶν ἑορτὴν ἐκπλη-* 20
ρώσωσιν. τετρακοσίας τοίνυν ἀμάξας πληρώσας τούτοις ἐξέπεμψεν· ὁμοίως καὶ ὁ Πρίσκος εἴδη τινὰ Ἰνδικὰ ἀντέπεμψε τῷ βαρβάρῳ, πέπερί τε καὶ φύλλον Ἰνδικὸν καὶ κόστον καὶ κασσίαν καὶ ἕτερα τῶν ἐπιζητουμένων, καθεζομένου τοῦ Χαγάνου εἰς τὸ Σέρμιον· καὶ ταῦτα δεξάμενος ἥσθη ἐπ' αὐτοῖς· καὶ μέχρι τοῦ πληρωθῆναι τὴν ἑορτὴν 25
Ῥωμαῖοί τε καὶ οἱ βάρβαροι ἀλλήλοις συνηυλίζοντο, καὶ οὐκ ἦν φόβος ἐν ἑκατέραις δυνάμεσιν· τῆς δὲ ἑορτῆς πληρωθείσης διαχωρίζονται ἀπὸ τῶν Ῥωμαίων οἱ βάρβαροι. ‖ *ὁ δὲ Μαυρίκιος ἐπὶ συνάρσει δῆθεν τοῦ Πρίσκου Κομεντίολον ἀπέστειλε μετὰ πεζικῆς*
Th. S. 294, 18 *δυνάμεως.* ‖ *τοῦτο μαθὼν ὁ Χαγάνος ἐπὶ τὴν Μυσίαν κατὰ Κομεντιόλου* 30
430 B *στρατεύεται ἀπὸ λ′ σημείων τοῦ Κομεντιόλου. ὁ δὲ Κομεντίολος ἐν*
cf. Ioh. Ant. frg. 218 b *ἀπορρήτῳ ἄγγελον πρὸς τὸν Χαγάνον ἐξέπεμψεν.* ‖ *φασὶ δέ τινες τὸν Μαυρίκιον ὑποθέσθαι τῷ Κομεντιόλῳ, ὅπως τὸ Ῥωμαϊκὸν στράτευμα*
Th. S. 294, 25 *παραδώσῃ πολέμοις διὰ τὰς ἀταξίας αὐτῶν.* ‖ *νυκτὸς δὲ μεσούσης*

7^3 *ιϑ′* g. — 10^2 *Ἀμῶς* cy. — 11^3 *ἔτη ιξ′* eh. — 13 *μηνὶ Μαρτίῳ ἰνδ. γ′* d. — *ἰν codd.* — 15 *τῆς Μυσίας* em. — *ἐπίσταται* cyz. — 16 *Τομέαν* Th. S. A *Τομοσίαν* gx *Τομωσίαν* hy *Τόμεα?* — *πάλιν* y. — *ὁ Πρίσκος* h. — 18 *λιμῷ τικομένων* ceh *λιμωτικομένων* df. — *ὁ om.* cyz. — 20 *ἀποστείλῃ*] *ἐκπέμψῃ* z. — 21 *τετρακοσίας*] quadraginta A. *numerus deest in* Th. S. — 22 *ἐξέπεμψεν* g. — 23 *πέπεριν* cy *πίπεριν* d *πέπερ* h *πίπερ* g. — 24 *Σέρμιον*] Sirmium A *Θέρμιον codd. nihil hac de re* Th. S. — 26 *οἱ om.* h. — 30 *τὴν om.* y. — 31. 32 *ἐν ἀπορρήτῳ scr. ex* Th. S. *ἐν ἀπορῶ* h *ἐναπορῶν rell.* — 34 *παραδώσει* z. — *πολεμίοις* mf *sec. m. uterque.*

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκέλευσε τὸν στρατὸν ὁπλίσασθαι, μὴ παραγυμνώσας τοῖς ὄχλοις μέλλειν πόλεμον συστήσασθαι. αὐτοὶ δὲ ὑπειληφότες, ὅτι γυμνασίας ἕνεκεν σιδηροφορεῖν αὐτοὺς ἐκέλευσεν, οὐχ ὡς ἔδει ὡπλίσαντο. ἡμέρας δὲ γενομένης, καὶ τῶν βαρβάρων καταλαβόντων, θρῦλος πολὺς τὸν στρατὸν κατέλαβεν· ‖ ὁ δὲ Κομεντίολος τὰς τάξεις ἐτάραττε Th. S. 295, 16 235 P καὶ αἴτιος αὐτοῖς ἀκαταστασίας ἐγένετο. οὕτω μὲν οὖν οἱ Ῥωμαῖοι πρὸς φυγὴν ἐτρέποντο, οἱ δὲ βάρβαροι ἀστρατήγητον τὸν λαὸν εὑρηκότες ἀνηλεῶς τούτους ἐφόνευον. ‖ ὁ δὲ Κομεντίολος ἀσχήμῳ φυγῇ Th. S. 296, 25 ἐπὶ τὰ Δριζίπερα γίνεται· οἱ δὲ τῆς πόλεως ὕβρεσι καὶ λίθοις βάλλοντες αὐτὸν τοῦ ἄστεως ἀποπέμπουσιν. οἱ δὲ βάρβαροι ἐπὶ τὰ Δριζίπερα ἐλθόντες τήν τε πόλιν ἐπόρθησαν καὶ τὸν ναὸν τοῦ ἁγίου Ἀλεξάνδρου ἐνέπρησαν, τόν τε τάφον αὐτοῦ ἠργυρωμένον εὑρόντες ἀνοσίως σκυλεύουσιν, καθυβρίσαντες καὶ τὸ σῶμα τοῦ μάρτυρος· καὶ πολλὴν αἰχμαλωσίαν ἐν τῇ Θρᾴκῃ ποιησάμενοι εὐωχοῦντο λαμπρῶς Ῥωμαίων κατεπαιρόμενοι. ‖ τοῦ δὲ Κομεντιόλου ἐν Βυζαντίῳ κατα- Th. S. 298, 5 431 B λαβόντος, μέγιστος τάραχος καὶ κλύδων τῇ πόλει ἐνέσκηψεν· ὥστε φοβηθέντας βούλεσθαι τὴν Εὐρώπην καταλιπεῖν καὶ πρὸς τὴν Ἀσίαν ἐν Χαλκηδόνι μετοικισθῆναι. ὁ δὲ βασιλεὺς τά τε ἐκσκούβιτα ἀναλαβὼν καὶ ὁπλιτικὸν συλλεξάμενος ὅμιλον τὰ Μακρὰ διεφρούρησε τείχη. οἱ δὲ δῆμοι τὴν πόλιν ἐφύλαττον· καὶ ἡ σύγκλητος παρῄνει τὸν βασιλέα πρεσβείαν πρὸς τὸν Χαγάνον ἐκπέμψαι. ‖ ὁ δὲ θεὸς τὴν Th. S. 297, 13 ἐκδίκησιν τοῦ μάρτυρος Ἀλεξάνδρου ποιούμενος λοιμικὴν νόσον τοῖς βαρβάροις ἔπεμψεν· καὶ ἐν μιᾷ ἡμέρᾳ ἑπτὰ υἱοὺς τοῦ Χαγάνου διὰ πυρετοῦ καὶ βουβῶνος ἀπέκτεινε σὺν πολλοῖς ἄλλοις ὄχλοις· ὥστε ἀντὶ χαρᾶς ἐπινικίου καὶ παιάνων καὶ ᾀσμάτων θρήνους καὶ δάκρυα καὶ πένθη ἀπαρηγόρητα ἔχειν τὸν βάρβαρον. ‖ ἡ δὲ σύγκλητος Th. S. 298, 18 παρεκάλει τὸν καίσαρα πρεσβεῦσαι ⟨πρὸς⟩ τὸν Χαγάνον. ⟨ὁ δὲ βασιλεὺς τὸν Ἀρμάτζωνα ἀπέστειλε μετὰ δώρων πολλῶν πρὸς τὸν Χαγάνον⟩ εἰς τὰ Δριζίπερα, ὅστις λόγοις ἠπίοις τὸν βάρβαρον ἐκολά- Th. S. 299, 4 κευεν. ὁ δὲ βάρβαρος οὐκ ἠβούλετο τὰ δῶρα δέξασθαι, θρήνῳ

---

4 Θρῦλος x Θρῦλλος yz. — 6 ἀκαταστασίας om. y. — 9 Δριζήπερα gx Δριτζίπερα h item v. 11. 29. — 10 ἄστεος c. — 11 τε om. em. — 13 σκυλεύουσιν ἀνοσίως x. — καθυβρίζοντες g. — 14 ἐν τῇ Θρ. αἰχμαλωσίαν g. — 14 εὐωχοῦντο—15 κατεπαιρόμενοι] epulabantur splendide contra Romanos elati A cf. Th. S. ἐνόχλουν (ἐνώχλ. f) τῷ λαμπρῷ Ῥωμανῷ κατεπ. xy ἐν ὄχλῳ λαμπρῷ Ῥωμαίων κατεπ. z. — 15 ἐν Βυζαντίῳ] τὸ Βυζάντιον d. — 16 ἐνέσκηψεν] ἐγένετο x. — 17 φοβηθέντας yz. — βούλεσθαι] ut consilium caperent A βουλεύεσθαι? — 18 ἐκσκούβητα ch ἐκσούβιτα f ἐξκούβιτα g. — 22 Ἀλεξάνδρου om. h. — 24 πολλοῖς καὶ ἄλλοις xz. — 25 παιανῶν hy παιανων sine acc. c παιωνισμῶν d παιώνων Th. S. — Θρῆνον g. — 26 εἶχον y. — 27 πρὸς add. e coni. om. codd. — τόν om. g. — τῷ Χαγάνῳ h. — 27 ὁ δὲ βασιλεὺς—29 πρὸς τὸν Χαγάνον add. ex A om. codd. — 30 ἐβούλετο h. — καὶ Θρήνῳ f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

432 B ἀσχέτῳ τῶν παίδων κατεχόμενος. ἔφασκε δὲ πρὸς τὸν πρέσβιν· "κρινεῖ ὁ θεὸς ἀναμέσον ἐμοῦ καὶ Μαυρικίου τοῦ αὐτοκράτορος· αὐτὸς γὰρ τὴν εἰρήνην διέλυσεν· ‖ ἐγὼ δὲ τοὺς αἰχμαλώτους ἀποδίδωμι αὐτῷ κατὰ ψυχὴν νόμισμα ἓν κομιζόμενος παρ' αὐτοῦ." ὁ δὲ Μαυρίκιος οὐκ ἠνέσχετο δοῦναι· καὶ πάλιν ὁ Χαγάνος ἠτήσατο ἀνὰ ἡμίσους λαβεῖν κατὰ ψυχήν· καὶ οὐδ' οὕτως ὁ βασιλεὺς δοῦναι κατεδέξατο, ἀλλ' οὐδὲ τεσσάρων κερατίων λαβεῖν. καὶ θυμωθεὶς ὁ
Th. S. 299, 17 Χαγάνος πάντας ἀπέκτεινε καὶ ἐπὶ τὰ ἴδια ἀνέζευξεν, ‖ πεντήκοντα χιλιάδας ⟨χρυσῶν⟩ ταῖς σπονδαῖς τοῖς Ῥωμαίοις ἐπιθείς· καὶ τὸν
cf. Ioh. Ant. frg. 218 b "Ἴστρον ποταμὸν μὴ διαβαίνειν ὡμολόγησαν. ‖ ἐκ τούτου πολὺ μῖσος
236 P ἐκινήθη κατὰ Μαυρικίου τοῦ βασιλέως, καὶ ἤρξαντο λοιδορίαις τοῦτον βάλλειν· ὁμοίως καὶ ὁ λαὸς ὁ ἐν τῇ Θράκῃ πρὸς λοιδορίαν τοῦ βασιλέως ἐκινήθη. ὁ δὲ στρατὸς ἐντολικαρίους ἀπέπεμψε πρὸς τὸν βασιλέα κατὰ Κομεντιόλου ὡς προδοσίαν ἐν τῷ πολέμῳ ποιήσαντος, ἐν οἷς ἦν καὶ Φωκᾶς, ὅστις τῷ βασιλεῖ διαλεγόμενος βρυερῶς τούτῳ ἀντέλεγεν ἐν τῷ σελεντίῳ, ὥστε τινὰ τῶν πατρικίων τοῦτον ματζῶσαι καὶ τὸν πώγωνα αὐτοῦ τίλαι. ὁ δὲ βασιλεὺς οὐ κατεδέξατο τὴν κατὰ Κομεντιόλου ⟨τοῦ λαοῦ⟩ ἔγκλησιν, ἀλλὰ τούτους ἀπράκτους ἀπέλυσεν. διὰ τοῦτο καὶ ἡ ἐπιβουλὴ τοῦ βασιλέως ἀρχὴν ἐλάμβα-
Th. S. 299, 2 433 B νεν. ‖ κατὰ δὲ τοῦτον τὸν χρόνον ἐν Αἰγύπτῳ ἐν τῷ Νείλῳ ποταμῷ, Μηνᾶ τοῦ ἐπάρχου μετὰ λαοῦ πορευομένου ἐν τόπῳ ἐπιλεγομένῳ Δῆλτα, ἡλίου ἀνίσχοντος, ξῶα ἀνθρωπόμορφα ἐφάνησαν ἐν τῷ ποταμῷ, ἀνήρ τε καὶ γυνή. καὶ ὁ μὲν ἀνὴρ εὔστερνος καταπληκτικός τε τὴν ὄψιν, ξανθὸς τὴν κόμην, μιξοπόλιος, καὶ μέχρι τῆς ὀσφύος ἐγύμνου τὴν φύσιν καὶ πᾶσιν ἐδείκνυτο γυμνός· τὰ δὲ λοιπὰ μέρη τοῦ σώματος τὸ ὕδωρ ἐκάλυπτεν. τοῦτον ὁ ἔπαρχος ὅρκοις ἔβαλεν, μὴ καταλῦσαι τὴν θεωρίαν, πρὶν ἅπαντες ἐμφορηθῶσι τῆς παραδόξου ταύτης ὁράσεως. ἡ δὲ γυνὴ τούς τε μαζοὺς εἶχε καὶ τὴν ὄψιν λείαν, καὶ τὴν κόμην βαθεῖαν. καὶ μέχρις ὥρας θ' πᾶς ὁ λαὸς ἐθαύ-

---

1 πρὸς τὸν πρέσβην x ad legatum A πρὸς τὸ πρεσβεύειν y πρὸς τοὺς πρέσβεις z. — 2 κρίνει xz. — 7 ἀνὰ τεσσάρων κερατίων παρασχεῖν d. — 8 ἀπέκτεινε πάντας ὁμοῦ χιλιάδας ιβ' Georg. Mon. p. 557. — πεντήκοντα] εἴκοσι Th. S. — 9 χρυσῶν add. ex A Th. S. om. codd. — 10 ὡμολόγησεν zA. — 11 κατὰ M. τοῦ βασ. ἐκινήθη g. — ἤρξατο y. — 12 ὁ ante ἐν om. h. — 13 ἐντολικαρίους x ἐντωλικαρίους y. — ἔπεμψεν z. — 14 κατὰ μεντιόλου g. — 15 βριερῶς? s. βριαρῶς? — 16 σιλεντίῳ z. — 17 τείλαι hxy. — 18 τοῦ λαοῦ ἔγκλησιν] populi querimoniam A τοῦ λαοῦ om. codd. — 19 ἡ κατὰ τοῦ βασ. ἐπιβουλή x. — ἔλαβεν z. — 20 δὲ om. h. — 21 ὑπάρχου xz item v. 26 ὕπαρχος. — 22 Δίλτα d Διλτα sine acc. c Δήλτα fh Δέλτα Th. S. — 23 ἀνὴρ εὔστολος εὔστερνος x. — κατάπληκτος Th. S. Georg. Mon. p. 555. — 24 τε om. x τε καὶ h. — μιξοπώλεος g. — 27 μὴ om. hxy sec. m. add. in dfm. — 29 λείαν] λίαν cyz femineum (θήλειαν) A at cf. Th. S. 300, 25. — τὴν om. x. — 29 πᾶς—p. 281, 1 θ' ὥρᾳ om. f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μαζεν ὁρῶν τὰ ξῶα ταῦτα. τῇ δὲ Θ' ὥρᾳ ἔδυσαν ἐν τῷ ποταμῷ. ‖
ὁ δὲ Μηνᾶς ταῦτα τῷ βασιλεῖ Μαυρικίῳ γεγράφηκεν. ‖ Th. S. 310, 20

	Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	A. M. 6093 S 99/600
	ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς
5	,ϛϡγ'.	ἔτη φϡγ'.	Μαυρίκιος	Χοσρόης
			ἔτη κ'.	ἔτη λϑ'.
			ιϑ'.	ιγ'.
	Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
10	Κυριακὸς	Ἰσάκιος	Εὐλόγιος	Ἀναστάσιος
	ἔτη ια'.	ἔτη η'.	ἔτη κζ'.	ἔτη Θ'.
	ζ'.	α'.	κβ'.	α'.

Τούτῳ τῷ ἔτει μηνὶ Μαρτίῳ κϛ', ἰνδικτιῶνος δ', τῇ ἡμέρᾳ τοῦ ἁγίου πάσχα Σοφία ἡ αὐγούστα, ἡ γυνὴ Ἰουστίνου, ἅμα Κωνστα-
15 τίνῃ, τῇ γυναικὶ Μαυρικίου, στέμμα κατασκευάσασαι ὑπέρτιμον τῷ 434 B
βασιλεῖ προσήγαγον. ὁ δὲ βασιλεὺς τοῦτο θεασάμενος, ἀπελθὼν εἰς τὴν ἐκκλησίαν τῷ θεῷ τοῦτο προσήγαγε καὶ ἐκρέμασεν αὐτὸ ἐπάνω τῆς ἁγίας τραπέζης διὰ τριχαλάστου ἀλυσιδίου διαλίθου καὶ χρυσοῦ. αἱ δὲ αὐγούσται μεγάλως ἐλυπήθησαν τοῦτο μαθοῦσαι, καὶ ἐν μάχῃ
20 Κωνσταντῖνα ἡ αὐγούστα πρὸς τὸν βασιλέα τὴν ἑορτὴν ἐποίησεν. ‖
ὁ δὲ βασιλεὺς μὴ προσχὼν τὰς ἐγκλήσεις τῶν ἐν τῇ Θράκῃ στρα- Th. S. 315, 1
τευμάτων κατὰ Κομεντιόλου, ὁ αὐτὸς Κομεντίολος ἀναλαβὼν τὸ ὁπλιτικὸν ἔρχεται ἐπὶ τὸν Ἴστρον καὶ ἑνοῦται τῷ Πρίσκῳ ἐν Σιγγι- 237 P
δόνι· καὶ λύεται ἡ πρὸς τοὺς Ἀβάρους εἰρήνη. ταύτης λυθείσης,
25 ἔρχονται εἰς τὸ Βιμηνάκιον, ἥτις ἐστὶ νῆσος μεγάλη τοῦ Ἴστρου. ταῦτα δὲ ἀκούσας ὁ Χαγάνος, συναθροίσας τὰς ἑαυτοῦ δυνάμεις ἐπὶ τὰ Ῥωμαϊκὰ χωρεῖ· τοῖς δὲ τέσσαρσιν αὐτοῦ υἱοῖς παραδοὺς ἑτέρας δυνάμεις παρέστησε φρουρεῖν τὰς διαβάσεις τοῦ Ἴστρου. οἱ δὲ Ῥωμαῖοι σχεδίας ποιήσαντες τὸν ποταμὸν διενήξαντο καὶ πόλεμον μετὰ
30 τῶν υἱῶν τοῦ Χαγάνου συνεστήσαντο, Πρίσκου στρατηγοῦντος. ὁ γὰρ Κομεντίολος ἀσθενήσας εἰς τὸ Βιμηνάκιον τὴν νῆσον ἐκαθέζετο. ‖ Th. S. 317, 1
ἐπὶ πολλὰς δὲ ὥρας τοῦ πολέμου κρατήσαντος, καὶ τοῦ ἡλίου δύ-

---

1 τὰ τοιαῦτα ξῶα· τῇ δὲ Θ' ὥρᾳ d τὰ ξῶα ταυτὶ (ταυτῇ em)· καὶ ταῦτα τῇ Θ' (om. ὥρᾳ) cem. — 2 Μηνάς em. — 7[3] ιϑ'] κ' h. — 10[1] Κύριλλος e. — 11[1] ἔτη ιδ' g. — 12[3] κα' f β' e. — 13 ἰν codd. — 14 ἡ] καί g. — αὐγοῦστα eg sine acc. f. — 14. 15 ἅμα Κωνσταντίᾳ τῇ γυναικί d ἅμα γυναικὶ Κωνσταντίᾳ c. — 15 τοῦ Μαυρ. c καὶ Μαυρ. f. — κατασκευάσαι c. — 16. 17 ἐν τῇ ἐκκλησίᾳ x. — 17 ἐκρέμμασεν g. — αὐτῷ cy. — 18 ἀλυσειδίου g. — διαλίθου om. g. — 19 αὔγοῦσται gm αὖγουσται d. — 20 Κωνσταντίνα dz. — ἡ om. g. — αὐγοῦστα g. — 21 ταῖς ἐγκλήσεσι? — 22 ὁ om. g. — 24 Avares A βαρβάρους codd. — 25 Βημηνάκιον z. — ἥτις] ὅπερ d. — 27 τοὺς δὲ τέσσαρας αὐτοῦ υἱούς yz. — 28 τηρεῖν x. — διαβάσεις] δυνάμεις xy vada A. — 29. 30 cum Chagani filiis A μετὰ τοῦ υἱοῦ τ. X. codd. — 31 Βημηνάκιον cyz. — 32 κροτήσαντος h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

435 B γαντος, τριακοσίων τε Ῥωμαίων ἀναιρεθέντων, χιλιάδες τέσσαρες ἐκ τῶν βαρβάρων διώλοντο. ἔωθεν δὲ πάλιν συντάξαντες τὰ στρατεύματα πάλιν τοῦ πολέμου ἀπήρξαντο καὶ πάλιν ὀκτὼ χιλιάδας τῶν βαρβάρων ἀνεῖλον. ὁμοίως καὶ τῇ τρίτῃ ἡμέρᾳ παραταξάμενοι ἐκ τῶν ὑψηλοτέρων οἱ Ῥωμαῖοι πρὸς τοὺς βαρβάρους ἐχώρησαν, καὶ τούτους τρέψαντες καὶ ἐπὶ τὰ ὕδατα τῆς λίμνης τοὺς Ἀβάρους ὠθήσαντες πολλοὺς ἐξ αὐτῶν ἀπέπνιξαν· ἐν οἷς καὶ οἱ τοῦ Χαγάνου παῖδες ἀπεπνίγησαν· καὶ νίκην οἱ Ῥωμαῖοι περιφανῆ ἀνεδήσαντο. ‖

Th. S. 318, 9 ὁ δὲ Χαγάνος συναθροίσας δυνάμεις πολλὰς κατὰ Ῥωμαίων ἐπῆρχετο· πολέμου δὲ κροτηθέντος, τρέπουσιν οἱ Ῥωμαῖοι τοὺς βαρβάρους, καὶ πασῶν οἱ Ῥωμαῖοι ἐπισημοτέραν ταύτην ἀπηνέγκαντο τὴν νίκην. ὁ δὲ Πρίσκος τέσσαρας χιλιάδας συντάξας τὸν Τίσσον ποταμὸν περᾶσαι ἐκέλευσε καὶ κατασκοπῆσαι τὰ τῶν βαρβάρων κινήματα. οἱ δὲ βάρβαροι μηδὲν τῶν γεγονότων ἐγνωκότες ἑορτὴν ἐπιτελοῦντες συνεποσίαζον. τούτοις οἱ Ῥωμαῖοι κρυπτῶς ἐπιπεσόντες μέγιστον φόνον ἀπεργάζονται· τριάκοντα γὰρ χιλιάδας Γηπαίδων καὶ ἑτέρων βαρβάρων ἀπέκτειναν· καὶ πλείστην αἰχμαλωσίαν λαβόντες

Th. S. 319, 19 πρὸς τὸν Πρίσκον ὑπέστρεψαν. ‖ ὁ δὲ Χαγάνος πάλιν δυνάμεις συναθροίσας ἐπὶ τὸν Ἴστρον παραγίνεται· καὶ συμβαλόντες πόλεμον

436 B ἡττῶνται οἱ βάρβαροι καὶ εἰς τὰ ῥεῖθρα τοῦ ποταμοῦ ἀποπνίγονται. συναπόλλυνται δὲ τούτοις καὶ Σκλαυινοὶ πολλοί. ζῶντας δὲ ἐκράτησαν Ἀβάρους μὲν τρισχιλίους, ⟨Σκλαυινοὺς δὲ ὀκτακοσίους καὶ

Th. S. 319, 21 Γήπαιδας τρισχιλίους⟩ διακοσίους καὶ βαρβάρους δισχιλίους. ‖ ὁ δὲ Χαγάνος εἰς Μαυρίκιον τὸν βασιλέα πρέσβεις ἀπέστειλεν ἀναλαβεῖν τοὺς ζωγρηθέντας πειρώμενος. ὁ δὲ Μαυρίκιος μήπω μαθὼν τὴν περιφανῆ τῶν Ῥωμαίων νίκην γράφει τῷ Πρίσκῳ ἀποδοῦναι τῷ Χαγάνῳ τοὺς Ἀβάρους καὶ μόνον. ὁ δὲ Κομεντίολος μόλις τῆς νόσου διαγενόμενος ἐξέρχεται εἰς Νόβας ζητῶν ὁδηγοὺς τοῦ ἐξαγαγεῖν

Th. S. 320, 16 αὐτὸν τὴν ὁδὸν Τραϊανοῦ τοῦ βασιλέως. ‖ γέρων δέ τις ταύτην ἐπιστάμενος ἔφασκε δυσχερῆ ταύτην εἶναι καὶ ἀδιόδευτον ἀπὸ ἐτῶν

---

2 ἔωθεν xz *et* f *sed* ἔω *sec. m. in lit.* ἑωθινός Th. S. ἔσωθεν em *et ut vid.* f *pr. m.* intrinsecus A. — 3 πάλιν *post* στρατεύματα *om.* dA. — ὀκτώ] ἐννέα Th. S. — 4 παραταξαμένων y. — 6 Avares A βαρβάρους *codd.* — ὠθήσαντες] ἐλάσαντες x pellentes A. — 12 Τίσσον d Τισσον *sine acc.* e Τίσσω y Τισσώ h Τισσῶι g Tisso A. — 13 κινήματα Th. S. motus A σκηνώματα *codd.* — 14 γινομένων x. — 15 τούτοις—16 φόνον *om.* em. *E Cedreno p.* 702, 18 *sec. m. in mg. add.* m. — 15 τούτους g. — ἐπιπεσόντες κρυπτῶς x. — 16 φόνον] metum A *at cf.* Th. S. — Γηπαιδῶν em. — 21 Σκλαυίνοι em. — 22 Σκλαυινοὺς—23 τρισχιλίους *add. ex* A *om. codd.* — 25 πειρώμενος yz Th. S. βουλόμενος x. — 27 Ἀβάρους A Th. S. βαρβάρους *codd.* — καὶ *om.* g. — μόλις hx Th. S. *om.* gy. — 28 ἔρχεται x. — Νοβάς dhm Νοβᾶς e Νοβας *sine acc.* c Νομάς g. — 30 ταύτην *om.* x. — ἀπὸ ἐτῶν πολλῶν x (ἀπὸ ἐτῶν ἐνενήκοντα Th. S.) ἀπό τε τῶν ἐτῶν yz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλῶν καὶ χειμῶνος ὄντος, ὑψηλὰ ὄρη καὶ χιόνας κεκτημένην. ὁ δὲ Κομεντίολος μὴ πεισθεὶς τοῖς λόγοις τοῦ γέροντος ἀπέρχεται διὰ τῆς ὁδοῦ ταύτης. ψύχους δὲ γεγονότος ἐξαισίου καὶ μεγάλου κρύους, διαφθείρονται πολλοὶ τῶν Ῥωμαίων καὶ τῶν νωτοφόρων ζώων τὰ πλεῖστα. καὶ μόλις ἐπὶ τὴν Φιλιππούπολιν ἀφίκετο. κἀκεῖσε τῶν Ῥωμαίων παραχειμασάντων, ὁ Κομεντίολος εἰς Βυζάντιον ἔρχεται. 239 P

‖ Τῷ δ' αὐτῷ ἔτει ἀνήρ τις τὸ μοναχικὸν σχῆμα περιβεβλημένος καὶ ἐν ἀσκήσει διαλάμπων, σπαθίον γυμνώσας ἀπὸ τοῦ φόρου μέχρι τῆς Χαλκῆς ξιφήρης διεδραμὼν τὸν αὐτοκράτορα τοῖς πᾶσιν ἐν φόνῳ μαχαίρας τεθνηξέσθαι προηγόρευσεν. ὁμοίως καὶ Ἡρωδιανὸς Μαυρικίῳ εἰς τὸ φανερὸν προανηγγειλε τὰ τούτῳ συμβησόμενα. ‖ τοῦ δὲ βασιλέως νυκτὶ ἀνυποδήτου λιτανεύοντος μετὰ πάσης τῆς πόλεως, παρερχομένου ἐν τοῖς Καρπιανοῦ, στασιάζουσιν ἐκ τοῦ πλήθους τινὲς καὶ λίθους κατὰ τοῦ βασιλέως ἔβαλλον, ὥστε μόλις τὸν βασιλέα σὺν Θεοδοσίῳ, τῷ υἱῷ αὐτοῦ, διασωθῆναι καὶ τὴν εὐχὴν πληρῶσαι ἐν Βλαχέρναις. οἱ δὲ δῆμοι εὑρόντες ἄνδρα προσομοιοῦντα Μαυρικίῳ καὶ βαλόντες αὐτῷ σαγίον μαῦρον καὶ ἀπὸ σκόρδων πλέξαντες στέφανον καὶ εἰς ὄνον τοῦτον καθίσαντες διέπαιζον λέγοντες· "εὕρηκε τὴν δαμαλίδα ἀπαλήν, καὶ ὡς τὸ καινὸν ἀλεκτόριν ταύτῃ πεπήδηκεν ‖ καὶ ἐποίησε παιδία ὡς τὰ ξυλοκούκουδα· καὶ οὐδεὶς τολμᾷ λαλῆσαι, ἀλλ' ὅλους ἐφίμωσεν· ἅγιέ μου, ἅγιε φοβερὲ καὶ δυνατέ, δὸς αὐτῷ κατὰ κρανίου, ἵνα μὴ ὑπεραίρεται· κἀγώ σοι τὸν βοῦν τὸν μέγαν προσαγάγω εἰς εὐχήν." πολλοὺς δὲ τούτων πιάσας ὁ βασιλεὺς ἐτιμωρήσατο. Th. S. 293, 2 437 B cf. Ioh. Ant. frg. 218 b

	Κόσμου ἔτη ,ϛϟδ'.	Τῆς θείας σαρκώσεως ἔτη φϟδ'.	Ῥωμαίων βασιλεὺς Μαυρίκιος ἔτη κ'. κ'.	Περσῶν βασιλεὺς Χοσρόης ἔτη λϑ'. ιδ'.
	Κωνσταντ. ἐπίσκοπος Κυριακὸς ἔτη ια'. ή'.	Ἱεροσολύμων ἐπίσκοπος Ἰσάκιος ἔτη ή'. β'.	Ἀλεξανδρείας ἐπίσκοπος Εὐλόγιος ἔτη κξ'. κγ'.	Ἀντιοχείας ἐπίσκοπος Ἀναστάσιος ἔτη ϑ'. β'.

A. M. 6094 600/601.

Τούτῳ τῷ ἔτει μηνὶ Νοεμβρίῳ, ἰνδικτιῶνος ε', ὁ βασιλεὺς Μαυ-

1 χιμόνου e χεμόνου m. — 5 ἐπὶ] εἰς z. — 6 εἰς τὸ Βυζ. x. — 9 τὸν αὐτοκρ. τοῖς πᾶσιν] ἅμα τὸν αὐτοκρ. τοῖς παισίν Th. S. — 10 τεθνήξασθαι hy. — προσηγόρευσεν h. — 12 ἀνυποδήτου] discalciato A ἀνυποδύτου cyz ἀνυποδέτου d. — 13 Καρπιανοῦ d Ioh. Ant. Carpiano A Καρπιανοῖς rell. — 14 λίθοις em. — ἔβαλον c. — 17 περιβαλόντες? — αὐτῷ om. y. — 18 καθήσαντες y. — 19 ἀλεκτώριν d ἀλεκτόριον ch ἀλεκτώριον y. — 20 ταύτην em Ioh. Ant. — τὰ παιδία h. — 21 ἐφήμωσεν codd. — 22 αὐτόν g αὐτό y. — ὑπερέρεται y. — 23 μέγα cxy. — προσάγω d. — 35 ἰν codd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

438 B ρίκιος Θεοδόσιον, τὸν αὐτοῦ υἱόν, συνῆψε πρὸς γάμον τῇ θυγατρὶ Γερμανοῦ τοῦ πατρικίου, στεφανώσαντος αὐτοὺς Κυριακοῦ, τοῦ πατριάρχου Κωνσταντινουπόλεως. τῷ δὲ Ἰαννουαρίῳ μηνὶ ια' Δομετιανός, ὁ ἐπίσκοπος Μελιτηνῆς, ὁ συγγενὴς τοῦ βασιλέως, τέθνηκε καὶ ἐτάφη ἐν τοῖς ἁγίοις ἀποστόλοις ὑπὸ Κυριακοῦ τοῦ πατριάρχου
Th. S. 321, 7 καὶ πάσης τῆς συγκλήτου τιμηθεὶς ἐπιτάφια. ‖ ὁ δὲ βασιλεὺς Πέτρον, τὸν ἴδιον ἀδελφόν, στρατηγὸν πάλιν τῆς Θρᾴκης χειροτονήσας ἀπ-
Th. S. 322, 20 έστειλεν. ‖ ἠκηκόει γὰρ περὶ τοὺς Καταράκτας ἀθροισθῆναι τὰ τῶν
239 P βαρβάρων πλήθη τὸν Ἀψὴχ στρατηγὸν ἔχοντα. ὁ δὲ Πέτρος ἀπέστειλε πρὸς τὸν Ἀψὴχ πρεσβευτὴν περὶ εἰρήνης. ὁ δὲ Ἀψὴχ τοὺς Καταράκτας ἐκ τῶν Ῥωμαίων ἐπεχείρει λαβεῖν· καὶ ὁ Χαγάνος ἐπὶ τὴν Κωνσταντίολαν ἐχώρησεν. οἱ δὲ Ῥωμαῖοι ἐπὶ τὴν Θρᾴκην
Th. S. 323, 4 ἐπανέζευξαν καὶ εἰς Ἀδριανούπολιν ἀφίκοντο. ‖ ὁ δὲ βασιλεὺς μαθών, ὅτι ὁ Χαγάνος κατὰ τοῦ Βυζαντίου ἐπέρχεται, γράφει τῷ Πέτρῳ εἰς τὸν Ἴστρον ὑποστρέψαι, καὶ ἀποστέλλει Βώνοσον τὸν σκρίβωνα μετὰ ναυτιλίας τοῦ διαπερᾶναι τὸν λαόν. ἀποστείλας δὲ Πέτρος Γουδούην τὸν ὑποστράτηγον πέραν τοῦ Ἴστρου πολλῆς αἰχμαλωσίας ἐκράτησεν· ταῦτα μαθὼν ὁ Χαγάνος τὸν Ἀψὴχ μετὰ πλήθους ἀπέστειλεν, ὅπως τὸ τῶν Ἀντῶν διολέσῃ ἔθνος ὡς σύμμαχον τῶν
439 B Ῥωμαίων. τούτου δὲ γενομένου τῶν βαρβάρων ἀπόμοιρα προσερρύη τοῖς Ῥωμαίοις. ‖ ὁ δὲ Μαυρίκιος ἐν ἑαυτῷ γενόμενος καὶ εἰδώς, ὅτι οὐδὲν τὸν θεὸν λανθάνει, ἀλλὰ πᾶσιν ἀποδίδωσι κατὰ τὰ ἔργα αὐτῶν, καὶ ἐπιλογισάμενος τὸ σφάλμα, ὃ ἐποίησεν εἰς τὴν αἰχμαλωσίαν μὴ ἐξαγοράσας αὐτήν, συμφέρειν ἔκρινεν ἐν τῷ βίῳ τούτῳ ἀπολαβεῖν τὴν ἁμαρτίαν, καὶ μὴ ἐν τῷ μέλλοντι· καὶ ποιήσας δεήσεις ἐγγράφους ἀπέλυσεν εἰς πάντας τοὺς πατριαρχικοὺς θρόνους καὶ πάσας τὰς πολιτείας τὰς ὑπ' αὐτὸν καὶ εἰς τὰ μοναστήρια τὰ ἐν τῇ ἐρήμῳ καὶ ἐν Ἱεροσολύμοις καὶ εἰς τὰς λαύρας χρήματα καὶ κηροὺς καὶ θυμιάματα, ὅπως εὔξωνται ὑπὲρ αὐτοῦ, ἵνα ἐνταῦθα ἀπολάβῃ,

---

1 τὸν υἱὸν αὐτοῦ x. — 2 Ῥωμανοῦ x. — αὐτοῦ g. — τοῦ om. yz. — 3 Ἰανουαρίῳ mz. — 4 Μελιτινῆς codd. — ὁ ante συγγ. om. g. — 5 τοῦ et 6 τῆς om. em. — 8 γὰρ om. c. — 9 Ἀψίχ Th. S. Ἄψηχ dm. — 9. 10 πρὸς τὸν Ἀ. ἀπέστειλεν h. — πρεσβευτήν om. d στρατηγόν c. — Ἄφηχ m. — 11. 12 ἐπὶ τὴν Κωνσταντίολαν d Th. S. ἐπὶ τὴν Κωνσταντίολον y ἐπὶ τὸν Κωνσταντίολον z ἐπὶ τὴν Κωνσταντῖαν c. — 14 ὁ om. cy. — 15 Βώνοσον x Βόνοσον z Βόνωσον y Βώνωσον Th. S. — 16 ναυτηλίας dyz. — διαπεράσαι emx. — Γουδούϊν Th. S. Γουνδόην hxy Γουγδόην g. — 18 ἐκράτησαν x. — Ἄφηχ m. — 19 τῶν Ἀντῶν scr. e Th. S. τῶν ναυτῶν fmxz τῶν αὐτῶν c. — 21 ἐν αὐτῷ y. — 22 λανθάνῃ g. — 23 αὐτοῦ x. — ἐπιλογησάμενος dgy. — 24 συμφέρει cem εἰ συμφέρον f. — ἐν om. em. — τοῦτο c. — 25. 26 ποιήσεις ἐγγράφως δεήσεις g. — 26 ἐγγράφως h. — ἀπέστειλεν x. — 27 πολιτείας yA ἐκκλησίας xz. — ὑπ' αὐτῶν d. — 27. 28 τὰ ἐν Ἱερ. καὶ ἐν τῇ ἐρ. x. — λάβρας g. — 29 εὔξονται hy. — ὑπέρ] περί x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ μὴ ἐν τῷ μέλλοντι αἰῶνι. ἐσκανδαλίζετο δὲ καὶ εἰς Φιλιππικόν, τὸν γαμβρὸν αὐτοῦ, ὡς εἰς τὸ φῖ γράμμα ὀνομαζόμενον. ὁ δὲ Φιλιππικὸς διαφόρως ἐπώμυυτο τῷ βασιλεῖ, ὡς καθαρός ἐστιν εἰς τὴν δουλείαν αὐτοῦ καὶ οὐκ ἔχει παρ' αὐτῷ δόλον. ‖ τοῦ δὲ Μαυρικίου cf. Ioh. Ant. frg. 218 d
τὸν θεὸν ἱκετεύοντος τοῦ ἐλεηθῆναι τὴν ψυχὴν αὐτοῦ, ἐν μιᾷ κοιμωμένου αὐτοῦ εἶδεν ὀπτασίαν, εἰς τὴν χαλκῆν πύλην τοῦ παλατίου τῇ εἰκόνι τοῦ σωτῆρος ἑαυτὸν παρεστῶτα, καὶ λαὸν ⟨πλεῖστον⟩ 440 B
παρεστῶτα αὐτῷ· καὶ φωνὴ γέγονεν ἐκ τοῦ χαρακτῆρος τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λέγουσα· "δότε Μαυρίκιον." καὶ κρατήσαντες αὐτὸν οἱ δίκης ὑπηρέται παρέστησαν τῷ πορφυρῷ ὀμφαλίῳ τῷ ἐκεῖσε. καὶ ἔφη πρὸς αὐτὸν ἡ θεία φωνή· "ποῦ θέλεις ἀποδώσω σοι; ὧδε, ἢ ἐν τῷ μέλλοντι αἰῶνι;" ὁ δὲ ἀκούσας ἔφη· "φιλάνθρωπε δέσποτα, δικαιοκρίτα, ὧδε μᾶλλον, καὶ μὴ ἐν τῷ μέλλοντι αἰῶνι." καὶ ἐκέλευσεν ἡ θεία φωνὴ ἐκδοθῆναι Μαυρίκιον καὶ ⟨Κωνσταντῖναν⟩, τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ Φωκᾷ τῷ στρατιώτῃ. διυπνισθεὶς 240 P
οὖν Μαυρίκιος ‖ καὶ καλέσας τὸν παρακοιμώμενον αὐτοῦ ἀπέστειλε πρὸς Φιλιππικόν, τὸν γαμβρὸν αὐτοῦ, ἐν σπουδῇ ἀγαγεῖν αὐτὸν πρὸς τὸν βασιλέα. ἀπελθὼν δὲ ὁ παρακοιμώμενος ἐκάλεσεν αὐτόν. ὁ δὲ ἐγερθεὶς καὶ προσκαλεσάμενος τὴν ἑαυτοῦ γυναῖκα ἠσπάσατο αὐτὴν λέγων· "σώζου, οὐκέτι με θεωρεῖς." ἡ δὲ ἀνέκραξε μετὰ κλαυθμοῦ φωνῇ μεγάλῃ πρὸς τὸν παρακοιμώμενον λέγουσα· "ὁρκῶ σε κατὰ τοῦ θεοῦ, τί ἐστι τὸ πρᾶγμα, δι' ὃ ζητεῖ αὐτὸν τῇ ὥρᾳ ταύτῃ;" ὁ δὲ ἐπωμόσατο ἀγνοεῖν, καὶ ὅτι "αἰφνίδιον ἐξ ὕπνου ἀναστὰς ὁ βασιλεὺς ἀπέστειλέ με." ὁ δὲ Φιλιππικὸς ἠτήσατο μεταλαβεῖν καὶ οὕτως ἀπῄει πρὸς τὸν βασιλέα. ἡ δὲ γυνὴ αὐτοῦ Γορδία ἔκειτο 441 B
χαμαὶ ὀδυρομένη καὶ κλαίουσα καὶ τὸν θεὸν ἱκετεύουσα. εἰσελθὼν δὲ ὁ Φιλιππικὸς ἐν τῷ βασιλικῷ κοιτῶνι ἔρριψεν ἑαυτὸν εἰς τοὺς πόδας τοῦ βασιλέως. ὁ δὲ βασιλεὺς λέγει αὐτῷ· "συγχώρησόν μοι διὰ τὸν θεόν, ὅτι ἥμαρτόν σοι. ἕως γὰρ τοῦ νῦν ἐσκανδαλιζόμην εἰς σέ." καὶ κελεύσας ἐξελθεῖν τὸν παρακοιμώμενον, ἀναστὰς ἔπεσεν εἰς τοὺς πόδας τοῦ Φιλιππικοῦ, λέγων· "συγχώρησόν μοι· ἀσφαλῶς

---

1 αἰῶνι *om.* h. — προεσκανδαλίζετο Georg. Mon. p. 557. — 4 λόγον ἢ δόλον g. — 5 καὶ ἐν μιᾷ em. — quadam nocte A. — ἐν μιᾷ κοιμ. αὐτοῦ *om.* h. — 7. 8 καὶ λαὸν παρεστ. αὐτῷ *om.* h. — 7 λαὸν πλεῖστον *om. codd.* — 10 δίκης Goar δίκην *codd.* iudiciorum ministri A. — 11 ἡ θεία φωνή] propria voce (ἰδίᾳ φωνῇ) A — 12 ποῦ] πῶς x. — θέλης dh. — ἀποδόσω h. — 15 et Constantinam uxorem eius A Κωνσταντῖναν *om. codd.* Georg. Mon. — 16 καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ *om.* x. — στρατηλάτῃ Georg. Mon. — 17 ὁ Μαυρίκιος z. — ἀπέστειλεν αὐτὸν πρὸς x. — 21 σώζου, γύναι, οὐκέτι zz γύναι *om.* yA. — 24 ἐπομώσας τὸ ἀγνωεῖν h. — 27 καὶ *ante* κλαίουσα *om.* f. — ἐλθών f. — 31 τὸν παρακ. αὐτοῦ h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ οἶδα ὅτι οὐδὲν ἥμαρτες εἰς ἐμέ. ἀλλ' εἰπέ μοι, τίνα γινώσκεις ἐν τοῖς ἡμετέροις τάγμασι Φωκᾶν στρατιώτην;" ὁ δὲ Φιλιππικὸς ἀναλογισάμενος λέγει αὐτῷ· "ἕνα γινώσκω, ὅς τις πρὸ καιροῦ ὀλίγου πεμφθεὶς ἐντολικάριος ἐκ τοῦ στρατοῦ ἀντέλεγε τῷ κράτει σου." ὁ δὲ βασιλεὺς ἔφη· "ποίας ἐστὶν ἐντεύξεως;" ὁ δὲ Φιλιππικὸς εἶπεν· "νεώτερος, θρασὺς καὶ δειλός." τότε λέγει Μαυρίκιος· "ἐὰν δειλός, καὶ φονεύς." καὶ ἐξηγεῖτο τῷ Φιλιππικῷ τὴν τοῦ ὀνείρου ἀποκάλυψιν. τῇ δὲ νυκτὶ ἐκείνῃ ἐφάνη ἀστὴρ ἐν τῷ οὐρανῷ, ὁ λεγόμενος κομήτης. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ ἔφθασε καὶ ὁ ἀποσταλεὶς μαγιστριανὸς πρὸς τοὺς· ἐν τῇ ἐρήμῳ ἁγίους πατέρας φέρων παρ' αὐτῶν ἀπόκρισιν τοιαύτην, ὅτι "ὁ θεὸς δεξάμενος τὴν μετάνοιάν
442 B σου σώζει τὴν ψυχήν σου καὶ μετὰ ἁγίων κατατάττει σε πανοικεί, τῆς δὲ βασιλείας μετὰ ἀτιμίας καὶ κινδύνου ἐκπίπτεις." ταῦτα ἀκού-
Th. S. 324, 4 σας Μαυρίκιος ἐδόξασε μεγάλως τὸν θεόν. ‖ τῆς τοίνυν μετοπωρινῆς ὥρας καταλαβούσης, καὶ Μαυρικίου τοῦ βασιλέως κελεύσαντος τῷ Πέτρῳ ἐν τῇ τῶν Σκλαυινῶν χώρᾳ τὸν λαὸν παραχειμάσαι, ἀντέστησαν οἱ Ῥωμαῖοι μὴ καταδεχόμενοι τοῦτο ποιεῖν διά τε τὴν τῶν ἵππων ταπείνωσιν καὶ διὰ τὸ πολλὴν πραΐδαν ἐπιφέρεσθαι καὶ διὰ τὸ πλήθη βαρβάρων περικεχῦσθαι τῇ χώρᾳ, καὶ στάσιν ἐμελέτησαν. ὁ δὲ στρατηγὸς διαγανακτῶν κατὰ τοῦ λαοῦ εἰς ἀπόνοιαν αὐτοὺς
Th. S. 325, 10 ἐνέβαλεν. ‖ ἐπιπίπτουσι τοίνυν ὑετοὶ λάβροι τῷ λαῷ καὶ ψῦχος πολύ.
241 P ὁ δὲ Πέτρος ἀπὸ εἴκοσι μιλίων τῆς στρατιᾶς τὴν διατριβὴν ἐποιεῖτο. Μαυρίκιος δὲ τῷ Πέτρῳ ἐπώχλει διὰ γραμμάτων περᾶσαι τὸν Ἴστρον, καὶ τὰς χειμερινὰς ἀποτροφὰς τοῦ λαοῦ ἐκ τῆς τῶν Σκλαυινῶν χώρας ἀρύσασθαι, ὅπως μὴ δημοσίας σιτήσεις ἀναγκασθῇ τοῖς Ῥωμαίοις παρασχέσθαι. ὁ δὲ στρατηγὸς μεταστειλάμενος τὸν Γουδούην ἔφησεν· "λίαν μοι βαρύτατα τὰ τοῦ βασιλέως προστάγματα ἐπὶ ἀλλοτρίας γῆς χειμάσαι Ῥωμαίους· καὶ τὸ παρακοῦσαι χαλεπόν, καὶ τὸ
443 B ὑπακοῦσαι δεινότερον. οὐδὲν καλὸν τίκτει φιλαργυρία, μήτηρ δὲ

---

1 εἶπόν μοι h. — γινώσκης dh. — 2 Φωκάν dem. — στρατηλάτην Georg. Mon. p. 558. — 3 ἀναλογησάμενος ef ἅμα λογισάμενος g. — 4 ἐντωλικάριος f ἐντοληκάριος (ἐντωλ. em) cegm. — 5 ἔφη om. x. — ἐντεύξεώς ἐστιν dz. — 7 τῷ Φιλ.] Φιλιππικός g. — 8 τῇ νυκτὶ δέ z. — 12 πανοικί z πανοικεῖ emx. — 13 καὶ μετὰ κινδ. z. — 14 μεθοπωρινῆς g μεθοπορινῆς m. — 15 κελεύσαντος om. y post παραχειμάσαι inserit z προστάξαντος ante τῷ Πέτρῳ sec. m. f et Georg. Mon. p. 559. — 16 Σκλάβων Georg. Mon. — τὸν λαόν om. g. — ἀντέστησαν yz. — 18 πραΐδαν dh. — 19 περικεχῶσθαι g. — 20 ἀγανακτῶν g. — εἰς ἀπόνοιαν Th. S. in dementationem A εἰς πόνους codd. — 21 ἐνέβαλλεν g. — λαῦροι g. — τῷ λαῷ] super populum A τῷ στρατῷ codd. — 22 μηλίων hxy. — τῆς στρατιᾶς] ab exercitu A τῆς στράτας codd. (τοῦ χάρακος Th. S.). — 23 ἐπόχλει g ἐπ' ὄχλη h ἐποχλεῖ y. — 24 ἀποστροφάς h. — 26 παρασχεῖν d. — Γουδούιν Th. S. Guduhin A Γουνδόην codd. — 28 προστάσσοντος post Ῥωμαίους add. g imperatoris praecepta—iubentia A. — καὶ τὸ ἐπακοῦσαι δεινῶν χαλεπόν g. — 29 ὑπακοῦσαι] ἐπακοῦσαι hy παρακοῦσαι g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάντων τῶν κακῶν καθέστηκεν. ταύτην νοσῶν ὁ αὐτοκράτωρ τῶν μεγίστων κακῶν αἴτιος τοῖς Ῥωμαίοις γίνεται." ‖ μεταστειλάμενος δὲ Th. S. 326, 9
τοὺς ταξιάρχας τοῦ λαοῦ τὸν τοῦ βασιλέως σκοπὸν αὐτοῖς παρεδήλωσεν. οἱ δὲ ἔφησαν τὸν λαὸν τοῦτο μὴ καταδέξασθαι. ὁ δὲ λαὸς τοῦτο ἀκούσας ἐστασίασεν· καὶ οἱ ἐπίσημοι ἄρχοντες φυγόντες ἐξ αὐτῶν πρὸς τὸν στρατηγὸν παρεγένοντο. τὰ δὲ πλήθη συναθροισθέντα προβάλλονται ἔξαρχον Φωκᾶν τὸν κένταρχον, καὶ ἐπὶ ἀσπίδος τοῦτον ὑψώσαντες εὐφήμησαν ἔξαρχον. καὶ ταῦτα ὁ Πέτρος ἀκηκοὼς εἰς φυγὴν ἐτράπη καὶ τῷ βασιλεῖ πάντα κατάθηλα ἐποίησεν. ὁ δὲ βασιλεὺς τὰ δυσχερῆ ταῦτα ἀκούσας κρύπτειν αὐτὰ τὰ πλήθη ἐπειρᾶτο. δευτέρα δὲ ἡμέρα, καὶ ἱππικὸν ἐπετέλεσε τὰ τῆς συμφορᾶς ἀποκρύπτων. ‖ ὁ δὲ δῆμος τῶν Πρασίνων ἔκραζε λέγων· "Κωνσταντῖνος καὶ Δομεντζίολος, δέσποτα Ῥωμαίων τρισαύγουστε, τῷ οἰκείῳ σου δήμῳ παρενοχλοῦσιν, ἵνα ὁ Κρούκης διοικήσῃ, εἰς ἃς ἔχομεν ἁμαρτίας. ὁ θεός, ὁ τὰ πάντα δημιουργήσας, ὑποτάξει σοι πάντα ἐχθρὸν καὶ πολέμιον ἐμφύλιόν τε καὶ ἀλλόφυλον χωρὶς αἱμάτων." ‖ ὁ δὲ Th. S. 327, 4
βασιλεὺς τοῖς δήμοις ἐδήλου· "μηδὲν ὑμᾶς ταράξῃ ἀλόγων στρατιωτῶν ἀκοσμία καὶ ἀταξία." ‖ οἱ δὲ Βένετοι εἶπον· "ὁ θεός, ὁ 444 B Th. S. 327, 6
κελεύσας σε βασιλεύειν, ὑποτάξει σοι πάντα τὸν πολεμοῦντα τὴν βασιλείαν σου. εἰ δὲ Ῥωμαῖός ἐστιν ὁ ἀγνωμονῶν σε εἰς δουλείαν σου τοῦτον ὑποτάξει χωρὶς αἱμάτων." ‖ τούτους δὲ ὁ βασιλεὺς καθ- Th. S. 328, 3
οπλίσας καὶ λόγοις ἠπίοις κατευνάσας σὺν τοῖς δημάρχοις φυλάττειν τὰ τείχη τῆς πόλεως προσέταξεν. τοῦ δὲ υἱοῦ τοῦ βασιλέως ⟨Θεοδοσίου⟩ ἅμα Γερμανοῦ, τοῦ πενθεροῦ αὐτοῦ, εἰς Καλλικράτειαν κυνηγετοῦντος, ἀποστέλλουσιν οἱ Ῥωμαῖοι γράμματα πρὸς Θεοδόσιον ἀξιοῦντες ὑπ' αὐτοῦ βασιλεύεσθαι, εἰ δὲ μή, κἂν Γερμανὸν ἀναγορεῦσαι βασιλέα· μηδὲ γὰρ ἔτι ἀνέχεσθαι ὑπὸ Μαυρικίου βασιλεύεσθαι. ταῦτα ὁ Μαυρίκιος μαθὼν μεταστέλλεται τὸν υἱὸν πρὸς ἑαυτόν· Κομεντίολον δὲ τὰ τείχη φρουρεῖν προσέταττεν. τὸν δὲ Γερμανὸν σὺν τῷ υἱῷ Θεοδοσίῳ κατηγιᾶτο τῶν συμφορῶν αἴτιον γεγονέναι. τοῦ

1 *τῶν post αὐτοκρ. om.* f horum A. — 3 *τοῦ ante βασ. om.* y. — *αὐτοῖς σκοπόν* x. — 5 seditiones concitaverunt A. — 5 *ἐξ αὐτῶν om.* x. — 7 *Φωκᾶν* em. — *ἐπί om.* h. — 8 *ἔξαρχον om.* d. — 10 *ταῦτα τὰ δυσχερῆ* x. — *αὐτά corr. ex αὐτῶι* g. — *τὰ πλήθη* d multitudines A *τῷ πλήθει corr. ex τὰ πλήθη* cfg *corr. ex τῷ πλήθη* e *τῷ πλήθει* hm. — 11 incommoda infelicitatis A. — 12 *ἔκραξεν* z. — 13 Domentiolus A. — 14 *Κροῦκις* Chron. Pasch. p. 696, 2. — *διοικήσει* hy. — 15 *ὁ δὲ θεός* h. — *σοι add. ex* dA *om. rell.* — 16 *καὶ χωρίς* f. — 17 *ταράξει* hxy. — 19 *τῶν πολεμούντων* yz *πολεμοῦντα (om. τόν)* Th. S. — 21 *σου*] *σοι* f. — *τούτοις* y. — 22 *καταυνάσας* d. — *δημάρχαις* c. — 23 *τὰ μακρὰ τείχη* x (*τὰ Θεοδοσίου τείχη* Th. S.). — filio imperatoris Theodosio A *Θεοδοσίου om. codd.* — 24 *εἰς*] *πρός* x. — *Καλλικράτειαν* Th. S. A *Καλικράτειαν* xz *Καληκράτειαν* y. — 25 *γράμματα οἱ Ῥωμαῖοι* z. — 26 *εἰ δὲ μή* — 27 *βασιλεύεσθαι om.* g. — 26 *Γερμανῷ* h. — *προσαγορεῦσαι* y. — 30 *καταιτιᾶτο* g *καταητιᾶτο* y.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ Γερμανοῦ ἀπολογουμένου, Μαυρίκιος ἔφη· "ὦ Γερμανέ, δύο εἰσὶ
242 P τεκμήρια τῆς ὑπονοίας μου· τά τε ἐκ τοῦ λαοῦ πρός σε γράμματα,
καὶ τοῦ φείδεσθαι τὸν λαὸν τῆς ἀγελαίας ἵππου τῆς νεμομένης σοι
εἰς τὰ προάστεια. πάντα γὰρ διήρπασαν, καὶ τῶν σῶν ἐφείσαντο.
445 B φείδου, Γερμανέ, τοῦ μηκύνειν τὸν λόγον, οὐδὲν ἡδύτερον τοῦ διὰ
Th. S. 329, 17 ξίφους τεθνάναι." ‖ ὁ δὲ Γερμανὸς εἰς τὸν ναὸν τῆς θεομήτορος τῶν
Th. S. 329, 25 Κύρου προσέφυγεν. ‖ καὶ ὁ βασιλεὺς τοῦτο μαθὼν Στέφανον τὸν
εὐνοῦχον ἀπέστειλεν ὑπεξαγαγεῖν τὸν Γερμανὸν τῆς ἐκκλησίας. τοῦ
δὲ Στεφάνου βιαίως ἐξαγαγεῖν τοῦτον θελήσαντος, οἱ τοῦ Γερμανοῦ
ὑπασπισταὶ ἀντικαταστάντες ἐξωθοῦσι τὸν Στέφανον καὶ λαβόντες
τὸν Γερμανὸν εἰς τὴν μεγάλην ἐκκλησίαν καταφεύγουσιν. ὁ δὲ
βασιλεὺς ῥάβδοις ἐμαστίγου Θεοδόσιον, τὸν ἑαυτοῦ υἱόν. ἔφασκε
Th. S. 330, 16 γὰρ δι' αὐτοῦ τὸν Γερμανὸν φυγαδευθῆναι· ‖ καὶ ἀποστέλλει τοὺς
ἐκσκουβίτορας τοῦ ἐξαγαγεῖν τῆς μεγάλης ἐκκλησίας τὸν Γερμανόν.
ἐντεῦθεν θρῦλος μέγας τῇ πόλει ἐνέσκηψεν. ὁ δὲ Γερμανὸς ἠθέλη-
σεν ἐξελθεῖν καὶ δοῦναι ἑαυτόν· τὰ δὲ πλήθη οὐ κατεδέξαντο, ἀλλ'
ὕβρεσι μεγάλαις τὸν βασιλέα ἠτίμασαν λέγοντες· "μὴ σχοίη δέρμα
ὁ φιλῶν σε, Μαυρίκιε Μαρκιανιστά." οἱ τοίνυν τὰ τείχη φρου-
ροῦντες ταῦτα μαθόντες τῆς φρουρᾶς κατημέλησαν. τότε οἱ τοῦ
Πρασίνου μέρους τὴν οἰκίαν Κωνσταντίνου τοῦ λεγομένου Λάρδου
Th. S. 331, 13 καταφλέγουσιν. ‖ ὁ δὲ Μαυρίκιος μεσούσης τῆς νυκτὸς ἀποδυσάμενος
τὴν βασίλειον στολὴν καὶ ἰδιωτικὴν περιβαλόμενος εἰς δρόμωνά τε
εἰσελθὼν μετὰ τῆς γυναικὸς καὶ τῶν τέκνων αὐτοῦ καὶ Κωνσταν-
446 B τίνου ἀποδιδράσκει. τὰ πλήθη δὲ δι' ὅλης τῆς νυκτὸς αἰσχίσταις
ὕβρεσι τὸν βασιλέα καθύβριζον, ἐπέσκωπτόν τε καὶ τὸν πατριάρχην
Κυριακόν. λαίλαπος τοίνυν γενομένου μεγάλου, μετὰ κινδύνων
μεγίστων διασώζεται ὁ Μαυρίκιος εἰς τὸν ἅγιον Αὐτόνομον. ἐν
αὐτῇ δὲ τῇ νυκτὶ ἐπιτίθενται αὐτῷ καὶ νόσοι ἀρθρίτιδες, ‖ ἃς ποδαλ-
Th. S. 332, 7 γίας καὶ χειραλγίας καλοῦσιν. ‖ ἐντεῦθεν ἀποστέλλει Θεοδόσιον, τὸν
ἑαυτοῦ υἱόν, μετὰ Κωνσταντίνου πρὸς Χοσρόην, τὸν βασιλέα Περσῶν,

1 ἔφη] εἶπεν x. — 2 τά τε γράμμ. τὰ (τά om. c) ἐκ τ. λαοῦ πρός σε x. — 3 τοῦ] τό? — φείσασθαι d. — 4 ἐφήρπασαν g. — 5 ὦ Γερμανέ d. — 5 οὐδέν — 6 τεθνάναι om. h. — 6, 7 τῶν Κύρου] εἰς τὰ Κύρου x. — 8 ὑπεξαγαγεῖν x Th. S. τοῦ ἐξαγ. yz. — 13 διὰ τούτου y. — τὸν om. y. — 14 ἐκσκουβίτορας em ἐκσκουβήτορας x ἐκσουβίτωρας f ἐξκουβίτωρας g. — 15 θρῦλος c θροῖλος h θρῦλλος dg θροῦλλος y. — 17 μεγάλοις f. — σχοίη] ἔσχη y σχῇ?. — 18 Μαρκιονιστά h Marcionista A. — 20 Λάρδου Th. S. — 22 βασίλειον cefz Th. S. βασιλικήν m Georg. Mon. p. 559 βασιλεικήν d. — περιβαλλόμενος g. — δρόμωνα Th. S. A Georg. Mon. δρόμωνας gx δρόμονας hy. — τε om. x. — 24 τὰ δὲ πλήθη dz. — 27 apud Sanctum Autonomon salvatur Mauricius A (ἐπὶ τὸν νεὼν Αὐτονόμου τοῦ μάρτυρος Th. S. cf. Ioh. Ant. frg. 218[d] Georg. Mon. p. 559) διασώζεται αὐτόνομος codd. — 28 αὐτῇ] ταύτῃ d. — ἀθριτιδες (-ήτιδες h) yz. — 29 ἐνταῦθα x. — 29. 30 τὸν αὐτοῦ υἱόν f τὸν υἱὸν αὐτοῦ d. — 30 μετὰ Κωνσταντίνου post Περσῶν inserit g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅπως ὑπομνησθῇ τῶν ὑπὸ Μαυρικίου γεγονότων αὐτῷ καὶ τὴν ἀνταπόδοσιν τῆς εὐεργεσίας προσνείμῃ τῷ υἱῷ αὐτοῦ. ‖ ὁ δὲ Γερ- Th. S. 332, 20
μανὸς πέμπει πρὸς Σέργιον, τὸν δήμαρχον τοῦ Πρασίνου μέρους, ὅπως συναγωνίσηται αὐτῷ τοῦ βασιλεῦσαι, ὑποσχόμενος τιμῆσαι τὸ μέρος τοῦ Πρασίνου καὶ αὐτὸν μεγάλαις ἀξίαις περιβαλεῖν. ὁ δὲ Σέργιος τοῖς ἐπισημοτέροις τοῦ δήμου τοῦτο ἐθάρρησεν. οἱ δὲ τοῦτο οὐ κατεδέξαντο λέγοντες· "οὐκ ἄν ποτε Γερμανὸς τῆς τῶν Βενέτων προσπαθείας ἀποστήσεται." ‖ οἱ δὲ Πράσινοι ἐξελθόντες εἰς τὸ Ῥήγιον Th. S. 333, 12
243 P
μεγάλαις εὐφημίαις ἐτίμων τὸν τύραννον Φωκᾶν, καὶ πείθουσιν αὐτὸν ἐν τῷ Ἑβδόμῳ παραγενέσθαι. πέμπει τοίνυν ὁ Φωκᾶς Θεόδωρον τὸν ἀσηκρήτην, καὶ εἰσελθὼν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐπανέγνωσε τῷ λαῷ, ὅπως ὅ τε πατριάρχης οἱ δῆμοί τε καὶ ἡ σύγκλητος ἀφίκων- 447 B
ται ἐν τῷ Ἑβδόμῳ. τούτου τοίνυν γεγονότος, καὶ πάντων ἐν τῷ Ἑβδόμῳ ἀφικομένων, ‖ Κυριακὸς ὁ πατριάρχης ἀπήτησε τὸν τύραννον ὁμολογίαν περὶ τῆς ὀρθοδόξου πίστεως καὶ τοῦ ἀτάραχον φυλάξαι τὴν ἐκκλησίαν. ‖ ἔδοξε δὲ ὁ τύραννος τὸν Γερμανὸν εἰς βασιλέα Th. S. 334, 1
προτρέπεσθαι. τοῦ δὲ Γερμανοῦ κατειρωνευομένου μὴ θέλειν, καὶ τῶν δήμων εὐφημούντων τὸν τύραννον, ἀναγορεύεται τὸ κακόν, καὶ κύριος τῶν σκήπτρων ὁ τύραννος προχειρίζεται, καὶ κρατεῖ τῆς εὐδαιμονίας ἡ συμφορά, καὶ λαμβάνει τὴν ἔναρξιν τὰ μεγάλα τῶν Ῥωμαίων ἀτυχήματα. ἡ δὲ ἀναγόρευσις τοῦ τυράννου εἰς τὸν ναὸν τοῦ βαπτιστοῦ Ἰωάννου ἐγένετο. δύο δὲ ἡμέρας ἐν τούτῳ διατρίψας τῇ τρίτῃ εἰς τὰ βασίλεια εἰσῆλθεν ἐπὶ βασιλικῆς ἁμάξης καθεζόμενος. τῇ δὲ πέμπτῃ ἡμέρᾳ Λεοντίαν, τὴν ἑαυτοῦ γυναῖκα, ἔστεψεν αὐγούσταν. καταστασιάζουσι τοίνυν τὰ μέρη πρὸς ἄλληλα ταύτῃ τῇ ἡμέρᾳ διὰ στάσεις τόπων. ‖ ὁ δὲ τύραννος Ἀλέξανδρον, Th. S. 335, 5
τὸν συναντάρτην αὐτοῦ, ἐξέπεμψε κατευνάσαι τὰ μέρη. ὁ δὲ Ἀλέξανδρος Κοσμᾷ, τῷ τῶν Βενέτων δημάρχῳ, χεῖρας ἐπιβαλὼν ὤθησέ τε καὶ ὕβρισεν. οἱ δὲ Βένετοι ἀγανακτοῦντες ἔκραζον· "ὕπαγε· μάθε 448 B
τὴν κατάστασιν, ὁ Μαυρίκιος οὐκ ἀπέθανεν." ὁ δὲ τύραννος τούτων ἀκηκοὼς ἐπὶ τὸν τοῦ Μαυρικίου φόνον κινεῖται· ‖ καὶ ἀπο- Th. S. 336, 1
στείλας στρατιώτας ἤγαγεν αὐτοὺς ἐν Χαλκηδόνι εἰς τὸν Εὐτροπίου

---

2 προσνείμει g προσνήμει h. — 8 ἀποστήσηται x. — 10 ὁ om. z. — 11 ἀσικρίτην y ἀσηκρῆτις g ἀσηκρίτις d ἀσηκρίτης c ἀσικρίτης h. — ἐλθών d. — ἐπανέγνω d. — 12 καὶ οἱ δῆμοι καὶ z. — ἀφίκονται (ἀφήκ. h) hy. — 13 τούτου — 14 Ἑβδόμῳ om. f. — 17 κατηρωνευομένου hxy. — 18 ἀνευφημούντων d. — τέλος ἀναγορ. d. — 20 μεγάλα om. d. — 22 τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ g. — γέγονεν g. — 24 Λεοντιέαν f. — γυναῖκα om. c. — 25 αὐγοῦσταν cg. — καταστασιάζουσι] καταστάσει h. — 26 διὰ στ. τόπων om. d. — διὰ στάσις m διαστάσεις eh διάστασις fg διαστασις sine acc. c. — τόπον ef. — 27 ἔπεμψε xz. — κατανυᾶσαι dg. — 30. 31 τούτων ἀκηκοὼς τῶν φωνῶν z. — 32 αὐτούς] eum A. — Καλχηδόνι g. — Εὐτροπίου A Th. S. Ioh. Ant. *frg.* 218[a] Georg. Mon. p. 560 Zonaras XIV, 14 Εὐροπίου x Εὐρωπίου y Εὐρωπίου z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιμένα. καὶ προαναιροῦνται τοῦ βασιλέως οἱ παῖδες οἱ ἄρρενες ἐπ' ὄψεσιν αὐτοῦ πέντε, ἐντεῦθεν προκολάζων τὸν βασιλέα τῇ τῶν παίδων σφαγῇ· ὁ δὲ Μαυρίκιος φιλοσοφῶν τὸ δυστύχημα τὸν ἐπὶ πάντων ἐπεκαλεῖτο θεὸν καὶ πυκνῶς ἐφθέγγετο· "δίκαιος εἶ, κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου." γίνεται τοίνυν τῶν παίδων ὁ θάνατος τοῦ πατρὸς ἐπιτάφιον προεπιδειξαμένου τὴν ἀρετὴν ἐν τῷ μεγέθει τῆς συμφορᾶς. τῆς γὰρ τιθηνῆς ὑποκλεψάσης ἕν τι τῶν βασιλικῶν μειρακίων καὶ πρὸς σφαγὴν τὸ ἑαυτῆς ἐπιδωσάσης, ὁ Μαυρίκιος οὐ κατεδέξατο, ἀλλὰ τὸ ἴδιον ἐπεξήτησεν· ‖ φασὶ δέ τινες, ὅτι, τούτου σφαγέντος, γάλα σὺν τῷ αἵματι ἔρρευσεν, ὥστε πάντας τοὺς ὁρῶν-
Th. S. 336, 17 – 244 P τας θρηνῆσαι δεινῶς. ‖ οὕτω μὲν οὖν ὁ βασιλεὺς καὶ νόμων φύσεως
Th. S. 340, 9 – 449 B ὑψηλότερος γεγονὼς ὑπαλλάττει τὸν βίον. ‖ οὐ διέλειπε δὲ τῇ Ῥωμαίων βασιλείᾳ ἐξ ἐκείνου καιροῦ δυστυχήματα ποικίλα τε καὶ ἐξαίσια. ‖ ὅ τε γὰρ Χοσρόης, ὁ τῶν Περσῶν βασιλεύς, τὴν εἰρήνην διέλυσεν, καὶ οἱ Ἄβαρεις τὴν Θράκην διώλεσαν, καὶ ἄμφω τὰ στρα-
Th. S. 339, 24 – τεύματα τῶν Ῥωμαίων διεφθάρησαν, ὥστε, ‖ ὑπηνίκα Ἡράκλειος ἐβασίλευσε καὶ ἐξέτασιν τοῦ ὁπλιτικοῦ ἐποιήσατο εἰς τὸ ἀκριβές, ἐκ πάσης τῆς πληθύος τῆς εὑρεθείσης ἐπὶ τῆς τυραννίδος Μαυρικίῳ μετὰ Φωκᾶ οὐχ εὗρε περαιτέρω δύο ἀνδρῶν. οὕτως οἱ τὸν τύραννον προστησάμενοι ἐπὶ αὐτοῦ ἀνηλώθησαν.

602/3 A. M. 6095

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς
,ϛϡε΄.	ἔτη φϡε΄.	Φωκᾶς	Χοσρόης
		ἔτη ζ΄.	ἔτη λθ΄.
		α΄.	ιε΄.
Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Κυριακὸς	Ἰσάκιος	Εὐλόγιος	Ἀναστάσιος
ἔτη ια΄.	ἔτη η΄.	ἔτη κζ΄.	ἔτη θ΄.
θ΄.	γ΄.	κδ΄.	γ΄.

Τούτῳ τῷ ἔτει μηνὶ Νοεμβρίῳ, ἰνδικτιῶνος ϛ΄, βασιλεύσας Φωκᾶς

---

1 οἱ *ante* ἄρρενες *om.* f. — 6 προεπιδειξαμένου Th. S. praeostendens A προεπιδεξαμένου m προσεπιδειξαμένου *rell.* — 7 τιθινῆς x τηθηνῆς g. — ὑποκλεψάσης Th. S. Georg. Mon. p. 560 Zonaras XIV, 14 αὐτοῦ (ἑαυτοῦ m) κλεψάσης *codd.* — ἕν τι Th. S. ἓν ἐκ τῶν Georg. Mon. p. 561 ἕνα *codd.* — 8 πρὸς σφαγὴν τὸ ἑαυτῆς *sec. m.* fA πρὸς φυγὴν ἑαυτήν *codd.* — ἐπιδοσάσης hx ἐπιδούσης *sec. m.* f *in lit. verbi longioris.* — 10 ἔρευσε *codd.* — 11 νόμον ce μόνον f. — 12 διέλιπε g. — δὲ *om.* f. — τῇ Ῥ. βασιλείᾳ d Georg. Mon. p. 561 τὴν Ῥ. βασιλείαν *rell.* — 15 βάρβαροι y. — τὰ στρατόπεδα x. — 16 ὁ Ἡράκλ. c. — 17 καὶ *ante* ἐξέτασιν *om. et ante* ἐκ *add. codd. Correxi ex* A. *cf.* Tafel p. 62, Not. 1. — 18 Μαυρικίῳ] Ἡρακλείῳ d. — εὑρεθείσης Μαυρικίῳ ἐπὶ τῆς τυραννίδος τοῦ Φωκᾶ Tafel *cum* Cedreno *et* m *sec. m.* — 23[3] Φωκάς fm *sine acc.* e. — 28[1] Κυριακός *om.* h. — 31 ἰνδικτιῶνος *om.* y ἰν *rell.* — ϛ΄] θ΄ h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ τύραννος ἀνεῖλεν, ὡς προλέλεκται, Μαυρίκιον σὺν πέντε παισὶν ἄρρεσιν· καὶ τὰς τούτων κεφαλὰς ἐκέλευσε τεθῆναι ἐν τῷ Κάμπῳ τοῦ τριβουναλίου ἡμέρας ἱκανάς· καὶ ἐξήρχοντο οἱ τῆς πόλεως καὶ ἐθεώρουν αὐτάς, ἕως ἐπώζεσαν. ἀναιρεῖται δὲ καὶ Πέτρος, ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἄλλοι πολλοί. Θεοδόσιον δέ, τὸν υἱὸν αὐτοῦ, λόγος κρατεῖ πεφευγέναι καὶ σεσῶσθαι. ταύτην δὲ τὴν φήμην Χοσρόης, ὁ τῶν Περσῶν βασιλεύς, ηὔξησεν ἄλλοτε ἄλλως ψευδόμενος καὶ παρ' ἑαυτῷ τοῦτον ἔχειν λέγων καὶ προνοεῖν δῆθεν, ἵνα τὴν Ῥωμαίων βασιλείαν παραλάβῃ, δολερῶς δὲ τῆς τῶν Ῥωμαίων βασιλείας ἐλπίζων κρατῆσαι, ὡς ἠλέγχθη πολυτρόπως, μάλιστα δὲ ἐκ τοῦ πολέμους αἰφνιδίους κινῆσαι καὶ μεγάλως λυμήνασθαι τὰ Ῥωμαϊκά. τοῦ δὲ Φωκᾶ πρέσβιν πρὸς αὐτὸν ἀποστείλαντος Βίλιον, τοῦτον ἐκράτησε καὶ εἰς φυλακὴν ἀπέθετο, μηκέτι εἰς τὰ Ῥωμαϊκὰ ὑποστρέψαι, γράμμασι δὲ ἀτίμοις τὸν Φωκᾶν ἀντημείβετο. ‖ Κωνσταντῖναν δὲ τὴν βασίλισσαν ἅμα ταῖς τρισὶ θυγατράσι ἐν οἰκίᾳ ἰδιωτικῇ, ἐπιλεγομένῃ τῶν Λέοντος, ὁ τύραννος κατέστησεν. ‖

cf. Th. S. p. 341, 5 et p. 346, 9 — 450 B — cf. Th. S. p. 345, 15 — Th. S. 345, 11

‖ Ἐν Ἀλεξανδρείᾳ τῇ πόλει καλλιγράφος τις, ἀνὴρ εὐλαβής, ἐκ παννυχίδος οἴκαδε πορευόμενος μεσούσης νυκτὸς ὁρᾷ τοὺς ἀνδριάντας ἐκ τῶν βωμῶν καθελκυσθέντας καὶ μεγάλῃ τῇ φωνῇ λέγοντας, ἀναιρεῖσθαι Μαυρίκιον καὶ τὰ τέκνα αὐτοῦ, καὶ πάντα τὰ ἐν Βυζαντίῳ πραχθέντα συμπτώματα. πρωΐας δὲ ἀπελθὼν ὁ ἀνὴρ τῷ αὐγουσταλίῳ ταῦτα διηγήσατο· ὁ δὲ παρήγγειλεν αὐτῷ μηδενὶ ταῦτα κατάδηλα ποιῆσαι, ἀπογραψάμενος δὲ τὴν ἡμέραν ἐκαραδόκει τὴν ἔκβασιν. ἐνάτῃ δὲ ἡμέρᾳ, καὶ ἄγγελος κατέλαβε μηνύων τὴν Μαυρικίου ἀναίρεσιν. τότε ὁ αὐγουστάλιος τὴν τῶν δαιμόνων πρόρρησιν ἐπὶ λαοῦ ἐθριάμβευσεν. ‖

Th. S. 341, 16 — 245 P

Ναρσῆς δέ, ὁ τῶν Ῥωμαίων γενόμενος στρατηγός, κατὰ τοῦ τυράννου ἀντῆρε καὶ τὴν Ἔδεσαν ἐκράτησεν. γράφει τοίνυν Φωκᾶς Γερμανῷ τῷ στρατηγῷ πολιορκῆσαι τὴν Ἔδεσαν. ὁ δὲ Ναρσῆς γράφει πρὸς Χοσρόην, τὸν βασιλέα Περσῶν, ἀθροῖσαι δυνάμεις καὶ

451 B

2 ἐν τῷ K. Georg. Mon. p. 561 τῷ om. codd. — κάππῳ cem. — 5 et alii proceres multi A. — 6 φήμην e φυγήν c. — 7 ἄλλος ef. — 9 βασιλείας om. d. — 10 ἐκ τοῦ] ἐκ τοὺς c ἐκ τὸ τούς y. — πολέμου g. — 11 αἰφνιδίως f. — 12 πρέσβιν g πρέσβην dh πρέσβειν cem πρέσβιν m. 2 in lit. f. — Βιλίον z Βιβλίον y Λίβιον d Βι λιον (sine acc. et spatio unius lit. vacuo) c Λίλιος Th. S. — 13 τὰ om. c. — ὑποστρέψαντα cz. — 14 δὲ om. h. — τὸν Φ. ἀτίμοις x. — ἀνταμείβεται g ἀνταμείβετο h. — Κωνσταντίναν dz Κωνσταντίαν f. — 15 οἰκείᾳ h. — 16 τῶν] τὰ d. — 17 ἐν om. f. — ἀνὴρ add. ex dA om. cyz. — 18 παννυχίδος mz. — μεσ. τῆς νυκτός h. — 20 καὶ ἁπλῶς πάντα τὰ ἐν τῷ B. d. — 22 ταῦτα] πάντα d. — 24 ἐννάτῃ z. — 24. 25 τήν τε M. ἀναίρεσιν καὶ τὴν τοῦ Φωκᾶ ἀνάρρησιν d. — 25 ὁ add. ex d om. rell. — 27 Ναρσῆς g Νάρσης m sine acc. e. — 28 ἀντεῖρεν y. — Λίδεσαν z. — 29 Λίδεσαν z Ἔδεσσαν f. — Ναρσῆς cg. — 30 πρὸς βασ. Π. τὸν Χοσρόην g. — Χοσρώην by similiterque ubique in sqq. — συναθροῖσαι d.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

κατὰ Ῥωμαίων συστήσασθαι πόλεμον. ἐποίησε δὲ Φωκᾶς τὸν ἴδιον ἀδελφὸν Δομεντζίολον μάγιστρον, καὶ τὸν Πρίσκον κόμητα ἐκσκουβιτόρων.

602/3 A. M. 6096 β΄. ις΄. ί. δ΄. κε΄. δ΄.

Τούτῳ τῷ ἔτει μηνὶ Δεκεμβρίῳ, ἰνδικτιῶνος ζ΄, προῆλθε Φωκᾶς ἐν ταῖς ἑορταῖς ῥίψας ὑπατείαν πολλήν. Χοσρόης δέ, ὁ βασιλεὺς τῶν Περσῶν, συναθροίσας δύναμιν πολλὴν κατὰ Ῥωμαίων ἐξαπέστειλεν. ὁ δὲ Γερμανὸς ἀκούσας ἐφοβήθη, ἀναγκαζόμενος δὲ τοῦ πολέμου ἀπήρξατο. τοῦ δὲ Γερμανοῦ ἐν τῷ πολέμῳ πληγέντος, οἱ ὑπασπισταὶ τοῦτον διέσωσαν μέχρι Κωνσταντίνης, καὶ ἡττῶνται Ῥωμαῖοι· ἐνδεκάτῃ δὲ ἡμέρᾳ, καὶ ὁ Γερμανὸς ἐτελεύτησεν. ὁ δὲ Φωκᾶς τὰς δυνάμεις ἀπὸ τῆς Εὐρώπης ἐπὶ τὴν Ἀσίαν μετέφερε τῷ Χαγάνῳ τὰ πάντα ἐπαυξήσας, νομίζων ἠρεμεῖν τῶν Ἀβάρων τὸ ἔθνος. ταύτας δὲ διελὼν ⟨τὰς μὲν⟩ κατὰ Περσῶν ἀπέστειλεν, τὰς δὲ πρὸς τὴν πολιορκίαν Ἐδέσης κατὰ Ναρσοῦ σὺν Λεοντίῳ εὐνούχῳ
452 B καὶ μεγιστάνῳ αὐτοῦ. ὁ δὲ Χοσρόης συναθροίσας δυνάμεις ἐπὶ τὸ Δαρᾶς γίνεται. Ναρσῆς δὲ ἐξελθὼν τῆς Ἐδέσης ἐπὶ τὴν Ἱεράπολιν κατέφυγεν. ὁ δὲ Χοσρόης σὺν τοῖς Ῥωμαίοις γίνεται εἰς τὸ Ἀρξαμοῦν, καὶ φρούριον ἀπὸ ἐλεφάντων συστησάμενος τοῦ πολέμου ἀπήρξατο καὶ νίκην μεγάλην ἤρατο, πολλοὺς τῶν Ῥωμαίων ζωγρήσας, οὓς καὶ ἀπέτεμεν. τούτων οὕτω πραχθέντων, ὁ Χοσρόης ἐπὶ τὴν ἑαυτοῦ γῆν ἐπανέζευξε Ζογγόῃ τὰς δυνάμεις καταλιπών. τοῦτο μαθὼν ὁ Φωκᾶς κατὰ Λεοντίου ἐμάνη καὶ χειροπέδαις σιδηραῖς ἀτίμως αὐτὸν εἰς Βυζάντιον φέρει καὶ χειροτονεῖ στρατηγὸν Δομεντζίολον, τὸν ἴδιον ἀνεψιόν, ὃν καὶ κουροπαλάτην ἐποίησεν.

603/4 A. M. 6097 γ΄. ιζ΄. ια΄. ε΄. κς΄. ε΄.

Τούτῳ τῷ ἔτει ἀπέστειλε Χοσρόης Καρδαρίγαν καὶ Ῥουσμιάζαν, καὶ ἐπόρθησαν πολλὰς τῶν Ῥωμαίων πολιτείας. ὁ δὲ Δομεντζίολος λόγον δοὺς τῷ Ναρσῇ καὶ ὅρκοις πολλοῖς πείσας αὐτὸν μηδεμίαν

---

2 *Δομνεντζίολον* c Domentiolum A. — *μαγίστρον* de *sine acc.* c. — *ἐκσκουβητόρων* dh *ἐκσουβιτόρων* cf *ἐξκουβητόρων* g. — 5 *Δεκεμβρίῳ ζ΄ ἰνδ* f *Δεκεμβρίῳ ζ΄ ἰν ζ΄* z. — *ἰν codd.* — *προσῆλθε* g. — 6 *ὑπατείαν codd.* — *ὁ om.* c. — *ὁ τῶν Π. βασ.* h. — 7 *τῶν om.* x. — *δυνάμεις πολλὰς* h. — 12 *τὰς om.* em. — 13 *τῶν Ἀβάρων scr. ex* A *τῶν βαρβάρων* xz *τῶν δὲ βαρβάρων* y. — 14 *διελθών* y. — *τὰς μὲν add. ex* A *om. codd.* — 15 *δὲ om.* h. — *Αἰδέσης* z *Ἐδέσσης* m. — 17 *Δαρᾶς* hxy. — *Αἰδέσης* z. — *ἱερὰν πόλιν* c. — 18 *Ἀρζαμοῦν* d Ardamum A *Ἀρζάμων*?. — 19 *ἀπὸ ἐλεφάντων* zA *ἀπὸ ἐλέφαντος* xy. — 20 *ἤρατο* hx. — 21 *οὕτως* ef. — 22 *ζογγοήτας δυνάμεις* y. — *καταλειπών* hx. — 23 *ὁ om.* d. — *χειροπαῖδες* y. — 24 Domentiolum A. — 25 *καροπαλάτην* xy. — 26 *ε΄ in fine om.* c. — 27 *Καρδαριγάν* f *Καρδαρῆγαν* g. — *Ῥουσμιάζην* h. — 28 *ἐπόρθησεν* g. — *πόλεις* h *πόλλεις* g. — *Δομεντίολος* hA *Μεντζίολος* y. — 29 *λόγον δούς*] *λόγοις* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀδικίαν παρὰ τῷ Φωκᾷ ὑπομένειν, ἀπέλυσεν αὐτὸν πρὸς Φωκᾶν· ὁ δὲ Φωκᾶς μὴ φυλάξας τὸν λόγον τοῦτον πυρὶ κατέκαυσεν. ἐν λύπῃ οὖν μεγάλῃ γεγόνασιν οἱ Ῥωμαῖοι, ὅτι φόβον μέγαν εἶχεν εἰς Πέρσας ὁ Ναρσῆς, ὥστε τὰ τέκνα τῶν Περσῶν ἀκούοντα τὸ ὄνομα Ναρσοῦ τρέμειν· ⟨οἱ δὲ Πέρσαι ἠγαλλιῶντο χαρᾷ μεγάλῃ⟩.

Κωνσταντινουπόλεως ἐπίσκοποι Θωμᾶς ἔτη γ'. A. M. 6098 604/5.
δ'. ιη'. α'. ς'. κζ'. ς'.

Τούτῳ τῷ ἔτει σχολαστικὸς εὐνοῦχος, ἀνὴρ ἔνδοξος τοῦ παλα- 453 B
τίου, μεσούσης νυκτὸς Κωνσταντῖναν τὴν δέσποιναν σὺν ταῖς τρισὶ θυγατράσιν αὐτῆς λαβὼν εἰς τὴν μεγάλην ἐκκλησίαν κατέφυγε τῇ βουλῇ Γερμανοῦ τοῦ πατρικίου, ὀρεγομένου τῆς βασιλείας. γίνεται τοίνυν ἐν τῇ πόλει στάσις μεγάλη. οἱ δὲ Πράσινοι ἀθροισθέντες ἐπὶ τὸν κοχλίαν ἐδυσφήμουν τὴν Κωνσταντῖναν· ὁ δὲ Γερμανὸς τῷ δημάρχῳ τῶν Πρασίνων τάλαντον χρυσίου ἀπέστειλεν, ὥστε συνεργῆσαι αὐτοῖς. τὰ δὲ πρωτεῖα τοῦ δήμου οὐ κατεδέξαντο τοῦτο. ὁ δὲ τύραννος ἐπεμψεν εἰς τὴν ἐκκλησίαν τοῦ ἀποσπάσαι τὰ γύναια· ὁ δὲ πατριάρχης Κυριακὸς ἀντεκαθίστατο τῷ τυράννῳ μὴ καταδεξάμενος ἐκ τοῦ ναοῦ ἀποσπάσαι τὰ γύναια τυραννικῶς. ὅρκοις δὲ βεβαιωθεὶς ὑπὸ τοῦ Φωκᾶ, ὡς οὐκ ἀδικήσει αὐτάς, ἐξάγονται τοῦ ἁγίου τεμένους καὶ ἐν μοναστηρίῳ ἐγκλείονται· τὸν δὲ Γερμανὸν ἀποκείρας ἐν ἱερεῦσι κατέταξε καὶ ἐν τῷ ἰδίῳ οἴκῳ παρεφύλαττεν. τότε καὶ Φιλιππικὸς τὴν κόμην ἑλόμενος ἱερωσύνης ἀξίαν ἀνέλαβε καὶ ἐν Χρυσοπόλει ἐν τῷ μοναστηρίῳ, ὃ ἔκτισεν, διέτριβεν. οἱ δὲ Πέρσαι ἐν τούτῳ τῷ ἔτει παρέλαβον τὸ Δαρᾶς καὶ πᾶσαν τὴν Μεσοποταμίαν καὶ Συρίαν αἰχμαλωσίαν πολλὴν ποιήσαντες, ἧς οὐκ ἔστιν ἀριθμός. τοῦ δὲ πατριάρχου Κυριακοῦ τελευτήσαντος, Θωμᾶς χει- 454 B
ροτονεῖται ἀντ' αὐτοῦ, διάκονος καὶ σακελλάριος ὢν τῆς αὐτῆς ἐκκλησίας, μηνὶ Ὀκτωβρίῳ ια'.

---

3 διότι d. — εἰς τοὺς Π. z. — 5 οἱ δὲ Π. — μεγάλῃ *add. ex* A: porro Persae gavisi sunt gaudio magno. *om. codd.* — 7 ιη'] ιγ' y. — 9 Κωνσταντίναν dfz. — 11 τῆς βασιλείας] τὴν βασιλείαν *codd. et edd.* — 12 μεγάλῃ στάσις x. — 13 Κωνσταντίναν hy. — 14 χρυσοῦ h. — ἀπέλυσεν c. — 16 τοῦ] τό f. — 17 ὁ δὲ πατρ. — 18 γύναια *om.* h. — 18 ἐκ *om.* g. — ἀποσπασθῆναι d. — 19 ὡς *om.* c. — ἀδικήσῃ d. — 21 καὶ — παρεφύλαττεν *om.* g. — 22 καὶ *om.* g. — τὴν κόμην ἀποκειράμενος καὶ μοναχικὸν βίον ἑλόμενος? — ἔλαβεν fm ἐνέβαλεν g. — 23 ὃ] ὦ hxy. — 24 Δαράς xy. — 27 σακελάριος fh.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

605/6 A. M. 6099	*Κόσμου*	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*
	ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*
	ϛϡθ'.	*ἔτη φϡθ'.*	*Φωκᾶς*	*Χοσρόης*
			ἔτη ζ'.	*ἔτη λθ'.*
			ε'.	*ιθ'.*
	Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	*Ἀντιοχείας*
	ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*	*ἐπίσκοπος*
	Θωμᾶς	*Ἰσάκιος*	*Θεόδωρος*	*Ἀναστάσιος*
	ἔτη γ'.	*ἔτη η'.*	*ἔτη β'.*	*ἔτη θ'.*
	β'.	*ζ'.*	*α'.*	*ζ'.*

cf. Ioh. Ant. frg. 218 c

Τούτῳ τῷ ἔτει Φωκᾶς ὁ τύραννος ἔξευξε τὴν ἑαυτοῦ θυγατέρα Δομεντζίαν Πρίσκῳ τῷ πατρικίῳ καὶ κόμητι τῶν ἐκσκουβιτόρων, καὶ γενομένου τοῦ γάμου ἐν τῷ παλατίῳ τῶν Μαρίνης, ἐκέλευσεν
247 P *ἱππικὸν ἀχθῆναι. οἱ δὲ δήμαρχοι τῶν δύο μερῶν ἐν τοῖς τετρακίοσι σὺν τῶν βασιλικῶν λαυράτων ἔστησαν Πρίσκου καὶ Δομεντζίας λαυράτα. ταῦτα ἰδὼν ὁ βασιλεὺς ἠγανάκτησεν, καὶ πέμψας ἤγαγε τοὺς δημάρχους Θεοφάνην καὶ Πάμφιλον, καὶ στήσας αὐτοὺς εἰς τὸ στάμα γυμνοὺς ἐκέλευσεν ἀποτμηθῆναι αὐτούς. πέμψας δὲ τὸν πρωτοκούρσορα αὐτοῦ ἠρώτα αὐτούς, τίνος ἐπιτρέψαντος τοῦτο πεποίηκαν; οἱ δὲ εἶπον, ὅτι κατὰ συνήθειαν οἱ γραμμισταὶ τοῦτο πεποίηκαν. ὁ δὲ δῆμος καὶ οἱ ὄχλοι ἔκραζον· "φιλανθρώπου δεσπότου πολλὰ τὰ ἔτη." οἱ δὲ γραμμισταὶ ἐρωτηθέντες διὰ τί τοῦτο πεποίηκαν; ἔφησαν, ὅτι "τοῦ βασιλέως τέκνα ὀνομασθέντα ὑπὸ πάντων, ἡμεῖς ἀφ' ἑαυτῶν τοῦτο πεποιήκαμεν." ὁ δὲ Πρίσκος φόβῳ*
455 B *συνεχόμενος τὴν ἀγανάκτησιν ἐδειλία τοῦ βασιλέως. ‖ τῶν δὲ ὄχλων κραζόντων φιλανθρωπευθῆναι αὐτοῖς, συνεχώρησεν ὁ Φωκᾶς· ἔκτοτε οὖν ὁ Πρίσκος μηνιάσας οὐκ ἦν ἐν ὀρθότητι μετὰ Φωκᾶ. γυνὴ δέ τις ὀνόματι Πετρωνία γίνεται τῇ βασιλίσσῃ Κωνσταντίνῃ ὡς ἀντὶ διακόνου πρὸς Γερμανὸν ἐκ Κωνσταντίνης τὰς ἀποκρίσεις ποιουμένη· τῆς δὲ φήμης πλατυνομένης Θεοδόσιον ζῆν, τὸν υἱὸν τοῦ Μαυρικίου, ἐλπίδας ἀγαθὰς ἥ τε Κωνσταντῖνα καὶ ὁ Γερμανὸς εἶχεν ἐπὶ τούτῳ· ἡ δὲ ἀνοσία Πετρωνία τῷ τυράννῳ ταῦτα κατάδηλα πεποίηκεν. ὁ δὲ τύραννος Κωνσταντῖναν Θεοπέμπτῳ τῷ ἐπάρχῳ*

3[2] *Φωκᾶς* fm. — 5[4] *Θ'* g *om.* h. — 6[2]—10[2] *Hierosol. episcopum om.* h. — 8[2] Isaacius A. — 12 *Δομεντζία* c Domnentziam A *hic et infra Δομνεντίαν* Zon. XIV, 14. — *καὶ om.* x. — *ἐκσκουβητόρων* h *ἐξκουβητόρων* g. — 15 *σὺν om.* d *μετά?* — *ἔστησε* x. — 16 *λαυρᾶτα* df. — quibus auditis A. — *βασιλεύς*] *τύραννος* d. — *πέμψας ἤγαγε τοὺς* xA *ἤγαγε om.* yz. — 17. 18 *γυμνοὺς εἰς τὸ στάμα* g. — 18 *δέ*] enim A. — 19 *πρωτοκούρσωρα* g. — 19 *πεποίηκαν τοῦτο* x *τοῦτο ἐποίησαν* m. — 20 *οἱ δὲ εἶπον*—21 *πεποίηκαν om.* f. — *εἶπαν* ce. — *γραμισταί* g *hic et infra.* — 21 *ἐποίησαν* m. — *ἀνέκραζον* d. — 27 *μηνίσας* g. — *μετὰ Φωκᾶ om.* m. — 28 *Πετρονία* h *ubique.* — 29 *τὰς ἀποκρίσεις*—30 *πλατυνομένης om.* em. — 30 *τοῦ om.* x. — 31 *Κωνσταντίνα* yz. — 31 *καὶ ὁ*—32 *Πετρωνία om.* em. — 32 *ἐπὶ τοῦτο* h. — 33 *Κωνσταντίναν* fmz. — *ὑπάρχῳ* xz exarcho A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς βάσανα ἔδωκεν· ἡ δὲ βασανιζομένη Ῥωμανὸν τὸν πατρίκιον γινώσκειν τὰ παρ' αὐτῶν λαλούμενα ὡμολόγησεν. οὗτος δὲ κατασχεθεὶς ⟨καὶ ἐξετασθεὶς⟩ συγκατέθετο καὶ ἄλλους εἶναι συνεργοὺς αὐτοῦ πρὸς τὴν τοῦ τυράννου ἐπιβουλήν. ‖ κατεσχέθη δὲ καὶ Θεό- cf. Chron. Pasch p. 696, 6
δωρος, ὁ τῆς ἀνατολῆς ἔπαρχος, ὃν ὁ τύραννος βουνεύροις μαστίζων ἀνεῖλεν· Ἐλπιδίου τε τὰς χεῖρας καὶ τοὺς πόδας κόψας τῷ πυρὶ τοῦτον παρέδωκεν, τόν τε Ῥωμανὸν ἀπεκεφάλισεν, τὴν δὲ Κωνσταντῖναν σὺν ταῖς τρισὶ θυγατράσιν ἐν τῷ μώλῳ Εὐτροπίου, ἔνθα καὶ Μαυρίκιος ἀνῃρέθη, ξίφει ἀπέτεμεν, τὸν Γερμανὸν δὲ καὶ τὴν τού- 456 B
του θυγατέρα ἐν τῇ Πρώτῃ νήσῳ στόματι μαχαίρας ἀπέκτεινεν, ὁμοίως καὶ Ἰωάννην καὶ Τζίταν καὶ Πατρίκιον καὶ Θευδόσιον, τὸν τὴν σουβαδιουβᾶ περικείμενον ἀξίαν, καὶ Ἀνδρέαν τὸν Σκόμβρον καὶ Δαυίδ, τὸν χαρτοφύλακα τῶν Ὁρμίσδου. ‖

Τῷ δ' αὐτῷ χρόνῳ οἱ Πέρσαι τὸν Εὐφράτην περάσαντες πᾶσαν τὴν Συρίαν καὶ Παλαιστίνην καὶ Φοινίκην ἠχμαλώτευσαν πολλὴν ἅλωσιν ἐν τοῖς Ῥωμαίοις ποιήσαντες.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	A. M. 6100 606/7.
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	
,ϛρ΄.	ἔτη χ΄.	Φωκᾶς	Χοσρόης	
		ἔτη ζ΄.	ἔτη λϑ΄.	
		ϛ΄.	κ΄.	
Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	Ἀντιοχείας	
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	
Θωμᾶς	Ἰσάκιος	Θεόδωρος	Ἀναστάσιος	
ἔτη γ΄.	ἔτη η΄.	ἔτη β΄.	ἔτη ϑ΄.	
γ΄.	η΄.	β΄.	η΄.	

‖ Τούτῳ τῷ ἔτει ὁ Πρίσκος μὴ ὑποφέρων ὁρᾶν τούς τε ἀδί- cf. Ioh. Ant. frg. 218 e
κους φόνους καὶ τὰ κακὰ τὰ ὑπὸ Φωκᾶ γινόμενα ἔγραψε πρὸς 248 P
Ἡράκλειον, τὸν πατρίκιον καὶ στρατηγὸν Ἀφρικῆς, ὥστε ἀποστεῖλαι Ἡράκλειον, τὸν υἱὸν αὐτοῦ, καὶ Νικήταν, τὸν υἱὸν Γρηγορᾶ τοῦ πατρικίου καὶ ὑποστρατήγου αὐτοῦ, ὅπως ἔλθωσι κατὰ τοῦ τυράν-

---

3 καὶ ἐξετασθεὶς *add. ex* A: qui comprehensus atque discussus. — συνέργους ef. — 5 ἔπαρχος xz. — 5 ὃν ὁ τύραννος—*p.* 310, 4 τὸ κλέος *interciderunt in* f. — 6 τε A δέ *codd.* — 7 τε emzA δέ x. — Κωνσταντίναν mz. — 8 θυγατράσιν αὐτῆς g. — μώλῳ *scr. e* Chron. Pasch. Ioh. Ant. frg. 218[d] μούλῳ xz μόλῳ Georg. Mon. p. 561 βούλῳ em. — Εὐτροπίου *scr. e* Chron. Pasch. Georg. Mon. *coll. p.* 289, 32 Εὐρωπίου *codd.* — 9 τὸν δὲ Γερμ. d. — 11 καὶ Τζ. xA καὶ *om.* emz. — Τζίταν em Τζήταν x Τζίτζαν z Τζίτταν Chron. Pasch. Gizan A. — καὶ *ante* Θεοδ. *om.* h. — 12 τήν *om.* em. — σουβαδιουβᾶ Chr. P. subadiuvae A Ἀβδιουμᾶν xz αὐδιουμᾶν em. — περικείμενος em. — Σκόμβρον] Κόσμαρον em. — 13 Δαυίδ dh δᾶδ *rell.* — καὶ τῶν m. — τῶν] τόν h. — Ὁρμίσδου dem *sine spir.* c. — 15 Παλαιστίνην—*p.* 313, 6 καὶ περάσας *interciderunt in* d. — αἰχμαλώτευσαν g. — 28 γενόμενα cem. — 31 ὑποστράτηγον cemA *sed cf.* Ioh. Ant. *et p.* 297, 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νου Φωκᾶ· ἦκουε γὰρ μελετωμένην ἐν τῇ Ἀφρικῇ κατὰ Φωκᾶ ἀνταρσίαν· ‖ ὅθεν οὐδὲ τὰ πλοῖα τῆς Ἀφρικῆς ἐν τούτῳ τῷ χρόνῳ ἀνέβαλον. ἀπέκτεινε δὲ Φωκᾶς πᾶσαν τὴν συγγένειαν Μαυρικίου καὶ Κομεντίολον, τὸν στρατηγὸν τῆς Θρᾴκης, καὶ ἄλλους πολλοὺς ἀνηλεῶς. ἐγένετο δὲ ἐν τῷ χρόνῳ τούτῳ καὶ θανατικὸν καὶ σκνιπία
457 B παντὸς εἴδους. οἱ δὲ Πέρσαι ἐξῆλθον σὺν τῷ Καρδαρίγᾳ καὶ παρέλαβον τὴν Ἀρμενίαν καὶ τὴν Καππαδοκίαν, καὶ πολεμήσαντες ἔτρεψαν τὰ τῶν Ῥωμαίων στρατεύματα· καὶ παρέλαβον τὴν Γαλατίαν καὶ τὴν Παφλαγονίαν· καὶ ἦλθον μέχρι Χαλκηδόνος λυμαινόμενοι ἀφειδῶς
cf. Nic. Brev. p. 3 ed. de Boor πᾶσαν ἡλικίαν. ‖ καὶ οἱ μὲν Πέρσαι ἔξω τῆς πόλεως ἐτυράννουν Ῥωμαίους· Φωκᾶς δὲ ἔνδον τὰ χείρονα αὐτοῖς ἐποίει φονεύων καὶ αἰχμαλωτίζων. ‖

607/8 Δ. M. 6101 Κωνσταντινουπόλεως ἐπίσκοπος Σέργιος ἔτη κθ'.
608 Ἱεροσολύμων ἐπίσκοπος Ζαχαρίας ἔτη κβ'.
Ἀλεξανδρείας ἐπίσκοπος Ἰωάννης ἔτη ι'.
,ϛρα'. χα'. ζ'. κα'. α'. α'. α'. θ'.

Τούτῳ τῷ ἔτει ἀτακτήσαντες οἱ Ἀντιοχεῖς Ἑβραῖοι στάσιν ἐποιήσαντο κατὰ Χριστιανῶν καὶ ἀποσφάττουσιν Ἀναστάσιον, τὸν μέγαν πατριάρχην Ἀντιοχείας, βαλόντες τὴν φύσιν αὐτοῦ ἐν τῷ στόματι αὐτοῦ· καὶ μετὰ τοῦτο σύραντες αὐτὸν ἐπὶ τὴν Μέσην ἐφόνευσαν καὶ πολλοὺς τῶν κτητόρων καὶ ἔκαυσαν αὐτούς. ὁ δὲ Φωκᾶς ἐποίησε κόμητα ἀνατολῆς Βώνοσον καὶ Κοττανᾶν στρατηλάτην καὶ ἀπέστειλεν αὐτοὺς κατ' αὐτῶν ⟨καὶ οὐκ ἠδύναντο παῦσαι τὴν στάσιν αὐτῶν⟩. ἐπισυνάξαντες δὲ στρατόπεδα ἐπῆλθον αὐτοῖς καὶ πολλοὺς
cf. Ioh. Ant. frg. 218 e ἐφόνευσαν καὶ ἠκρωτηρίασαν καὶ τῆς πόλεως ἐξώρισαν. ‖ ὁ δὲ Φωκᾶς ἐποίησεν ἱππικόν, καὶ οἱ Πράσινοι ὕβρισαν αὐτόν, λέγοντες· "πάλιν εἰς τὸν καῦκον ἔπιες· πάλιν τὸν νοῦν ἀπώλεσας." καὶ ἐπέτρεψεν ὁ
458 B Φωκᾶς Κοσμᾶν, τὸν ἔπαρχον τῆς πόλεως, καὶ πολλοὺς ἠκρωτηρίασε καὶ τὰ μέλη αὐτῶν ἐν τῇ σφενδόνῃ ἐκρέμασεν, ἄλλους δὲ ἀπεκεφάλισε καὶ

---

1 ἦκουσε h. — 4 τὸν *om.* z. — 5 καὶ *ante* θανατ. *om.* g. — σκνηπία c σκηπία em κνιπία g κνηπία h. — 6 Καρδαρῆγα g. — 7 τὴν *ante* Καππαδ. *om.* gm. — 9 Παφλαγωνίαν em Παμφλαγονίαν h Παμφλαγωνίαν c. — 10 ἔξω τῆς πύλης? foris portam A. — ἐτυράννων c. — 14 ἔτη κθ' c. — 16 θ' *om. codd.* — 18 κατὰ τῶν Χρ. g. — ἀποσφάξουσι c ἀποσφάτουσι m. — 18. 19 τὸν μ. πατρ. Ἀναστάσιον Ἀντιοχείας g. — 19 βάλλοντες h. — 20. 21 ἐπὶ τὴν μέσην· ἐφόνευσαν δὲ καὶ π. *legisse vid.* A. — 22 Βώνοσον em Βονοσον *sine acc.* c Βονῶσων h Βονῶσσον g. — Κοττανᾶν h Κοτταάν g Κόττανα em Κοττανα *sine acc.* c Cotyn A. — 23 καὶ οὐκ—στάσιν αὐτῶν *add. ex* A: et non valuere sedare inquietudinem eorum. — 24 δὲ *om.* g. — 25 ἐφόνευσαν πολλούς c. — ἐξέρριψαν g. — 27 ἀπώλεσας Ioh. Ant. Georg. Mon. p. 562 ἀπόλεκες *ut vid.* m ἀπέλεκες *rell.* — ὁ Φωκᾶς *om.* g. — 28 Κοσμᾶν] Cosmas A Κώνσταν *codd.* — ὕπαρχον z. — 29 ἐν τῇ σφενδόνι z ἐν τῷ σφενδόνι em Georg. Mon. ἐν τῷ σφενδῶνι c. — ἐκρέμμασεν g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑτέρους ἐν σάκκοις βαλὼν ἐν τῇ θαλάσσῃ ἀπέπνιξεν. σωρευθέντες 249 P
δὲ οἱ Πράσινοι ἔβαλον πῦρ εἰς τὸ πραιτώριον ‖ καὶ ἔκαυσαν τὸ
σέκρητον καὶ τὰ σκρινία καὶ τὰς φυλακάς. καὶ ἐξελθόντες οἱ ἐν
ταῖς φυλακαῖς ἔφυγον. καὶ θυμωθεὶς ὁ Φωκᾶς ἐκέλευσε τοὺς Πρα-
σίνους μηκέτι πολιτεύεσθαι. Ἡράκλειος δέ, ὁ στρατηγὸς Ἀφρικῆς,
ἐνοχλούμενος ὑπὸ τῆς συγκλήτου ‖ ἐξώπλισε τὸν υἱὸν αὐτοῦ Ἡρά- cf. Nic. Brev. p. 3 d. B.
κλειον τοῦ ἀπολῦσαι κατὰ Φωκᾶ τοῦ τυράννου· ὁμοίως καὶ ὁ ὑπο-
στράτηγος αὐτοῦ Γρηγορᾶς ἀπέλυσε διὰ ξηρᾶς τὸν υἱὸν αὐτοῦ Νικήταν
στοιχήσαντες, ἵνα ὃς τις προλάβῃ καὶ νικήσῃ τὸν τύραννον βασι-
λεύσῃ. ‖

Τῷ δ' αὐτῷ ἔτει γέγονε χειμὼν μέγας πάνυ, ὥστε παγῶσαι τὴν
θάλασσαν· ἐν οἷς καὶ ἰχθὺς πολὺς ἐξερρίφη. τότε Φωκᾶς Μακρό-
βιον τὸν σκρίβωνα ἐκέλευσε τοξευθῆναι εἰς τὴν ἀγραρέαν καὶ εἰς τὸ
καστέλλιν Θεοδοσιανῶν ἐν τῷ Ἑβδόμῳ κρεμασθέντα εἰς κοντάριν,
εἰς ὃ γυμνάζονται οἱ τίρωνες, ἀποθανεῖν ὡς συγγνώσαντα τῇ ἐπι-
βουλῇ αὐτοῦ. Θεόδωρος γὰρ ὁ ἔπαρχος Καππαδόκης καὶ Ἐλπίδιος,
ὁ ἐπάνω τοῦ ἁρμαμέντου, καὶ ἕτεροι διάφοροι βουλὴν ἐποίησαν
ἀνελεῖν ἐπὶ ἱπποδρομίου τὸν Φωκᾶν. καὶ ποιήσας ἄριστον Θεόδω- 459 B
ρος, ὁ ἔπαρχος τῶν πραιτωρίων, ἤρξατο ἐπιφαίνειν αὐτοῖς τὸν ἑαυ-
τοῦ σκοπόν. συνέβη δὲ ἐκεῖ εὑρεθῆναι Ἀναστάσιον, κόμητα τῶν
λαργιτιώνων. τοῦ οὖν ἀρίστου γινομένου καὶ ἐξηγουμένου τὰ τῆς
ἐπιβουλῆς, μετεμελήθη Ἀναστάσιος εὑρεθεὶς ἐκεῖ καὶ οὐκ εἶπε τὰ
τῆς καρδίας αὐτοῦ, ἀλλ' ἐσιώπα. ὁ δὲ Ἐλπίδιος ἐπέμενε λέγων·
"οὐ θέλετε, ἵνα ἐν ὅσῳ κάθηται ἐν τῷ σέντζῳ ἐπὶ ἱπποδρομίας,
πιάσω αὐτὸν καὶ ἐκκορακίσω τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ οὕτως
αὐτὸν ἀποκτείνω;" καὶ ὑπέσχετο διδόναι αὐτοῖς ἅρματα. γνωσθέν-
τος δὲ τοῦ πράγματος ἐκ διαβολῆς Ἀναστασίου τῷ Φωκᾷ, ἐκέλευσε
τὸν ἔπαρχον καὶ τὸν Ἐλπίδιον καὶ τοὺς ἄρχοντας τοὺς ἐγνωκότας
τὴν ἐπιβουλὴν ἐξετασθῆναι μετὰ πάσης ἀκριβείας. ἐξετασθέντων δὲ

---

1 *τὸν δὲ λοιπὸν πλείονα λαὸν τῷ ὑπάρχῳ ἐπέτρεψεν ἀποκλεῖσαι αὐτούς, ὅπως μετὰ ἡμέρας παραδώσῃ αὐτοὺς θανάτῳ add.* Georg. Mon. *Sed nihil eius-modi codd. et* A. — *σορευθέντες codd.* — 2 *ἔβαλλον* g. — 3 *σέκριτον* em *σέκρετον* cz. — 4 *Φωκάς* hm. — 5 *ὁ om.* em. — 6 *ἐξώπλισεν*] vocavit A. — 7 *κατὰ Φωκᾶν τὸν τύραννον* h. — *ὁ om.* em. — 8 *Γρηγόρας* cm *Γρηγοράς* h. — *διὰ ξηρᾶς om.* g. — 9 *νικήσει* emz. — *βασιλεύσει* h. — 12 *ἐξερίφθη* em *ἐξερίφη* ch. — 13 *σκρίβονα* h. — *ἀγραρέαν* h *ἀγραραῖαν* cg *ἀγοράν* em. — 14 *Θεοδοσιανόν* h. — *κρεμμασθέντα* g. — 15 *τήρωνες* cg *τήρονες* h *τύρονες* em. — 16 *ὕπαρχος* cz. — 17 *ἁρμαμέντου* hm *sine spir.* c. — *ἐπιβουλήν* g. — 18 *ἱπποδρομείου* c. — 19 *ὕπαρχος* cz. — *ἐπιφαίνειν codd.* texere (*ὑφαίνειν*) A *ὑποφαίνειν*?. — 20 *ἐτυρεθῆναι* em. — *τῶν om.* m. — 21 *λαργιτιώνων* c *λαργητιάνων rell.* — *γενομένου* cm. — *καὶ Θεοδώρου ἐξηγουμένου*? — 24 *ἱπποδρομείας* em super hippodromum A. — 26 *τὰ ἅρμ.* m. — *ἅρματα* chm currus A. — 27 *ἐκ διαβολῆς om.* g. — 28 *ὕπαρχον* c. — *τοὺς ante ἐγν. om.* g. — 29 *τὴν ἐπιβουλὴν om.* c *τῇ* (*τε* e) *ἐπιβουλῇ* em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῶν κατέθεντο τὰ τῆς ἐπιβουλῆς, καὶ ὅτι Θεόδωρον ἐβούλοντο ποιῆσαι βασιλέα. ὁ δὲ Φωκᾶς ἐκέλευσεν ἀποκεφαλισθῆναι Θεόδωρον καὶ Ἐλπίδιον καὶ Ἀναστάσιον καὶ πάντας τοὺς ἐγνωκότας τὴν ἐπιβουλὴν αὐτοῦ.

609/10. A. M. 6102	Κόσμου ἔτη ,ϛρβ′.	Τῆς θείας σαρκώσεως ἔτη χβ′.	Ῥωμαίων βασιλεὺς Ἡράκλειος ἔτη λα′. α′.	Περσῶν βασιλεὺς Χοσρόης ἔτη λθ′. κβ′.
	Κωνσταντ. ἐπίσκοπος Σέργιος ἔτη κθ′. β′.	Ἱεροσολύμων ἐπίσκοπος Ζαχαρίας ἔτη κβ′. β′.	Ἀλεξανδρείας ἐπίσκοπος Ἰωάννης ἔτη ι′. β′.	

250 P Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ δ′, ἡμέρᾳ β′, ἰνδικτιῶνος ιδ′, ἦκεν Ἡράκλειος ἀπὸ Ἀφρικῆς φέρων πλοῖα καστελλωμένα, ἔχοντα ἐν
460 B τοῖς καταρτίοις κιβώτια καὶ εἰκόνας τῆς Θεομήτορος, καθὰ καὶ ὁ Πισίδιος Γεώργιος λέγει, καὶ στρατὸν πολὺν ἀπὸ Ἀφρικῆς καὶ Μαυριτανίας· ὁμοίως καὶ Νικήτας, ὁ υἱὸς Γρηγορᾶ τοῦ πατρικίου, ἀπὸ Ἀλεξανδρείας καὶ Πενταπόλεως ἔχων μεθ' ἑαυτοῦ λαὸν πολὺν πεζικόν. ἦν δὲ Ἡράκλειος ὁρμασάμενος Εὐδοκίαν, τὴν θυγατέρα Ῥογᾶ τοῦ Ἄφρου, ἥτις τῷ καιρῷ τούτῳ ἦν ἐν Κωνσταντινουπόλει ἅμα Ἐπιφανείᾳ, τῇ μητρὶ Ἡρακλείου. ⟨ἀκούσας δὲ ὁ Φωκᾶς, ὅτι ἐστὶν ἐν τῇ πόλει ἡ μήτηρ Ἡρακλείου⟩ καὶ ἡ τούτῳ μεμνηστευμένη Εὐδοκία, ἐκράτησεν αὐτὰς καὶ ἐφύλαξεν εἰς τὸ δεσποτικὸν μοναστήριον, τὸ
cf. Ioh. Ant. frg. 218 f ἐπιλεγόμενον τῆς Νέας Μετανοίας. ‖ καταλαβὼν δὲ Ἡράκλειος τὴν Ἄβυδον εὗρε Θεόδωρον, τὸν κόμητα τῆς Ἀβύδου, καὶ ἀνακρίνας ἔμαθε παρ' αὐτοῦ τὰ κινούμενα ἐν Κωνσταντινουπόλει. ὁ δὲ Φωκᾶς ἀπέστειλε τὸν ἀδελφὸν αὐτοῦ, Δομεντζίολον τὸν μάγιστρον, φυλάττειν τὰ Μακρὰ τείχη· μαθὼν δὲ ὁ μάγιστρος, ὅτι κατέλαβεν Ἡράκλειος τὴν Ἄβυδον, ἔφυγε καταλιπὼν τὰ τείχη καὶ εἰσῆλθεν ἐν

---

2 Φωκάς hm. — 5^3—9^3 Ῥωμαίων βασ. Φωκᾶς ἔτη ζ′. α′ (η′ m) em. — 9^4 κθ′ h. — 15 ἰν codd. — 16 ὁ ἀπὸ Ἀφρ. c. — καστελλομένα cehm κεκαστελλωμένα Tafel. — 17 εἰκόνας emzA εἰκόνα c Taf. — 18 Πισσίδιος egm Πισίδης Taf. ex A: Pisides Πισίδιος etiam Georg. Mon. p. 563. — στρατὸς πολύς em ducens et exercitum A. — ἀπὸ Ἀλεξανδρείας καὶ Πενταπόλεως Taf. qui fort. ἀνὰ scrib. esse conicit ex A: per Alexandriam ἀπὸ Ἀλεξάνδρειαν καὶ Πεντάπολιν codd. — 21 Ῥογα sine acc. c Ῥογάτου Ἄφρου Taf. ex A: Rogati Afri. — 23 Ἐπιφανίᾳ g. — τῇ om. em. — 23 ἀκούσας—24 Ἡρακλείου add. ex A: Audiens autem Phocas quod mater Heraclii esset in civitate, paullo aliter ac Taf. et Combefis, ut intelligeretur ex homoeoteleuto peccasse librarios. — 24 ἡ τούτῳ] τοῦτο em. — 28 τὰ καινούμενα Ioh. Ant. — 29 Δομνεντζίολον cm Domentiolum A. — μαγίστρον ce item v. 30 μαγίστρος. — 30 ὁ μάγιστρος om. A. — 31 τὰ τείχη] τὴν Ἄβυδον c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κωνσταντινουπόλει. ὁ δὲ Ἡράκλειος ἐδέξατο ἐν Ἀβύδῳ πάντας ⟨*τοὺς ἐξορισθέντας ἄρχοντας*⟩, *οὓς ἐξώρισε Φωκᾶς, καὶ ἀνῆλθε σὺν αὐτοῖς εἰς Ἡράκλειαν. Στέφανος δέ, ὁ τῆς Κυζίκου μητροπολίτης, λαβὼν στέμμα ἐκ τῆς ἐκκλησίας τῆς ἁγίας θεοτόκου Ἀρτάκης ἀπ-*
ήγαγεν αὐτὸ τῷ Ἡρακλείῳ. ‖ καταλαβὼν δὲ τὴν Κωνσταντινούπολιν προσώρμισε τῷ λιμένι τῆς Σοφίας· καὶ πολέμου κροτηθέντος νικᾷ τῇ χάριτι τοῦ Χριστοῦ [Φωκᾶν] τὸν τύραννον. οἱ δὲ δῆμοι τοῦτον 461 B
παραλαβόντες ἀνεῖλον, πυρὶ κατακαύσαντες αὐτὸν ἐν τῷ Βοΐ. εἰσελθὼν δὲ Ἡράκλειος εἰς τὰ βασίλεια ἐστέφθη ὑπὸ Σεργίου πατριάρχου ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Στεφάνου ἐν τῷ παλατίῳ. ἐστέφθη δὲ τῇ αὐτῇ ἡμέρᾳ καὶ ἡ μεμνηστευμένη αὐτῷ Εὐδοκία αὐγούστα, καὶ ἔλαβον ἀμφότεροι παρὰ Σεργίου πατριάρχου τοὺς στεφάνους τοῦ γάμου· καὶ τῇ αὐτῇ ἡμέρᾳ ὁμοῦ αὐτοκράτωρ καὶ νυμφίος ἀναδείκνυται. τῷ δὲ Μαΐῳ μηνὶ ἐστράτευσαν οἱ Πέρσαι κατὰ Συρίας καὶ παρέλαβον τὴν Ἀπάμειαν καὶ τὴν Ἔδεσαν καὶ ἦλθον ἕως Ἀντιοχείας. οἱ δὲ Ῥωμαῖοι συναντήσαντες αὐτοῖς ἐπολέμησαν, καὶ ἡττήθησαν Ῥωμαῖοι· καὶ διωλέσθη πᾶς ὁ λαὸς τῶν Ῥωμαίων, ὥστε ὀλίγους λίαν ἐξειλῆσαι. τῷ δὲ Ἰουλίῳ μηνὶ ζ', τῇ αὐτῇ ἰνδικτιῶνι, ἐτέχθη τῷ βασιλεῖ Ἐπιφάνεια, θυγάτηρ Εὐδοκίας, καὶ τῷ Αὐγούστῳ μηνὶ ιε' ἐβαπτίσθη ἐν Βλαχέρναις ὑπὸ Σεργίου πατριάρχου.

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	A. M. 6103 610/11.
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	
ϛϱγ'.	*ἔτη χγ'.*	*Ἡράκλειος*	*Χοσρόης*	
		ἔτη λα'.	*ἔτη λθ'.*	
		β'.	*κγ'.*	

Κωνσταντ.	*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Σέργιος	*Ζαχαρίας*	*Ἰωάννης*
ἔτη κθ'.	*ἔτη κβ'.*	*ἔτη ι'.*
γ'.	*γ'.*	*γ'.*

Τούτῳ τῷ ἔτει παρέλαβον οἱ Πέρσαι Καισάρειαν τῆς Καππα- 251 P
δοκίας καὶ πολλὰς μυριάδας ἐν αὐτῇ ᾐχμαλώτευσαν. Ἡράκλειος δὲ ὁ βασιλεὺς εὗρε παραλελυμένα τὰ τῆς πολιτείας Ῥωμαίων πράγματα.

---

2 *τοὺς ἐξορισθέντας ἄρχοντας add ex* A *et* Ioh. Ant. *om. codd.* — 4 *Ἀρτάκης om.* A. — *ἐπήγαγε* m Taf. *ἀπ. etiam* Ioh. Ant. — 5 *αὐτῷ* cegm. — 6 *προσώρμησε* em. — 7 *Φωκᾶν τὸν τύραννον* c *τὸν τύραννον Φωκᾶν* em *Ἡράκλειος τὸν* (*τὸν om.* h) *Φωκᾶν τὸν τύραννον* z. — *Φωκᾶν om.* A. — 8 *αὐτὸν om.* c. — 11 *καὶ om.* h. — *αὐγοῦστα* g. — 12 *λαβόν* m. — *τοῦ πατριάρχου* cem. — 13 *ἀναγορεύεται* h. — 15 *Λίδεσαν* z *Ἔδεσσαν* em *Λίδεσσαν* c. *Lege Ἔμεσαν* Tafel. — 16 *οἱ συν.* m. — 18 *ἐξιλῆσαι* ehm *ἐξηλῆσαι* cg. — *τῇ δὲ ζ' τοῦ Ἰουλίου μηνὸς ἰν ζ'.* z. — *ζ' om.* c. — 20 *ἐν Βλαχέρναις om.* g. — 24[a] *ἔτη λδ'* em. — 29[1] *ἔτη κα'* ez. — 30[a] *γ' om.* h. — 33 *ὁ βασιλεύς* eA *om.* m *βασιλεύσας* ch *ὁ βασιλεὺς βασιλεύσας* g. — *παραλελυμμένα* g. — *τῆς πόλεως* em. — *τῶν Ῥωμ.* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

462 B τήν τε γὰρ Εὐρώπην οἱ Ἄβαρεις ἠρήμωσαν, καὶ τὴν Ἀσίαν οἱ Πέρσαι πᾶσαν κατέστρεψαν καὶ τὰς πόλεις ᾐχμαλώτευσαν καὶ τὸν τῶν Ῥωμαίων στρατὸν ἐν τοῖς πολέμοις ἀνήλωσαν. καὶ ταῦτα ἰδὼν ἐν
cf. p. 449, 4 ἀπορίᾳ ἦν, τί δράσῃ. ‖ ἐρευνήσας γὰρ τὸν στρατόν, εἰ ἄρα ἐσώζοντο ἐκ τῶν μετὰ Φωκᾶ κατὰ Μαυρικίου στρατευσάντων ἐπὶ τῆς τούτου τυραννίδος, δύο μόνους εὗρεν ἐν πᾶσι τοῖς θέμασιν. ‖

Τῷ δ' αὐτῷ ἔτει μηνὶ Μαΐῳ γ', ἰνδικτιῶνος ιε', ἐτέχθη τῷ βασιλεῖ υἱὸς ἀπὸ Εὐδοκίας, Ἡράκλειος ὁ μικρός, ὁ καὶ νέος Κωνσταντῖνος. τῷ δὲ Αὐγούστῳ μηνὶ ιδ' ἐτελεύτησεν Εὐδοκία ἡ αὐγούστα, τῇ αὐτῇ ιε' ἰνδικτιῶνι.

611/12. A. M. 6104 γ'. κδ'. δ'. δ'. δ'.

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ δ', ἰνδικτιῶνος α', ἐστέφθη Ἐπιφάνεια, ἡ θυγάτηρ Ἡρακλείου, ὑπὸ Σεργίου πατριάρχου αὐγούστα ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Στεφάνου ἐν τῷ παλατίῳ. τῷ δὲ Δεκεμβρίῳ μηνὶ κε', τῇ αὐτῇ α' ἰνδικτιῶνι, ἐστέφθη Ἡράκλειος, ὁ υἱὸς Ἡρακλείου, ὁ νέος, ὁ καὶ Κωνσταντῖνος, ὑπὸ Σεργίου πατριάρχου.

Τῷ δ' αὐτῷ ἔτει ἐπεστράτευσαν Σαρακηνοὶ κατὰ Συρίας καὶ λυμηνάμενοι ἱκανὰ χωρία ὑπέστρεψαν.

612/13. A. M. 6105 δ'. κε'. ε'. ε'. ε'.

463 B Τούτῳ τῷ ἔτει παρέλαβον οἱ Πέρσαι τὴν Δαμασκὸν καὶ ᾐχμαλώτευσαν λαὸν πολύν. Ἡράκλειος δὲ ὁ βασιλεὺς πρέσβεις πρὸς Χοσρόην ἀπέστειλε παύσασθαι τοῦ ἐκχέειν ἀνηλεῶς τὰ αἵματα τῶν ἀνθρώπων καὶ ὁρίσαι φόρους καὶ λαμβάνειν πάκτα. ὁ δὲ τοὺς πρέσβεις ἀπράκτους ἀπέλυσεν, μὴ ποιησάμενος αὐτοῖς λόγον, ἐλπίζων τελείως παραλαβεῖν τὴν τῶν Ῥωμαίων ἀρχήν. ὁ δὲ Ἡράκλειος τῷ
252 P αὐτῷ χρόνῳ ἔγημε Μαρτῖναν καὶ ἀνηγόρευσεν αὐτὴν αὐγούσταν στέψας αὐτὴν εἰς τὸν Αὐγουστέα, στεφθεῖσαν ὑπὸ Σεργίου πατριάρχου.

613/14. A. M. 6106 ε'. κς'. ς'. ς'. ς'.

Τούτῳ τῷ ἔτει παρέλαβον οἱ Πέρσαι τὸν Ἰορδάνην καὶ Παλαιστίνην καὶ τὴν ἁγίαν πόλιν πολέμῳ καὶ πολλοὺς ἀπέκτειναν ἐν αὐτῇ

---

1 Ἄβαρεις *sine acc.* c Avares A Ἀβάρεις Taf. βάρβαροι *rell.* — ἠρίμωσαν h ἠρήμωσαν c ἐρήμωσαν *rell.* — 1. 2 πᾶσαν οἱ Πέρσαι h. — 3 πολεμίοις g. — 4 δράσει z. — 5 στρατεύσαντος c. — 7 γ' *om.* h. — ἰν *codd.* — 8 καὶ ὁ νέος egm καὶ νέος (*om.* ὁ) h. — 9 ιγ' Chron. Pasch. p. 702, 19. — αὐγοῦστα g. — 10 τῇ αὐτῇ ιε' ἰν c τῆς αὐτῆς ιε' ἰν emz. — 12 δ' *om.* h. — ἰν *codd.* — 13 αὐγοῦστα cg. — 16 ὁ καὶ *om.* cz. — 20 παρέλαβον ch ἔλαβον egm. — 23 καὶ λαμβ.] καταλαμβάνειν h. — 24 αὐτῶν Taf. — 25 ὁ δὲ Ἡρ. — 27 πατριάρχου *om.* c. — 26 duxit inceste Martinam A. — Μαρτίναν z. — αὐγοῦσταν g. — 27 Αὐγουστέαν z. — στεφθεῖσα z *om.* em στεφθεῖσαν Taf. *ex* A. — *v.* 29 *om.* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ χειρὸς τῶν Ἰουδαίων, ὥς φασί τινες, μυριάδας ἐννέα. οὗτοι γὰρ ὠνούμενοι τοὺς Χριστιανοὺς καθὰ εὐπόρει ἕκαστος ἀπέκτεινον αὐτούς. Ζαχαρίαν δέ, τὸν πατριάρχην Ἱεροσολύμων, καὶ τὰ τίμια καὶ ζωοποιὰ ξύλα λαβόντες σὺν αἰχμαλωσίᾳ πολλῇ ἐν Περσίδι ἀπήγαγον.

Τῷ δ' αὐτῷ ἔτει ἐτέχθη τῷ βασιλεῖ ἀπὸ Μαρτίνης Κωνσταντῖνος ἕτερος, καὶ ἐβαπτίσθη ἐν Βλαχέρναις ὑπὸ Σεργίου πατριάρχου.

ς'. κξ'. ζ'. ζ'. ζ'. A. M. 6107 *614/15*

Τούτῳ τῷ ἔτει παρέλαβον οἱ Πέρσαι πᾶσαν τὴν Αἴγυπτον καὶ Ἀλεξάνδρειαν καὶ Λιβύην καὶ ἕως Αἰθιοπίας, καὶ λαβόντες αἰχμα- 464 B
λωσίαν πολλὴν καὶ λάφυρα πάμπολλα καὶ χρήματα ὑπέστρεψαν. τὴν δὲ Καρχηδόνα οὐκ ἴσχυσαν παραλαβεῖν, ἀλλὰ φρουρὰν ἐάσαντες τοῦ πολιορκεῖν αὐτὴν ἀνεχώρησαν.

ζ'. κή. ή. ή. ή. A. M. 6108 *615/16*.

Τούτῳ τῷ ἔτει ἐστράτευσαν οἱ Πέρσαι κατὰ Καρχηδόνος καὶ ταύτην παρέλαβον πολέμῳ. τῷ δ' αὐτῷ ἔτει μηνὶ Ἰαννουαρίῳ α', ἰνδικτιῶνος ε', ὑπάτευσε Κωνσταντῖνος ὁ νέος, ὁ καὶ Ἡράκλειος καὶ Ἡρακλείου υἱός· καὶ προεβάλετο καίσαρα Κωνσταντῖνον τὸν μικρόν, τὸν ἴδιον ἀδελφόν, τὸν ἐξ Ἡρακλείου καὶ Μαρτίνης γεννηθέντα.

η'. κθ'. θ'. θ'. θ'. A. M. 6109 *616/17*.

Τούτῳ τῷ ἔτει πάλιν Ἡράκλειος ἀπέστειλε πρέσβεις ἐν Περσίδι πρὸς Χοσρόην αἰτούμενος εἰρήνην. ὁ δὲ Χοσρόης καὶ πάλιν αὐτοὺς ἀπεπέμψατο εἰρηκώς· "οὐ φείσομαι ὑμῶν ἕως ἂν ἀρνήσησθε τὸν ἐσταυρωμένον, ὃν λέγετε θεὸν εἶναι, καὶ προσκυνήσητε τῷ ἡλίῳ."

θ'. λ'. ι'. ι'. ι'. A. M. 6110 *617/18*.

Τούτῳ τῷ ἔτει ἐστράτευσαν οἱ Ἄβαρεις κατὰ τῆς Θρᾴκης. καὶ ἀποστείλας Ἡράκλειος πρέσβεις πρὸς αὐτοὺς ᾐτεῖτο εἰρήνην· καὶ συνθεμένου τοῦ Χαγάνου ταύτην ποιεῖν, ἐξῆλθεν ὁ βασιλεὺς ἔξω τοῦ 253 P
Μακροῦ τείχους μετὰ πάσης δορυφορίας βασιλικῆς καὶ δώρων πολλῶν καὶ μεγάλων ὑποδέξασθαι τὸν Χαγάνον, λαβὼν τὰ πιστὰ παρ' αὐτοῦ τοῦ ποιῆσαι πρὸς ἀλλήλους σπουδὰς εἰρηνικάς. ὁ δὲ βάρβαρος ἐκεῖνος τάς τε συνθήκας ἀθετήσας καὶ τοὺς ὅρκους ἄφνω τυραννικῶς κατὰ τοῦ βασιλέως ἐχώρησεν. ἐκπλαγεὶς δὲ ὁ βασιλεὺς τῷ

---

1 οὗτοι] αὐτοί cz. — 2 ὠνόμενοι em. — καθό c. — εὐπόρει c ηὐπόρει emz. — ἀπέκτενον g ἀπέκταινον h ἀπεκτέννυον c. — 3 αὐτόν c. — 6 ἀπὸ Μαρτίνης om. A. — v. 9–13 om. m. — 9 πᾶσαν cA om. ez. — 12 δὲ om. g. — Καρχηδόνα et 15 Καρχηδόνος scr. ex A Χαλκηδόνα et Χαλκηδόνος (Καλχ. g) codd. — 16 Ἰανουαρίῳ g Νοεμβρίῳ h. — α'] δ' c. — 17 ἰν codd. — 19 τὸν ἐξ om. em. — 22 αὐτὸ v (sic) c. — 26 Ἄβαροις em Ἀβαρεις sine acc. c Ἀβάρεις Tafel. — 27 ὁ Ἡράκλειος g. — 28 ταύτην τοῦτο ποιεῖν h. — 29 καὶ om. cem. — 32 ἐκεῖνος om. m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

465 B ἀπροσδοκήτῳ τοῦ πράγματος φυγὰς ἐπὶ τὴν πόλιν ὑπέστρεψεν. λαβὼν δὲ ὁ βάρβαρος τήν τε βασιλικὴν ἀποσκευὴν καὶ δορυφορίαν καὶ ὅσους καταλαβεῖν ἠδυνήθη, ὑπέστρεψε πολλὰ χωρία τῆς Θρᾴκης ληϊσάμενος ἐκ τοῦ ἀπροσδοκήτου ἀπατηθέντας τῇ ἐλπίδι τῆς εἰρήνης.

618/19 A. M. 6111

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς
,ϛρια΄.	ἔτη χια΄.	Ἡράκλειος	Χοσρόης
		ἔτη λα΄.	ἔτη λθ΄.
		ι΄.	λα΄.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Σέργιος	Ζαχαρίας	Γεώργιος
ἔτη κθ΄.	ἔτη κβ΄.	ἔτη ιδ΄.
ια΄.	ια΄.	α΄.

Τούτῳ τῷ ἔτει Ἡράκλειος πρὸς τὸν Χαγάνον τῶν Ἀβάρων πρέσβεις ἀποστείλας ἐνεκάλει περὶ τῶν ὑπ' αὐτοῦ γεγονότων ἀθέσμων καὶ πρὸς εἰρήνην προετρέπετο. ἐπιστρατεῦσαι γὰρ διανοούμενος κατὰ Περσίδος εἰρηνεύειν μετὰ τοῦ Χαγάνου ἤθελεν. ὁ δὲ Χαγάνος αἰδεσθεὶς τὴν τοῦ βασιλέως ἀγάπην μετανοεῖν ἐπηγγέλλετο καὶ εἰρήνην ποιεῖν ὑπισχνεῖτο· καὶ στοιχήσαντες πάκτα ὑπέστρεψαν οἱ πρέσβεις ἐν εἰρήνῃ.

Τῷ δ' αὐτῷ ἔτει παρέλαβον οἱ Πέρσαι τὴν Ἄγκυραν Γαλατίας πολέμῳ.

619/20 A. M. 6112

ια΄. λβ΄. ιβ΄. ιβ΄. β΄.

Τούτῳ τῷ ἔτει ἐσκλήρυνε Χοσρόης τὸν ζυγὸν αὐτοῦ ἐπὶ πάντας ἀνθρώπους εἰς αἱμοβορίαν καὶ φορολογίαν. ἐπαρθεὶς γὰρ τῇ νίκῃ οὐκέτι ἐν τῷ καθεστῶτι εἶναι ἠδύνατο. τότε Ἡράκλειος ξῆλον θεοῦ ἀναλαβὼν καὶ μετὰ τῶν Ἀβάρων εἰρηνεύσας, ὡς ἐνόμιζεν, μετήνεγκε
466 B τὰ στρατεύματα τῆς Εὐρώπης ἐπὶ τὴν Ἀσίαν καὶ διενοεῖτο τῇ συνεργίᾳ τοῦ θεοῦ κατὰ Περσίδος χωρῆσαι.

620/621 A. M. 6113

ιβ΄. λγ΄. ιγ΄. ιγ΄. γ΄.

Τούτῳ τῷ ἔτει μηνὶ Ἀπριλλίῳ δ΄, ἰνδικτιῶνος ι΄, τελέσας ὁ βασιλεὺς Ἡράκλειος τὴν ἑορτὴν τοῦ πάσχα εὐθέως τῇ δευτέρᾳ ἑσπέρας ἐκίνησε κατὰ Περσίδος. λαβὼν δὲ τὰ τῶν εὐαγῶν οἴκων χρήματα

---

2 δέ] τε ch. — 3 τῆς Θρᾴκης om. A. — 4 ἐκ τοῦ ἀπροσδοκήτως ἀπατῆσαι Combefis. — ἀπροσδοκήτου Taf. ἀπροσδοκήτως cz ἀπροσδοκηθέντος em. — ἀπατηθέντα Classen. — τὴν ἐλπίδα g. — 8³ ἔτη λδ΄ em. — 13¹ ἔτη κε΄ c. — 13³ ἔτη ια΄ codd. — 15 τῶν Ἀβάρων Combefis ex A τὸν βάρβαρον codd. — 16 ἀπέστειλε καὶ ἐνεκάλει h. — ἀθέσμως? nequiter A. — 17 γὰρ om. g. — 18 μετ' αὐτοῦ τοῦ X. c. — 19 καὶ om. em. — 24 λβ΄] λγ΄ g. — β΄] ιβ΄ z. — 26 ἐν τῇ νίκῃ cem. — 28 βαρβάρων em. — 29. 30 τῇ τοῦ θεοῦ συνεργ. cz. — 30 συνεργείᾳ eh. — 32 Ἀπριλίῳ m. — ἰνδ codd. — ι΄] γ΄ em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν δανείῳ, ἀπορίᾳ κατεχόμενος ἔλαβε καὶ τῆς μεγάλης ἐκκλησίας 254 P
πολυκάνδηλά τε καὶ ἕτερα σκεύη ὑπουργικά, χαράξας νομίσματά τε
καὶ μιλιαρίσια πάμπολλα. κατέλιπε δὲ τὸν ἴδιον υἱὸν σὺν τῷ πατρι-
ἀρχῃ Σεργίῳ ἐν Κωνσταντινουπόλει διοικεῖν τὰ πράγματα σὺν Βω-
νόσῳ τῷ πατρικίῳ, ἀνδρὶ ἐχέφρονι καὶ τὰ πάντα συνετῷ καὶ πεπει-
ραμένῳ. ἔγραψε δὲ καὶ πρὸς τὸν Χαγάνον τῶν Ἀβάρων παρακλήσεις
τοῦ ἐπικουρεῖν τὰ τῶν Ῥωμαίων πράγματα, ὡς φιλίαν σπεισάμενον
πρὸς αὐτόν, καὶ ἐπίτροπον τοῦ ἑαυτοῦ υἱοῦ τοῦτον ὠνόμασεν. ἀπάρας
δὲ τῆς βασιλευούσης πόλεως ἐξῆλθε κατὰ τὰς λεγομένας Πύλας πλοΐ
τὴν πορείαν ποιησάμενος. ἐντεῦθεν δὲ ἐπὶ τὰς τῶν Θεμάτων χώρας
ἀφικόμενος συνέλεγε τὰ στρατόπεδα καὶ προσετίθει αὐτοῖς νέαν
στρατείαν. τούτους δὲ γυμνάζειν ἤρξατο καὶ τὰ πολεμικὰ ἔργα
ἐξεπαίδευσεν. διχῇ γὰρ διελὼν τὸν στρατὸν παρατάξεις τε καὶ συμ-
βολὰς πρὸς ἀλλήλους ἀναιμωτὶ ποιήσασθαι ἐκέλευσεν, κραυγήν τε 467 B
πολεμικὴν καὶ παιᾶνας καὶ ἀλαλαγμὸν καὶ διέγερσιν ἔχειν τούτους
ἐδίδασκεν, ἵνα, κἂν ἐν πολέμοις εὑρίσκωνται, μὴ ξενίζωνται, ἀλλὰ
θαρροῦντες ὡς εἰς παίγνιον κατὰ τῶν ἐχθρῶν χωρήσωσιν. ‖ λαβὼν Georg. Pisid. de exp Pers. I, 139
δὲ ὁ βασιλεὺς ἐν χερσὶ τὴν θεανδρικὴν μορφήν, ἣν χεῖρες οὐκ
ἔγραψαν, ἀλλ' οἵαν ἐν εἰκόνι ὁ πάντα μορφῶν καὶ διαπλάττων λόγος
ἄνευ γραφῆς μόρφωσιν, ὡς ἄνευ σπορᾶς κύησιν ἤνεγκεν, καὶ τούτῳ
πεποιθὼς τῷ θεογράφῳ τύπῳ ἀπήρξατο τῶν ἀγώνων, ‖ πιστὰ δοὺς
τῷ λαῷ, ὡς σὺν αὐτοῖς μέχρι θανάτου ἀγωνίσηται καὶ ὡς τέκνοις
οἰκείοις τούτοις συναρμόσηται. ‖ ἐβούλετο γὰρ τὴν ἐξουσίαν οὐ φόβῳ, Georg. Pis. II, 90
ὅσον ἐν πόθῳ ἔχειν. ‖ εὑρὼν δὲ τὸν στρατὸν εἰς ῥαθυμίαν πολλὴν Georg. Pis. II, 44
καὶ δειλίαν, ἀταξίαν τε καὶ ἀκοσμίαν ⟨καθεστῶτα⟩ ‖ καὶ εἰς πολλὰ Georg. Pis. II, 55
τῆς γῆς μέρη ἐσπαρμένον συντόμως πάντας εἰς ἓν συνήγαγεν. ‖ καὶ Georg. Pis. II, 77
πάντες ὡς ἐκ μιᾶς συμφωνίας ὕμνησαν τὸ κράτος καὶ τὴν ἀνδρείαν
τοῦ βασιλέως. αὐτὸς δὲ τοῖς λόγοις τούτους ἐπιῤῥωννύων ἔλεγεν·
"ὁρᾶτε, ἀδελφοὶ καὶ τέκνα, ὡς οἱ ἐχθροὶ τοῦ θεοῦ κατεπάτησαν
ἡμῶν τὴν χώραν καὶ τὰς πόλεις ἠρήμωσαν καὶ τὰ θυσιαστήρια κατ-

---

1 *ἐν δανείων ἀπορ. κατ.* g. — 3 *μιλιαρήσια* h *μηλιαρήσια* em. — 4 *ἐν Κωνστ.*] *Κωνσταντινουπόλεως* g. — *Βωνόσῳ* c *Βονόσῳ* ehm *Βονώσῳ* g. — 6 *Χ. τὸν* (*τὸ* h) *τῶν Ἀβάρων* (*Ἀράβων* g) cz *Χ. τὸν βάρβαρον* em. — 7 *σπεισάμενον* Tafel *ex* A *σπεισάμενος* z *σπασάμενος* cem. — 9 *δὲ κατὰ τῆς β.* g. — 10 *ἐπὶ τὰς ἄλλας τῶν* Tafel *ex* A: ad ceteras regiones sibi subiectas. — 11 *τούτοις* g. — 12 *στρατιάν* Tafel. — *ἔργα*] *ὄργανα* z. — 13 *ἐπαίδευσεν* m. — 14 *ἀναιματὶ* emz. — 15 *παιᾶνας* Taf. *παιάνους* g *παιανούς rell.* — *ἀλλαγμόν* h. — 16 *ἐδίδασκαν* c *ἐδίδαξεν* g. — *εὑρίσκονται—ξενίζονται* cehm. — 17 *εἰς* c *om.* emz. — 19 *οἵαν* z *οἷον* cem. — 20 *τοῦτο* em. — 23 *οὐ φόβῳ τοσοῦτον ὅσον* Classen. — 25 *καθεστῶτα post ἀκοσμίαν add.* Taf. *ex* A: in— dedecore constitutum. — 25. 26 *πολλὰ μέρη τῆς γῆς* c. — 26 *ἐσπαραμένον* m *ἐνπαραμένων* ce *ἐσπαρμένους* g. — 28 *τούτους* c *τούτοις* emz. — 30 *ἠρήμωσαν* g *ἐρήμωσαν rell.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Georg. Pis. II, 107 ἔκαυσαν ‖ καὶ τὰς τραπέζας τῶν ἀναιμάκτων θυσιῶν αἱμάτων μιαι-
φόνων ἐπλήρωσαν, καὶ τὰς ἀδέκτους τῶν παθῶν ἐκκλησίας ἐν ἡδοναῖς
468 B χραίνουσιν ἐμπαθεστάταις.” ‖ πάλιν δὲ τὸν λαὸν πρὸς γυμνασίαν
G. P. II, 128 πολεμικὴν ὥπλιζε τάξεις δύο ἐνόπλους ποιησάμενος, ‖ σάλπιγγές τε
καὶ φάλαγγες ἀσπίδων, ‖ καὶ λαὸς τεθωρακισμένος ἵστατο. ἐπεὶ δὲ
255 P ἀσφαλῶς συνέστησαν τὰ τάγματα, συμβαλεῖν ἀλλήλοις ἐκέλευσεν,
ὠθισμοί τε βίαιοι καὶ συγκρούσματα πρὸς ἀλλήλους ἐγίνοντο, καὶ
σχηματισμὸς πολέμου ἐδείκνυτο. καὶ ἦν ἰδεῖν φρικτὸν θέαμα φόβου
G. P. II, 144 χωρὶς κινδύνων, ‖ καὶ πρὸς φόνους συννεύσεις αἱμάτων δίχα, καὶ
πρὸ τῆς ἀνάγκης ⟨τῆς ἀνάγκης⟩ τοὺς τρόπους, ὅπως ἕκαστος ἐκ
G. P. II, 202 τῆς ἀκινδύνου σφαγῆς λαβὼν ἀφορμὰς ἀσφαλέστερος μένῃ. ‖ οὕτω
δὲ καθοπλίσας πάντας παρήγγειλεν ἀδικίας ἀπέχεσθαι καὶ εὐσεβείας
G. P. II, 203 sqq. ἀντέχεσθαι. ‖ παραγενόμενος δὲ ἐπὶ τὰ μέρη Ἁρμενίας ‖ προτρέχειν
⟨ἐκέλευσεν ἐπιλέκτους· τῶν δὲ Σαρακηνῶν τότε ὑπὸ πάκτων ὄντων
τῶν Περσῶν⟩ πλῆθος ἱππέων λάθρα ἐπιπεσεῖν τῷ βασιλεῖ διενοεῖτο.
οἱ δὲ προτρέχοντες τοῦ βασιλέως τούτοις συναντήσαντες τόν τε
στρατηγὸν αὐτῶν δεσμώτην ἤγαγον πρὸς Ἡράκλειον καὶ τούτους
τρεψάμενοι πολλοὺς ἀνεῖλον. ἐπεὶ δὲ χειμὼν κατέλαβεν, ἀποκλίνας
ὁ βασιλεὺς ⟨πρὸς⟩ τὸ Πόντιον κλίμα, ἔδοξε τοῖς βαρβάροις ἐν τούτῳ
469 B αὐτὸν παραχειμάζοντα ⟨πολιορκεῖν⟩. λαθὼν δὲ τοὺς Πέρσας καὶ
ἐπιστραφεὶς εἰς τὴν Περσίδα εἰσβάλλει. τοῦτο μαθόντες ‖ οἱ βάρ-
G. P. II, 277 βαροι εἰς ῥᾳθυμίαν ἦλθον ‖ τῷ ἀπροσδοκήτῳ τῆς τούτου εἰσόδου.
ὁ δὲ Σάρβαρος, ὁ τῶν Περσῶν στρατηγός, λαβὼν τὴν ἑαυτοῦ δύ-
G. P. II, 340 ναμιν ‖ ἦλθεν ἐν Κιλικίᾳ, ὅπως ἐπὶ Ῥωμανίαν ἐξελθὼν τοῦτον περι-
τρέψῃ. φοβηθεὶς δέ, μὴ διὰ τῆς Ἁρμενίας εἰς τὴν Περσίδα ὁ βασι-
λεὺς εἰσβαλὼν ταύτην ταράξῃ, οὐκ εἶχε τὸν ἑαυτοῦ λογισμὸν βεβηκότα,
G. P. II, 357 ὅ τι δράσῃ. ‖ ὅμως ἠναγκάσθη ἀκολουθεῖν ὀπίσω τοῦ Ῥωμαϊκοῦ

---

2 *ἀθίκτους coni.* Taf. *sed ἀδέκτους etiam* G. P. — 3 *ἐμπαθεστάτοις codd. corr.* Classen. — 4 *ὁπλίζει* Taf. *ex* A: armat. — *ἐν ὅπλοις* c. — 5 *φάλαγγας* em. — *τεθωρακισμος sine acc.* c. — *δὴ* em. — 6 *συμβάλειν* em. — 7 *ὠθισμοῖς* em. — *τε*] *δέ* cem. — *βιαῖοι* cem. — 8 *τοῦ πολέμου* emz. — 9 *χωρὶς καὶ κινδ. z.* — *κινδύνου g κίνδυνον* Taf. *ex* A. — 10 *τῆς ἀνάγκης add.* Combefis *ex* A *om. codd.* — *τοὺς ὅρους* Taf. *ex* Georg. Pis. Exp. Pers. II, 146. — 11 *μένει* emz. — 12 *ἀδ. παντελῶς ἀπέχ.* Taf. *ex* A: ab iniustitia penitus abstinendum. — *καὶ εὐσ. ἀντέχεσθαι om.* c. — 13 *παραγενάμενος* em. — 14 *ἐκέλευσεν* — 15 *Περσῶν add.* Tafel *ex* A *sed ἐκλεκτούς scripsit. In mg.* m *add. sec. m. περσικῶν ἤκουσε πρὸς τὸ.* — 17 *τούτοις* em. — 18 *καὶ ἐπεὶ* g *καὶ ἐπειδὴ* ehm. — *ἀποκλίνας* m *manu corr.* Combefis Taf. *ἀποκλείσας codd.* divertit ad Pont. clima A. — 19 *πρὸς add.* Taf. *om. codd.* — *κλῖμα* g *κλῆμα rell.* — 20 *παραχειμάζοντα πολιορκεῖν scripsi ex* A *παραχειμάζειν* (*om. πολιορκεῖν*) *codd.* (*ἐδ. τ. βαρβ. πολιορκεῖν ἐν τούτῳ αὐτὸν παραχειμάζοντα* Taf.). — 21 *ἀποστραφείς* Taf. — 22 *ἀθυμίαν* Taf. — *τῆς om.* m. — 23 *Σάρβαρος* A *βάρβαρος codd.* G. P. — 24 *περιτρέψει* ch *παρατρέψῃ* Taf. — 26 *ταράξει* ehm. — *βεβηκότι* c. — 28 *δράσει* g. — *δ' ἠναγκάσθη* Taf. — *Ῥωμαίου* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στρατοῦ, κλέψαι μεριμνῶν τὸν πόλεμον καὶ διὰ νυκτὸς ἀφεγγοῦς τούτοις προσβαλεῖν. πανσελήνου δὲ οὔσης τῆς νυκτός, ἀπεκρούσθη τοῦ σκέμματος, καὶ τὴν πρὶν σεβασμίαν αὐτῷ ἐδυσφήμει σελήνην. ‖ ἡ δὲ σελήνη ὑπέστη κατ' αὐτὴν τὴν νύκτα ἐκ τοῦ συμβεβηκότος. ‖ G. P. III, 1
ἐκ τούτου ἐδειλία ὁ Σάρβαρος προσβαλεῖν τῷ βασιλεῖ καὶ τὰ ὄρη G. P. III, 23
κατέλαβεν ὡς αἱ δορκάδες ‖ ὁρῶν τὴν καλλίτεχνον καὶ σοφὴν στρα- G. P. III, 33
τηγίαν ἀφ' ὕψους τῶν Ῥωμαίων. ‖ γνοὺς δὲ ὁ βασιλεὺς τὴν τούτου G. P. III, 63
δειλίαν, θαρρῶν ἐν τόποις ηὐλίζετο ἀναπαύσεως πλήρεσιν, ἐρεθίζων τοῦτον πρὸς πόλεμον. ‖ κατερχόμενοι δὲ λάθρα τοῦ ὄρους πολλάκις G. P. III, 79
συμπλοκὰς μερικὰς ἐποιοῦντο, καὶ ἐν παντὶ οἱ Ῥωμαῖοι ἐπροτέρευον, 470 B
καὶ θάρσος ἐπὶ πλεῖον ὁ στρατὸς ἐλάμβανεν, ὁρῶντες τὸν βασιλέα παντὶ προπηδῶντα καὶ εὐτόλμως πολεμοῦντα. ‖ Πέρσης δέ τις πρὸ G. P. III, 144
ὀλίγου χρόνου πρόσφυξ γενόμενος ἐν τῷ στρατῷ τοῦ βασιλέως ἐτάττετο. οὗτος ἀποδρὰς πρὸς τοὺς Πέρσας ἀπῆλθεν ἐλπίζων αὐτοὺς τὴν Ῥωμαίων στρατιὰν ὀλέσαι. ἰδὼν δὲ αὐτῶν τὴν δειλίαν μετὰ 256 P
δεκάτην ἡμέραν πρὸς τὸν βασιλέα ἦλθε ‖ καὶ πᾶσαν ἀκριβῶς τὴν G. P. III, 173
τῶν βαρβάρων ἐξεῖπεν ἀτολμίαν. ὁ δὲ Σάρβαρος μηκέτι ὑποφέρων τὴν ἐν τῷ ὄρει διατριβὴν ἠναγκάσθη πρὸς πόλεμον ὁρμῆσαι, ‖ εἰς G. P. III, 184
τρία δὲ μέρη διελὼν τὸ στράτευμα κατῆλθεν ἄφνω ἐπιφωσκούσης ἡμέρας πρὸ τῆς τοῦ ἡλίου ἀναβάσεως εὐτρεπισάμενος πρὸς πόλεμον. ὁ δὲ βασιλεὺς προγνοὺς καὶ συντάξας τὸν στρατὸν ὁμοίως εἰς τρεῖς φάλαγγας εἰς τὴν μάχην προήγαγεν. τοῦ δὲ ἡλίου ἀνατείλαντος, καὶ τοῦ βασιλέως κατὰ ἀνατολὰς εὑρεθέντος, τοὺς Πέρσας ἐσκότιζεν ἡ τούτου ἀκτίς, ἣν ὡς θεὸν προσεκύνουν. ‖ ὁ δὲ βασιλεὺς ἐσχημά- G. P. III, 210
τισε τὸν λαὸν αὐτοῦ εἰς φυγὴν τραπέντας· καὶ λύσαντες ἐκεῖνοι τὰς φάλαγγας ἀκρατῶς διώκειν τούτους ἐνόμιζον. ἐπιστραφέντες οὖν οἱ Ῥωμαῖοι εὐψύχως τούτους ἐτρέψαντο καὶ πολλοὺς ἀνεῖλον, ἐλάσαντές τε αὐτοὺς εἰς τὸ ὄρος ‖ εἰς κρημνοὺς αὐτοὺς ἐνέβαλον καὶ τόπους 471 B
δυσβάτους καὶ πάντας αὐτῶν συνέτριψαν· ‖ ἐν δὲ τοῖς κρημνοῖς G. P. III, 234 G. P. III, 251
αἰγῶν ἀγρίων δίκην ἐσκηνοβάτουν. πολλοὺς δὲ καὶ ζῶντας ἐζώγρη-

---

2 πανσέληνος h. — 3 σεβασμίαν αὐτῷ Taf. σεβ. ἑαυτῷ g σεβ. αὐτῶν cehm. — ἐδυσφήμησε h. — 4 κατ' αὐτήν] κατὰ κατὰ ταύτην c. — νύκταν em. — 5 προσβαλεῖν ὁ Σ. c. — Σάρβαρος A σοβαρός (-ρῶς h) codd. βάρβαρος G. P. — 6 ὡς αἱ z G. P. ὡσεὶ cem. — καλίτεχνον em καλήτεχνον c καλίστιχον g καλλίστην h. — 7 τούτων Taf. ex A. — 8 πλήρεσιν Taf. ex A πλήρης codd. — 10 συμπλοκὰς μερικάς cz μερικὰς om. emΔ συμπλοκὴ—ἐκ μέρους ἐγίνετο G. P. — ἐπρωτέρευον cg ἐπρότευον em. — 12 παντί om. m. — 15 στρατιάν Taf. στρατείαν codd. — 17 ἐξειπεῖν em. — Σάρβαρος A σοβαρός codd. βάρβαρος G. P. — 19 μέρη om. h. — διελθών e. — 20 τῆς ἡμέρας c. — 22 προσήγαγεν m. — 24 ἣν cemΔ ὃν z. — 25 αὐτοῦ Taf. — 26 τούτους διώκειν c. — 27 ἐστρέψαντο h. — 28 τε om. z δὲ Taf. — ἕως τοῦ ὄρους z. — ἐνέβαλον] ἐμβαλόντες z. — 29 τοῖς om. m. — 30 ἐσκηνοβάτουν z et m sed κηνο sec. m. in lit. ἐσκηροβάτουν c ἐσηροβάτουν e ἐσκληροβάτουν coni. Classen.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαν. παρέλαβον δὲ καὶ τὸ τούτων στρατόπεδον καὶ πᾶσαν τὴν
G. P. III, 278 ἀποσκευὴν αὐτῶν. ‖ οἱ δὲ Ῥωμαῖοι πρὸς ὕψος τὰς χεῖρας ἐκτείναντες
τῷ θεῷ ηὐχαρίστουν καὶ τῷ στρατηγήσαντι καλῶς βασιλεῖ συντόνως
προσηύχοντο. οἳ γὰρ πρὶν μηδὲ Περσικὴν κόνιν τολμήσαντες ἰδεῖν
νῦν τὰς σκηνὰς τούτων ἀσαλεύτους εὑρόντες ἐλαφυραγώγησαν. ‖
G. P. III, 296 τίς γὰρ ἤλπιζε τὸ τῶν Περσῶν δυσμαχώτατον γένος νῶτα δοῦναί
ποτε Ῥωμαίοις; ‖ ὁ δὲ βασιλεὺς τὸν στρατὸν σὺν τῷ στρατηγῷ κατα-
λιπὼν εἰς Ἀρμενίαν παραχειμάσαι αὐτὸς εἰς Βυζάντιον ὑπέστρεψεν.

621/2 A. M. 6114	Κόσμου ἔτη ,ϛριδ'.	Τῆς θείας σαρκώσεως ἔτη χιδ'.	Ῥωμαίων βασιλεὺς Ἡράκλειος ἔτη λα'. ιγ'.	Περσῶν βασιλεὺς Χοσρόης ἔτη λθ'. λε'.

Κωνσταντ. ἐπίσκοπος Σέργιος ἔτη κθ'. ιδ'.	Ἱεροσολύμων ἐπίσκοπος Ζαχαρίας ἔτη κβ'. ιδ'.	Ἀλεξανδρείας ἐπίσκοπος Γεώργιος ἔτη ιδ'. δ'.

Τούτῳ τῷ ἔτει μηνὶ Μαρτίῳ ιε', ἰνδικτιῶνος ια', ἀπάρας ὁ βασι-
λεὺς Ἡράκλειος τῆς βασιλίδος πόλεως κατὰ τάχος ἀφίκετο εἰς Ἀρ-
257 P μενίαν. Χοσρόης δέ, ὁ τῶν Περσῶν βασιλεύς, ἀπέστειλε τὸν Σαρ-
472 B βαραζᾶν σὺν τῷ ἑαυτοῦ στρατῷ εἰσβαλεῖν εἰς τὴν τῶν Ῥωμαίων
γῆν. Ἡράκλειος δὲ ἔγραφε πρὸς Χοσρόην, ἢ τὴν εἰρήνην ἀσπάσασθαι,
ἢ ἑαυτὸν εἰς τὴν Περσίδα σὺν τῷ ἑαυτοῦ στρατῷ εἰσβαλεῖν. ὁ δὲ
Χοσρόης οὔτε τὴν εἰρήνην ἠσπάζετο οὔτε τι τὸν λόγον ἡγεῖτο, ὅτι
Ἡράκλειος τολμᾷ τῇ Περσίδι πλησιάσαι. ὁ δὲ βασιλεὺς τῇ κ' τοῦ
Ἀπριλλίου μηνὸς εἰσέβαλεν εἰς τὴν Περσίδα. καὶ μαθὼν τοῦτο
Χοσρόης τὸν Σαρβαραζᾶν ὑποστρέψαι ἐκέλευσεν· καὶ ἐπισυνάξας ἐκ
πάσης τῆς Περσίδος τὰ ἑαυτοῦ στρατεύματα καὶ παραδοὺς αὐτὰ τῷ
Σάϊν κατὰ τάχος ἑνωθῆναι αὐτὰ τῷ Σαρβαραζᾶν προσέταξε καὶ

---

1 παρέλαβον gA παρέλαβεν cehm. — 2 αὐτοῦ cem. — 4 ἐπηύχοντο Taf. cum G. P. — 5 ἐλαφυραγώγησαν c ἐλαφυρολόγησαν rell. — 6 συσμαχώτατον e συμμαχώτατον m. — 6. 7 δοῦναί ποτε Ῥωμ. νῶτα c. — 7 τότε h. — Ῥωμαίους e. — τὸν om. h. — 8 Post ὑπέστρεψεν z add.: τούτῳ τῷ ἔτει Μάμεδ ἐφάνη ἀμηρεύσας ἔτη Θ'. τρισκαιδέκατον ἔτος Ἡράκλειος ἐξουσιάσας (ἐξουσία g). — 12^3 ἔτη λδ' m ἔτη ιδ' e. — v. 13 et 18 om. g. — 13^4 ιε' c. — 14^3—18^5 Alexandriae episc. om. h. — 17^2 ἔτη κδ' m. — 18^1 ια' c. — 18^2 ια' c. — 19 ἐν $\overset{\delta}{\text{codd.}}$ — 20 Ἡράκλ. ἀπὸ τῆς z cf. p. 303, 8; 309, 5. — τῆς πόλεως βασιλίδος em. — 21 Σαρβαραζᾶν g Σαρβαναζᾶν h Σαρβανάζαν m Σαρβαναζαν sine acc. ce Sarmanazan A. — 22 εἰσβαλεῖν om. em. — 23 ἔγραφε cz scribebat A ἔγραψε em. — 24 αὐτόν c. — τὴν om. cm. — 25 τι] ἐπί em. — τῶν λόγων z. — 27 μηνὸς om. c. — εἰσέβαλλεν g. — 28 Σαρβαραζᾶν g Σαρβαναζᾶν h Σαρβανάζαν cem Sarbanazan A. — 28 καὶ ἐπισυν.—30 προσέταξεν om. em. — 30 Σάην g. — Σαρβαναζᾶν h Σαρβανάζαν c Sarbanazae A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὕτω χωρῆσαι κατὰ τοῦ βασιλέως. Ἡράκλειος δὲ προσκαλεσάμενος τὸ ἑαυτοῦ στράτευμα λόγοις παραινετικοῖς διήγειρεν αὐτούς, λέγων· "ἄνδρες ἀδελφοί μου, λάβωμεν εἰς νοῦν τὸν τοῦ θεοῦ φόβον καὶ ἀγωνισώμεθα τὴν τοῦ θεοῦ ὕβριν ἐκδικῆσαι. στῶμεν γενναίως κατ' ἐχθρῶν τῶν πολλὰ δεινὰ Χριστιανοῖς ἐργασαμένων. αἰδεσθῶμεν τὸ τῶν Ῥωμαίων αὐτοδέσποτον κράτος, καὶ στῶμεν κατ' ἐχθρῶν δυσσεβῶς ὡπλισμένων. λάβωμεν πίστιν τῶν φόνων φονεύτριαν. ἀναλογισώμεθα ὅτι ἔνδον ἐσμὲν τῆς τῶν Περσῶν γῆς καὶ μέγαν κίνδυνον φυγὴ φέρει. ἐκδικήσωμεν τὰς φθορὰς τῶν παρθένων, τὰ τετμημένα μέλη τῶν στρατιωτῶν ἡμῶν ὁρῶντες πονήσωμεν τὰς καρδίας. οὐκ ἔστιν ἄμισθος ὁ κίνδυνος, ἀλλ' αἰωνίου ζωῆς πρό- 473 B
ξενος. στῶμεν ἀνδρείως, καὶ κύριος ὁ θεὸς συνεργήσει ἡμῖν, καὶ ὀλέσει τοὺς ἐχθροὺς ἡμῶν." ταῦτα δὲ καὶ ἄλλα πολλὰ τοῦ βασιλέως παραινέσαντος τῷ λαῷ, ἀπεκρίθη αὐτῷ εἷς ὑπὲρ πάντων· "ἤπλωσας ἡμῶν τὰς καρδίας, δέσποτα, τὸ σὸν πλατύνας ἐν παραινέσει στόμα. ὤξυναν οἱ λόγοι σου τὰ ξίφη ἡμῶν, καὶ ἔμψυχα ταῦτα εἰργάσαντο. ἀνεπτέρωσας ἡμᾶς διὰ τῶν ῥημάτων σου. ἐρυθριῶμεν σὲ θεωροῦντες προάγοντα ἡμῶν ἐν ταῖς μάχαις, καὶ ἑπόμεθα ἐν πᾶσι τοῖς σοῖς κελεύσμασιν." ὁ δὲ βασιλεὺς ἀναλαβὼν τὸ στράτευμα εὐθὺς ἐν τῇ ἐνδοτέρᾳ Περσίδι ἐχώρησε πυρὶ καταφλέγων τὰς πόλεις καὶ τὰς κώμας· καὶ γίνεταί τι θαῦμα κἀνταῦθα φοβερόν. ἐν γὰρ τῇ θερινῇ τροπῇ ἀὴρ γέγονε δροσώδης ψυχαγωγῶν τὸν τῶν Ῥωμαίων στρατόν, ὥστε ἀγαθὰς ἐλπίδας ἀναλαβεῖν αὐτούς. ἀκούσας δὲ Ἡράκλειος, ὅτι Χοσρόης ἐν Γαζακῷ τῇ πόλει ἐστὶ σὺν μ' χιλιάσιν
ἀνδρῶν πολεμιστῶν, ὥρμησε κατ' αὐτοῦ· καὶ προπέμψας τινὰς τῶν 258 B
ὑπ' αὐτὸν Σαρακηνοὺς προτρέχειν, συναντῶσι τῇ τοῦ Χοσρόου βίγλᾳ, καὶ τούτων τοὺς μὲν ἀνεῖλον, τοὺς δὲ πεδήσαντες σὺν τῷ στρατηγῷ αὐτῶν τῷ βασιλεῖ προσήνεγκαν. τοῦτο μαθὼν Χοσρόης, καταλιπὼν 474 B
τὴν πόλιν καὶ τὸ στράτευμα φυγῇ ἐχρήσατο. ὁ δὲ Ἡράκλειος ἐπιδιώξας τοὺς μὲν φθάσας ἀνεῖλεν, οἱ δὲ λοιποὶ φυγόντες διεσκεδάσθησαν. καὶ καταλαβὼν ὁ βασιλεὺς τὴν Γαζακῶν πόλιν ⟨ἐν τοῖς

---

1 ὁ δὲ βασιλεὺς Ἡράκλειος προσκ. c. — 2 αὐτοῖς g. — 3 λάβομεν ehm. — 4 ἐκζητῆσαι z Taf. requirere A. — 5 τοῖς χριστιανοῖς c. — ἐργασάμενον cem. — αἰσθῶμεν em. — τὸ om. e. — 7 ὁπλισμένων em ὡπλισμένων g ὁπλισαμένων h. — λάβομεν eh. — ἀναλογισόμεθα h ἀναλογησόμεθα m. — 8 μέγα codd. — 9 ἡ φυγή cz. — ἐκδικήσομεν h. — 12 ἡμᾶς g. — 13 ὀλέσῃ cem. — πολλὰ om. g. — 15 τὰς καρδ. ἡμῶν δέσποτα em δέσπ. ἡμῶν τὰς καρδίας c. — 17. 18 ἐρυθρ. ἐν ταῖς μάχαις προάγ. ἡμῶν σε ὁρῶντες z. — 18 θεωρῶντες em ὁρῶντες cz. — 19 κελεύμασι cem. — 21 πόλεις] χώρας z. — τι om. Taf. — κἀνταῦθα] ἐκεῖ Taf. — 24 Γαζακῷ Taf. — 25 κατ' αὐτῶν c. — 26 ὑπ' αὐτῷ Taf. — 27 ἀνεῖλεν g. — 28 τούτῳ em. — 30 φθάσας om. m. — 31 Gazacensium A Γαζακῶ codd. Γαζακῷ Taf. — ἐν τοῖς προαστείοις—p. 308, 4 Θηβ. τὴν πόλιν Taf. add. ex A. — ἐν τοῖς προαστ. αὐτῆς Taf. in suburbanis huius A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταύτης προαστείοις ἀνελάμβανε τὸν στρατὸν αὐτοῦ. οἱ δὲ καταφυγόντες πρὸς αὐτὸν Πέρσαι ἔλεγον, ὅτι φυγὼν ὁ Χοσρόης πυρὶ ἀνήλωσε πάντα τὰ λήϊα ἐν ἐκείνοις τοῖς τόποις ἐλθὼν εἰς Θηβαρμαΐς τὴν πόλιν〉 ἐν τῇ ἀνατολῇ, ἐν ᾗ ὑπῆρχεν ὁ ναὸς τοῦ Πυρὸς καὶ τὰ χρήματα Κροίσου, τοῦ Λυδῶν βασιλέως, καὶ ἡ πλάνη τῶν ἀνθράκων. ταῦτα λαβὼν ἐπὶ τὸ Δασταγὲρδ ἐχώρει. ὁ δὲ βασιλεὺς ἀπάρας ἀπὸ Γαζακῶν καταλαμβάνει τὴν Θηβαρμαΐς· καὶ εἰσελθὼν ἐν ταύτῃ πυρὶ ἀνήλωσε τὸν τοῦ Πυρὸς ναὸν καὶ πᾶσαν τὴν πόλιν πυρὶ ἀναλώσας κατεδίωκεν ὀπίσω Χοσρόου ἐν τοῖς στενοῖς 〈τῆς〉 τῶν Μήδων χώρας, καὶ 〈ἐν〉 ταύταις ταῖς δυσχωρίαις τόπον ἐκ τόπου ὁ Χοσρόης ἤμειβεν· καὶ ὁ Ἡράκλειος τοῦτον διώκων πολλὰς πόλεις ἐπόρθησε καὶ χώρας. χειμῶνος δὲ καταλαβόντος, βουλὴν ἐποιεῖτο ποῦ παραχειμάσαι μετὰ τοῦ λαοῦ αὐτοῦ· καὶ οἱ μὲν ἔφασκον ἐν Ἀλβανίᾳ, οἱ δὲ κατ' αὐτὸν εἰσβαλεῖν τὸν Χοσρόην. ὁ δὲ βασιλεὺς ἐκέλευσε τὸν λαὸν ἁγνίζεσθαι τρεῖς ἡμέρας, καὶ ἀνοίξας τὰ τοῦ θεοῦ εὐαγγέλια εὗρεν ἐπιτρέποντα αὐτῷ ἐν Ἀλβανίᾳ παραχειμάσαι. εὐθέως οὖν ἐπιστρέψας ὥρμησεν ἐν Ἀλβανίᾳ. ἐν δὲ τῷ μεταξὺ τῆς ὁδοῦ ἔχων πολλὴν αἰχμαλωσίαν Περσῶν σὺν αὐτῷ οὐκ ὀλίγας ἐπι-
475 B δρομὰς ὑπὸ τῶν Περσικῶν στρατευμάτων ἐδέχετο· αὐτὸς δὲ τῇ τοῦ θεοῦ συνεργίᾳ νίκην κατὰ πάντων ἤρατο. χειμῶνος δὲ σφοδροῦ ἐπιπεσόντος αὐτῷ ἐν τῇ ὁδῷ καὶ κρύους, φθάσας αὐτὸς ἐν Ἀλβανίᾳ ν' χιλιάδας δεσμίους ἔχων τούτους τῇ εὐσυμπαθήτῳ αὐτοῦ καρδίᾳ ἐλεήσας τῶν δεσμῶν ἔλυσεν, καὶ ἐπιμελείας καὶ ἀναπαύσεως μετεδίδου· ὥστε πάντες μετὰ δακρύων τούτῳ ηὔχοντο ῥύστῃ γενέσθαι καὶ τῆς Περσίδος, τὸν κοσμόλεθρον ἀνελόντι Χοσρόην.

622/3. A. M. 6115 ιδ'. λς'. ιε'. ιε'. ε'.

Τούτῳ τῷ ἔτει Χοσρόης, ὁ τῶν Περσῶν βασιλεύς, Σαραβλαγγᾶν προεβάλετο στρατηγόν, ἄνδρα δραστήριον καὶ τύφῳ πολλῷ ἐπηρμένον· καὶ παραδοὺς αὐτῷ στρατὸν τοὺς λεγομένους Χοσροηγέτας καὶ

3 *Θηβαρμαΐς scr. e v.* 7 *Θηβαρμάν* Taf. Thebarman A. — 3. 4 *εἰς τὴν πόλιν Θηβαρμάν* Taf. *cf. ad p.* 298, 23. — 4 *ἐν ᾧ* g. — 5 *τοῦ Κροίσου* c. — 6 *τό*] *τά* g *τῷ* Taf. — *Δασταγέρδεχωρεῖ* g. — 7 *Γαζακῶν codd.* A *Γαζακώ* Taf. — *Θηβαρμαΐς* cehm *Θηβαρβαΐς* g Thebarmeso A *Θηβαρμάν* Taf. *e v.* 3 *sed econtra v.* 3 *e v.* 7 *corrigendus, coll.* Menand. Prot. Frg. 11, IV, p. 214 Müller *Βιθαρμαΐς* (*l.* *Βηθαρμαΐς*). — 7. 8 *ἐν αὐτῇ* z. — 9 *τῆς add. e coni.* — 10 *χώρας* emA *χωρίοις* cz. — *ἐν add.* Classen *om. codd.* — *ταῖς δυσὶ χώραις vertit* A. — 13 *ποῦ*] ubinam A *τοῦ codd.* — 14 *κατ' αὐτῶν* h *κατὰ ταὐτόν* c. — 15 *ἁνίζεσθαι* g. — 17 *ἐπιτρέψας* em, *ἐπι τρέψας* (*sic*) c. — 18 *αἰχμ. τῶν Περσῶν* g. — 19 *ὑπὸ Περσ.* g. — *στρατεύματα* em. — 20 *ἤρατο* ch. — 21 *αὐτῷ*] *αὐτοῦ* h. — *αὐτός*] *αὐτούς* em. — *καὶ κρ. φθάσαντος αὐτὸν ἐν Ἀλβ.* Taf. *ex* A: et hunc gelu praeoccupasset in Albania. — 22 *καρδίᾳ αὐτοῦ* c. — 24 *ῥύστην* cz *μύστην* em *corr.* Classen. — 25 *Post Χοσρόην codd. add. Δεύτερον ἔτος Ἀμεδ* (*Μάμεδ* h). — 26 *ιδ'. λς'. ιε'. ε'.* cem. — 27 *Σαραβλάγγαν* em *Σαραβλαγᾶν* z *Σαραβλαγαν sine acc.* c. — 28 *προεβάλλετο* g. — 29 *Χοσρωηγέτας* ehm.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Περοζίτας ἐν Ἀλβανίᾳ ἔστειλε κατὰ Ἡρακλείου. εἰσβαλόντες δὲ εἰς τὰ ἄκρα τῆς Ἀλβανίας οὐκ ἐθάρρησαν κατὰ πρόσωπον τοῦ βασιλέως πρὸς πόλεμον στῆναι· ἀλλὰ τὰς ἐπὶ Περσίδα ἀγούσας κλεισούρας ἐκράτησαν νομίζοντες τοῦτον λοχῆσαι. ὁ δὲ Ἡράκλειος ἅμα ἔαρι ἀπάρας τῆς Ἀλβανίας δι' ὑπτίων πεδίων καὶ τὰς τροφὰς δαψιλῶς 259 P εὐπορούντων τὴν πάροδον ἐποιεῖτο ἐπὶ Περσίδα, εἰ καὶ μήκους διάστημα πολλῇ ὁδῷ ἤνυεν. ὁ δὲ Σαραβλαγγᾶς διὰ τῆς στενῆς 476 B ὁδοῦ ὡς διὰ συντόμου ἤλαυνε τοῦ προλαβεῖν αὐτὸν ἐν τῇ χώρᾳ Περσίδος. Ἡράκλειος δὲ παρήνει τῷ λαῷ λέγων· "γνῶμεν, ἀδελφοί, ὡς ἡ στρατιὰ τῶν Περσῶν ἐν τοῖς δυσβάτοις τόποις πλανωμένη τούς τε ἵππους αὐτῶν παραλύει καὶ αὐτοὺς ἐκνευροῖ. ἡμεῖς δὲ σπεύσωμεν κατὰ Χοσρόου χωρῆσαι ἐν πολλῷ τάχει, ὥστε ἐκ τοῦ ἀπροσδοκήτου ἐπιπεσόντες αὐτὸν θορυβήσωμεν." ὁ δὲ λαὸς οὐ συνεβούλευε τοῦτο ποιῆσαι, μάλιστα οἱ τῶν Λαζῶν καὶ τῶν Ἀβασγῶν καὶ τῶν Ἰβήρων σύμμαχοι. ἐντεῦθεν ἐν συμφοραῖς περιπίπτουσιν. κατέλαβε γὰρ ⟨καὶ⟩ Σαρβαραζᾶς μετὰ τοῦ λαοῦ αὐτοῦ, οὓς ἐξώπλισε Χοσρόης πάσῃ δυνάμει καὶ ἀπέστειλε κατὰ Ἡρακλείου διὰ τῆς Ἀρμενίας. Σαραβλαγγᾶς δὲ ἠκολούθει ἐκ τῶν ὄπισθεν αὐτοῦ καὶ οὐ συνέβαλεν αὐτῷ ἐκδεχόμενος ἑνωθῆναι τῷ Σαρβαραζᾷ καὶ οὕτω τὸν πόλεμον συστήσασθαι. γνόντες δὲ οἱ Ῥωμαῖοι τὴν ἔφοδον τοῦ Σαρβαραζᾶ εἰς δειλίαν ἐτράπησαν καὶ τοῖς ποσὶ τοῦ βασιλέως προσέπεσον δάκρυσι μετανοοῦντες διὰ τὴν κακῶς γενομένην αὐτῶν παρακοήν, γνόντες οἷον κακόν ἐστι δοῦλον μὴ εἶκειν τοῖς τοῦ δεσπότου βουλεύμασιν· καὶ ἔλεγον· "τὴν χεῖρά σου, δέσποτα, πρὶν ἀπολέσθαι ἡμᾶς τοὺς ἀθλίους· εἴκομεν γάρ σοι, ἐν οἷς ἂν κελεύῃς." τότε ὁ βασιλεὺς ἔσπευσε συμβαλεῖν τῷ Σαραβλαγγᾷ, πρὶν ἢ ἑνωθῆναι τῷ 477 B λαῷ τοῦ Σαρβαραζᾶ, καὶ πολλὰς ἐκδρομὰς κατ' αὐτοῦ ποιησάμενος ἐν νυκτί τε καὶ ἡμέρᾳ εἰς δειλίαν αὐτὸν κατέστησεν· καὶ ὄπισθεν ἀμφοτέρους ἐάσας κατὰ Χοσρόου μετὰ σπουδῆς ἤλαυνεν. αὐτομολοῦσι δὲ δύο τῶν Ῥωμαίων πρὸς τοὺς Πέρσας καὶ πείθουσιν αὐτοὺς ἐκ δειλανδρίας φεύγειν τοὺς Ῥωμαίους. ἦλθε δὲ αὐτοῖς καὶ φήμη ἑτέρα, τὸν Σάϊν, στρατηγὸν Περσῶν, καταλαμβάνειν μεθ' ἑτέρου στρατεύ-

---

1 Περοζήτας g Περωζήτας ehm. — 3 ἐκ Περσίδος m. — 4 καὶ νομίζοντες g. — 7 Σαραβλάγγας cem Σαραβλαγᾶς g Σαραβαγλᾶς h. — 10 στρατεία ehm στρατία c. — 12 σπεύσομεν eh. — 12. 13 ἐκ τ. ἀπροσδοκήτως z. — 13 θορυβήσομεν ehm. — 14 συνεβουλεύετο z. — Λάζων h. — Ἀβάσγων m. — 15 ἐν del.? — πίπτουσι m. — 16 γὰρ] δὲ em. — καὶ add. Taf. ex A om. codd. — Σαρβαράζας em sine acc. c item v. 20. — οὓς] ὃς g. — 18 Σαραβλάγγας cem Σαραβλαγγάς h Σαραβλαγᾶς g. — 19 συνέβαλλεν g. — ἐν αὐτῷ em. — Σαραβαράξᾳ em Σαρβαραζᾳ sine acc. c. — 21 προσέπεσαν emz. — 22 μετανοῦντες c. — 23 ἦκειν h. — 25 ἤκομεν ch. — κελεύεις em. — 26 Σαραβλάγγᾳ em Σαραβλαγγα sine acc. c Σαραβλαγᾷ g. — ἢ om. h. — 27 Σαρβαράζᾳ cem Sarbari A. — ἐπεκδρομάς c. — 31 δειλανδρείας m δειλανδρείαν e, — αὐτῆς g. — 32 Σαιν sine acc. c Σάην g Σάγην em.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ματος εἰς βοήθειαν· καὶ τοῦτο μαθόντες Σαραβλαγγᾶς τε καὶ Σαρβαραξᾶς ἠγωνίσαντο προσβαλεῖν τῷ Ἡρακλείῳ πρὸς πόλεμον, πρὶν ἢ φθάσαι τὸν Σάϊν καὶ τῆς νίκης εἰς ἑαυτὸν μετενεγκεῖν τὸ κλέος. πιστεύσαντες δὲ καὶ τοῖς αὐτομόλοις ἐχώρησαν κατὰ Ἡρακλείου, καὶ πλησιάσαντες αὐτῷ ἠπλήκευσαν βουλόμενοι ἅμα τῷ πρωῒ συμβαλεῖν. ὁ δὲ Ἡράκλειος ἀπάρας ἀπὸ ἑσπέρας ᾤδευσε δι' ὅλης τῆς νυκτός· καὶ μακρὰν γενόμενος ἀπ' αὐτῶν εὑρών τε πεδίον χλοηφόρον ἠπλήκευσεν ἐν αὐτῷ. οἱ δὲ βάρβαροι νομίσαντες ἐκ δειλίας φεύγειν ἀκόσμως ἤλαυνον τοῦ καταλαβεῖν αὐτόν. αὐτὸς δὲ ὑπαντήσας αὐτοῖς ἐκρότησε πόλεμον κατ' αὐτῶν. καταλαβὼν δὲ βουνόν τινα ἀλσώδη καὶ ἐπισωρεύσας τὸν λαὸν αὐτοῦ τῇ τοῦ θεοῦ συνεργίᾳ τρέπει τοὺς
478 B βαρβάρους, καὶ τούτους διὰ τῶν φαράγγων διώξας πλῆθος πολὺ
260 P ἀνεῖλεν. ⟨πίπτει δὲ καὶ ὁ Σαραβλαγγᾶς ξίφει πληγεὶς τὸ νῶτον.⟩ καὶ τούτων μεταξὺ τῶν ἀγώνων ὄντων, ἔφθασε καὶ ὁ Σάϊν σὺν τῷ ἑαυτοῦ στρατῷ, καὶ τοῦτον τρεψάμενος ὁ βασιλεὺς καὶ πολλοὺς ἐξ αὐτῶν ἀνελὼν τοὺς λοιποὺς διέσπειρε φεύγοντας· παρέλαβε δὲ καὶ τὸ τοῦλδον αὐτῶν. ὁ δὲ Σαρβαραξᾶς ἐνωθεὶς τῷ Σάϊν ἐπεσύναξε τοὺς σωθέντας βαρβάρους· καὶ πάλιν διενοοῦντο κατὰ Ἡρακλείου χωρεῖν. ὁ δὲ βασιλεὺς ἐπὶ τὴν τῶν Οὔννων χώραν καὶ τὰς τούτων δυσχωρίας ἤλαυνεν ἔν τε τραχέσι τόποις καὶ δυσβάτοις. οἱ δὲ βάρβαροι ὀπίσω αὐτοῦ ἠκολούθουν. οἱ δὲ Λαζοὶ ἅμα τοῖς Ἀβασγοῖς δειλιάσαντες ἀπέσπασαν ἑαυτοὺς τῆς τῶν Ῥωμαίων συμμαχίας καὶ πρὸς τὴν ἰδίαν χώραν ἀνεχώρησαν. ὁ δὲ Σάϊν ἡσθεὶς ἐπὶ τούτῳ θυμῷ πολλῷ σὺν τῷ Σαρβάρῳ ἐχώρει κατὰ Ἡρακλείου. ὁ δὲ βασιλεὺς ἐπισυνάξας τὸν στρατὸν λόγοις ἀνεπτέρωσε καὶ παραινέσει τούτους ἤλειφε λέγων· "τὸ πλῆθος ὑμᾶς ⟨τῶν ἐχθρῶν⟩, ἀδελφοί, μὴ ταραττέτω. θεοῦ γὰρ θέλοντος, εἷς διώξει χιλίους. θύσωμεν οὖν τῷ θεῷ ἑαυτοὺς ὑπὲρ τῆς τῶν ἀδελφῶν ἡμῶν σωτηρίας. λάβωμεν

1 Σαρβ. καὶ Σαραβλ. g. — Σαραβλάγγας cem Σαραβλαγγάς h. — Σαρβαράξας em *sine acc.* c Sarbarus A. — 2 συμβαλεῖν c. — 3 Σάην g Σαΐν c. — εἰς ἑαυτόν c ἑαυτῷ *rell.* — 4 πιστεύσαντες δὲ] *in ordinem redit cod.* f. — 5 ἠπλίκευσαν em ἠπλίκευσαν f ἠπλήκευσαν c. — 6 ᾤδευε g. — 7 καὶ μακρὰν γεν. ἀπ' αὐτῶν *om.* g. — εὑρών τε] εὑρόντες y. — ἠπλίκευσεν hm ἠπλίκευσεν e ἠπλήκευσεν f ἠπλήκευσαν g. — 9 αὐτόν cA αὐτούς yz. — 10 βοῦνον g. — τινα *om.* m. — 11 καὶ *om.* gy. — αὐτοῦ *coni.* Taf. — συνεργείᾳ fh. — 11. 12 τοὺς Πέρσας c. — 13 πίπτει—νῶτον *add. ex* A *om. codd.* Taf. — 14 ὄντως g. — καὶ *om.* m. — Σαΐν f Σαϊν *sine acc.* c Σάην g. — 15 τρέψας Taf. — 17 Σαρβαράξας cy. — Σαΐν e Σαϊν *sine acc.* c Σάην g. — 18 ἐπισυνῆξεν Taf. e *Cedreno sed Cedreni codd.* ἐπεσύναξεν *praebent.* — 19 Οὔνων g. — 20 ταῖς—δυσχωρίαις (-είαις y) *codd.* κἀν ταῖς—δυσχωρίαις? — 22 τῶν *om.* c. — 23 ἐχώρησαν g. — Σαϊν *sine acc.* ce Σάην g. — 23. 24 hoc advertens (αἰσθόμενος τοῦτο) A. — 24 ἐπὶ τοῦτο h. — σὺν τῷ Σαρβάρῳ A Taf. σὺν τοῖς βαρβάροις *codd.* — 25 παραινέσεσι cg. — 26 ἤλειφε *sec. m.* f Taf. εἴληφε *codd.* — ἡμᾶς ce. — ἐχθρῶν *post* ὑμᾶς *add.* Taf. *ex* A: multitudo vos, fratres, inimicorum. — 27 θύσομεν h. — 28 λάβομεν ehm.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

στέφος μαρτύρων, ἵνα καὶ ὁ μέλλων ἡμᾶς χρόνος ἐπαινέσῃ, καὶ ὁ θεὸς τοὺς μισθοὺς ἀποδώσῃ." τούτοις καὶ ἄλλοις πλείοσι λόγοις 479 B
παραθαρσύνας τὸν στρατὸν φαιδρῷ τῷ προσώπῳ παρατάττει τὸν πόλεμον, καὶ στάντες ἀπ' ἀλλήλων ἀπὸ μικροῦ διαστήματος ἀπὸ πρωῒ μέχρις ἑσπέρας ἀλλήλοις οὐ συνέβαλον. ἑσπέρας δὲ καταλαβούσης, ὁ βασιλεὺς τῆς ὁδοιπορίας εἴχετο. οἱ δὲ βάρβαροι πάλιν ὀπίσω αὐτοῦ ἤλαυνον. ἐναλλάξαντες δὲ τὴν ὁδὸν καὶ τοῦτον προλαβεῖν θελήσαντες ἐμπίπτουσιν εἰς τόπους τελματώδεις καὶ πλανῶνται καὶ εἰς μέγαν κίνδυνον ἦλθον. ὁ δὲ βασιλεὺς διαβὰς τὰ μέρη Περσαρμενίας παρέτρεχεν. τῆς δὲ γῆς ἐκείνης ὑπὸ Περσῶν κρατουμένης, πολλοὶ συνέτρεχον τῷ Σαρβαραξᾶ, καὶ ἐπηύξει τὸν ἑαυτοῦ λαόν. χειμῶνος δὲ γεγονότος, ἐσκορπίσθη τὸ πλῆθος ἐν τοῖς ἰδίοις τόποις πρὸς τὸ ἀναπαύεσθαι ⟨ἐν τοῖς οἴκοις αὐτῶν⟩. τοῦτο δὲ Ἡράκλειος μαθὼν διανοεῖται ἐν νυκτὶ κλέψαι τὸν πόλεμον· καὶ τοῦ χειμῶνος ἐπικειμένου, καὶ ὑποψίας μηδεμιᾶς οὔσης τῷ Σαρβάρῳ, ἐπιλεξάμενος ἵππους εὐσθενεῖς καὶ τοῦ στρατοῦ τοὺς ἀνδρειοτέρους διχῇ ὁπλίσας τοὺς μὲν προάγειν ἐκέλευσε κατὰ τοῦ Σαρβάρου, αὐτὸς δὲ σὺν τοῖς ἑτέροις ὀπίσω τούτων εἵπετο. σπεύσαντες δὲ διὰ τῆς νυκτὸς καὶ καταλαβόντες τὸ χωρίον Σαλβανῶν ὥρᾳ θ' τῆς νυκτός, Περσῶν 480 B
ἐν αὐτῷ ὄντων καὶ γνόντων τὴν ἔφοδον, οἳ καὶ διαναστάντες ὥρμησαν κατ' αὐτῶν. οἱ δὲ Ῥωμαῖοι τούτους πάντας ἀνεῖλον παρὲξ ἑνός, ὅστις τῷ Σαρβάρῳ ἐμήνυσεν. ὁ δὲ Σάρβαρος ἀναστὰς καὶ 261 F
ἐπιβὰς ἵππῳ γυμνός τε καὶ ἀνυπόδητος φυγῇ τὴν σωτηρίαν ἐπορίσατο. τούτου δὲ τὰς γυναῖκας καὶ πᾶν τὸ Περσικὸν ἄνθος ἄρχοντάς τε καὶ σατράπας καὶ στρατιώτας ἐπιλέκτους καταλαβὼν ἀνελθόντας ἐν ταῖς τῶν οἴκων στέγαις καὶ πόλεμον κροτοῦντας διὰ τοῦ πυρὸς καθεῖλεν· καὶ οὓς μὲν ἔκτεινεν, οὓς δὲ πυρὶ ἀνήλωσεν, ἄλλοι δὲ χειροπέδαις ἐδεσμήθησαν καὶ μικροῦ δεῖν οὐδεὶς ἐκτὸς Σαρβάρου

---

1 ἐπαινέσει hm. — 2 ἀποδώσει fz. — 3 τὸν στρατόν] τῷ λαῷ h. — 5 οὐ emA *om. rell.* — *συνέβαλον pr. m. ut vid. corr. ex* συνέβαλον g. — 6. 7 ὀπίσω αὐτοῦ πάλιν c. — συναλλάξαντες Taf. — 9 μέγα gy. — Imperator vero transiens fines Persarum per Armeniam peragrabat A. — 10 Περσαρμενείας y τῆς Ἀρμενίας g. — 11 Σαρβαράξᾳ y Σαρβαραξᾳ *sine acc.* c Σαρβαναξῷ h Sarbano A. — 12 ἐσκόρπισε Taf. *ex* A: dispersit multitudinem. — 13 τόποις cA *om.* yz. — ἐν ταῖς οἰκίαις αὐτῶν *add.* Taf. *ex* A: ut requiescerent in domibus suis *om. codd.* — 14 τοῦ *del.* Taf. — 15 τῷ Σαρβαραξῷ h τῶν βαρβάρων g τῷ βαρβάρῳ m. — 17 Σαρβάρου Taf. *ex* A βαρβάρου *codd.* — 18 ἑτέροις] βαρβάροις g. — 19 τὸ] τι Taf. *e Cedreno, sed* τὸ *habent Cedreni codices.* — Σαλμανῶν h Lasbanum A Ἀλβανᾶν Taf. *cum Cedreno.* — 21 πάρεξ cefz *sine acc.* m. — 22 Σαρβάρῳ *et* Σάρβαρος Taf. *ex* A βαρβάρῳ *et* βάρβαρος *codd.* — καὶ *om.* c. — 23 ἀνυπόδετος g ἀνυπόδυτος hy. — ἐπορήσατο h ἐποιήσατο y. — 24 περσικόν] περιούσιον h. — 26 κρατοῦντας f. — 28 χειροπαῖδες y χειροπέδες c. — 28 καὶ—*p.* 312, 1 διεσώθη *om.* g. — ἐκτός] ἐκ τῶν Taf. *ex* A: nullus ex his qui Sarbari fuerant. — Σαραβάρου f Σαρβαράζου h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διεσώθη. ἔλαβον δὲ καὶ τὰ ὅπλα Σαρβάρου χρυσῆν ἀσπίδα τε καὶ μάχαιραν καὶ δόρυ καὶ τὴν διάλιθον καὶ χρυσῆν ζώνην καὶ τὰ ὑποδήματα αὐτοῦ. καὶ ταῦτα πάντα λαβὼν χωρεῖ κατὰ τῶν διεσπαρμένων ἐν τοῖς χωρίοις· οἵτινες μαθόντες τὴν τοῦ Σαρβάρου φυγὴν ἀκρατῶς ἔφυγον. αὐτὸς δὲ διώξας πολλοὺς αὐτῶν ἔκτεινε καὶ δεσμίους ἔλαβεν, καὶ οἱ λοιποὶ ἐν Περσίδι μετ' αἰσχύνης ὑπέστρεψαν. ὁ δὲ βασιλεὺς ἐπισυνάξας τὸ ἑαυτοῦ στρατόπεδον μετὰ χαρᾶς ἐν ἐκείνοις τοῖς τόποις παρεχείμασεν.

623/4. A. M. 6116

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς
,ϛριϛ΄.	ἔτη χιϛ΄.	Ἡράκλειος	Χοσρόης
		ἔτη λα΄.	ἔτη λθ΄.
		ιε΄.	λζ΄.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Σέργιος	Ζαχαρίας	Γεώργιος
ἔτη κθ΄.	ἔτη κβ΄.	ἔτη ιδ΄.
ιϛ΄.	ιϛ΄.	ϛ΄.

481 B Τούτῳ τῷ ἔτει μηνὶ Μαρτίῳ α' ἐπισυνάξας ὁ βασιλεὺς Ἡράκλειος τὸ ἑαυτοῦ στράτευμα βουλὴν ἐποιεῖτο, ποίᾳ ὁδῷ πορευθῇ. δύο γὰρ ὁδοὶ αὐτῷ προέκειντο στεναί τε καὶ δύσβατοι, ἡ μὲν ἐπὶ Τάραντον φέρουσα, ἡ δὲ ἐπὶ τὴν τῶν Σύρων γῆν. καὶ ἡ μὲν ἐπὶ Τάραντον διαφορωτέρα μὲν ἦν, ἀλλ' ἀπορίαν εἶχε πασῶν τῶν τροφῶν· ἡ δὲ ἐπὶ τὴν τῶν Σύρων τὸν Ταῦρον ὑπερβαίνουσα εὐπορίαν τε καὶ δαψίλειαν τῶν τροφῶν παρεῖχεν. ταύτην συγκρίνουσι πάντες, εἰ καὶ ἀποτομωτέρα καὶ χιόνι πολλῷ κατεχομένη ὑπῆρχεν. ταύτην δὲ κόπῳ πολλῷ ὑπερβάντες ἑπτὰ ἡμέραις καταλαμβάνουσι τὸν Τίγριν ποταμόν· καὶ τοῦτον περάσαντες καταλαμβάνουσι τὴν Μαρτυρόπολιν καὶ τὴν Ἄμιδαν· καὶ διαναπαύονται ὅ τε στρατὸς καὶ ἡ αἰχμαλωσία. ἐντεῦθεν καὶ γράμματα πρὸς τὸ Βυζάντιον ὁ βασιλεὺς ἠδυνήθη

---

1 ἔλαβε Tafel. — Σαραβάρου f Σαρβαράζα z. — 2 καὶ *ante* χρυσῆν *om.* yz. — ζώνην ὁμοίως δὲ καί Taf. *ex* A. — ὑποδύματα f. — 4 ἐν τοῖς Taf. *ex* A αὐτῶν *codd.* (g *m. corr. ex* αὐτοῖς). — Σαραβάρου c Σαρβαράζου g Ζαρβαναξοῦ h. — 6 δεσμίους αὐτῶν ἔλαβε z. — 8 καὶ ἀδεῶς παρεχείμασεν Taf. *ex* A: intrepidus hiemavit. — 11⁴ Χοσρώης hy. — 16³—18³ *om. codd.* — 17² ἔτη μβ' gy. — Ἀράβων ἀρχηγὸς Ἄμεδ ἔτη θ' *mg.* f. — 20 τὸ ποίᾳ z Taf. — 21 τε *om.* y. — Ταραντόν cem. — 22 τὴν *om.* m. — ἡ μὲν *om.* y μέν *om.* c. — Ταραντόν ce. — 23 μὲν *om.* y. — ἦν] ἐστιν y. — 23 εἶχε—24 εὐπορίαν *om.* f. — πᾶσαν τῶν τροφῶν cem τῶν τροφῶν πασῶν z cunctarum habebat escarum A. — 24 ὑπερβαίνουσαν h ὑπερβᾶσα cem. — 25 δαψηλίαν hy. — συγκρίνουσι] συγκρίσει c. — 26 πολλῇ c. — 27 ἑπτὰ ἡμέραις f *m.* 2 ἑπτὰ ἡμέρας cy διὰ ἑπτὰ ἡμερῶν z ἐν ἑπτὰ ἡμέραις Taf. — 27 τὸν Τίγριν—28 καταλαμβάνουσι *om.* f. — 29 Ἄμιδα em Ἀμηδαν *sine acc.* c. — 30 ἐντεῦθεν δὲ καὶ *coni.* Taf. — πρὸς τὸ B. ὁ βασιλεὺς cA ὁ βασιλ. πρὸς τὸ B. yz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀποστεῖλαι καὶ τὰ καθ' ἑαυτὸν πάντα δηλῶσαι καὶ χαρὰν πολλὴν ἐμποιῆσαι τῇ πόλει. ὁ δὲ Σάρβαρος ἐπισυνάξας τὸν ἑαυτοῦ διασπαρέντα λαὸν ἐπῆλθε κατ' αὐτοῦ. ἐπιλεξάμενος δὲ ὁ βασιλεὺς ἴλην στρατιωτῶν ἀπέλυσε φυλάττειν τὰς πρὸς αὐτὸν ἀγούσας κλεισούρας· 262 P
καὶ τὰς πρὸς ἀνατολὴν αὐτὸς ἐκδραμὼν διεξόδους ἀντιπρόσωπος ἦει τῷ Σαρβάρῳ, καὶ περάσας τὸν Νυμφίου ποταμὸν κατέλαβε τὸν 482 B
Εὐφράτην, ἐν οἷς ἦν πλεκτὴ γέφυρα ἐκ σχοίνων τε καὶ νηῶν. ὁ δὲ Σάρβαρος λύσας τὰ σχοινία τῆς γεφύρας ⟨ἀπὸ⟩ μιᾶς ὄχθης ἐπὶ τὴν ἑτέραν πᾶσαν τὴν γέφυραν μετήγαγεν. ἐλθὼν δὲ ὁ βασιλεὺς καὶ μὴ εὑρὼν περᾶσαι διὰ τῆς γεφύρας, παραδραμὼν εὗρε πόρον· καὶ ἀκινδύνως τοῦτον ἐπέρασε παραδόξως τῷ Μαρτίῳ μηνί, καὶ 482 C
καταλαμβάνει τὰ Σαμόσατα· καὶ πάλιν τὸν Ταῦρον ὑπερβὰς εἰς Γερμανίκειαν ἀφίκετο, καὶ περάσας τὴν Ἄδανα ἦλθε πρὸς τὸν Σάρον ποταμόν. ὁ δὲ Σάρβαρος τὴν γέφυραν πάλιν εἰς τὸν ἴδιον τόπον ἐκτείνας τὸν Εὐφράτην ἐπέρασεν ἀνεμποδίστως καὶ ἠκολούθει ὀπίσω αὐτοῦ. ὁ δὲ βασιλεὺς περάσας τὴν γέφυραν τοῦ Σάρου καὶ εὑρὼν ἀνάπαυσιν τοῦ τε στρατοῦ καὶ τῶν ἀλόγων, ἐν αὐτῷ ἀπληκεύσας διανέπαυσεν αὐτούς· καταλαμβάνει δὲ καὶ ὁ Σάρβαρος εἰς τὸ ἀντίπερα μέρος. εὑρὼν δὲ τὴν γέφυραν καὶ τὰ ἐν αὐτῇ προπύργια ὑπὸ Ῥωμαίων κρατηθέντα ἠπλήκευσεν. ἐκτρέχοντες δὲ διὰ τῆς γεφύρας πολλοὶ τῶν Ῥωμαίων ἀτάκτως τοῖς Πέρσαις προσέβαλλον καὶ πολλὴν συγκοπὴν αὐτοῖς ἐποίουν· ὁ δὲ βασιλεὺς τούτους διεκώλυσεν ἀτάκτως παρεκθέειν, μήπως ὁδὸς γένηται τοῖς ἐναντίοις συνελθεῖν εἰς τὴν γέφυραν καὶ συμπερᾶσαι· ὁ δὲ λαὸς οὐκ ἐπείθετο τῷ βασιλεῖ. ὁ δὲ 483 B
Σάρβαρος ποιήσας ἐγκρύμματα καὶ δείξας ἑαυτὸν ὡς φεύγοντα εἵλκυσε πολλοὺς Ῥωμαίους παρὰ γνώμην τοῦ βασιλέως εἰς δίωξιν αὐτοῦ περᾶσαι· ὑποστρέψας δὲ καὶ τούτους τρεψάμενος, ὅσους ἔξω

---

1 στεῖλαι m. — καθ' ἑαυτῶν hy. — 2 βάρβαρος fg Σαρβαράζας c. — 3 ἴλην c Taf. alam A ἐπιλογήν yz. — 4 ἀπέστειλε c. — 5 τάς] τά y. — εἴη hy. — 6 βαρβάρῳ c Σαρβαράξῳ h Σαρβαραζῷ g. — *A verbis* καὶ περάσας *in ordinem redit cod.* d. — 7 ἦν πλεκτὴ γέφυρα Taf. *ex* A τὴν πλεκτὴν γέφυραν *codd.* — σχοινῶν hy σχοινίων Classen. — νηῶν Taf. *ex* A ἡνιῶν fm ἡνιῶν h ἡνίων g ἡνίων d ηνιῶν *sine spir.* e ηνιων *sine spir. et acc.* c. — 8 Σάρβαρος yA Σαρβαράξας x Σαρβαραζᾶς g Σαρβαραζάς h. — λύσας τὰ σχ. τῆς γεφ. x dissolutis funibus pontis A τῆς γεφ. λύσας τὰ σχ. yz. — ἀπὸ μιᾶς Taf. ἀπὸ *om. codd.* — 11 καὶ ἀκινδ. καὶ παραδ. τοῦτον ἐπέρ. z. — 12 Σαμώσατα g Σαμωσάτα hy Σαμοσάτα c Σαμοσατα *sine acc.* d. — διαβάς x. — Γερμανίκειαν def Γερμανικίαν m. — 13 Ἄδανά em Ἄδανᾶ f *sine acc.* c Ἄδαναν Taf. — Σάρον] Ταῦρον x. — 14 βάρβαρος f Σαρβαράξας x. — τὴν γέφυραν πάλιν x ponte rursus — extenso A πάλιν τὴν γέφ. yz. — τόπον] ποταμόν f. — 16 Σάρα g. — 18 Σαράβαρος c. — 19 ἐν αὐτῷ c. — ὑπὸ τῶν Ῥωμ. d. — 20 ἠπλήκευσεν c ἠπλίκευσεν dh ἠπλήκευσαν f. — 21 προσέβαλον y. — πολλὴν] πάλιν x. — 22 ἐν αὐτοῖς Taf. — διεκώλυεν c. — 23 συνειελθεῖν z. — 24 περᾶσαι d. — 25 ἔγκρυμμα f. — αὐτόν xy. — 27 αὐτοῦ] αὐτῶν d. — ὅσους εὗρεν ἔξω τ. γεφ. ἀνεῖλεν x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς γεφύρας ἔφθασεν, ἀνεῖλε δίκην ὑποσχόντας τῆς παρακοῆς. ὁ δὲ βασιλεὺς ἐωρακὼς τοὺς βαρβάρους τῇ διώξει τὴν τάξιν λύσαντας, καὶ ἐκ τῶν ἐφεστώτων Ῥωμαίων τοῖς προπυργίοις πολλοὺς ἀναιρουμένους, κατ' αὐτῶν ἐχώρησεν. ἀνὴρ δέ τις γιγαντιαῖος τῷ βασιλεῖ συναντήσας μέσον τῆς γεφύρας προσέβαλεν· ὁ δὲ βασιλεὺς τοῦτον πατάξας ἐν τῷ ῥείθρῳ τοῦ ποταμοῦ ἔρριψεν. τούτου δὲ πεσόντος, εἰς φυγὴν ἐτράπησαν οἱ βάρβαροι καὶ τῇ στενώσει τῆς γεφύρας ὡς βάτραχοι εἰς τὸν ποταμὸν ἑαυτοὺς ἔρριπτον· ἄλλοι δὲ καὶ τοῖς ξίφεσιν ἀνῃροῦντο· τὸ δὲ πλῆθος τῶν βαρβάρων πρὸς τὰ χείλη τοῦ ποταμοῦ χυθὲν ἐτόξευόν τε καὶ ἀνθίσταντο μὴ ἐῶντες τοὺς Ῥωμαίους περᾶσαι. ὁ δὲ βασιλεὺς περάσας γενναίως τοῖς βαρβάροις ἀνθίστατο μετὰ ὀλίγων τινῶν τῆς αὐτοῦ ἑταιρίας ἀγωνιζόμενος ὑπὲρ ἄνθρωπον, ὡς
484 B καὶ τὸν Σάρβαρον ἐκπλαγῆναι καὶ ⟨πρὸς⟩ Κοσμᾶν τινα πλησίον
263 P αὐτοῦ ἑστῶτα πρόσφυγα Ῥωμαίων μαγαρίτην εἰπεῖν· "ὁρᾷς τὸν καίσαρα, ὦ Κοσμᾶ, πῶς θρασὺς πρὸς τὴν μάχην ἵσταται καὶ πρὸς τοσοῦτο πλῆθος μόνος ἀγωνίζεται καὶ ὡς ἄκμων τὰς βολὰς ἀποπτύει." ἐκ γὰρ τῶν ἀληθινῶν τζαγγίων ἐγνωρίζετο καὶ πολλὰς πληγὰς ἐδέχετο, εἰ καὶ οὐδεμίαν ἐν τούτῳ τῷ πολέμῳ ⟨καιρίαν. πᾶσαν δὲ τὴν ἡμέραν ἐν τούτῳ τῷ πολέμῳ⟩ μαχησάμενοι, τῆς ἑσπέρας καταλαβούσης, ἀπ' ἀλλήλων διέστησαν· καὶ ὁ Σάρβαρος φοβηθεὶς διὰ τῆς νυκτὸς εἰς τὰ ὀπίσω ὑπέστρεψεν. ὁ δὲ βασιλεὺς ἐπισυνάξας τὸν ἑαυτοῦ λαὸν εἰς Σεβάστειαν τὴν πόλιν ὥρμησεν, καὶ περάσας τὸν Ἅλυν ποταμὸν ἐν ταύτῃ τῇ χώρᾳ διέτριβεν ὅλον τὸν χειμῶνα. ὁ δὲ Χοσρόης μανεὶς καὶ ἀποστείλας ἔλαβε τὰ κειμήλια τῶν ἐν πάσῃ ⟨τῇ⟩ ὑπὸ Πέρσαις ἐκκλησιῶν. καὶ ἠνάγκαζε τοὺς Χριστιανοὺς γενέσθαι εἰς τὴν τοῦ Νεστορίου θρησκείαν πρὸς τὸ πλῆξαι τὸν βασιλέα.

---

1 ὑποσχόντα fgm. — 3 ὑφεστώτων xz. — τ. προπ. ὑπ' αὐτῶν πολλούς z ὑπ' αὐτῶν *om.* yA πολλούς *om.* x. — 5 προσέβαλλεν g πρόεβαλεν y. — 7. 8 ὡς βάτραχοι A *et margo* d *pr. m., qui in textu nihil habet.* ὡς βάρβαροι chy οἱ βάρβαροι g. — 8 καὶ *om.* h. — 9 πρὸς τῷ χείλει d. — χείλη] τείχη f τείχει em. — 10 ἐτοξεύοντο καὶ em. — τοῖς Ῥωμαίοις g. — 11 γενναίως g. — ἀνθίσταντο c *et ut vid.* f. — 13 πρὸς *add.* Taf. *et sec. m.* e *om. codd.* — Κοσμάν dfm. — 14 Ῥωμαῖον dg. — καὶ μαγαρ. Taf. — 15 Κοσμά h Κόσμα g *sine acc.* ce. — ἵστατο h. — 16 τοσοῦτον yz. — 17 ἐκ τῶν ἀλ. γὰρ τζ. x. — 18 οὐδεμία d οὐδεμία αὐτῷ καθήπτατο (-ίπτατο h) z. — 18 καιρίαν—19 ἐν τούτῳ τῷ πολέμῳ *add. ex* A: licet nullam in hoc proelio periculosam accepit. tota vero die cum in hoc bello pugnassent. *non sufficit* Tafelii οὐδεμίαν ἐν ταύτῃ τῇ μάχῃ καιρίαν. ἐν δὲ τούτῳ τῷ πολέμῳ. — 21 εἰς τοὐπίσω z. — 22 Σεβαστείαν cfm Σεβαστίαν e. — 23 Ἅλυν dgm. — ἐν αὐτῇ τῇ χ. y. — χώρᾳ] gaudio (χαρᾷ) A. — διέτριβον h. — 24. 25 τῶν ἐν πάσῃ τῇ ὑπὸ Πέρσαις ἐκκλησιῶν] cunctarum ecclesiarum regionis quae sub Persis est constituta A πασῶν τῆς ὑπὸ Π. ἐκκλ. Taf. πασῶν τῶν ὑπὸ Π. ἐκκλ. Classen τῶν ἐν πᾶσι ὑπὸ Π. ἐκκλ. y τῶν ἐν πάσαις ὑπὸ Π. ἐκκλ. cz τῶν ὑπὸ πάσης τῆς Περσίδος ἐκκλ. d. — 26 πρὸς τὸ ἐλέγξαι καὶ καταπλῆξαι Taf. *ex* A: ad perstringendum sive percellendum imperatorem A. — *Post* βασιλέα *codd. add.* Ἀράβων ἀρχηγὸς Ἀμεδ (Μάμεδ h) ἔτη θ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ις'. λη'. ιζ'. ιξ'. ζ'. A. M. 6117 624/5.

Τούτῳ τῷ ἔτει Χοσρόης, ὁ τῶν Περσῶν βασιλεύς, νέαν ἐποιήσατο στρατείαν στρατεύσας ξένους τε καὶ πολίτας καὶ οἰκέτας, ἐκ παντὸς γένους ἐκλογὴν ποιούμενος· καὶ ταύτην τὴν ἐκλογὴν τῷ Σάϊν παραδοὺς στρατηγῷ ἄλλας τε ν' χιλιάδας ἐκ τῆς φάλαγγος τοῦ Σαρ- 485 B
βάρου ἐπιλογὴν λαβὼν τούτῳ συνῆψε καὶ ὠνόμασε χρυσολόγχειρ· καὶ τούτους ἀπέστειλε κατὰ τοῦ βασιλέως. τὸν δὲ Σάρβαρον σὺν τῷ λοιπῷ αὐτοῦ στρατῷ κατὰ Κωνσταντινουπόλεως ἀπέστειλεν, ὅπως τοὺς ἐκ δύσεως Οὔννους, οὓς Ἀβάρους καλοῦσιν, Βουλγάροις τε καὶ Σκλάβοις καὶ Γηπαίδαις συμφωνήσας, κατὰ τῆς πόλεως χωρήσωσι καὶ ταύτην πολιορκήσωσιν. γνοὺς δὲ τοῦτο ὁ βασιλεὺς τὸν ἑαυτοῦ στρατὸν εἰς τρεῖς διαιρέσεις ἐχώρισεν· καὶ τοὺς μὲν ἐξέπεμψεν εἰς τὸ φυλάξαι τὴν πόλιν, τοὺς δὲ παραδοὺς Θεοδώρῳ, τῷ ἰδίῳ ἀδελφῷ, κατὰ τοῦ Σάϊν πολεμεῖν ἐκέλευσεν· τὸ δὲ τρίτον μέρος αὐτὸς λαβὼν ἐπὶ Λαζικὴν ἐχώρει, καὶ ἐν ταύτῃ διατρίβων τοὺς Τούρκους ἐκ τῆς ἑῴας, οὓς Χάζαρεις ὀνομάζουσιν, εἰς συμμαχίαν προσεκαλέσατο. ὁ δὲ Σάϊν ἅμα τῷ νεοσυλλέκτῳ λαῷ καταλαβὼν τὸν τοῦ βασιλέως ἀδελφὸν Θεόδωρον πρὸς πόλεμον ὡπλίσατο. τοῦ δὲ θεοῦ διὰ τῶν πρεσβειῶν τῆς πανυμνήτου θεοτόκου συνεργήσαντος, καὶ πολέμου κροτηθέντος, χάλαζα παραδόξως κατὰ τῶν βαρβάρων κατηνέχθη καὶ πολλοὺς αὐτῶν ἐπάταξεν, ἡ δὲ τῶν Ῥωμαίων παράταξις γαλήνης ἀπήλαυεν. τρέπουσι δὲ οἱ Ῥωμαῖοι τοὺς Πέρσας καὶ ἀναιροῦσι πλῆθος πολύ. τοῦτο μαθὼν Χοσρόης ὠργίζετο κατὰ τοῦ Σάϊν· ὁ δὲ Σάϊν ἐκ πολλῆς ἀθυμίας εἰς νόσον ἐμπεσὼν ἐτελεύτησεν. τούτου δὲ τὸ σῶμα 486 B
κελεύσει Χοσρόου ἅλατι ταριχευθὲν πρὸς αὐτὸν ἐκομίσθη, καὶ τοῦτο νεκρὸν πολλαῖς αἰκίαις ὑπέβαλλεν. οἱ δὲ Χάζαρεις διαρρήξαντες τὰς 264 P

---

1 ιξ' *om.* h. — ζ'] ιξ' y. — 3 *στρατείαν στρατεύσας*] *στρατιάν, πόλεμον συνάψων σωρεύσας* Taf. *ex* A: novam fecit militiam proelium initurus peregrinos — coacervans. — 4 *Σάην* g *Σαΐν* d *Σαϊν sine acc.* ce. — 6 *τοῦτο* em. — *ὠν. αὐτοὺς χρ.* d. — *χρυσολογχεῖς* z *χρυσοῦς λογχεῖς* fx *χρυσοῦς λόγχειρ* em. — 8 *Κωνσταντινούπολιν* cy. — *ἀπέλυσεν* d. — 9 *Ἄβαρεις* z. — *Βουλγάρους* z *Ἀβάροις* (*sic*) xy Vulgaribus A. — 10 *Σκλάβους* z. — *Γηπαίδαις* d *Γηπαίδες* c *Γήπαιδες* fm *Γηπαιδες sine acc.* e *Γηπαίδας* h *Γήπαιδας* g. — *συμφώνους ποιήσας coni.* Taf. — 11 *ὁμοθύμως post ταύτην add.* Taf. *ex* A: et hanc unanimiter obsiderent. — *τοῦτο om.* f. — 12 *ἐχώρησεν* fhmx. — *τὸν μέν* c *τὸ μέν* d. — *ἐξέπεμψεν om.* h. — 14 *τοῦ om.* y. — *Σαΐν* dm *Σαϊν sine acc.* c *Σάην* g *Σαήν* ef. — *τρίτον*] humiliorem A. — 16 *οὓς καὶ Χαζ.* Taf. — *Χάζαρις* c *Χαζαρεις sine acc.* g. — *προσεκαλέσατο*] *ἐκάλει* x. — 17 *Σαΐν* dm *Σαϊν sine acc.* ce *Σάην* g. — *θεοσυλλέκτῳ* g. — 18 *δέ om.* y. — *τῶν om.* h. — 20. 21 *πολλοὺς ἐξ αὐτῶν* d. — 21 *ἀπήλαυνεν* h *ἀπέλαβεν* em. — 22 *οἱ om.* mx. — *τοὺς Πέρσας om.* h. — 23 *ὠργίζεται* c. — *Σαΐν* dem *Σαϊν sine acc.* c *Σάην* g. — *Σαΐν* dem *Σαϊν sine acc.* cf *Σάην* g. — 24 *ῥαθυμίας* cy *corr. in* ef. — 25 *κελεύσει Χοσρόου—ἐκομίσθη* xA *κελεύει Χοσρόης—ἐγκομισθῆναι* (*ἐκκ.* g) yz. — *τοῦτον* fg *τούτου* Taf. — 26 *ὑπέβαλεν* y. — *Χαζάροι* Taf.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κασπίας πύλας ἐν Περσίδι εἰσβάλλουσιν εἰς τὴν χώραν τοῦ Ἀδραϊγὰν σὺν τῷ ἑαυτῶν στρατηγῷ Ζιέβηλ, δευτέρῳ ὄντι τοῦ Χαγάνου τῇ ἀξίᾳ· καὶ ἐν οἷς ἂν τόποις διέβαινον, τούς τε Πέρσας ἠχμαλώτευον καὶ τὰς πόλεις καὶ κώμας τῷ πυρὶ παρεδίδουν. ἀπάρας δὲ καὶ ὁ βασιλεὺς ἀπὸ Λαζικῆς τούτοις συνήντησεν. ὁ δὲ Ζιέβηλ τοῦτον ἰδὼν καὶ προσδραμὼν κατασπάζεται αὐτοῦ τὸν τράχηλον καὶ προσεκύνησεν αὐτόν, ὁρώντων τῶν Περσῶν ἐκ τῆς πόλεως τοῦ Τιφίλιος. πᾶς δὲ ὁ λαὸς τῶν Τούρκων εἰς γῆν πεσόντες προηνείς, ἐκταθέντες ἐπὶ στόμα τὸν βασιλέα ἐτίμων τιμὴν τὴν παρ' ἔθνεσι ξένην. ὁμοίως καὶ οἱ ἄρχοντες αὐτῶν ἐπὶ πετρῶν ἀναβάντες τῷ αὐτῷ σχήματι ἔπεσον. προσήνεγκε δὲ ὁ Ζιέβηλ καὶ τὸν ἑαυτοῦ υἱὸν ἀρχιγένειον τῷ βασιλεῖ, ἡδυνόμενος τοῖς τούτου λόγοις καὶ ἐκπληττόμενος τὴν τε θέαν καὶ τὴν φρόνησιν αὐτοῦ. ἐπιλεξάμενος δὲ ὁ Ζιέβηλ χιλιάδας μ' ἀνδρῶν γενναίων ἔδωκε τῷ βασιλεῖ πρὸς συμμαχίαν καὶ αὐτὸς ὑπέστρεψεν εἰς τὴν ἰδίαν χώραν. τούτους δὲ
487 B *λαβὼν ὁ βασιλεὺς κατὰ Χοσρόου ἐχώρει. ὁ δὲ Σάρβαρος τῇ Χαλκηδόνι προσβαλών, καὶ οἱ Ἄβαρεις ἐκ τῆς Θράκης τῇ πόλει πλησιάσαντες, ταύτην ἑλεῖν ἐβούλοντο, καὶ πολλὰς μηχανὰς κατ' αὐτῆς κινήσαντες καὶ εἰς σκάφη γλυπτὰ ἐκ τοῦ Ἴστρου πλῆθος ἄπειρον καὶ ἀριθμοῦ κρεῖττον ἐνέγκαντες τὸν κόλπον τοῦ Κέρατος ἐπλήρωσαν. δέκα δὲ ἡμέρας τῇ πόλει παρακαθίσαντες διά τε γῆς καὶ θαλάττης τῇ τοῦ Θεοῦ δυνάμει καὶ συνεργίᾳ καὶ ταῖς πρεσβείαις τῆς ἀχράντου καὶ Θεομήτορος παρθένου ἡττήθησαν· καὶ πλήθη πολλὰ ἀποβαλόντες ἔν τε γῇ καὶ θαλάττῃ, μετὰ μεγάλης αἰσχύνης εἰς τοὺς ἑαυτῶν τόπους ὑπέστρεψαν. ὁ δὲ Σάρβαρος τῇ Χαλκηδόνι παρακαθεζόμενος οὐ μετέστη, ἀλλ' αὐτόθι ἐχείμασε κουρσεύων καὶ πραιδεύων τὰ περατικὰ μέρη καὶ τὰς πόλεις αὐτῶν.*

---

1 ἐν x τῇ yz ἐν τῇ Taf. (*cf. p.* 317, 11). — ἐν τῇ χώρᾳ x. — Ἀδραϊγάν] Adrahigae A Ἀδροηγάν dy Ἀδροηγᾶν z Ἀδροηγαν *sine acc.* c Ἀδορβαδίγανον Niceph. Brev. p. 17, 10 Ἀδαρβιγάνων Proc. bell. Pers. II, 24 Ἀδραβιγάνων Theoph. Sim. 163, 14; 176, 10; 193, 2 Ἀδραβιγάν *Theophanem scripsisse suspicor.* — 2 ἑαυτῷ e ἑαυτοῦ m. — Ζιεβήλ dz Ζιέβήλ m. — 3 τε *om.* h. — 5 Ζιεβήλ z *sine acc.* c. — 6 προδραμών cf. — 7 Τιφιλίως x Τιφιλέως h Τιφίλεως g. — 8 Τουρκῶν em. — 8. 9 προηνείς ὡς ἐκ. z. — 9 ἐκταθέντες x *et* f *in lit.* ἐκσταθέντες g *et pr. m.* f ἐκτακέντες h ἐκστάντες em. — τήν *om.* x. — 10 ἀναβόντες y ἀναβέντες h. — 11 Ζιεβήλ dz *item v.* 14. — 12 ἀρχηγένιον fhm ἀρχιγένιον e ἀρτιγένειον Taf. — 13 τῇ τε (τε *om.* h) θέᾳ καὶ τῇ φρονήσει z. — 17 Ἄβαρεις *sine acc.* e Ἀβάρεις Taf. — 19 εἰς *om.* m εἰ e. — 21 παρακαθήσαντες dfg. — 22 θαλάσσης yz. — συνεργείᾳ dy. — 23 καὶ *ante* θεομ. *om.* h. — καὶ *ante* πλήθη *om.* h. — 24 θαλάσσῃ h. — εἰς τοὺς ἑαυτῶν τόπους xA *om.* yz. — 26 αὐτόθι] αὐτοῦ x. — 27 τὰ περ. — αὐτῶν *om.* em. — περατικά] Περσικά f Ῥωμαϊκά d confinales A. — *Post* αὐτῶν hy *add.* Ἀράβων ἀρχηγὸς Μουάμεδ ἔτη θ'. *idem* g *in mg.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Περσῶν*	A. M. 6118 625/6.
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*βασιλεὺς*	
ϛριη΄.	*ἔτη χιγ΄.*	*Ἡράκλειος*	*Χοσρόης*	
		ἔτη λα΄.	*ἔτη λϑ΄.*	
		ιζ΄.	*λϑ΄.*	
Κωνσταντ.		*Ἱεροσολύμων*	*Ἀλεξανδρείας*	
ἐπίσκοπος		*ἐπίσκοπος*	*ἐπίσκοπος*	
Σέργιος		*Ζαχαρίας*	*Γεώργιος*	
ἔτη κϑ΄.		*ἔτη κβ΄.*	*ἔτη ιδ΄.*	
ιη΄.		*ιη΄.*	*η΄.*	

Τούτῳ τῷ ἔτει ἀπὸ μηνὸς Σεπτεμβρίου εἰσβαλὼν ἐν Περσίδι 265 r
Ἡράκλειος σὺν τοῖς Τούρκοις ἀπροσδοκήτως διὰ τὸν χειμῶνα εἰς ἔκστασιν ἐνέβαλε τὸν Χοσρόην τοῦτο μαθόντα. οἱ δὲ Τοῦρκοι τόν τε χειμῶνα ὁρῶντες καὶ τὰς συνεχεῖς ἐπιδρομὰς τῶν Περσῶν, μὴ ὑποφέροντες συγκοπιᾶν τῷ βασιλεῖ ἤρξαντο κατ' ὀλίγον ὑπορρέειν, καὶ πάντες ἀφέντες αὐτὸν ὑπέστρεψαν. ὁ δὲ βασιλεὺς διελάλησε τῷ ἑαυτοῦ λαῷ, λέγων· "γνῶτε, ἀδελφοί, ὅτι οὐδεὶς ἡμῖν συμμαχῆσαι 488 B
θέλει, ἀλλ' ἢ μόνος ὁ θεὸς καὶ ἡ τοῦτον τεκοῦσα ἀσπόρως μήτηρ, ἵνα δείξῃ τὴν ἑαυτοῦ δυναστείαν, ⟨ἐπειδὴ οὐκ ἐν πλήθει λαῶν ἢ ὅπλων ἡ σωτηρία ἐστίν, ἀλλ' εἰς τοὺς ἐλπίζοντας ἐν τῷ ἐλέει αὐτοῦ⟩ καταπέμπει τὴν βοήθειαν αὐτοῦ." ὁ δὲ Χοσρόης ἐπισυνάξας πάντα τὰ στρατεύματα αὐτοῦ προβάλλεται στρατηγὸν ἐπ' αὐτοὺς Ῥαζάτην, ἄνδρα πολεμικώτατον καὶ ἀνδρεῖον, καὶ κατὰ Ἡρακλείου τοῦτον ἀπέστειλεν. ὁ δὲ βασιλεὺς τάς τε πόλεις τῆς Περσίδος ἐπυρπόλει καὶ τὰς κώμας, καὶ τοὺς καταλαμβανομένους Πέρσας ἀνήλισκε ῥομφαίᾳ. τῇ δὲ ϑ΄ τοῦ Ὀκτωβρίου μηνὸς τῆς ιε΄ ἰνδικτιῶνος κατέλαβεν εἰς τὴν χώραν Χαμαηθᾶ καὶ διανέπαυσε τὸν λαὸν ἑβδομάδα μίαν. ὁ δὲ Ῥαζάτης ἐλθὼν εἰς τὸ Γαζακὸν ἐγενήθη ὀπίσω αὐτοῦ καὶ ἠκολούθει, τῶν Ῥωμαίων δαπανώντων ἔμπροσθεν τὰς τροφάς. αὐτὸς δὲ ὀπίσω ὡς κύων πεινῶν μόλις ἐκ τῶν ψιχίων αὐτοῦ ἐτρέφετο· καὶ ἐκ τοῦ μὴ εὑρίσκειν αὐτὸν δαπάνας πολλὰ τῶν ἀλόγων αὐτοῦ διεφθάρησαν. τῇ δὲ α΄ τοῦ Δεκεμβρίου μηνὸς κατέλαβεν ὁ βασι-

---

1 *v. v.* 1—10 *om.* y. — *v.* 5 *et* 10 *om.* g. — 9[3] *ἔτη κβ΄* g. — 11 *ἀπὸ om.* m. — *Σεπτεμβρίῳ* d. — 13 *Τούρκοι* dehm. — 15 *συγκοπ. τῷ βασιλεῖ om.* d. — 17 *ἡμῖν om.* h. — 18 *ϑέλῃ* c. — *ἀλλ' ἢ μόνος*] *εἰ μή* d. — *ἄσπορος* d. — 19 *δείξει* y. — 19 *ἐπειδή* — 20 *ἐν τῷ ἐλέει αὐτοῦ add. ex* A *paullo aliter ac* Taf. — 21 *καταπέμπει*] *καὶ καταπέμψει* dh *καὶ καταπέμψῃ* g. — 21. 22 *ἐπιστρατεύσας τὰ στρ.* (*om. πάντα*) g. — 22 *ἐπ' αὐτούς* x *ἐν αὐτοῖς* z *ἑαυτοῖς* y super illas A. — 24 *τῆς om.* yz. — *Περσίδας* f. — 26 *ἰνδικτιόνος* h *ἰν rell.* — 27 *Χαμαηθά* y *Χαμαϊθᾶ* d *Χαμαΐθα sine acc.* c *Χαημαθά* h. — 28 *Γαζακόν scr. coll. p.* 307, 24; 31; 308, 7. *Γανζάκων* Taf. *ex* A Ganzacum *Γανζακόν* h *Γανζάκον* g *Γάνζακον* d *Γανζακῶν* y *Γανζακων sine acc.* c. — 29 *δαπανόντων* dhy. — *ἔμπροσθεν δαπαν.* c *ἔμπροσθεν αὐτοῦ δαπ.* d. — 30 *ψηχίων* fx *ψηχιῶν* em. — *αὐτῶν* fA. — 31 *αὐτόν om.* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λεὺς ποταμὸν μέγαν Ζάβαν, καὶ τοῦτον περάσας ἠπλήκευσε πλησίον Νινευὶ τῆς πόλεως. κατέλαβε δὲ καὶ ὁ Ῥαζάτης εἰς τὸ πέραμα ἐπακολουθῶν αὐτῷ καὶ κατελθὼν ἀπὸ τριῶν μιλίων εὗρεν ἄλλο
489 B πέραμα καὶ ἐπέρασεν. ὁ δὲ βασιλεὺς ἀποστείλας Βαάνην τὸν στρατηλάτην μετὰ ἐπιλέκτων στρατιωτῶν ὀλίγων εὗρε βάνδον τῶν Περσῶν, καὶ φονεύσας αὐτοῦ τὸν κόμητα ἤνεγκεν αὐτοῦ τὴν κεφαλὴν καὶ τὸ σπαθὶν αὐτοῦ ὁλόχρυσον· καὶ πολλοὺς φονεύσας ζῶντας ἤνεγκεν κϛ', ἐν οἷς ἦν καὶ ὁ σπαθάριος τοῦ Ῥαζάτου· ὅστις καὶ ἀνήγγειλε τῷ βασιλεῖ, ὅτι πολεμῆσαι αὐτὸν βούλεται ὁ Ῥαζάτης, οὕτω κελευσθεὶς παρὰ Χοσρόου, καὶ τρισχιλίους ὡπλισμένους ἀπ-
10 έστειλεν αὐτῷ. ἀλλ' ἀκμὴν οὐκ ἔφθασαν. ταῦτα δὲ μαθὼν ὁ βασιλεὺς προαπέλυσε τὸ τοῦλδον ἔμπροσθεν· καὶ αὐτὸς ἐπηκολούθει σκεπτόμενος εὑρεῖν τόπον, ἐν ᾧ ὤφειλε πολεμῆσαι πρὸ τοῦ ἑνωθῶσιν αὐτοῖς οἱ τρισχίλιοι. εὑρὼν δὲ πεδίον ἐπιδέξιον πρὸς πόλεμον καὶ διαλαλήσας τῷ λαῷ παρετάξατο. ὁ δὲ Ῥαζάτης καταλαβὼν καὶ αὐτὸς
15 266 P παρετάξατο τρισὶ φούλκοις καὶ κατὰ τοῦ βασιλέως ἐχώρησεν. τῇ δὲ ιβ' τοῦ Δεκεμβρίου μηνὸς ἡμέρᾳ σαββάτῳ ἐκροτήθη ὁ πόλεμος· καὶ προπηδήσας πάντων ὁ βασιλεὺς ἄρχοντι τῶν Περσῶν συνήντησεν· καὶ τῇ τοῦ θεοῦ δυνάμει καὶ τῇ βοηθείᾳ τῆς θεοτόκου τοῦτον κατέβαλεν· καὶ οἱ σὺν αὐτῷ προεκπηδήσαντες ἐτράπησαν· καὶ αὖθις ὁ
20 βασιλεὺς ἄλλῳ συναντήσας καὶ τοῦτον κατέβαλεν. προσέβαλε δὲ
490 B αὐτῷ καὶ τρίτος, ὃς καὶ δέδωκεν αὐτῷ μετὰ δόρατος εἰς τὸ χεῖλος καὶ τοῦτο ἔπληξεν. ὁ δὲ βασιλεὺς καὶ τοῦτον ἀνεῖλεν· καὶ τῶν σαλπίγγων ἠχησασῶν συνέβαλον ἀλλήλοις ἀμφότερα τὰ μέρη, καί, μάχης κροτηθείσης σφοδρᾶς, ἐπληγώθη ὑπὸ τῶν πεζῶν ὁ τοῦ βασι-
25 λέως ἵππος φάλβας, ὁ λεγόμενος Δόρκων, εἰς τὸν μηρὸν αὐτοῦ λαβὼν κονταρέαν· πολλὰς δὲ καὶ σπαθέας ἐν τῇ ὄψει ἔλαβεν· ἀλλὰ φορῶν κατάφρακτα νευρικὰ οὐκ ἐβλάπτετο, οὐδὲ αὐταὶ ἐνήργουν.

---

1 Ζαβᾶν z *sine acc.* c. — Ζαβᾶν λεγόμενον z. — ἠπλίκευσεν d. — 2 *Νινευη* em *Νινευῆ* g *Νηνευί* h *Νηνευή* f. — εἰς τὸ πέραν z. — 3 μηλίων hxy. — 3. 4 πέραμα ἄλλο h. — 4 τὸν *om.* y. — 7 σπαθήν y σπαθίον hx Taf. — αὐτοῦ *om.* z. — 7. 8 καὶ ζῶντας ἤνεγκε y ἤνεγκε ζῶντας z. — 8 καὶ *prius om.* x. — 9 αὐτῷ x Taf. — 12 προαπέστειλε x. — 13 σκεπόμενος f. — πρὸ τοῦ ἑνωθῆναι αὐτ. τοὺς τρισχιλίους Taf. — ἑνωθῆναι h. — 14 αὐτῷ d. — 15 ὁ δὲ Ῥαζ. — 16 παρετάξατο *om.* g. — 15. 16 παρετάξ. καὶ αὐτός d. — 17 σαββάτου dz σαββᾶ τ m. — 20 προεκπηδήσαντες x antea exilientes A (*idem v.* 18 προπηδήσας *vertit:* prosiliens) προπηδήσαντες emz προσπηδήσαντες f. — ἐράπησαν f. — 22 ἔδωκεν yz. — 23 τοῦτον g. — καὶ *ante* τῶν *om.* h. — 24 ἠχησάντων m. — συνέβαλλον fg. — 25 σφοδρᾶς κροτηθείσης h κρατησάσης σφόδρα y. — 26 ἵππος ὁ λεγόμενος φάλβας, ὁ καὶ δόρκων g. — φάλιος *coni.* Taf. — Δορκῶν y. — 27 κοντάριον Taf. — σπαθαίας c σπαθιάς Hase ad Leo Diac. p. 480 Bonn. Taf. — ὄψει αὐτοῦ ἔλαβεν z. — 28 κατάφρικτα c. — νεύρικα xy. — αὖται h αὗται m αὐτοὶ g αὐτοῦ c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πίπτει δὲ ἐν τῷ πολέμῳ ὁ Ῥαζάτης καὶ οἱ τρεῖς τουρμάρχαι τῶν Περσῶν καὶ οἱ ἄρχοντες σχεδὸν πάντες καὶ τὸ πλεῖον τοῦ στρατοῦ αὐτῶν. ἐσφάγησαν δὲ καὶ Ῥωμαῖοι ν', καὶ ἐπληγώθησαν ἱκανοί, ἀλλ' οὐκ ἀπέθανον, εἰ μὴ ἄλλοι δέκα· ἐκροτήθη δὲ ὁ πόλεμος ἀπὸ πρωῒ ἕως ὥρας ια'. ἐπῆραν δὲ οἱ Ῥωμαῖοι τῶν Περσῶν βάνδα κη' χωρὶς τῶν κλασθέντων, καὶ σκυλεύσαντες τοὺς νεκροὺς ἔλαβον τὰ λωρίκια αὐτῶν καὶ τὰς κασσίδας καὶ πάντα τὰ ἅρματα· καὶ ἔμειναν ἀπ' ἀλλήλων ἀπὸ δύο σαγιττοβολῶν. τροπὴ γὰρ οὐ γέγονεν. οἱ δὲ τῶν Ῥωμαίων λαοὶ τῇ νυκτὶ ἐπότισαν τὰ ἄλογα αὐτῶν καὶ παρ- 491 B
έβαλον. οἱ δὲ Πέρσαι καβαλλάριοι ἵσταντο ἕως ὥρας ἑβδόμης τῆς νυκτὸς ἐπάνω τῶν σκηνωμάτων τῶν τεθνεώτων Περσῶν· καὶ τῇ ὀγδόῃ ὥρᾳ τῆς νυκτὸς κινήσαντες ὑπέστρεψαν εἰς τὸ φωσάτον αὐτῶν, καὶ τοῦτο λαβόντες ἀπῆλθον καὶ ἠπλήκευσαν εἰς πρόποδα ὄρους τραχεινοῦ πεφοβημένοι. πολλὰ δὲ σπαθία ὁλόχρυσα καὶ ζώνας διαχρύσους καὶ μαργαρίτας καὶ τὸ σκουτάριν τοῦ Ῥαζάτου ὁλόχρυσον ἔλαβον ἔχον πέταλα ρκ', καὶ τὸ λωρίκιν αὐτοῦ ὁλόχρυσον ἔλαβον, καὶ τὸ σκαραμάγγιν αὐτοῦ ἤνεγκαν σὺν τῇ κεφαλῇ αὐτοῦ καὶ τὰ βραχιόλια αὐτοῦ καὶ τὴν σέλλαν αὐτοῦ ὁλόχρυσον· ἐκρατήθη δὲ ζῶν Βαρσαμούσης, ὁ ἄρχων τῶν Ἰβήρων τῶν ὑπὸ Πέρσας. ⟨οὐδεὶς δὲ μέμνηται τοιούτου πολέμου γεγονότος μεταξὺ Περσῶν⟩ καὶ Ῥωμαίων, [οὐχ] ὅτι ἐν ὅλῃ τῇ ἡμέρᾳ ἔσχε στάμα ὁ πόλεμος. ἐνίκησαν οἱ Ῥωμαῖοι· ἀλλὰ τοῦτο γέγονε μόνῃ τῇ τοῦ Θεοῦ βοηθείᾳ. ὁ δὲ βασιλεὺς Θαρσοποιήσας τὸν στρατὸν κατὰ Χοσρόου ἤλαυνεν, ὅπως τοῦτον ἐκφοβήσῃ, καὶ ἀποστείλας προσκαλέσηται τὸν Σάρβαρον ἐκ τοῦ Βυζαντίου [τῆς Χαλκηδόνος.] τῇ δὲ εἰκάδι πρώτῃ τοῦ Δεκεμ-

---

1 δέ yA οὖν xy. — 2 οἱ ἄρχ. δὲ πάντες d. — πλεῖστον h. — 3 αὐτοῦ d. — 4 ἄλλοι om. z. — 5 ὥρας] ἑσπέρας em. — 7 λορίκια h λουρίκια xy. — αὐτῶν hic om. et post κασσίδας inser. z. — κασίδας gx. — ἅρματα cmz. — 8 σαγιττοβόλων x σαγιτοβόλων g σαγιτοβολῶν h Taf. σαγιττῶν f σαγίττων em. — 9 ἐπότησαν f. — ἐποτ. καὶ ἐτάγισαν (ἐτάγησαν h) τὰ ἄλ. αὐτ. z. — καὶ περέλαβον f om. z et acceperunt (καὶ παρέλαβον) A. — 10 καβαλάριοι cz. — equites qui ultra erant A. — ἕως ἑβδόμης ὥρας yz. — 12 κινήσαντες τῆς νυκτός h. — φοσσάτον f φουσάτον m φουσάτων e. — 13 ἠπλίκευσαν dehm ἠπλίκευσαν f. — πρόσποδα h. — 14 Mallem ζώνας χρυσᾶς διὰ μαργαριτῶν zonas aureas cum gemmis A. — 15 σκουτάριον ch Taf. — 16 ἔχον—ἔλαβον om. em. — λωρίκην g λουρίκην x λορίκην h λωρίκιον f Taf. — ἔλαβον om. x Taf. — 17 σκαραμάγγην dehm σκαρμάγγην f σκαραμάγγιον Taf. — 17 ἤνεγκαν—18 βραχ. αὐτοῦ om. m. — 18 τὴν σέλαν αὐτ. ὁλόχρυσον dA ἡ σέλλα (σέλα h) αὐτ. ὁλόχρυσος eyz. — δὲ om. y. — 19 Ἰβήρων g. — 19 οὐδεὶς—20 Περσῶν add. ex A multo aliter ac Taf. τῶν ὑπὸ Πέρσας καὶ Ῥωμαίους οὐχ ὅτι xy τῶν δὲ ὑπὸ Περσῶν καὶ Ῥωμαίων γεγονότων οὐχ ὅτι z. — 21 οὐχ del. ex A. — ὃν ἐνίκησαν h ἐνίκησαν δὲ Taf. — 22 βοηθείᾳ] συνεργίᾳ em. — 23 Θάρσος ποιήσας em. — 25 τοῦ Βυζαντίου om. d. — ἀναχωρῆσαι ἐκ τοῦ Βυζ. καὶ τῆς Χαλκηδόνος Taf. Equidem τῆς Χαλκηδόνος a lectore, qui p. 316, 25 respexit inter versus adscriptum in textum irrepsisse censeo. — εἰκάδι πρώτῃ c κα' rell. κ' vertit A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βρίου μηνὸς ἔμαθεν ὁ βασιλεύς, ὅτι ὁ λαὸς τοῦ Ῥαζάτου ὁ ἐκ τοῦ
492 B πολέμου ἐξειλήσας ἠνώθη τοῖς ὑπὸ Χοσρόου ἀποσταλεῖσι τρισχιλίοις,
καὶ ἀκολουθεῖ ὀπίσω αὐτοῦ καταλαβὼν τὴν Νινευί. καὶ περάσας ὁ
βασιλεὺς τὸν μέγαν Ζάβαν ⟨πέμπει Γεώργιον τὸν τουρμάρχην μετὰ
χιλίων στρατιωτῶν, ἵνα ἐλάσῃ πρὸς τὸ κρατῆσαι τὰς γεφύρας τοῦ
μικροῦ Ζάβα⟩ πρὸ τοῦ γνῶναι τὸν Χοσρόην. ἐλάσας δὲ Γεώργιος
μίλια μὴ διὰ τῆς νυκτὸς ἐκράτησε τὰς τέσσαρας γεφύρας τοῦ μικροῦ
Ζάβα· καὶ εὑρὼν ἐν τοῖς καστελλίοις Πέρσας, τούτους ἐξώγρησεν.
τῇ δὲ εἰκάδι τρίτῃ τοῦ Δεκεμβρίου μηνὸς φθάσας ὁ βασιλεὺς εἰς
τὰς γεφύρας ἐπέρασε καὶ ἠπλήκευσεν εἰς τοὺς οἴκους τοῦ Ἰεσδέμ·
καὶ ἀνέπαυσε τόν τε στρατὸν καὶ τὰ ἄλογα καὶ ἐποίησε τὴν ἑορτὴν
τῆς Χριστοῦ γεννήσεως ἐν ἐκείνῳ τῷ τόπῳ. γνοὺς δὲ Χοσρόης, ὅτι
ἐκράτησαν οἱ Ῥωμαῖοι τὰς γεφύρας τοῦ μικροῦ Ζάβα, ἀπέστειλε
πρὸς τὸν Περσικὸν λαὸν τὸν μετὰ τοῦ Ῥαζάτου, ἵνα πολὺ σπουδάσωσι καὶ προλάβωσι τὸν βασιλέα καὶ ἀπέλθωσι πρὸς αὐτόν. σπεύσαντες δὲ αὐτοὶ καὶ περάσαντες τὸν μικρὸν Ζάβαν ἐν ἄλλοις τόποις
προεποίησαν τὸν βασιλέα καὶ ἔμπροσθεν ἐπορεύοντο. καταλαβὼν δὲ
ὁ βασιλεὺς ⟨παλάτιον, τὸ ἐπιλεγόμενον Δεξεριδάν, τοῦτο κατέστρεψε
καὶ πυρὶ παρέδωκεν. οἱ δὲ Πέρσαι περάσαντες τὴν τοῦ Τορνᾶ
ποταμοῦ γέφυραν ἠπλήκευσαν ἐκεῖ. καταλαβὼν δὲ ὁ βασιλεὺς⟩ ἕτερον
παλάτιον τοῦ Χοσρόου, τὸ ἐπιλεγόμενον Ῥούσα, καὶ τοῦτο κατέστρεψεν. ὑφωρᾶτο δὲ ὅτι ἐν τῇ γεφύρᾳ τοῦ Τορνᾶ ποταμοῦ οἱ
ἐχθροὶ πολεμεῖν αὐτὸν μέλλουσιν. ἀλλὰ τοῦτον ἰδόντες, καταλιπόντες
493 B τὴν γέφυραν ἔφυγον. ὁ δὲ βασιλεὺς περάσας ἀκωλύτως κατέλαβεν
εἰς ἕτερον παλάτιον, τὸ ἐπιλεγόμενον Βεκλάλ· ἐνταῦθα καὶ ἱπποδρομίαν ἔκτισε καὶ τοῦτο κατέστρεψεν. τινὲς δὲ τῶν Ἀρμενίων τῶν
συνόντων τοῖς Πέρσαις ἦλθον πρὸς τὸν βασιλέα ⟨νυκτὸς⟩ λέγοντες,
ὅτι "ὁ Χοσρόης μετὰ τῶν ἐλεφάντων καὶ τοῦ ἰδίου στρατοῦ ἀπὸ

---

1 λαὸς ὁ τοῦ c λαὸς ἐκ τοῦ y. — ὁ *om.* y. — 1. 2 ἐκ τοῦ πολέμου] τὸν πόλεμον x. — 2 ἐξηλήσας egmx ἐξηλείσας f ἐξιλίσας h. — 3 ἀκολουθεῖν y. — καὶ καταλαβών *codd.* καὶ *om.* A Taf. — Νηνευΐ efh Νινευή m Νινευῆ g. — καὶ *et* ὁ βασιλεύς *om.* Taf. — 4 μέγαν ποταμὸν Z. dz. — Ζαβᾶν z *sine acc.* em. — 4 πέμπει—6 Ζάβα *add. ex* A *cum* Tafelio. — 5. 6 τὰς τοῦ μικροῦ Ζαβᾶ γεφύρας Taf. *cf. ad p.* 298, 23. — 7 μήλια hx. — τὰς *om.* em. — 8 Ζαβᾶ z *sine acc.* c *item v.* 13. — ἐν τοῖς κελλίοις f. — 9 εἰκάδι πρώτῃ c κγ′ *rell.* — 10 ἠπλίκευσεν dz ἠπλίκευσεν f. — Ἰσδέμ d Ἰσεδέμ c. — 12 τῆς τοῦ Χριστοῦ c. — δὲ ὁ Χοσρ. g. — 14 μετά] κατά y. — ἵνα σπουδάσωσι πολλοί z. — 15 προλάβουσι eh. — ἀπέλθουσι ehm ἐπέλθωσι Taf. — 16 δὲ καὶ αὐτοί x. — Ζαβᾶν z *sine acc.* c. — 17 προεποίησαν f. — 18 παλάτιον—20 ὁ βασιλεύς *add. ex* A *eadem fere ratione ac* Taf. — 21 Ῥοῦσα dh Ρουσᾶ g *sine acc.* c. — καὶ *om.* z. — 23 αὐτῷ Taf. — 25 εἰς τὸ ἕτερον x εἰς *del.?* — ἐνταῦθα] ἐν ταύτῃ *codd.* ubi A ἐν ᾧ Taf. — ἱπποδρομείαν em ἱπποδρόμειον f hippodromium A. — 26 ἔκτισε] ἔτυχε *coni.* Combefis. — 26. 27 τῶν ὄντων σὺν τ. Π. d. — 27 νυκτός *add. ex* A noctu ἐν νυκτί Taf. — 28 ὁ *om.* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πέντε μιλίων ἔνθεν τοῦ παλατίου τοῦ ἐπιλεγομένου Δασταγὲρδ εἰς τόπον ἐπιλεγόμενον Βαρασρὼθ ἀπληκευμένος ἐστίν, καὶ ὅτι ἐδήλωσε τὸν στρατὸν ἐκεῖ σωρευθῆναι, ἵνα πολεμήσωσί σε. ἔστι γὰρ ἐκεῖ καὶ ποταμὸς δύσβατος στενὴν γέφυραν ἔχων καὶ στενώματα πολλὰ ἀπὸ οἰκημάτων, καὶ ῥύακες σαπροί." ὁ δὲ βασιλεὺς βουλευσάμενος μετὰ τῶν ἀρχόντων καὶ τοῦ στρατοῦ ἐκάθισεν ἐν τῷ παλατίῳ Βεκλάλ. εὗρε γὰρ ἐν αὐτῷ ἐν ἑνὶ περιβόλῳ στρουθεῶνας τριακοσίους σιτευτούς, καὶ ἐν ἄλλῳ περὶ πεντακοσίας δορκάδας σιτευτάς, καὶ ἐν ἄλλῳ ἑκατὸν ὀνάγρους σιτευτούς· καὶ πάντα ἐδωρήσατο τῷ λαῷ. καὶ τὴν πρώτην τοῦ Ἰαννουαρίου μηνὸς ἐποίησαν ἐκεῖσε. 627
εὗρον γὰρ καὶ πρόβατα καὶ χοίρους καὶ βόας, ὧν οὐκ ἦν ἀριθμός. καὶ ἀνεπαύσατο πᾶς ὁ λαὸς ἀπολαύοντες καὶ δοξάζοντες τὸν θεόν. πιάσαντες δὲ τοὺς νέμοντας ταῦτα ἔγνωσαν παρ' αὐτῶν ἀκριβῶς, ὡς ὁ Χοσρόης ἀπὸ εἰκάδος τρίτης τοῦ Δεκεμβρίου μηνὸς μαθών, 268 P
ὅτι ὁ βασιλεὺς ἐπέρασε τὴν γέφυραν τοῦ Τορνᾶ, παραχρῆμα ἐκίνη- 494 B
σεν ἐκ τοῦ παλατίου τοῦ ἐν Δασταγὲρδ ⟨ἐν τάχει πολλῷ ἀπελευσόμενος εἰς Κτησιφῶντα, πάντα τὰ χρήματα, ἃ εἶχεν ἐν τῷ παλατίῳ, ἐμβαλὼν τοῖς τε ἐλέφασι καὶ ταῖς καμήλοις καὶ ἡμιόνοις τῆς ὑπηρεσίας αὐτοῦ, γράψας καὶ τῷ λαῷ τοῦ Ῥαζάτου, ἵνα εἰσέλθωσιν εἰς τὸ αὐτὸ παλάτιον καὶ τὰς τῶν ἀρχόντων οἰκίας καὶ ὅ τι ἂν εὑρεθῇ ἐν ταύταις ἀπενέγκωσιν. ὁ οὖν βασιλεὺς τὸ μὲν ἥμισυ τοῦ στρατοῦ ἔπεμψεν ἐν Δασταγέρδ,⟩ αὐτὸς δὲ δι' ἄλλης ὁδοῦ ἀπῆλθεν εἰς ἕτερον παλάτιον, τὸ ἐπιλεγόμενον Βεβδάρχ. καὶ τοῦτο καταστρέψαντες καὶ πυρὶ παραδόντες εὐχαρίστουν τῷ θεῷ τῷ διὰ τῶν πρεσβειῶν τῆς θεοτόκου τοιαῦτα θαυμάσια ποιήσαντι. τίς γὰρ ἤλπιζε φυγεῖν τὸν Χοσρόην ἀπὸ προσώπου τοῦ βασιλέως Ῥωμαίων ἐκ τῶν ἐν τῷ Δασταγὲρδ παλατίων αὐτοῦ καὶ εἰς Κτησιφῶντα ἀπελθεῖν, ὅπου ἀπὸ κδ' ἐτῶν οὐκ ἠνέσχετο ἰδεῖν Κτησιφῶντα, ἀλλὰ καὶ ἐν

---

1 *μιλίων* hx. — *τοῦ παλατίου om.* Taf. *cum* A. — *τάκερδ* m *τὰ κέρδ* e *τὰ κερδί* f. — 2 *Βαρώθ* h. — *ἀπλικευμένος* d *ἠπληκευμένος* Taf. — 3 *τῷ στρατῷ* x *πάντα τὸν στρατόν* Taf. *ex* A. — *σε om.* em *σοι* Taf. — 5 *ἀπὸ τῶν οἰκ.* Taf. — 6 *καὶ τοῦ στρατοῦ om.* g. — 7 *Βεκλᾶλ* g *Βεκλάλι* f. — *στρουθαιῶνας* f *στρουθαίωνας* m *στρουθαίωνα* e *στρουθίωνας* Taf. — *τριακοσίους corr.* Taf. *ex* A *τρεῖς codd.* — 9 *ἑκατὸν ὀνάγρους sec. m.* f *ἑκατὸν συνάγρους* hx *συνάγρους ἑκατὸν* g *ἑκατὸν ἄγρους* (*ἀγρούς* em) y onagros centum A. — 10 *τὴν πρώτην*] *τῇ πρώτῃ* ef *τῇ α' rell.* — *Ἰανουαρίου* z. — 11 *εὗρων* em *εὑρῶν* f. — *ἦν*] *ἐστὶν* x. — 12 *ἀνεπαύσαντο* c. — 13 *ταῦτα*] *τούτους* g *sed in mg.: γρ. ταῦτα.* — *ἀκριβῶς παρ' αὐτῶν* x. — 14 *κγ'* z. — 16 *ἐν τάχει*—22 *ἐν Δασταγέρδ add. ex* A *paullo aliter ac* Taf. — 23 *Βεβάρχ* f Bebdarach A. — *ταυτο sine acc.* c *αὐτό* em *τοῦτο sed ου in lit. sec. m.* f. — 24 *ηὐχαρίστουν* yz. — 25 *τῆς ὑπεραγίας θεοτόκου* x. — *ποιήσαντα* ch. — 26. 27 *ἐκ τὸ* (*τῶ* em)—*παλᾶτιον* emz *ἐκ τῶ etiam* f. — 27 *εἰς Δαστ.* x. — 27 *παλατίων*—*p.* 322, 1 *Δασταγέρδ om.* f. — 27 *αὐτοῦ om.* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δασταγὲρδ ἦν τὰ βασίλεια αὐτοῦ; εὗρον δὲ οἱ λαοὶ τῶν Ῥωμαίων ἐν τῷ παλατίῳ αὐτοῦ ἐν τῷ Δασταγὲρδ τριακόσια βάνδα Ῥωμαίων, ἅπερ ἐν διαφόροις χρόνοις ἔλαβον· εὗρον δὲ καὶ εἴδη ἀπομείναντα, ἀλόην πολλὴν καὶ ξύλα μεγάλα ἀλόης ἀπὸ ἑβδομήκοντα καὶ ὀγδοήκοντα λιτρῶν καὶ μέταξιν πολλὴν καὶ πίπερ καὶ χαρβάσια καμίσια πολλὰ ὑπὲρ τὸ μέτρον, σάχαρ τε καὶ ζιγγίβερ καὶ ἄλλα εἴδη πολλά. τινὲς δὲ καὶ ἄσιμον, καὶ ὁλοσήρικα ἱμάτια, νακοτάπητά τε καὶ ταπήτια ἀπὸ βελόνης πλῆθος πολὺ καὶ καλὰ πάνυ, ἅπερ διὰ τὸ βάρος πάντα κατέκαυσαν· καὶ τοὺς παπυλεῶνας τοῦ Χοσρόου καὶ τοὺς
495 B ἐμβόλους, οὓς ἔστενεν, ὅτε ἐν κάμπῳ ἠπλήκευεν, πάντα κατέκαυσαν, καὶ στήλας αὐτοῦ πολλάς· εὗρον δὲ καὶ ἐν τούτοις τοῖς παλατίοις στρουθεῶνας καὶ δορκάδας καὶ ὀνάγρους καὶ ταῶνας καὶ φασιανοὺς πλῆθος ἄπειρον, καὶ εἰς τὸ κυνήγιον αὐτοῦ λέοντας καὶ τίγρεις παμμεγέθεις ζῶντας. προσέφυγον δὲ τῷ βασιλεῖ πολλοὶ ἐκ τῶν αἰχμαλώτων Ἐδεσηνοὶ καὶ Ἀλεξανδρεῖς, καὶ ἐξ ἄλλων πόλεων πλῆθος πολύ. ἐποίησε δὲ ὁ βασιλεὺς καὶ τὴν ἑορτὴν τῶν φώτων ἐν Δασταγὲρδ εὐφραίνων καὶ ἀνακτώμενος τόν τε λαὸν καὶ τὰ ἄλογα, καὶ καταστρέφων τὰ τοῦ Χοσρόου παλάτια κτίσματα ὑπέρτιμα ὄντα καὶ θαυμαστὰ καὶ καταπληκτικά, ἅπερ ἕως ἐδάφους καθεῖλεν, ἵνα μάθῃ Χοσρόης, οἷον πόνον εἶχον Ῥωμαῖοι τῶν πόλεων ἐρημουμένων παρ' αὐτοῦ καὶ πυρπολουμένων. ἐκρατήθησαν δὲ καὶ ἐκ τῶν διαιταρίων τοῦ παλατίου πολλοί. ἐρωτώμενοι δὲ καὶ αὐτοί, πότε ἀνεχώρησεν ἐκ τοῦ Δασταγέρδ, ἔφασκον, ὅτι "πρὸ θ' ἡμερῶν τοῦ καταλαβεῖν ὑμᾶς ἀκούσας τὴν παρουσίαν ὑμῶν κρυπτῶς ἐτρύπησε τὸ τεῖχος τῆς πόλεως τὸ πλησίον τοῦ παλατίου· καὶ οὕτως ἀπαρακρά-

1 βασίλεια] παλάτια d. — εὑρὼν (-ρῶν e) δέ em εὑρόντες δέ g. — 2 ἐν τοῖς παλατίοις Taf. *ex* A. — αὐτοῦ *om.* z. — ἐν Δαστ. x Δασταγέρδ (*om.* ἐν τῷ) z. — 4 ἀλόην c ἀλοήν y ἀλώην h. — ἀλωῆς y ἀλώης h. — ἑβδομήκοντα καὶ ὀγδοήκοντα *scr. ex* A δέκα καὶ ὀγδοήκοντα y δέκα καὶ ὀκτώ xz. — 5 μέταξαν g. — πολήν e πολύν m πολύ h. — πήπερ h. — chalbasia A. — καμήσια cefh. — 6 ὑπὲρ τὸ μέτρον *del.* Taf. *ex* A. — γιγγίβερ z. — πολλὰ ὑπὲρ τὸ μέτρον τε καὶ ἀριθμόν Taf. *ex* A. — 7 ἄσημον g. — ὁλοσίρικα chy. — νακοτάπιτα y νακοταπήτια Taf. — ταπίτια y ταπία g. — 8 βελώνης x. — καὶ πλῆθος g. — καὶ πλῆθος τούτων πολὺ ἦν καὶ πάντα καλὰ πάνυ Taf. — 9 κατέκαυσεν d. — παπυλαιῶνας cy. — 10 ἔστεννεν df ἔστησεν c ἔτεμνεν em. — κάππῳ em. — ἠπλίκευεν h. — πάντα κατέκαυσεν y *om.* x. — 11 εὗρον Taf. *ex* A εὗρεν *codd.* — τοῖς *om.* c. — 12 στρουθαιῶνας xy στρουθίωνας Taf. — συάγρους z. — 15 Ἐδεσινοί em Αἰδεσινοί z Αἰδεσηνοί d Αἰδεσηνοί c. — ἀλλὰ καὶ ἐξ Taf. — πόλεων] urbibus A πολλῶν y ἐθνῶν xz. — πλήθη πολλά Taf. — 17 εὐφραίνων τε καὶ ἀναπαύων καὶ ἀνακτώμενος d. — 18 κατέστρεφον em. — παλ. καὶ κτίσμ. d παλ. τε καὶ κτ. Taf. — κτήματα y. — 18. 19 ὄντα καὶ θαυμαστὰ *om.* d. — 20 εἶχον αὐτοί ποτε Ῥωμαῖοι Taf. — ἠρημωμένων g. — 21 ὑπ' αὐτοῦ c ὑπ' αὐτῶν d. — παρ' αὐτ. ὁμοίως καὶ πυρπ. Taf. — 22 τοῦ παλατίου] αὐτοῦ c. — αὗτοι e αὐτοί m οὗτοι x. — 23 ἐκ τὸ Δαστ. emz. — 25 ἀπαρακρατητὰ *s.* ἀκρατητά Combefis ἀπαρακράτητα Taf. παρακρατητά fgx παρακρατιτά h παρὰ κρατειτά e παρακρατεῖ τά m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τητα διὰ τῶν κήπων ἐξῆλθεν αὐτὸς καὶ ἡ γυνὴ καὶ τὰ τέκνα αὐτοῦ διὰ τὸ μὴ γενέσθαι θόρυβον ἐν τῇ πόλει." καὶ οὔτε τὰ στρατεύματα αὐτοῦ ἔγνωσαν, οὔτε οἱ ἄρχοντες, ἕως οὗ ἀπῆλθε πέντε μίλια· καὶ τότε ἐδήλωσεν, ἵνα ἐπακολουθήσωσιν αὐτῷ ἐπὶ Κτησιφῶντα· 496 B
καὶ ὁ μὴ δυνάμενος ποιῆσαι πέντε μίλια τὴν ἡμέραν φεύγων ἐποίησεν 269 P
κέ. καὶ αἱ γυναῖκες καὶ τὰ τέκνα αὐτοῦ τὰ μὴ θεωροῦντα ἀλλήλους τότε φύρδην ἔφυγον ἀλλήλους παρωθούμενα. τῆς δὲ νυκτὸς καταλαβούσης εἰσῆλθε Χοσρόης εἰς οἶκον γεωργοῦ μηδαμινοῦ μεῖναι μόλις χωρηθεὶς ἐν τῇ τούτου θύρᾳ, ἣν ἰδὼν ἔσχατον Ἡράκλειος ἐθαύμασεν. διὰ δὲ τριῶν ἡμερῶν κατέλαβε τὴν Κτησιφῶντα· καὶ ὁ χρησμοδοτηθεὶς ὑπὸ τῶν γοήτων καὶ ἀστρολόγων πρὸ κδ' ἐτῶν, ὅτε τὸ Δαρᾶς ἐπολιόρκησεν ἐπὶ τῶν χρόνων Φωκᾶ, τοῦ βασιλέως Ῥωμαίων, ὅτι, ἐν οἵῳ καιρῷ ἀπέλθῃ ἐν Κτησιφῶντι, ἀπολεῖται· καὶ μὴ ἀνασχόμενος ἀπὸ τοῦ Δασταγὲρδ ἐπὶ τὸ μέρος ἐκεῖνο μίλιον ἓν πορευθῆναι, τότε φεύγων ἐν ταύτῃ ἀπῆλθεν. καὶ οὐδὲ ἐν ταύτῃ ἐθάρρησε στῆναι, ἀλλὰ περάσας τὴν ποντογέφυραν τοῦ Τίγριδος ποταμοῦ εἰς τὴν ἐκεῖθεν πόλιν, τὴν λεγομένην Σελεύκειαν παρ' ἡμῖν, παρὰ δὲ Πέρσαις Γουεδεσήρ, πάντα τὰ χρήματα ἐν αὐτῇ ἀπέθετο, καὶ ἐκάθισεν ἐκεῖ μετὰ Σειρέμ, τῆς γυναικὸς αὐτοῦ, καὶ μετὰ ἑτέρων τριῶν γυναικῶν, τῶν καὶ θυγατέρων αὐτοῦ· τὰς δὲ λοιπὰς αὐτοῦ γυναῖκας καὶ τὰ πολλὰ αὐτοῦ τέκνα παρέπεμψεν ἀπὸ 497 B
μ' μιλίων εἰς τὸ ἀνατολικώτερον μέρος εἰς τόπον ὀχυρόν. τινὲς δὲ τῶν Περσῶν διέβαλλον τὸν Σάρβαρον πρὸς Χοσρόην ὡς τὰ τῶν Ῥωμαίων φρονοῦντα καὶ καταλαλοῦντα αὐτοῦ· καὶ ἀποστέλλει σπαθάριον αὐτοῦ μετὰ κελεύσεως αὐτοῦ πρὸς Καρδαρίγαν τὸν συστράτηγον Σαρβάρου εἰς Χαλκηδόνα γράψας αὐτῷ, ἵνα τὸν Σάρβαρον ἀποκτείνῃ καὶ οὕτω τὸν λαὸν τῶν Περσῶν ἀναλαβὼν σπεύσῃ ἐπὶ Περσίδα εἰς συμμαχίαν αὐτοῦ. ὁ δὲ τὰ γράμματα κομίζων περὶ τὴν Γαλατίαν συλλαμβάνεται ὑπὸ τῶν Ῥωμαίων. οἱ δὲ συλλαβόντες

---

1 ἡ γυνὴ αὐτοῦ h. — αὐτοῦ Taf. ex A αὐτῶν fh αὐτόν rell. — 3 μήλια fhx. — μήλια πέντε d. — 5 πέντε μ. ποιῆσαι z. — μήλια fx. — 6 γυν. δὲ καὶ d. — τὰ πρότερον μὴ Taf. — 7 ἔφευγον dA. — παρωθούμενοι g. — 10 τήν] τόν y. — 11 χρησμοθετηθείς x. — ἀπό y. — πρὸ ἐτῶν κδ' d. — ὅτι g. — 12 Δαρᾶς m sine acc. c. — ἐπολιώρκησεν z. — 13 ἀπέλθει y. — ἐν Κτησιφῶντα m ἐν Κτησιφῶν ef. — ἀπόλειται c ἀπόληται g. — 13. 14 καὶ ὁ μὴ coni. Taf. — 14 μήλιον hx. — 14. 15 ἓν πορ.] ἐμπορευθῆναι h. — φυγών y. — ἐν αὐτῷ ἀπ. d ἐν ταυτω (sine acc.) ἀπ. c. — 18 Guheser A. — ἐν ταύτῃ y. — 19 ἀνέθετο y. — Σιρέμ g. — 21 τὰ τέκνα αὐτοῦ τὰ πλείω d. — 21. 22 ἀπὸ μ' μιλίων om. g. — 22 μηλίων hx. — ὀχυρώτατον Taf. — 23 διέβαλον dh. — Σαράβαρον xy Σαρβαραζᾶν h. — 24 αὐτοῦ f αὐτόν rell. — 25 Καρδαρῆγαν g Καρδαρηγαν sine acc. c. — στρατηγόν c. — 26 Σαρβάρου dA Σαρβαραζᾶ z Σαρβαράζα (-ξα f) y Σαρβαρωζα sine acc. c. — Σάρβαρον cA Σαράβαρον d Σαρβαραζᾶν z Σαρβαράξαν (-ξαν f) y. — 27 οὗτος cy. — 27 σπεύσῃ—p. 327, 4 πρὸς αὐτόν desunt in c uno folio interciso. — 29 Γαλατίαν γενόμενος συλλ. d. — ἀπό y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸν διαλαθόντες τοὺς Πέρσας εἰς τὸ Βυζάντιον τοῦτον ἀπήγαγον καὶ τῷ υἱῷ τοῦ βασιλέως τοῦτον παρέδωκαν. ὁ δὲ βασιλεὺς μαθὼν παρὰ τοῦ ἀποστολιμαίου τὴν ἀλήθειαν Σάρβαρον παραχρῆμα μεταπέμπεται. εἰσελθὼν οὖν παρέστη τῷ βασιλεῖ. ὁ δὲ βασιλεὺς τὴν πρὸς Καρδαρίγαν ἐπιστολὴν τούτῳ ἐπιδοὺς καὶ τὸν ἀποσταλέντα ὑπέδειξεν, καὶ ἀνέγνω τὴν ἐπιστολήν, καὶ πληροφορηθεὶς τὸ ἀληθὲς παραχρῆμα ἐτράπη καὶ συνθήκας μετὰ τοῦ υἱοῦ τοῦ βασιλέως καὶ τοῦ πατριάρχου ποιεῖ. καὶ φαλσεύσας τὴν Χοσρόου ἐπιστολὴν σὺν αὐτῷ ἐντίθησιν ἐν αὐτῇ ἄλλους υ' σατράπας καὶ ἄρχοντας καὶ χιλι-
498 B άρχους καὶ ἑκατοντάρχους ἀποκτανθῆναι, καὶ ἐπιθεὶς εὐφυῶς τὴν σφραγῖδα συναθροίζει τοὺς ἡγεμόνας καὶ αὐτὸν τὸν Καρδαρίγαν, καὶ ἀναγνοὺς τὴν ἐπιστολὴν ἔφη πρὸς τὸν Καρδαρίγαν· "συνορᾷς τοῦτο ποιεῖν;" οἱ δὲ ἄρχοντες θυμοῦ πλησθέντες τὸν Χοσρόην ἀπεκήρυττον καὶ πρὸς τὸν βασιλέα συνθήκας εἰρηνικὰς ἐποίησαν, καὶ
270 P κοινῇ βουλευσάμενοι ἔδοξεν, ἵνα ἐκ Χαλκηδόνος ἀναχωρήσωσι καὶ ἐπὶ τὰ ἴδια ἀπέλθωσι μηδὲν λυμαινόμενοι. ὁ δὲ Ἡράκλειος ἔγραψε τῷ Χοσρόῃ· "ἐγὼ διώκω καὶ πρὸς εἰρήνην τρέχω. οὐ γὰρ ἑκὼν πυρπολῶ τὴν Περσίδα, ἀλλὰ βιασθεὶς ὑπὸ σοῦ. ῥίψωμεν οὖν κἂν νῦν τὰ ὅπλα καὶ εἰρήνην ἀσπασώμεθα· σβέσωμεν τὸ πῦρ, πρὶν τὸ πᾶν καταφλέξῃ." τούτου δὲ μὴ καταδεξαμένου, μεγάλως τὸ μῖσος τοῦ λαοῦ τῆς Περσίδος ηὐξήθη κατ' αὐτοῦ. καὶ ἐστράτευσε Χοσρόης πάντας τοὺς ἀνθρώπους τῶν ἀρχόντων αὐτοῦ καὶ πᾶσαν τὴν ὑπουργίαν αὐτοῦ καὶ τῶν γυναικῶν αὐτοῦ, καὶ τούτους ὁπλίσας πάντας ἀπέλυσεν ἑνωθῆναι τῷ στρατῷ τοῦ Ῥαζάτου, καὶ στῆναι εἰς τὸν Ναρβᾶν ποταμὸν ἀπὸ ιβ' μιλίων Κτησιφῶντος· καὶ ἐκέλευσεν
499 B αὐτούς, ἵνα, ἡνίκα περάσῃ τὸν ποταμὸν ὁ βασιλεύς, κόψωσι τὴν γέφυραν καὶ τὴν ποντογέφυραν. ὁ δὲ βασιλεὺς τῇ ἑβδόμῃ τοῦ Ἰαννουαρίου μηνὸς κινήσας ἐκ τοῦ Δασταγὲρδ καὶ περιπατήσας τρεῖς

1 ἤγαγον h. — 2 τοῦτον *om.* d. — 3 Sarbarum A Σαράβαρον d Σαρβαραζᾶν z Σαρβαράζαν y. — 4 εἰσελθὼν οὖν παρέστη] qui cum introisset astitit A εἰσελθόντι οὖν αὐτῷ παρέστη dy ἐλθόντι οὖν αὐτῷ παρέστη h ἐλθόντι οὖν παρέστη g. — 5 Καρδαρῆγαν g. — τοῦτο y. — 8 φαλσεύσας Taf. φαλσώσας z φαλκεύσας df φαλεύσας em. — τὴν τοῦ Χοσρ. d. — 8. 9 σὺν αὐτῷ] σὺν αὐτῇ fm. — 9 υ' dgA μ' y γ' h. — 9. 10 χιλιάρχας καὶ ἑκατοντάρχας g. — 10 ἐπιθεὶς ἐφευρεθεῖσαν εὐφυῶς Taf. — εὐφυεῖ y. — 10. 11 τὴν σφραγῖδα ἀπέλυσε τὸν Σαράβαρον. ὁ δὲ ἀποσταλεὶς παρὰ Χοσρόου τὴν Χαλκηδόνα καταλαβὼν συναθροίζει d. — 11 Καρδαρίγα d Καρδαρῆγαν g. — Καρδ. σὺν τῷ Σαραβάρῳ καὶ ἀναγνοὺς Σαράβαρος τήν d. — 12 πρὸς Καρδ. em. — Καρδαρῆγαν g. — 15 Καλχηδόνος gy. — 16 λυμηνάμενοι Taf. — 18. 19 κἂν νῦν d καὶ νῦν *rell.* — 20 καταφλέξει gy. — 21 κατὰ Χοσρόου z. — 22 αὐτοῦ τε καὶ z. — 24 ἀπέστειλεν d. — Ῥαζατᾶ g Ῥαζατα *sine acc.* h Ῥαζᾶ m. — 25 Narban A Ναρβᾶ d Ἀρβᾶ *rell.* — β' μηλίων d. — 26 ὁ βασιλεὺς *om.* g. — κόψ. τὴν γέφ. καὶ τὴν ποντογέφ.] inciderent pontes A. — κόψωσι καὶ τήν gm. — τήν τε γέφ. Taf. — 27 καὶ τὴν ποντογέφυραν *om.* f. — 28 Ἰανουαρίου z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμέρας ἠπλήκευσεν ἀπὸ ιβ' μιλίων τοῦ Ναρβᾶ ποταμοῦ, ὅπου ἦν τὸ φωσάτον τῶν Περσῶν, ἐν οἷς εἶχον καὶ διακοσίους ἐλέφαντας· καὶ ἀπέστειλεν ὁ βασιλεὺς Γεώργιον τὸν τουρμάρχην τῶν Ἀρμενιάκων, ἵνα ἀπέλθῃ μέχρι τοῦ ποταμοῦ καὶ καταμάθῃ, εἰ ἔχει πέραμα ὁ Ναρβᾶς. καὶ εὑρών, ὅτι ἔκοψαν τὰς γεφύρας, καὶ οὐκ ἔχει πέραμα ὁ Ναρβᾶς, ὑπέστρεψε πρὸς τὸν βασιλέα. καὶ ἀποκινήσας ὁ βασιλεὺς ἦλθεν εἰς τὸν Σιάζουρον, καὶ περιήρχετο πυρπολῶν τὰς χώρας καὶ τὰς πόλεις ὅλον τὸν Φεβρουάριον μῆνα. τῷ δὲ Μαρτίῳ μηνὶ ἐλθὼν εἰς χωρίον λεγόμενον Βάρζαν ἐποίησεν ἑπτὰ ἡμέρας καὶ ἀπέστειλε Μεζέζιον τὸν στρατηγὸν εἰς κοῦρσον. καὶ προσερρύη αὐτῷ Γουνδαβουσᾶν, ὅς τις χιλίαρχος ἦν τῆς στρατιᾶς Σαρβάρου, μετὰ ἄλλων πέντε, τριῶν μὲν κομήτων, δύο δὲ ἀξιωματικῶν· καὶ ἤγαγεν αὐτοὺς πρὸς τὸν βασιλέα. ὅς τις Γουνδαβουσᾶν ἀναγκαῖα πράγματα τῷ βασιλεῖ ἀπήγγειλε λέγων, ὅτι "ὅταν ἔφυγεν ὁ Χοσρόης ἀπὸ τοῦ Δασταγὲρδ καὶ ἀπῆλθεν ἐν Κτησιφῶντι καὶ Σελευκείᾳ, ἠσθένησε δυσεντερίᾳ καὶ ἠθέλησε τὸν υἱὸν Μερδασὰν τὸν τεχθέντα ἐκ τῆς Σειρὲμ στέψαι· καὶ ὅτι ἀντεπέρασε τὸν ποταμὸν πάλιν καὶ ἤνεγκε μεθ' ἑαυτοῦ τὸν Μερδασὰν καὶ τὴν Σειρὲμ καὶ τὸν ἄλλον αὐτῆς 500 B
Σαλιάρ· τὸν δὲ πρωτότοκον αὐτοῦ υἱὸν Σιρόην καὶ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τὰς γυναῖκας αὐτοῦ ἔασε πέραν τοῦ ποταμοῦ. καὶ γνοὺς Σιρόης, ὅτι τὸν Μερδασὰν θέλει στέψαι, ἐταράχθη καὶ ἔπεμψε τὸν συγγάλακτον αὐτοῦ πρὸς Γουνδαβουσᾶν δηλώσας αὐτῷ, ὅτι "ἐλθὲ πέραν τοῦ ποταμοῦ, ἵνα συντύχω σοι." ὁ δὲ Γουνδαβουσᾶν ἐφοβήθη τὸν Χοσρόην περᾶσαι, καὶ δηλοῖ αὐτῷ, ὅτι "γράψον μοι διὰ τοῦ συγγαλάκτου σου, εἴ τι θέλεις." καὶ ἔγραψεν αὐτῷ Σιρόης, 271 P
ὅτι "γινώσκεις, πῶς ἡ πολιτεία τῶν Περσῶν ἀπώλετο ἐκ τοῦ κακοῦ ἀνθρώπου Χοσρόου, καὶ θέλει στέψαι τὸν Μερδασάν, καὶ ἐμὲ τὸν πρωτότοκον αὐτοῦ περιεφρόνησεν. καὶ ἐὰν λαλήσῃς τὸν στρατόν,

---

1 ἠπλίκευσεν da ἔπλήκευσεν f. — μηλίων dh. — Ναρβά em Ἀρβᾶ g. — 2 φοσάτον h. — 3 Ἀρμενιακῶν g. — 5 Ναρβάς hm *item v.* 6. — 6 πρός] εἰς y. — 7 τὸ Σιάζουρον Taf. — 8 Φευρουάριον *codd. praeter* f. — 9 Βαρζᾶν z. — 10 Mezetium A. — Γουνδαβούνας hy Γουνδαβοῦνας g Γουνδαβουνᾶς d Gundabundas A. — 11 στρατιᾶς Taf. στρατίας dh στρατείας *rell.* — μετὰ καὶ ἄλλων d. — 13 Γουνδαβούνας y Γουνδαβοῦνας z Γουνδαβουνᾶς d Gundabusnas A. — 14 τοῦ *om.* h τῶν g. — 16 τὸν ἴδιον υἱόν z τὸν υἱὸν αὐτοῦ d. — Μερδασᾶν z *sine acc.* e. — 17 ἀνεπέρασεν f. — 18 Μερδασᾶν g Μερδασὰμ eh *et ut vid.* f. — τήν] τόν *codd.* — 19 Σαλίαρ y Aar A. — Σιρόην m Σηρώην h. — 20 εἴασε f. — 21 Σιρώης f Σηρόης d Σειρώης h. — Μερδασᾶν g. — θέλη em. — 22 συνγάλακτον *codd. praeter* g. — Γουνδαβουσάν d Γουνδαβούσαν y Γουνδουβασᾶν h Gundabusan A. — 23 Γουνδαβουσάν d Γουνδαβοῦσαν ef Γουνδαβούσαν m Γουνδουβουσᾶν h. — 24 αὐτόν g. — μοι] μου em. — 25 συνγαλάκτου dh. — εἴ τι] ὅ τι Taf. — θέλῃς hm. — Σιρώης df Σειρώης h. — 26 ὅτι πάντως γινώσκης d. — 27 Μερδασᾶν g Μερδάσαν em. — 28 αὐτοῦ υἱὸν περιεφρ. g. — τῷ στρατῷ *sec. m.* f Taf. τοῦ στρατοῦ m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἵνα δέξωνταί με, καὶ τὰς ῥόγας αὐτῶν ἐπαυξῆσαι ἔχω καὶ εἰρήνην ποιῶ μετὰ τοῦ βασιλέως Ῥωμαίων ⟨καὶ μετὰ τῶν Τούρκων⟩, καὶ καλῶς ἔχομεν ζῆσαι. καὶ σπούδασον μετὰ τοῦ λαοῦ σου, ἵνα ἐγὼ βασιλεύσω· καὶ πάντας ὑμᾶς προαναβιβάσαι ἔχω καὶ συγκροτῆσαι, καὶ κατ' ἐξαίρετον σέ." καὶ ὅτι ἐδήλωσα αὐτῷ διὰ τοῦ συγγαλάκτου αὐτοῦ, ὅτι, εἴ τι δύναμαι, λαλῆσαι ἔχω τὸν στρατὸν καὶ μοχθῆσαι."
501 B καὶ ἐλάλησα κβ' κόμητας καὶ ἐποίησα αὐτοὺς τῆς γνώμης μου καὶ ἄλλους ἄρχοντας καὶ στρατιώτας πολλούς. καὶ ταῦτα ἐδήλωσα τῷ Σιρόῃ, καὶ ἐδήλωσέ μοι, ἵνα τῇ κγ' τοῦ Μαρτίου μηνὸς λάβω ταξάτους νεωτέρους καὶ εἰς τὴν ποντογέφυραν τοῦ Τίγριδος ποταμοῦ ὑπαντήσω αὐτῷ, καὶ λάβωμεν αὐτὸν εἰς τὸν στρατὸν καὶ κινήσωμεν κατὰ Χοσρόου. καὶ ὅτι μετὰ Σιρόου εἰσὶ καὶ οἱ δύο υἱοὶ τοῦ Σαρβαραξᾶ, καὶ ὁ υἱὸς τοῦ Ἰεσδέμ, καὶ ἄλλα πολλὰ τέκνα ἀρχόντων, καὶ ὁ υἱὸς τοῦ Ἀράμ, πάντες ἐπίλεκτοι· καὶ ὅτι εἰ μὲν δυνηθῶσιν ἀνελεῖν τὸν Χοσρόην, εὖ καὶ καλῶς· εἰ δὲ ἀστοχήσωσιν, πάντες σὺν τῷ Σιρόῃ προσρύονται τῷ βασιλεῖ· καὶ ἀπέστειλέ με πρὸς σέ, δέσποτα· αἰδεῖται γὰρ τὴν βασιλείαν τῶν Ῥωμαίων, ὅτι τὸν Χοσρόην ἔσωσέ ποτε, καὶ πολλὰ κακὰ ἔπαθεν ἐξ αὐτοῦ ἡ τῶν Ῥωμαίων γῆ, καὶ ὅτι διὰ τὴν ἐκείνου ἀγνωμοσύνην οὐδὲ ἐμοὶ ἔχει ὁ βασιλεὺς πιστεῦσαι." ὁ δὲ βασιλεὺς τοῦτον πάλιν πρὸς Σιρόην ἀποστείλας ἐδήλωσεν ἀνοῖξαι τὰς φυλακὰς καὶ τοὺς κατεχομένους ἐν αὐταῖς Ῥωμαίους ἐκβάλαι καὶ δοῦναι αὐτοῖς ὅπλα, καὶ οὕτω ἀποκινῆσαι κατὰ Χοσρόου. ὁ δὲ Σιρόης ὑπακούσας τῷ βασιλεῖ καὶ ἐκ-
502 B βαλὼν τοὺς κατακλείστους ἐπῆλθε τῷ πατροκτόνῳ πατρὶ Χοσρόῃ. αὐτὸς δὲ φυγεῖν δοκιμάσας καὶ μὴ ἰσχύσας ἐκρατήθη. τοῦτον δὲ δεσμήσαντες σφοδρῶς σιδηροπέδαις ὀπισθάγκωνα τοῖς τε ποσὶ καὶ τῷ τραχήλῳ βάρη σιδηρᾶ περιέθηκαν καὶ εἰσάγουσιν αὐτὸν εἰς τὸν οἶκον τοῦ σκότους, ὃν αὐτὸς ᾠχύρωσεν ἐκ νέας κτίσας εἰς ἀπόθεσιν

---

1 δέξονται dhy. — 2 καὶ μετὰ τῶν Τούρκων *add.* Taf. *ex* A *om. codd.* — 4 προβιβάσαι *sec. m.* f Taf. — 5 κατ' ἐξαίρετον Taf. κατεξαίρετον *codd.* — αὐτῷ] αὐτόν *ut vid.* f αὐτοῦ (*bis scriptum in* m) em. — 6 τῷ στρατῷ Taf. — 7 καὶ ὅτι ἐλάλησα z. — εἴκοσι δυσὶ κομήταις Taf. — 8. 9 δηλώσας τῷ Σ. ἐδήλωσέν μοι z. — 9 Σιρώῃ y Σειρώῃ h *item v.* 16. — κγ' dgA κε' h κ' ef. *In* m *numerus discerni non potest sed* κ *in mg. adscr.* — ταξάτας g. — 11 λάβομεν hy. — κινήσομεν h. — 12 Σιρώου y Χοσρώου h. — Σαρβαράξα dem Σαρβαράξα f. — 13 Ἰεσδέμ dA Ἰεσδίμ y Ἐσδίμ g Ἐσδήμ h. — πολλὰ ἀρχόντων τέκνα g. — 16 προσρυήσονται Taf. — καὶ ἰδοὺ ἀπέστειλε d. — 17 αἰδεῖται] αἴδει f ἔδει em. — Ῥωμαίων καλὰς ἀμοιβὰς ἐσχηκέναι ὅτι h. — 18 ἔσωσε] ἕως em. — ἔσ. ποτε, νῦν δὲ μᾶλλον κακὰ παρ' αὐτοῦ πέπονθεν z. — ἐξ αὐτῆς Taf. — ἡ τῶν Ῥωμαίων γῆ dA *om.* yz. — 19 ἔχοι m. — 20 ὁ δὲ βασ. Ἡράκλειος τοῦτον z. — τοῦτον *om.* y. — Σιρώην y Σειρώην h. — 20. 21 ἀπέστειλε καὶ ἐδήλωσεν h. — 22. 23 καὶ οὕτω κατὰ Χοσρ. ἐκπέμψαι d. — 23 Σιρώης y Σειρώης h. — 25 φυγήν *codd. praeter* h. — δέ] γάρ dy. — 26 καὶ ὀπισθ. h. — ὀπισθάγκονα dy ὀπισθάγγωνα h. — 28 ὀχύρωσεν egm. — ἐκ νέου f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρημάτων, καὶ ἄρτον πενιχρὸν τούτῳ διδόντες καὶ ὕδωρ ἐλιμαγχόνουν· ἔφη γὰρ ὁ Σιρόης, ὅτι "τὸν χρυσὸν φάγῃ, ὃν συνήγαγε μά- 272 P
την, δι' ὃν πολλοὺς ἐλιμαγχόνησε καὶ τὸν κόσμον ἠρήμωσεν." ἀπέστειλε δὲ πρὸς αὐτὸν τοὺς σατράπας ὑβρίζειν καὶ ἐμπτύειν αὐτόν, καὶ ἀγαγὼν Μερδασάν, τὸν υἱὸν αὐτοῦ, ὃν ἐβούλετο στέψαι, ἐνώπιον αὐτοῦ ἔσφαξεν, καὶ πάντα τὰ λοιπὰ τέκνα αὐτοῦ ἐνώπιον αὐτοῦ ἀνεῖλον, καὶ ἀπέστειλε πάντα ἐχθρὸν αὐτοῦ ὑβρίζειν καὶ τύπτειν καὶ ἐμπτύειν αὐτόν. πέντε δὲ ἡμέρας τοῦτο ποιήσαντες, ἐκέλευσεν ὁ Σιρόης τόξοις τοῦτον ἀνελεῖν, καὶ οὕτως κατὰ μικρὸν ἐν δεινοῖς παρέδωκε τὴν πονηρὰν αὐτοῦ ψυχήν. τότε ὁ Σιρόης γράφει πρὸς Ἡράκλειον εὐαγγελιζόμενος αὐτῷ τὴν τοῦ μιαροῦ Χοσρόου ἀναίρεσιν· καὶ εἰρήνην ἀειπαγῆ πρὸς αὐτὸν ποιησάμενος πάντας τοὺς ἐν φρουραῖς Χριστιανοὺς καὶ τοὺς ἐν Περσίδι πάσῃ αἰχμαλώτους ἀπ- 503 B
ἔδωκεν αὐτῷ σὺν τῷ πατριάρχῃ Ζαχαρίᾳ καὶ τοῖς τιμίοις καὶ ζωοποιοῖς ξύλοις τοῖς ἐξ Ἱεροσολύμων ληφθεῖσιν ὑπὸ Σαρβαραζᾶ, ὅταν τὴν Ἱερουσαλὴμ παρέλαβεν.

Περσῶν βασιλεὺς Σιρόης ἔτος α'. A. M. 6119 626/7.
627/8
,ϛριθ'. χιθ'. ιη'. α'. ιθ'. ιθ'. θ'.

Τούτῳ τῷ ἔτει εἰρήνης γενομένης μεταξὺ Περσῶν καὶ Ῥωμαίων, ἀπέστειλεν ὁ βασιλεὺς Θεόδωρον, τὸν ἑαυτοῦ ἀδελφόν, μετὰ γραμμάτων καὶ ἀνθρώπων Σιρόου, τοῦ βασιλέως Περσῶν, ὅπως τοὺς ἐν Ἐδέσῃ καὶ Παλαιστίνῃ καὶ Ἱεροσολύμοις καὶ ταῖς λοιπαῖς πόλεσι τῶν Ῥωμαίων Πέρσας μετὰ εἰρήνης ἀποστρέψωσιν ἐν Περσίδι, καὶ ἀβλαβῶς παρέλθωσι τὴν τῶν Ῥωμαίων γῆν. ὁ δὲ βασιλεὺς ἐν ἓξ ἔτεσι κατα-πολεμήσας τὴν Περσίδα, τῷ ζ' ἔτει εἰρηνεύσας μετὰ χαρᾶς μεγάλης ἐπὶ Κωνσταντινούπολιν ὑπέστρεψε μυστικήν τινα θεωρίαν ἐν τούτῳ πληρώσας. ἐν γὰρ ἓξ ἡμέραις πᾶσαν τὴν κτίσιν δημιουργήσας ὁ θεὸς τὴν ἑβδόμην ἀναπαύσεως ἡμέραν ἐκάλεσεν· οὕτω καὶ αὐτὸς ἐν

---

1 τοῦτο chm. — 2 *Σιρώης* y *Σειρώης* h. — *φάγοι* d. — 3 *ἐρήμωσε codd. praeter* d. — 4 *πρὸς αὐτὸν om.* d. — *τοὺς om.* em. — 5 *Μερδασᾶν* z *Μερδάσαν* em *sine acc.* c. — 7 *ἀνεῖλεν* d. — *καὶ τύπτειν om.* f. — 7 *καὶ ἐμπτύειν om.* d. — 8 *αὐτῷ* c. — *ἐν ιε' (sic) ἡμέραις* x *ἐν πέντε δὲ ἡμέραις* z. — *ποιήσαντες* g. — *ποιήσας, καὶ μετὰ ταῦτα ἐκέλευσεν* x. — 9 *Σιρώης* y *Σειρόης* c *Σειρώης* h. — *τοῦτον τόξοις* z. — *ἐν om.* Taf. — 10 *Σιρώης* hy *Σειρόης* c. — 12 *ἀειπηγῆ* e *ἀειπηγεῖ* m. — 13 *ἐν πάσῃ τῇ Περσίδι* d *ἐν Περσίδι (om. πάσῃ)* c. — 14 *πατριάρχῃ Ἱεροσολύμων* Zαχ. Taf. — 15 *ἐν Ἱεροσολύμοις* x. — *Σαρβαράζα* xy. — *ὅτε* x. — 16 *Post παρέλαβεν codd. add. Ἀράβων ἀρχηγὸς Μουάμεδ ἔτη θ' (ἔτη θ' om.* c). quando et Moamed, Arabum seu Saracenorum princeps sub Persis degens sextum agebat annum perventurus ad nonum A. — 17 *Σιρώης* h *Σειρόης* c *om.* y. — 18 *,ϛριθ'. χιθ'. ιη'. ιθ'. (ιθ' om.* f) *ιθ'. θ'. α'.* cef *,ϛριθ'. χιθ'. ιη'. ιθ'. ιθ'. θ'.* z. — 21 *Σιρώου* hy *Σειρόου* c *Σηρόου* d. — 22 *Αἰδέσῃ* xy. — *τῶν om.* g. — 23 *μετὰ εἰρ. ἵνα ἀποστρ.* xy. — *ἀποστρέψουσιν* z *ὑποστρέψωσιν* d. — 24 *παρελθῶσι* em. — *τῇ τ. Ῥ. γῇ* h. — 25 *τῷ ζ' εἰρ. ἔτει (ἔτη* c) x. — 26 *ἐν Κωνσταντινουπόλει* y. — 27 *ἓξ ἔτεσι ἡμέραις* c. — 28 *οὕτω δὴ καὶ* Georg. Mon. p. 570 *οὕτω δὲ καί* Taf.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς ἓξ χρόνοις πολλοὺς πόνους διανύσας τῷ ἑβδόμῳ ἔτει μετ' εἰρήνης
καὶ χαρᾶς ἐν τῇ πόλει ὑποστρέψας ἀνεπαύσατο. ὁ δὲ λαὸς τῆς
504 B πόλεως τὴν ἔλευσιν αὐτοῦ μαθόντες ἀκατασχέτῳ πόθῳ πάντες εἰς
τὴν Ἱερείαν ἐξῆλθον εἰς συνάντησιν αὐτοῦ, σὺν τῷ πατριάρχῃ καὶ
Κωνσταντίνῳ, τῷ βασιλεῖ καὶ υἱῷ αὐτοῦ, βαστάζοντες κλάδους ἐλαιῶν
καὶ λαμπάδας, εὐφημοῦντες αὐτὸν μετὰ χαρᾶς καὶ δακρύων. προσ-
273 P ελθὼν δὲ ὁ υἱὸς αὐτοῦ ἔπεσεν ἐπὶ τοὺς πόδας αὐτοῦ, καὶ περιπλακεὶς
αὐτῷ ἔβρεξαν ἀμφότεροι τὴν γῆν τοῖς δάκρυσιν. τοῦτο θεασάμενος
ὁ λαός, ἅπαντες εὐχαριστηρίους ὕμνους τῷ θεῷ ἀνέπεμπον· καὶ
οὕτω λαβόντες τὸν βασιλέα σκιρτῶντες εἰσῆλθον ἐν τῇ πόλει.

627/8. A. M. 6020 *Περσῶν βασιλεὺς Ἀδεσὴρ μῆνας ζ'.*

ϛρκ'. χκ'. ιθ'. α'. κ'. κ'. ι'.

Τούτῳ τῷ ἔτει ἀπάρας ὁ βασιλεὺς ἅμα ἔαρι ἀπὸ τῆς βασιλευ-
ούσης πόλεως ἐπὶ τὰ Ἱεροσόλυμα ἐπορεύετο ἀπαγαγὼν τὰ τίμια καὶ
ζωοποιὰ ξύλα τοῦ ἀποδοῦναι τῷ θεῷ τὴν εὐχαριστίαν. ἐλθόντι δὲ
αὐτῷ ἐν Τιβεριάδι κατηγόρησαν οἱ Χριστιανοὶ Βενιαμίν τινα ὀνό-
ματι ὡς κακοποιοῦντα αὐτούς. ἦν γὰρ ἐνούσιος σφόδρα, καὶ ὑπ-
εδέξατο τὸν βασιλέα καὶ τὸν στρατὸν αὐτοῦ. ὁ δὲ βασιλεὺς κατ-
έκρινεν αὐτὸν λέγων· "διὰ ποίαν αἰτίαν κακοποιεῖς τοὺς Χριστια-
505 B *νούς;" ὁ δὲ εἶπεν· "ὡς ἐχθροὺς τῆς πίστεώς μου." ἦν γὰρ*
Ἰουδαῖος. τότε ὁ βασιλεὺς νουθετήσας αὐτὸν καὶ πείσας ἐβάπτισεν
εἰς τὸν οἶκον Εὐσταθίου τοῦ Νεαπολίτου, Χριστιανοῦ ὄντος καὶ
αὐτοῦ ὑποδεξαμένου τὸν βασιλέα. εἰσελθὼν δὲ ὁ βασιλεὺς ἐν Ἱερο-
σολύμοις καὶ ἀποκαταστήσας Ζαχαρίαν τὸν πατριάρχην καὶ τὰ τίμια
καὶ ζωοποιὰ ξύλα εἰς τὸν ἴδιον τόπον καὶ πολλὰ εὐχαριστήσας τῷ
θεῷ ἀπήλασε τοὺς Ἑβραίους ἀπὸ τῆς ἁγίας πόλεως, κελεύσας μὴ
ἔχειν αὐτοὺς ἐξουσίαν ἀπὸ τριῶν μιλίων τῆς ἁγίας πόλεως πλησιά-
ξειν. καταλαβὼν δὲ τὴν Ἔδεσαν ἀπέδωκε τὴν ἐκκλησίαν τοῖς ὀρθο-

4 Ἱερείαν fhx Ἱερίαν g. — αὐτοῦ] αὐτῷ def *om.* m. — σ. τ. πατρ. Σεργίῳ d. — 5 τῷ βασιλεῖ καὶ υἱῷ x Georg. Mon. p. 570 βασιλεῖ καὶ υἱῷ z βασιλεῖ τῷ υἱῷ y. — 7 ἐπί] ὑπό d. — περιπλακεὶς αὐτῷ zA Georg. Mon. περιπλακέντες ἀλλήλοις xy. — 9 πάντες z. — εὐχαριστηρίοις ὕμνοις em. — τῷ θεῷ ὕμνους g. — 10 ἐν τῇ πόλει zA εἰς τὴν πόλιν Georg. urbem ingressi sunt A ἐν τῇ πόλει *om.* xy. — *Post* πόλει *codd. add.* Ἀράβων ἀρχηγὸς Μουάμεδ ἔτη θ'. ζ'. (ζ' *om.* cz). — 11 Ἀδεσῆρ g. — Ἀδεσήρ *post* μῆνας ζ' *inserit* y. — 12 χκ'] χρκ' h. — ϛρκ'. χκ'. ιθ'. κ'. α'. κ'. κ'. ι'. cem ϛρκ'. χριθ'. κα'. κ'. ι'. f. — 13 ἔαρι] ἱερεία em ἱερεῖσι f. — 16 Βενιαμήν ehm. — 20 ὁ δὲ εἶπεν *om.* y. — 22 Χριστιανοῦ ὄντος *om.* x. — 23 αὐτοὺς ὑποδεξαμένου e αὐτὸς ὑποδεξάμενος m. — 24 καὶ ἀποκαταστήσας—26 ἀπήλασεν] καὶ τοῦ πατριάρχου Ζαχαρίου τελευτήσαντος μετὰ τὸ ἐλθεῖν αὐτὸν ἐν Παλαιστίνῃ ἀπὸ αἰχμαλωσίας, τοῦ δὲ ἁγίου Μοδέστου καὶ ἀρχιμανδρίτου τῆς μονῆς τοῦ ἁγίου Θεοδοσίου, τοῦ κτίσαντος τὴν ἁγίαν Ἀναστασίαν (Ἀνάστασιν?) καὶ τὴν ἁγίαν Βηθλεὲμ ὡς ἐμπρισθέντα ἀπὸ τῶν Περσῶν. τότε οὖν χειροτονεῖ ὁ βασιλεὺς τὸν ἅγιον Μωδέστον (sic) πατριάρχην, ἀπήλασε δέ em. — 27 αὐτοὺς μὴ ἔχειν h. — μιλίων hx. — τῇ ἁγίᾳ πόλει Taf. — 28 Αἴδεσαν dh.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δόξοις ὑπὸ Νεστοριανῶν κατεχομένην ἀπὸ Χοσρόου. καὶ ἐλθὼν εἰς Ἱεράπολιν ἤκουσεν, ὅτι Σιρόης τέθνηκεν, ὁ τῶν Περσῶν βασιλεύς, Ἀδεσὴρ δέ, ὁ τούτου υἱός, τὴν βασιλείαν τῶν Περσῶν παρέλαβεν. τούτου δὲ μῆνας ζ' κρατήσαντος τῆς ἀρχῆς ἐπανέστη αὐτῷ Σαρβαραζᾶς, καὶ τοῦτον πατάξας ἐβασίλευσε τῶν Περσῶν μῆνας β'. τοῦτον δὲ ἀνελόντες οἱ Πέρσαι Βοράνην κατεστήσαντο εἰς βασιλέα, τὴν θυγατέρα Χοσρόου, ἥτις ἐκράτησε τῆς βασιλείας τῶν Περσῶν μῆνας ζ'. ταύτην δὲ διεδέξατο Ὁρμίσδας ὑπὸ τῶν Σαρακηνῶν διωχθείς, καὶ γέγονεν ἡ βασιλεία τῶν Περσῶν ὑπὸ τοὺς Ἄραβας μέχρι τῆς σήμερον.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Περσῶν	A. M. 6021 628/9
ἔτη	σαρκώσεως	βασιλεὺς	βασιλεὺς	629/30
ϛρκά.	ἔτη χκά.	Ἡράκλειος	Ὁρμίσδας	
		ἔτη λά.	ἔτη ια'.	
		κ'.	α'.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Σέργιος	Ζαχαρίας	Γεώργιος
ἔτη κθ'.	ἔτη κβ'.	ἔτη ιδ'.
κα'.	κα'.	ια'.

Τούτῳ τῷ ἔτει τοῦ βασιλέως Ἡρακλείου ὄντος ἐν Ἱεραπόλει, 506 B 274 P ἦλθε πρὸς αὐτὸν Ἀθανάσιος, ὁ πατριάρχης τῶν Ἰακωβιτῶν, δεινὸς ἀνὴρ καὶ κακοῦργος τῇ τῶν Σύρων ἐμφύτῳ πανουργίᾳ, καὶ κινήσας πρὸς τὸν βασιλέα περὶ πίστεως λόγους ὑπισχνεῖτο αὐτῷ Ἡράκλειος, εἰ τὴν ἐν Χαλκηδόνι σύνοδον ἀποδέξηται, πατριάρχην αὐτὸν ποιεῖν Ἀντιοχείας. ὁ δὲ ὑποκριθεὶς ἐδέξατο τὴν σύνοδον ὁμολογήσας τὰς δύο ἐν Χριστῷ ἡνωμένας φύσεις· ἠρώτησέ τε τὸν βασιλέα περὶ τῆς ἐνεργείας καὶ τῶν θελημάτων, τὸ πῶς δεῖ ταῦτα λέγειν ἐν Χριστῷ, διπλᾶ ἢ μοναδικά; ὁ δὲ βασιλεὺς ξενοφωνηθεὶς γράφει πρὸς Σέργιον, τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον, προσκαλεῖται δὲ καὶ Κῦρον, τὸν Φάσιδος ἐπίσκοπον, καὶ τοῦτον ἐρωτήσας εὗρεν αὐτὸν συμφωνοῦντα τῷ Σεργίῳ εἰς τὸ ἓν θέλημα καὶ τὴν μίαν ἐνέργειαν. Σέργιος

---

2 ὅτι ὁ Σ. c. — Σιρώης hy Σειρόης c. — 4 Σαρβαράξας dem Σαρβαραζας *sine acc.* c Σαρβαράξας f. — 6 Βορανήν d. — 7 τὴν βασιλείαν z. — τῶν *om.* g. — τῶν Περσῶν *om.* em. — 8 δὲ *om.* g. — Ὁρμίσδας em *sine spir.* c. — ὁ ὑπό dh. — 9 ἡ τῶν Περσῶν βασιλεία x. — μέχρι τὴν σήμ. f μέχρι τοῦ νῦν d. — 10 *Post* σήμερον cz *add.*: Ἀράβων ἀρχηγὸς Μουάμεδ ἔτη Θ'. *Eadem* f *post v.* 20 *om.* em. — 15^{a} κα' em. — 20^{a} ιδ' em. — 22 Ἰακωβητῶν df Ἰακοβιτῶν h. — 23 ἐμφύτων f. — 24 λόγον x λόγου f. — 25 ἀποδέξεται g. — 28 δεῖ] δή y. — ταύτας cy. — 29 διπλᾶ ἡμῶν ἀδικᾶ g. — 30 τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον x Constantinopoleos episcopo A τὸν ἐπίσκοπον Κωνστ. h Κωνσταντινουπόλεως (*om.* τὸν ἐπίσκοπον) g τὸν πατριάρχην Κωνστ. y. — Κῦρον ef. — 31 τὸν τοῦ Φ. z. — Φασίδος dh *sine acc.* c. — αὐτῷ em αὐτόν *sed* όν *sec. m. in lit.* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γάρ, ἅτε Συρογενὴς καὶ γονέων Ἰακωβιτῶν ὑπάρχων, μίαν φυσικὴν θέλησιν καὶ μίαν ἐνέργειαν ἐν Χριστῷ ὡμολόγησε καὶ ἔγραψεν. ὁ δὲ βασιλεὺς ἀμφοτέρων στοιχήσας τὴν βουλὴν εὗρε καὶ τὸν Ἀθα-
507 B νάσιον συμφωνοῦντα αὐτοῖς. ἐγίνωσκε γάρ, ὅτι, ἔνθα μία ἐνέργεια εὕρηται, ἐκεῖ καὶ μία φύσις γνωρίζεται. βεβαιωθεὶς δὲ ὁ βασιλεὺς ἐν τούτῳ γράφει πρὸς Ἰωάννην, τὸν πάπαν Ῥώμης, ἀμφοτέρων τὴν γνώμην· ὁ δὲ οὐ κατεδέξατο αὐτῶν τὴν αἵρεσιν. Γεωργίου δὲ τοῦ Ἀλεξανδρείας τελευτήσαντος, ἀποστέλλεται Κῦρος ἐπίσκοπος Ἀλεξανδρείας, καὶ ἐνωθεὶς Θεοδώρῳ, τῷ ἐπισκόπῳ τῆς Φαράν, ἐποίησε τὴν ὑδροβαφῆ ἐκείνην ἕνωσιν, μίαν καὶ αὐτοὶ γράψαντες ἐν Χριστῷ φυσικὴν ἐνέργειαν. τούτων δὲ οὕτω παρακολουθησάντων, εἰς μέγα ὄνειδος ἡ σύνοδος Χαλκηδόνος καὶ ἡ καθολικὴ περιέπεσεν ἐκκλησία. κατεκαυχῶντο γὰρ οἱ Ἰακωβῖται καὶ οἱ Θεοδοσιανοὶ φάσκοντες, ὅτι "οὐχ ἡμεῖς τῇ Χαλκηδόνι, ἀλλ' ἡ Χαλκηδὼν μᾶλλον ἡμῖν ἐκοινώνησεν, διὰ τῆς μιᾶς ἐνεργείας μίαν ὁμολογήσασα φύσιν Χριστοῦ." ἐν τούτοις Σωφρόνιος χειροτονεῖται ἐπίσκοπος Ἱεροσολύμων, καὶ συναθροίσας τοὺς ὑπ' αὐτὸν ἐπισκόπους τὸ μονοθέλητον δόγμα ἀνεθεμάτισε καὶ συνοδικὰ Σεργίῳ τῷ Κωνσταντινουπόλεως καὶ Ἰωάννῃ τῷ Ῥώμης ἀπέστειλεν. ἀκούσας δὲ ταῦτα Ἡράκλειος ἠσχύνθη, καὶ
275 P καταλύσαι μὲν τὰ οἰκεῖα οὐκ ἠθέλησεν, καὶ πάλιν τὸν ὀνειδισμὸν οὐχ ὑπέφερεν. τότε δή, ὡς μέγα τι νομίζων ποιεῖν, ἐκτίθεται τὸ λεγόμενον ἴδικτον, περιέχον μήτε μίαν, μήτε δύο ὁμολογεῖν ἐνερ-
508 B γείας ἐν Χριστῷ, ὅπερ ἀναγνόντες οἱ τὰ Σευήρου φρονοῦντες ἐπὶ καπηλείων καὶ βαλανείων διέσυραν τὴν καθολικὴν ἐκκλησίαν, λέγοντες· "πρώην μὲν τὰ Νεστορίου φρονοῦντες οἱ Χαλκηδονῖται ἀνένηψαν ἐπιστρέψαντες εἰς τὴν ἀλήθειαν, ἑνωθέντες ἡμῖν διὰ τῆς μιᾶς ἐνεργείας εἰς τὴν μίαν τοῦ Χριστοῦ φύσιν. νῦν δὲ καταγνόντες τοῦ καλῶς ἔχοντος ἀπώλεσαν ἀμφότερα, μήτε μίαν, μήτε δύο ἐν Χριστῷ ὁμολογοῦντες." μετὰ δὲ τὴν τελευτὴν Σεργίου Πύρρος τὸν θρόνον Κωνσταντινουπόλεως διεδέξατο, ὅς τις τὰ δογματισθέντα ὑπὸ Σερ-
γίου καὶ Κύρου ἀσεβῶς ἐκράτυνεν. τοῦ δὲ Ἡρακλείου τελευτήσαν-

---

2 ὁμολόγησεν cf. — καὶ ἔγραψεν om. x rescripsit atque confessus est A. — 3 τῇ βουλῇ Taf. — 4 ἐγίνωσκον (-σκων e) y. — 5 εὕρηται A Taf. εἵρηται codd. — 6 πάππα g. — ἀμφ. γὰρ τήν m. — 8 Κύρος codd. praeter c. — 9 Φαράν ch Φαρᾶν rell. — 10 ὑδροφῆκιν (sic) h decoloratam hydram A. — 12 ἐκκλησία περιέπεσεν g. — 13 οἱ ante Ἰακ. om. fhx οἰακωβιται sed o postea addita e. — 14 μᾶλλον zA om. xy. — ἐκοινώνωσε em. — 15 ὁμολογήσας y. — 16 Σοφρόνιος h. — 17 ὑπ' αὐτῶν hy ὑπ' αὐτῷ g. — μονοθελητόν g. — 22 ἔδικτον Classen. — περιέχων chy. — 22 μήτε δύο—23 Χριστῷ om. y. — 22. 23 ἐνεργείας ὁμολογεῖν z. — 23 Σεβήρου em. — 24 καπηλίων dy. — 25 μὲν τά] μετά f. — 26 ἐπιτρέψαντες g. — 27 δέ] τε c. — 29 Πύρος z Πύ ρος c. — 30 Σεργίου] Σευήρου y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τος, καὶ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου βασιλεύσαντος, Πύρρος σὺν τῇ Μαρτίνῃ φαρμάκῳ τοῦτον ἀνεῖλεν, καὶ βασιλεύει Ἡρακλωνᾶς, ὁ τῆς Μαρτίνης υἱός. ἡ δὲ σύγκλητος καὶ ἡ πόλις Πύρρου ὡς ἀσεβῆ σὺν τῇ Μαρτίνῃ καὶ τῷ υἱῷ αὐτῆς ἐξέωσαν· καὶ βασιλεύει Κώνστας, ὁ Κωνσταντίνου υἱός, καὶ χειροτονεῖται Παῦλος ἐπίσκοπος Κωνσταντινουπόλεως, καὶ αὐτὸς αἱρετικός. Ἰωάννης δέ, ὁ Ῥώμης ἐπίσκοπος, συναθροίσας σύνοδον ἐπισκόπων τὴν τῶν Μονοθελητῶν αἵρεσιν ἀνεθεμάτισεν. ὁμοίως καὶ ἐν Ἀφρικῇ καὶ Βυζακίῳ καὶ Νουμιδίᾳ καὶ Μαυριτανίᾳ διάφοροι ἐπίσκοποι συναθροισθέντες τοὺς Μονοφυσίτας ἀνεθεμάτισαν. Ἰωάννου δὲ τοῦ Ῥώμης κοιμηθέντος, 509 B Θεόδωρος χειροτονεῖται πάπας ἀντ' αὐτοῦ. Πύρρος δὲ τὴν Ἀφρικὴν καταλαβὼν συνοψίζεται τῷ ἁγιωτάτῳ ἀββᾷ Μαξίμῳ, τῷ αἰδεσίμῳ ἐν μοναχικοῖς κατορθώμασιν, καὶ τοῖς ἐκεῖσε ἐνθέοις ἱεράρχαις, οἵτινες τοῦτον ἐλέγξαντες καὶ πείσαντες πρὸς τὸν πάπαν Θεόδωρον ἀπέστειλαν ἐν Ῥώμῃ. καὶ λίβελλον ὀρθοδοξίας ἐπιδεδωκὼς τῷ πάπᾳ ἐδέχθη ὑπ' αὐτοῦ. τῆς δὲ Ῥώμης ὑποχωρήσας καὶ ἐν Ῥαβέννῃ ἐλθὼν ὡς κύων ἐπὶ τὸ ἴδιον ἐξέραμα ἐπέστρεψεν. τοῦτο δὲ μαθὼν ὁ πάπας Θεόδωρος τὸ πλήρωμα τῆς ἐκκλησίας συγκαλέσας καὶ τὸν τάφον τοῦ κορυφαίου τῶν ἀποστόλων καταλαβών, αἰτήσας τὸ θεῖον ποτήριον, ἐκ τοῦ ζωοποιοῦ αἵματος τοῦ Χριστοῦ τῷ μέλανι ἐπιστάξας οἰκείᾳ χειρὶ τὴν καθαίρεσιν Πύρρου καὶ τῶν κοινωνούντων αὐτῷ ποιεῖται. Πύρρου δὲ τὴν Κωνσταντινούπολιν καταλαβόντος, καὶ Παύλου ἀποθανόντος, οἱ τολμηροὶ ἑτερόδοξοι τὸν Πύρρον πάλιν τῷ θρόνῳ Κωνσταντινουπόλεως ἐγκατέστησαν. Θεοδώρου δὲ τοῦ πάπα τελευ- 276 P τήσαντος, Μαρτῖνος ὁ ἁγιώτατος χειροτονεῖται ἐν Ῥώμῃ. καταλαβόντος δὲ καὶ Μαξίμου ἀπὸ Ἀφρικῆς ἐν Ῥώμῃ καὶ τὸν πάπαν Μαρτῖνον πρὸς ζῆλον ἐξάψαντος, σύνοδον ρν' ἐπισκόπων συναθροίσαντες Σέργιον καὶ Πύρρον, Κῦρον καὶ Παῦλον ἀνεθεμάτισαν, τὰς 510 B δὲ δύο θελήσεις καὶ ἐνεργείας Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἐτράνωσαν

---

1 *Πύρος* gx. — 2 *Ἡρακλωνάς* m *Ἡρακλονάς* h. — 3 *Πύρον* x *Πῦρρον* g. — 5 *Κωνσταντίνου — ἐπίσκοπος om.* f. — 7 *ante ἐπισκόπων numerus intercidisse videtur.* — 8 *ἐν Βυζακίῳ* y. — *ἐν Νουμ.* x. — *Νουμηδίᾳ codd.* — 10 *Μονοφυσιτάς* z. — 11 *πάππας duplici π scriptum* g *ubique fere in sqq.* — *Πύρος* hx. — 12 *συνοψ. τὸν ἁγιώτατον ἀββᾶν* (*ἀββάν* em) *Μάξιμον τὸν αἰδέσιμον* (*αἰδέσινον* e *αἴδεσινόν* c *αἰδεσηνόν* d) *codd. cf. p.* 571, 4; 673, 8 Bonn. — 13 *ἐν μοναχοῖς κατ.* cy. — *ἐνθέοις*] *ὁσίοις* x. — *συνίσταται post ἱεράρχαις add.* Taf. — 15 *λίβελον* dh. — *ἐπιδεδωκὼς ὀρθοδοξίας* y. — 16 *τῆς Ῥώμης δέ* z. — *Ῥαβέννῃ* df. — 17 *ἐξέρευμα* g *ἐξέρυμα* c *ξέραμα* y. — *ὑπέστρεψεν* z *ἐχώρησεν* x. — *Θεόδωρος ὁ πάπας* x. — 18 *συναθροίσας* d. — 19 *τῶν ἀποστόλων* hA *ἀποστόλου* x *ἀποστόλου Πέτρου* y *om.* g. — 20 *τῷ μέλανι om.* x. — *στάξας* m. — 21 *Πύρου* x *item v.* 22. — 23 *Πύρον* x *τὸν Πύρρον om.* m. — 23. 24 *ἕτερ. τῷ θρόνῳ πάλιν Κωνστ. Πύρρον* (*om. τὸν*) *ἐγκ.* z. — 26 *τὸν πάπαν om.* x. — 27 *συναθροισθέντες* h. — 28 *Πύρον* x. — *Κῦρόν τε* Taf. *καὶ Κ.* h et Cyrum et A. — *Κύρον* dfg *Κύρρον* h. — 29 *ἡμῶν om.* x. — 29 *sq. ἕτερ. καὶ ἐκήρυξαν. τῷ δὲ Θ'* cy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐκήρυξαν τῷ θ' ἔτει τῆς βασιλείας Κώνσταντος, ἔγγονος Ἡρακλείου, ἰνδικτιῶνι η'. ὅς τις μαθὼν καὶ θυμοῦ πλησθεὶς τόν τε ἅγιον Μαρτῖνον καὶ Μάξιμον ἐνέγκας ἐν Κωνσταντινουπόλει καὶ βασανίσας ἐξορίᾳ παρέπεμψεν ἐν Χερσῶνι καὶ τοῖς κλίμασιν· πολλοὺς δὲ καὶ τῶν ἑσπερίων ἐπισκόπους ἐτιμωρήσατο. μετὰ δὲ τὴν ἐξορίαν Μαρτίνου Ἀγάθων χειροτονεῖται πάπας Ῥώμης, ὅς τις κινηθεὶς ζήλῳ θεοῦ, σύνοδον ἱερὰν καὶ αὐτὸς συναθροίσας τὴν τῶν Μονοθελητῶν αἵρεσιν ἀπεκήρυξεν, τὰς δύο θελήσεις καὶ ἐνεργείας τρανώσας. οὕτω δὲ τῆς ἐκκλησίας τότε ὑπό τε τῶν βασιλέων καὶ τῶν δυσσεβῶν ἱερέων ταραττομένης, ἀνέστη ὁ ἐρημικώτατος Ἀμαλὴκ τύπτων ἡμᾶς τὸν λαὸν τοῦ Χριστοῦ, καὶ γίνεται πρώτη φοβερὰ πτῶσις τοῦ Ῥωμαϊκοῦ στρατοῦ, ἡ κατὰ τὸν Γαβιθᾶν λέγω καὶ Ἱερμουχὰν καὶ τὴν Δάθεσμον αἱμοχυσία· μεθ' ἣν αἱ Παλαιστινῶν καὶ Καισαρέων καὶ Ἱεροσολύμων ἁλώσεις, εἶτα ὁ Αἰγύπτιος ὄλεθρος, καὶ καθεξῆς ἡ τῶν
511 B μεσογείων καὶ νήσων καὶ πάσης Ῥωμανίας αἰχμαλωσία, καὶ ἡ ἐν Φοίνικι παντελὴς τοῦ Ῥωμαϊκοῦ στρατοῦ τε καὶ στόλου ἀπώλεια, καὶ πάντων τῶν χριστιανικῶν λαῶν καὶ τόπων ἐρήμωσις, ἥτις οὐκ ἐπαύσατο, ἄχρις ἂν ὁ τῆς ἐκκλησίας διώκτης ἐν Σικελίᾳ κακῶς ἀνηρέθη.

629/30. A. M. 6122

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς
,ϛρκβ'.	ἔτη χκβ'.	Ἡράκλειος	Μουάμεδ
		ἔτη λα'.	ἔτη θ'.
		κα'.	θ'.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Σέργιος	Ζαχαρίας	Γεώργιος
ἔτη κθ'.	ἔτη κβ'.	ἔτη ιδ'.
κβ'.	κβ'.	ιβ'.

---

1 τοῦ ἔγγονος z. — ἐγγόνου d. — 2 ὃ ἰν *codd.* — 3 ἁγιώτατον ch. — 4 ἐξορίᾳ g ἐν ἐξορίᾳ (-αις m) *rell.* — ἐν *X.* καὶ τοῖς κλ. z ἐν *X.* τοῖς κλ. y ἐν Χερσωνικοῖς κλ. x ἔν τε *X.* καὶ τοῖς *Κλ.* Taf. — κλήμασιν dhy. — καὶ *om.* h. — 5 ἐπισκόπων z. — 7 ἀθροίσας z. — 8 τὰς δὲ δύο f. — 9 τε *om.* g. — 10 ἐρημικός xz Taf. — 11 φοβερά A καὶ φοβερά Taf. φορᾶ cf φορά demz. — 12 Γαβιθᾶν g Γαβιθάν ch Γαβιθά dy Gabathan A Γαβηθᾶ Taf. — Ἱερμουχάμ z Ἱερμουθάν d Ἱερμου θάν c Ἱερμουχάν Taf. Ἑρμουχάν emA Ἑρμουχθάν f. — 13 δάθεσμον em *ἄθεσμον f ἄθεσμον xz Dathemitarum (δαθεμιτῶν) A Δαθεμάν Taf. — αἱματοχυσία Taf. αἱματοχυσίαν z αἱμοχυσίαν xy. — 15 μεσογείων, ποταμίων καὶ νήσων x. — αἰχμαλωσίαν ef. — 15. 16 ἐν Φοίνικι *scr. e coni. coll. p.* 345, 28 ἐν Φοινίκη *codd.* A. — 16 παντελής zA *om.* xy. — 17 χριστιανῶν h. — ἐρημώσεις gy. — 18 καθώς h. — 19 ἀνηρέθη ἐν τῷ βαλανείῳ τῆς Δάφνης z. — Περσῶν βασιλεὺς Ὁρμίσδας (Ὁρμ. ce) ἔτη ια' *add.* cehm. — 20 Ῥώμης ἐπίσκοπος Ἰωάννης *inter Arabum principem et episc. Constant. inserunt codd.* — Ἀντιοχείας ἐπίσκοπος Γεώργιος ἔτη ια' α' (α' *om.* f) *iuxta Alexandrinum episcopum add.* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τούτῳ τῷ ἔτει ἀπεβίω Μουάμεδ, ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς καὶ ψευδοπροφήτης, προχειρισάμενος Ἀβουβάχαρον συγγενῆ αὐτοῦ ⟨εἰς τὴν ἀρχὴν αὐτοῦ. καὶ τῷ αὐτῷ χρόνῳ ἦλθεν ἡ ἀκοὴ αὐτοῦ⟩ καὶ πάντες ἐφοβήθησαν. οἱ δὲ πεπλανημένοι Ἑβραῖοι ἐν ἀρχῇ τῆς παρουσίας αὐτοῦ ἐνόμισαν εἶναι αὐτὸν τὸν παρ' αὐτοῖς προσδοκώμενον Χριστόν, ὡς καί τινας τῶν προυχόντων αὐτῶν προσελθεῖν αὐτῷ καὶ δέξασθαι τὴν αὐτοῦ θρησκείαν καὶ ἀφῆσαι τὴν τοῦ θεόπτου Μωσέως. ἦσαν δὲ τὸν ἀριθμὸν δέκα οἱ τοῦτο πεποιηκότες, καὶ σὺν αὐτῷ διῆγον ἄχρι τῆς σφαγῆς αὐτοῦ. θεωρήσαντες δὲ αὐτὸν 277 P
ἐσθίοντα ἀπὸ καμήλου ἔγνωσαν, ὅτι οὐκ ἔστιν αὐτός, ὃν ἐνόμισαν, καὶ ἠπόρουν τί πρᾶξαι, καὶ ἀφῆσαι αὐτοῦ τὴν θρησκείαν δειλιῶντες οἱ τάλανες ἐδίδασκον αὐτὸν ἀθέμιτα καθ' ἡμῶν τῶν Χριστιανῶν· καὶ διῆγον σὺν αὐτῷ. ἀναγκαῖον δὲ ἡγοῦμαι διηγήσασθαι περὶ τῆς τούτου γενεᾶς· οὗτος ⟨ἐκ⟩ μιᾶς γενικωτάτης φυλῆς κατήγετο ἐξ 512 B
Ἰσμαήλ, υἱοῦ Ἀβραάμ. Νίζαρος γάρ, ὁ τοῦ Ἰσμαὴλ ἀπόγονος, πατὴρ πάντων αὐτῶν ἀναγορεύεται. οὗτος γεννᾷ υἱοὺς δύο, Μούδαρον καὶ Ῥαβίαν. Μούδαρος γεννᾷ Κούρασον καὶ Κάϊσον καὶ Θεμίμην καὶ Ἄσαδον καὶ ἄλλους ἀγνώστους. οὗτοι πάντες ᾤκουν τὴν Μαδιανῖτιν ἔρημον καὶ ἐν αὐτῇ ἐκτηνοτρόφουν ἐν σκηναῖς κατοικοῦντες. εἰσὶ δὲ καὶ ἐνδότεροι τούτων μὴ ὄντες τῆς φυλῆς αὐτῶν, ἀλλὰ τοῦ Ἰεκτάν, οἱ λεγόμενοι Ἀμανῖται, τοῦτ' ἔστιν Ὁμηρῖται. ἐπραγματεύοντο δέ τινες αὐτῶν ἐν ταῖς καμήλοις αὐτῶν. ἀπόρου δὲ καὶ ὀρφανοῦ ὄντος τοῦ προειρημένου Μουάμεδ, ἔδοξεν αὐτῷ εἰσιέναι πρός τινα γυναῖκα πλουσίαν, συγγενῆ αὐτοῦ οὖσαν, ὀνόματι Χαδίγαν, μίσθιον ἐπὶ τῷ καμηλεύειν καὶ πραγματεύεσθαι ἐν Αἰγύπτῳ καὶ

---

1 *Μωαμέδ* Taf. *ubique.* — *ὁ τῶν Σαρακηνῶν καὶ Ἀράβων ἀρχηγός* Taf. — 2 *Ἀβουμάχαρ* g *τὸν Βουβέκερ* em. — *τὸν συγγενῆ* x. — 3 *εἰς τὴν ἀρχὴν — ἡ ἀκοὴ αὐτοῦ add. ex* A *paulo aliter ac* Taf. *om. codd.* — 4 *ἐν τῇ ἀρχῇ* g. — 5 *προσδοκόμενον* m *προσδωκόμενον* ef *προσδοκούμενον* h. — 6 *τινες* cefg. — *προσχόντων αὐτῶν* y *προσχόντων αὐτῷ* hA. — 7 *τὴν θρησκείαν αὐτοῦ* x. — *ἀφεῖσαι* dh *ἀφεῖναι* c. — 8 *Μωσέως* x Const. Porph. de adm. imp. cp. 17 *Μωσῆ* h *Μωϋσέως* y *Μωϋσῆ* g Mosis A. — *τῶν ἀριθμῶν* efh *τῷ ἀριθμῷ* g. — 9 *φαγῆς* ef. — 10 *αὐτὸς om.* f. — 11 *ἀφεῖναι* x. — 12 *ἐδίδασκον* e *ἐκδίδασκον* f *διδάσκονται* gA *διδάσκοντες* h. — *αὐτὸν om.* x. — 13 *ἡγοῦμαι διηγήσασθαι* zA *ἡγοῦμαι (om. διηγήσασθαι)* y *εἰπεῖν (om. ἡγοῦμαι)* x. — 14 *γενεᾶς οὕτως· μιᾶς* hA. — *ἐκ add. e* Georg. Mon. p. 591; *cf. p.* 200, 16; 218, 31 *et* 600, 5 Bonn.; 619, 13 Bonn. — *γεννικωτάτης* g. — 15 *υἱοῦ — Ἰσμαήλ om.* h. — *Νήζαρος* xy. — 16 *Μούδαρον* Georg. A *Μούνδαρον codd.* — 17 *Ῥαβίαν* A Taf. Georg. *Ἀραβίαν* xy *Ἀράβιαν* z. — *Μούδαρος* Georg. Mudarum A *Μούνδαρος codd.* — *Κουράσον* ef *sine acc.* c *Κούσαρον* Georg. — Kaïson A *Κάϊτον* Georg. *Ἴσον* (*Ἰσον* h) *codd.* — *Τεμίμην* em. — 18 *Μαδιανίτην* dgy *Μαδιανίτης* h. — 20 *τούτων* Georg. his A *αὐτῶν codd.* — *ὄντες ἐκ τῆς* m. — 21 *Ὁμηρῖται τοῦτ' ἔστιν Ἀμανῖται* Georg. — 23 *αὐτόν* g. — *εἰσελθεῖν* z. — 24 *οὖσῃ* z. — *Χαδίγαν*] Chadigan A *Χαδίγα* z *Χαδιγᾶ* f *Χαδιγέ* m *Χαδιγα sine acc.* e *Χαδίχα* x. — 25 *μίσθιον* y *μισθωτόν* xz. — *τῷ* Taf. *τό codd.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Παλαιστίνῃ. κατ' ὀλίγον δὲ παρρησιασάμενος ὑπεισῆλθε τῇ γυναικὶ
χήρᾳ οὔσῃ, καὶ ἔλαβεν αὐτὴν γυναῖκα καὶ ἔσχε τὰς καμήλους αὐτῆς
καὶ τὴν ὕπαρξιν. ἐρχόμενος δὲ ἐν Παλαιστίνῃ συνανεστρέφετο Ἰου-
δαίοις τε καὶ Χριστιανοῖς. ἐθηρᾶτο δὲ παρ' αὐτῶν τινὰ γραφικά,
513 B *καὶ ἔσχε τὸ πάθος τῆς ἐπιληψίας. καὶ νοήσασα ἡ τούτου γυνὴ* 5
σφόδρα ἐλυπεῖτο, ὡς εὐγενὴς οὖσα καὶ τῷ τοιούτῳ συναφθεῖσα, οὐ
μόνον ἀπόρῳ ὄντι, ἀλλὰ καὶ ἐπιληπτικῷ. τροποῦται δὲ αὐτὸς θερα-
πεῦσαι αὐτὴν οὕτω λέγων, ὅτι "ὀπτασίαν τινὰ ἀγγέλου λεγομένου
Γαβριὴλ θεωρῶ, καὶ μὴ ὑποφέρων τὴν τούτου θέαν ὀλιγωρῶ καὶ
πίπτω." αὕτη δὲ ἔχουσα μοναχόν τινα διὰ κακοπιστίαν ἐξόριστον 10
ἐκεῖσε οἰκοῦντα, φίλον αὐτῆς, ἀνήγγειλεν αὐτῷ πάντα καὶ τὸ ὄνομα
τοῦ ἀγγέλου. κἀκεῖνος θέλων πληροφορῆσαι αὐτὴν εἶπεν αὐτῇ ὅτι
"ἀλήθειαν εἴρηκεν· καὶ γὰρ οὗτος ὁ ἄγγελος ἐκπέμπεται πρὸς πάν-
τας προφήτας." αὕτη δὲ πρώτη δεξαμένη τὸν λόγον τοῦ ψευδαββᾶ
ἐπίστευσεν αὐτῷ, καὶ ἐκήρυξεν ἄλλαις γυναιξὶν ὁμοφύλοις αὐτῆς 15
προφήτην αὐτὸν εἶναι. καὶ οὕτως ἐκ γυναικῶν ⟨ἡ φήμη⟩ ἦλθεν
278 P *εἰς ἄνδρας, πρῶτον Ἀβουβάχαρον, ὃν καὶ διάδοχον κατέλιπεν. καὶ*
ἐκράτησεν ἡ αἵρεσις αὐτοῦ τὰ μέρη τῆς Ἐθρίβου διὰ πολέμου τὸ
ἔσχατον· πρώην μὲν κρυπτῶς ἔτη δέκα, καὶ διὰ πολέμου ὁμοίως
δέκα, καὶ φανερῶς ἐννέα. ἐδίδαξε δὲ τοὺς ἑαυτοῦ ὑπηκόους, ὅτι 20
ὁ ἀποκτέννων ἐχθρόν, ἢ ὑπὸ ἐχθροῦ ἀποκτεννόμενος εἰς παρά-
514 B *δεισον εἰσέρχεται. τὸν δὲ παράδεισον σαρκικῆς βρώσεως καὶ πόσεως*
καὶ μίξεως γυναικῶν ἔλεγεν· ποταμόν τε οἴνου καὶ μέλιτος καὶ
γάλακτος, καὶ γυναικῶν οὐ τῶν παρουσῶν, ἀλλ' ἄλλων, καὶ τὴν
μίξιν πολυχρόνιον εἶναι, καὶ διαρκῆ τὴν ἡδονήν· καὶ ἄλλα τινὰ 25
ἀσωτίας καὶ μωρίας μεστά· συμπαθεῖν δὲ ἀλλήλοις, καὶ βοηθεῖν
ἀδικουμένοις.

---

1 ὑπῆλθε Georg. — 2 χῆρα οὖσα em. — 3, 4 Ἰουδ. τε καί z Georg. τε om. xy. — 5 καὶ ἔσχε δέ Taf. εἶχε δέ Georg. — ἔσχε δὲ πάθος ἐπιληψίας z. — νοήσασα] νοήσαντος αὐτοῦ x. — 8 λεγόμενον em. — 9. 10 πίπτω καὶ ὀλιγωρῶ c. — 10 αὐτή z. — μοναχόν cem Georg. Zon. XIV, 17 μοιχόν dfzA. — 11 φίλον αὐτῆς om. z. — 14 αὐτή h αὐτῇ g αὕτη ef αὐτη sine spir. d αυτη sine acc. et spir. c. — ψευδαββά e ψευδαβά m ψευδοαββᾶ d. — ὀνόματι Σέργιον κακόδοξον post ψευδ. add. em Σεργίου ὀνόματι κακοδόξου Taf. — 15 ἐκήρυξε καὶ ἄλλαις Taf. — ὁμοφύλαις d. — 16 καὶ om. c. — οὕτος y. — 16. 17 ἦλθεν ὁ λόγος καὶ εἰς Taf. fama venit ad A ἦλθε καὶ εἰς g ἦλθεν εἰς rell. — 17 καὶ πρῶτον d πρῶτον μέν Taf. — εἰς Βουβέκερ em εἰς Ἀβουβάχαρον Taf. — ὃν om. f. — 18 Αἰθρίβου g Ἐνθρίβου f. — διὰ πολέμου τὸ ἔσχατον om. d τὸ δὲ ἔσχατον διὰ πολέμου Taf. — 19. 20 καὶ διὰ πόλ. τὸ ἔσχατον ὁμοίως ἔτη δέκα d. — 21 ἀποκτέννων dz ἀποκτέννον corr. ex ἀποκτένον e. — ὑπό z ἀπό xy. — ἀποκτενόμενος dg ἀποκταινόμενος h et f sed ai sec. m. in lit. — 22 πόσεως καὶ βρώσεως x. — 23 τε] δέ h. — 24 παρόντων yz. — 25 καὶ διαρτὴν ἡδ. f. — 26 ἀσωτείας hy. — μωρίας. μετασυμπαθεῖν y μωρίας κατασυμπαθεῖν c μωρίας μεστά. κατασυμπαθεῖν d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐν αὐτῷ δὲ τῷ ἔτει, ἰνδικτιῶνος δ', μηνὶ Νοεμβρίῳ ζ', ἐγεννήθη Ἡρακλείῳ ἐν τῇ ἀνατολῇ Δαβίδ, ὁ υἱὸς αὐτοῦ· τῇ αὐτῇ ἡμέρᾳ καὶ Ἡράκλειος ἐτέχθη, υἱὸς Ἡρακλείου τοῦ μικροῦ τοῦ καὶ Κωνσταντίνου, υἱοῦ Ἡρακλείου τοῦ μεγάλου. καὶ ἐβαπτίσθη ἐν Βλαχέρναις ὑπὸ Σεργίου πατριάρχου τῇ ε' ἰνδικτιῶνι μηνὶ Νοεμβρίῳ γ'.

Ἀράβων ἀρχηγὸς Ἀβουβάχαρος ἔτη γ'. A. M. 6123 630/31
Ἱεροσολύμων ἐπίσκοπος Μόδεστος ἔτη β'. 631/2
ϛρκγ'. χκγ'. κβ'. α'. κγ'. α'. ιγ'.

Τούτῳ τῷ ἔτει ἐπανέστησαν Πέρσαι κατ' ἀλλήλων καὶ ἐπολέμησαν ἑαυτούς. ἐν αὐτῷ δὲ τῷ καιρῷ ὁ βασιλεὺς τῶν Ἰνδῶν πέμπει συγχαρίκια τῷ Ἡρακλείῳ ἐπὶ τῇ τῶν Περσῶν νίκῃ, μαργαρίτας καὶ λίθους τιμίους ἱκανούς. ἦν δὲ προτελευτήσας ὁ Μουάμεδ, ὃς ἦν στήσας τέσσαρας ἀμηραίους τοῦ πολεμεῖν τοὺς ἐξ Ἀράβων γένους Χριστιανούς· καὶ ἦλθον κατέναντι Μουχέων κώμης λεγομένης, ἐν 515 B
ᾗ ὑπῆρχε Θεόδωρος ὁ βικάριος, θέλοντες ἐπιρρίψαι κατὰ τῶν Ἀράβων τῇ ἡμέρᾳ τῆς εἰδωλοθυσίας αὐτῶν. μαθὼν δὲ τοῦτο ὁ βικάριος παρά τινος κορασηνοῦ, Κουταβᾶ λεγομένου καὶ μισθίου αὐτοῦ γενομένου, συνάγει πάντας τοὺς στρατιώτας τῶν παραφυλάκων τῆς ἐρήμου, καὶ ἀκριβωσάμενος παρὰ τοῦ Σαρακηνοῦ τὴν ἡμέραν καὶ τὴν ὥραν, ἐν ᾗ ἤμελλον ἐπιρρίπτειν αὐτοῖς, αὐτὸς ἐπιρρίψας αὐτοῖς ἐν χωρίῳ ἐπιλεγομένῳ Μόθους ἀποκτέννει τρεῖς ἀμηραίους καὶ τὸ πλῆθος τοῦ λαοῦ. ἐξῆλθε δὲ εἷς ἀμηρᾶς ὁ Χάλεδος, ὃν λέγουσι τὴν μάχαιραν τοῦ θεοῦ. ἦσαν δέ τινες τῶν πλησίον Ἀράβων λαμβάνοντες παρὰ τῶν βασιλέων ῥόγας μικρὰς πρὸς τὸ φυλάξαι τὰ στόμια τῆς ἐρή- 279 P
μου. ἐν αὐτῷ δὲ τῷ καιρῷ ἦλθέ τις εὐνοῦχος δίδων τὰς ῥόγας τῶν στρατιωτῶν, καὶ ἐλθόντες οἱ Ἄραβες κατὰ τὸ ἔθος λαβεῖν τὴν ῥόγαν αὐτῶν, ὁ εὐνοῦχος ἀπεδίωξεν αὐτούς, λέγων ὅτι "ὁ δεσπότης μόγις τοῖς στρατιώταις δίδωσι ῥόγας, πόσῳ μᾶλλον τοῖς κυσὶ τού-

---

1 δ ἰν *codd.* — 2 *Δανίδ* h δᾶδ d *om.* y. — *τῇ δ' αὐτῇ* Taf. — 5 *τοῦ πατριάρχου* h. — δ ἰν *codd. praeter* h. — 6 *Βουβέκερ* em. — 7 *Μώδεστος* h *Δόμεστος* f *Δομέστος* em. — 8 ϛρκγ'. χκγ'. κβ'. κβ'. α'. ιγ'. α'. cfm ϛρκγ'. χκγ'. κβ'. α'. β'. α'. ιγ'. α'. e. — 10 *ἑαυτοῖς* d. — 11 *συγχαρίκεια* y. — *τῶν om.* z. — 13 *τέσσαρεις* d *δ' cy.* — *ἀμηρέους* y *ὁμηρέους* x. — *τοῦ*] *τοῦτο* y. — 14 *ἦλθεν* xy. — *Μουχαίων* h. — *κώμης λεγομένης e coni.* Taf. *κώμη λεγομένη codd.* — 16 *βικάν* m. — 17 *κορασινοῦ* z *κορασίου* x *κουρασίου* y *cf. p.* 543, 22 Bonn. — *Κουτάβα* dy *Κουταβα sine acc.* c *Κουτουβᾶ* h. — *καὶ μ. αὐτ. γενομένου om.* g. — *μισθίου* h *μαρθίου* xy. — 18 *φυλάκων* g. — 19 *τὴν ὥραν καὶ τὴν ἡμέραν* xy. — 20 *ἤμελλον* z *ἔμελλεν* xz. — *αὐτοῖς post ἐπιρρίπτειν om.* xy. — 21 *Μοθούς* y *Μοθοῦς* z. — *ἀποκτέννη* cy *ἀποκτένει* d *ἀποκταίνει* h. — *ἀμηρέους* y *ὁμηρέους* x. — *τὸ πλῆθος τὸ τοῦ* h. — 22 *ἀμηρᾶς* def *sine acc.* h. — *τὴν om.* z. — 23 *πλησίων* hy. — 25 *διδών* x *διδῶν* y. — 27 *κατεδίωξεν* y. — 28 *τοὺς στρατιώτας* y. — *μᾶλλον*] *μεῖον* Taf. *ex Δ.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοις;" θλιβέντες οὖν οἱ Ἄραβες ἀπῆλθον πρὸς τοὺς ὁμοφύλους, καὶ αὐτοὶ ὡδήγησαν αὐτοὺς ἐπὶ τὴν χώραν Γάζης στομίου οὔσης τῆς ἐρήμου κατὰ τὸ Σιναῖον ὄρος πλουσίας σφόδρα.

631/2. A. M. 6124 516 B

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς
ϛρκδ΄.	ἔτη χκδ΄.	Ἡράκλειος	Ἀβουβάχαρος
		ἔτη λα΄.	ἔτη γ΄.
		κγ΄.	β΄.

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Σέργιος	Μόδεστος	Γεώργιος
ἔτη κθ΄.	ἔτη β΄.	ἔτη ιδ΄.
κδ΄.	β΄.	ιδ΄.

Τούτῳ τῷ ἔτει ἔπεμψεν Ἀβουβάχαρος στρατηγοὺς τέσσαρας, οἳ καὶ ὁδηγηθέντες, ὡς προέφην, ὑπὸ τῶν Ἀράβων ἦλθον καὶ ἔλαβον τὴν Ἥραν καὶ πᾶσαν τὴν χώραν Γάζης. μόγις δὲ ἐλθών ποτε ἀπὸ Καισαρείας Παλαιστίνης Σέργιος σὺν στρατιώταις ὀλίγοις καὶ συμβαλὼν πόλεμον κτείνεται πρῶτος σὺν τοῖς στρατιώταις τριακοσίοις οὖσιν. καὶ πολλοὺς αἰχμαλώτους λαβόντες καὶ λάφυρα πολλὰ ὑπέστρεψαν μετὰ λαμπρᾶς νίκης.

Αὐτῷ δὲ τῷ χρόνῳ σεισμὸς ἐγένετο κατὰ τὴν Παλαιστίνην· καὶ ἐφάνη σημεῖον ἐν τῷ οὐρανῷ κατὰ μεσημβρίαν, ὁ λεγόμενος δοκίτης, προμηνύων τὴν τῶν Ἀράβων ἐπικράτησιν· ἔμεινε δὲ ἡμέρας λ΄ διατείνων ἀπὸ μεσημβρίας ἕως ἄρκτου. ἦν δὲ ξιφοειδής.

632/3. A. M. 6125

Ἱεροσολύμων ἐπίσκοπος Σωφρόνιος ἔτη γ΄.
Ἀλεξανδρείας ἐπίσκοπος Κῦρος ἔτη ι΄.
κδ΄. γ΄. κε΄. α΄. α΄.

Τούτῳ τῷ ἔτει Ἀβουβάχαρος τελευτᾷ ἀμηρεύσας ἔτη δύο ἥμισυ· καὶ παραλαμβάνει τὴν ἀρχὴν Οὔμαρος· ὃς ⟨πέμψας στρατιὰν κατὰ τῆς Ἀραβίας⟩ παραλαμβάνει Βόστραν τὴν πόλιν μετὰ καὶ ἄλλων

1 θλιβέντες] videntes A. — οἱ βάρβαροι ἦγουν οἱ Ἄραβες e. — 2 στομίου x στόμιον yz. — οὖσα m οὖσαν Taf. — 3 Σίναιον c. — πλουσία m πλουσίαν g. — Post σφόδρα yz add.: Περσῶν βασιλεὺς Ὁρμίσδας (Ὁρμ. em) ἔτη ια΄. — 6[4] Ἀβουβάχαρ ef Ἀβουβέκερ m Ἀββάχαρος g. — 11[2] Μώδεστος h Δόμεστος y. — 14 πέμψας Ἀβουβάχαρος στρ. τ. ὁδηγηθέντας g et ut vid. A πέμψαντος Ἀβουβαχάρου στρ. τ. ὁδηγηθέντας h. — ὁ Βουβέκερ em. — 15 βαρβάρων em. — 16 Ἥραν h Ἥραν m Ἡραν sine spir. ce Ran A. — πᾶσαν χώραν (om. τήν) yz. — Post Γάζης g add. στόμιον οὔσης τῆς ἐρήμου κατὰ τὸ Σιναῖον ὄρος. — δὲ om. z. — ποτε ἐλθών x ποτε ἐλθόντες z. — 17 Κ. τῆς Παλ. d. — Σεργίου z. — σὺν στρατιώταις corr. ex συστρατιώταις d συστρατιωτῶν z. — ὀλίγων z. — συμβαλόντες (-λλόντες g) z. — 18 σὺν τῶν στρατιωτῶν τριακοσίων ὄντων z. — τοῖς et 19 οὖσι om. d. — 20 λαμπρᾶς] πολλῆς y. — 23 τῶν om. h. — 24 ἀπὸ μεσημβρίαν y. — 25 Σοφρόνιος h. — 26 Κύρος efz. — 27 κδ΄] ιδ΄ c. — 28 ὁ Βουβέκερ em. — ἥμισυ om. em. — 29 τὴν ἀρχὴν—30 παραλαμβάνει om. h. — Οὔμαρός f ὁ ἄμαρης (ἅμ. e) em. — πέμψας—30 Ἀραβίας Taf. add. ex A om. codd. — 30 παραλαμβάνει gA παρέλαβεν xz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόλεων. ἀπεδήμησαν δὲ μέχρι τοῦ Γαβιθᾶ. τούτοις συμβαλὼν Θεό- 517 B
δωρος, ὁ τοῦ βασιλέως Ἡρακλείου ἀδελφός, ἡττήθη καὶ πρὸς τὸν βασιλέα ἐν Ἐδέσῃ ἔρχεται. ὁ δὲ βασιλεὺς προχειρίζεται ἕτερον στρατηγόν, ὀνόματι Βαάνην, καὶ Θεόδωρον σακελλάριον μετὰ Ῥωμαϊκῆς δυνάμεως πέμπει κατὰ Ἀράβων· παραγενόμενος δὲ εἰς Ἔμεσαν συν- 280 P
αντᾷ πλῆθος Σαρακηνῶν, καὶ ἀποκτείνας αὐτοὺς καὶ τὸν ἀμηρεύοντα αὐτῶν, τοὺς λοιποὺς ἀπελαύνει ἄχρι Δαμασκοῦ· κἀκεῖσε παρὰ τὸν Βαρδανήσιον ποταμὸν παραφωσατεύει. Ἡράκλειος δὲ τὴν Συρίαν καταλιπὼν ὡς ἀπελπίσας, ἄρας καὶ τὰ τίμια ξύλα ἀπὸ Ἱερουσαλὴμ ἐπὶ τὴν Κωνσταντινούπολιν ἀπῄει. Βαάνην δὲ ἀπὸ Δαμασκοῦ εἰς Ἔμεσαν στρέφει καὶ Θεόδωρον σακελλάριον ἔχοντας στρατὸν χιλιάδας μ΄, καὶ διώκουσι τοὺς Ἄραβας ἀπὸ Ἐμέσης ἕως Δαμασκοῦ.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	A. M. 6126 633/4.
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	
,ϛρκϛ΄.	ἔτη χκϛ΄.	Ἡράκλειος	Οὔμαρος	
		ἔτη λα΄.	ἔτη ιβ΄.	
		κε΄.	α΄.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος
Σέργιος	Σωφρόνιος	Κῦρος
ἔτη κθ΄.	ἔτη γ΄.	ἔτη ι΄.
κϛ΄.	β΄.	β΄.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσαν οἱ Σαρακηνοὶ τὴν Ἀραβίαν ⟨καταλιπόντες⟩ ἐπὶ τὰ μέρη Δαμασκοῦ πλῆθος ὄντες ἄπειρον. Βαάνης δὲ 518 B
μαθὼν πρὸς τὸν βασιλικὸν σακελλάριον ἀποστέλλει, ἵνα καταλάβῃ μετὰ τοῦ ἑαυτοῦ στρατοῦ εἰς βοήθειαν αὐτοῦ διὰ τὸ πλῆθος εἶναι τοὺς Ἄραβας. κατέλαβε δὲ ὁ σακελλάριος πρὸς Βαάνην, καὶ ἀπ-

---

1 ἀπεδήμησαν czA ἀπεδήμησεν y ἐπεδήμησεν d. — Γαβιθᾶ df Γαβιθά h Γαβιθα *sine acc.* c Γαβηθᾶ g Γαμιθᾶ e Γαμιθά m Gabetha A. — 3 Ἐδέσει h Αἰδέσῃ x Ἐμέσῃ y Edessa A. — 4 μετὰ μεγάλης δυνάμεως Ῥωμαϊκῆς Taf. — 5 κατὰ τῶν Ἀρ. d. — παραγενάμενος d. — Αἵμεσαν (Αἷμ. d) x Ἔδεσαν f Ἔδεσσαν em Emesam A. — 6 πλήθει c πλήθη dh. — 7 καὶ τοὺς λοιποὺς cyz καὶ *om.* dA. — ἄχρι] ἕως z. — 7 κἀκεῖσε—12 Δαμασκοῦ *om.* m. — 8 Βαρδανάσιον e. — παραφωσατεύει d παραφωσεύει cz παρὼν καλοῦσι Σαρακηνοὶ Βαραδέν e παρα *sequente lacuna unius fere versus* f *cuius in mg. adscr.* τ ζη latebras fovet (παραφωλεύει?) A. — 9 ἀπὸ Ἱεροσολύμων x. — 11 Ἔμεσαν xzA Ἔδεσαν ef. — στρέφει] κελεύει στρέφεσθαι z Bahanis—redit A. — ἔχοντας] cum haberent A ἔχοντα xz ἔχων ef. — 12 Αἱμέσης dh. — *Post* Δαμασκοῦ yz *add.* Περσῶν βασιλεὺς Ὁρμίσδας (Ὁρμ. *om.* em) ἔτη ια΄. — *v. v.* 13—22 Ἀράβων ἀρχηγὸς Οὔμαρος ἔτη ιβ΄. κε΄. α΄. κϛ΄. β΄. β΄. m. *Reliqua omittit.* — 15⁴ Οὔμαρης g. — 20² Σοφρόνιος h. — 20³ Κύρος eh. — 23 ἐπεστράτευσαν Taf. Georg. Mon. p. 598 ἐστράτευσαν *codd.* — τὴν Ἀραβίαν καταλιπόντες *scr. e* Georg. μετὰ πλήθους Ἀράβων Taf. e Cedreno καταλιπόντες *om. codd.* A. — 24 Βάνης Georg. — 25 βασιλικὸν σακελλάριον] Βασιλίσκον Georg. — ἐκπέμπει d. — 25, 26 καταλ. ἐν τάχει μετά z. — 26 ἑαυτοῦ *om.* z. — εἰς] πρός c. — 27 τῶν Ἀράβων Taf. — Βάνην f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀραντες ἀπὸ Ἐμέσης συναντῶσι τοῖς Ἄραψιν, καὶ συμβολῆς γενομένης τῇ πρώτῃ ἡμέρᾳ, ἥτις ἦν τρίτη τῆς ἑβδομάδος, κγ' τοῦ Λώου μηνός, ἡττῶνται οἱ περὶ τὸν σακελλάριον. στασιάσαντες δὲ οἱ τοῦ Βαάνους Βαάνην προχειρίζονται βασιλέα καὶ Ἡράκλειον ἀπεκήρυξαν. τότε οἱ περὶ τὸν σακελλάριον ὑπεχώρησαν, καὶ οἱ Σαρακηνοὶ εὑρόντες ἄδειαν συμβάλλουσι πόλεμον. ἀνέμου δὲ πνεύσαντος κατὰ Ῥωμαίων νότου, μὴ δυνηθέντες ἀντωπῆσαι τοῖς ἐχθροῖς διὰ τὸν κονιορτὸν ἡττῶνται. καὶ ἑαυτοὺς βαλόντες εἰς τὰς στενόδους τοῦ Ἱερμουχθᾶ ποταμοῦ ἐκεῖ ἀπώλοντο ἄρδην. ἦσαν δὲ ἀμφοτέρων τῶν στρατηγῶν χιλιάδες μ'. τότε οἱ Σαρακηνοὶ νικήσαντες λαμπρῶς ἐπὶ τὴν Δαμασκὸν ἔρχονται καὶ ταύτην παραλαμβάνουσι καὶ τὰς χώρας τῆς Φοινίκης· καὶ οἰκίζονται ἐκεῖ, καὶ στρατεύουσι κατ' Αἰγύπτου. ⟨μαθὼν δὲ Κῦρος, ὁ τῆς Ἀλεξανδρείας ἐπίσκοπος, τὴν τούτων ὁρμὴν ἐσπούδασεν, καὶ φοβούμενος τὴν πλεονεξίαν αὐτῶν πάκτα στοιχήσας ὑπισχνεῖται ὅτι ιβ' μυριάδας δηναρίων κατ' ἔτος παρέξει αὐτοῖς ἡ Αἴγυπτος καὶ χρυσίον διὰ τὰς ὁρισθείσας ἐνοχὰς πέμψει. καὶ ταῦτα παρασχὼν διὰ τριῶν ἐτῶν ἀμέτοχον ἔστησε τῆς ὀλέθρου τὴν Αἴγυπτον.⟩ κατηγορεῖται δὲ ὁ Κῦρος ἐπὶ τοῦ βασιλέως, ὡς τὸ χρυσίον τῆς Αἰγύπτου τοῖς Σαρακηνοῖς δούς· καὶ ἀποστείλας μετ' ὀργῆς
519 B τοῦτον μετεπέμψατο, Μανουὴλ δέ τινα Ἀρμένιον τῷ γένει ἐκπέμπει αὐγουστάλιον. πληρωθέντος δὲ τοῦ χρόνου, οἱ τῶν Σαρακηνῶν πράκτορες παρεγένοντο λαβεῖν τὸ χρυσίον. ὁ δὲ Μανουὴλ ἀπράκτους
281 P αὐτοὺς ἐξελαύνει λέγων, ὅτι "οὔκ εἰμι ἐγὼ Κῦρος ὁ ἄοπλος, ἵνα τέλη ὑμῖν παράσχω, ἀλλ' ἐγὼ ἔνοπλός εἰμι." τούτων δὲ ἀπελθόντων, εὐθέως ὁπλίζονται οἱ Σαρακηνοὶ κατ' Αἰγύπτου καὶ συνάψαντες κατὰ Μανουὴλ πόλεμον ἀπελαύνουσι τοῦτον, αὐτὸς δὲ μετ' ὀλίγων τινῶν εἰς Ἀλεξάνδρειαν διασώζεται. τότε οἱ Σαρακηνοὶ ἐφορολόγησαν τὴν Αἴγυπτον. ἀκούσας δὲ Ἡράκλειος τὰ πραχθέντα ἀποστέλλει Κῦρον πρὸς τὸ πεῖσαι αὐτοὺς ἀναχωρῆσαι τῆς Αἰγύπτου τῷ πρώτῳ στοιχήματι· καὶ ἀπελθὼν ὁ Κῦρος εἰς τὴν παρεμβολὴν τῶν Σαρακηνῶν ὑπεραπελογεῖτο ὡς ἀναίτιος ὢν τῆς παραβάσεως, καὶ εἰ βούλοιντο τὴν προτέραν συμφωνίαν ὅρκοις βεβαιῶσαι. πρὸς

---

1 *Αἰμέσης* d. — *τοὺς Ἄραβας* z. — consilio facto A. — 2 *Λόου* d *ὅλου* c Ἰουλίου yz. — 7 *ἀντωπῆσαι* x Georg. *ἀντοπῆσαι* em *ἀνοπῆσαι* f *ἀντιπροσωπῆσαι* z Taf. — 8 *βαλόντες* g. — *τὰ στενώματα* d. — Hiermuchthan A Ἱερμουχθοῦ g Ἱερμοχθᾶ h Ἑρμουχθά f Ἑρμοχθᾶ (*sine acc. et spir.* c) ex Ἑρμοχθα *sine acc.* m. — 9 *στρατιωτῶν* h. — 12 *κατ' Αἴγυπτον* y. — 12 *μαθὼν* — 18 *τὴν Αἴγυπτον add. ex* A *paulo aliter ac* Taf. — 18 *κατηγορεῖτο* Taf. — *Κύρος* ez. — 19 *δούς*] *διδόντος* h *διαδόντος* g. — *μετ' ὀργῆς om.* f. — 21 *τοῦ om.* Taf. — 22 *τοῦ λαβεῖν vulg.* Taf. — 23 *Κύρος* efz. — 24 *παρασχῶ* hy *sine acc.* c. — 25 *κατὰ τῆς Αἰγύπτου* x. — 26. 27 *μετ' ὀλίγους τινάς* z. — 28 *τὴν Αἴγυπτον add. ex* dA *om. rell.* — *προσταχθέντα* f. — 29 *Κύρον* y. — *αὐτόν* h. — 30 *Κύρος* yz. — 31 *ὑπεραπολογεῖτο* chy. — *τῆς om.* em. — 32 *πρὸς delet* Taf.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτοις οἱ Σαρακηνοὶ οὐκ ἐπείσθησαν λέγοντες τῷ ἐπισκόπῳ· "δύνῃ τοῦτον τὸν παμμεγέθη στύλον καταπιεῖν;" ὁ δὲ εἶπεν· "οὐκ ἐνδέχεται." ἔφησαν δέ· "οὐδὲ ἡμῖν ἐνδέχεται ἀναχωρῆσαι τῆς Αἰγύπτου ἔτι."

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	A. M. 6127 634/5.
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	
,ϛρκζ΄.	ἔτη χκζ΄.	Ἡράκλειος	Οὔμαρος	
		ἔτη λα΄.	ἔτη ιβ΄.	
		κϛ΄.	β΄.	

Κωνσταντ.	Ἱεροσολύμων	Ἀλεξανδρείας	
ἐπίσκοπος	ἐπίσκοπος	ἐπίσκοπος	
Σέργιος	Σωφρόνιος	Κῦρος	
ἔτη κϑ΄.	ἔτη γ΄.	ἔτη ι΄.	
κζ΄.	γ΄.	γ΄.	

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Οὔμαρος κατὰ Παλαισ[τ]ίνης, καὶ παρακαθίσας τὴν ἁγίαν πόλιν διετῆ χρόνον παρέλαβεν αὐτὴν λόγῳ· 520 B
Σωφρόνιος γάρ, ὁ Ἱεροσολύμων ἀρχιερεύς, λόγον ἔλαβε πάσης Παλαιστίνης ἀσφαλείας. εἰσελθὼν δὲ Οὔμαρος εἰς τὴν ἁγίαν πόλιν τριχίνοις ἐκ καμήλων ἐνδύμασιν ἠμφιεσμένος ἐρρυπωμένοις ὑπόκρισίν τε σατανικὴν ἐνδεικνύμενος τὸν ναὸν ἐζήτησε τῶν Ἰουδαίων, ὃν ᾠκοδόμησε Σολομών, προσκυνητήριον αὐτὸν ποιῆσαι τῆς αὐτοῦ βλασφημίας. τοῦτον ἰδὼν Σωφρόνιος ἔφη· "ἐπ' ἀληθείας τοῦτό ἐστι τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου ἑστὸς ἐν τόπῳ ἁγίῳ." πολλοῖς τε δάκρυσι τὸ Χριστιανῶν φῦλον ἀπωδύρετο τῆς εὐσεβείας ὁ πρόμαχος. ὄντος δὲ αὐτοῦ ἐν τοῖς ἐκεῖσε, παρεκάλεσεν αὐτὸν ὁ πατριάρχης δέξασθαι παρ' αὐτοῦ σινδόνιον σὺν ἐνδύματι ἐνδύσασθαι. ὁ δὲ οὐκ ἠνέσχετο ἐνδύσασθαι αὐτά. μόγις οὖν ἔπεισε φορέσαι, ἕως οὗ ἐπλύθησαν τὰ ἱμάτια αὐτοῦ, καὶ πάλιν ἀπέστρεψεν αὐτὰ τῷ Σωφρονίῳ καὶ ἐφόρεσε τὰ ἴδια. ἐν τούτοις ἀπεβίω Σωφρόνιος, ὁ λόγῳ καὶ πράξει τὴν Ἱεροσολύμων κατακοσμήσας ἐκκλησίαν καὶ κατὰ τῆς Ἡρακλείου καὶ τῶν σὺν αὐτῷ 282 P
Μονοθελητῶν κακοδοξίας ἀγωνισάμενος Σεργίου καὶ Πύρρου.

Τῷ δ' αὐτῷ ἔτει ἀπολύει Οὔμαρος τὸν Ἰαδ εἰς Συρίαν, καὶ ὑπέταξε πᾶσαν τὴν Συρίαν τοῖς Σαρακηνοῖς.

2 ὁ δὲ εἶπεν *om.* c. — 3 οὐδὲ *om.* f. — δέχεται f. — 4 ἔτι *om.* c. — Περσῶν βασιλεὺς Ὀρμίσδας ἔτη ια΄ *post* ἔτι *add.* cz. — *v. v.* 5—14 *om.* m. — 7[4] Οὔμαρης g. — 12[3] Κύρος efz. — 16 παρακαθήσας y. — 17 γάρ] δέ g. — 18 ἀσφαλείας *scr. ex* A ἀσφαλέστατον *codd.* πρὸς τὴν πάσης Παλαιστίνης ἀσφάλειαν Taf. — 19 ἐρρυπωμένοις *om.* x. — 20 τε *om.* h. — ἰδεῖν *post* Ἰουδαίων *add.* z. — 21 Σολομῶν z. — 22 τοῦτον] hoc A. — τοῦτον δὲ ἰδών y. — 23 διὰ τοῦ Δ. m. — 24 ἑστώς gx. — τὸ] τῶν y. — 25 χριστιανικόν d. — ἀποδύρετο y ἀπεδύρετο z. — 28 φορέσαι αὐτόν z. — ἐπλήθυσαν hy. — 29 ἀνέστρεψε τὰ τοῦ Σωφρονίου Taf. — 30 ὁ Σωφρ. z. — 31 τῆς *om.* xy. — 32 κακοδόξων h. — Σεργίου καὶ Πύρρου *om.* d. — Πύρου c. — 33 τῷ αὐτῷ δέ z. — Ἰαδ f *sine acc.* ce. — 34 τοῖς *om.* z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

635/6. Α. Μ. 6128 κζ'. γ'. κη'. δ'.

521 B Τούτῳ τῷ ἔτει ἦλθεν Ἰωάννης, ὁ ἐπίκλην Καταίας, ὁ ἐπίτροπος Ὀσροηνῆς πρὸς Ἰὰδ εἰς Χαλκίδα, καὶ ἐστοίχησε δοῦναι αὐτῷ κατ' ἐνιαυτὸν δέκα μυριάδας νομισμάτων, τοῦ μὴ περᾶσαι τὸν Εὐφράτην, μήτε εἰρηνικῶς, μήτε πολεμικῶς, ἕως οὗ τὴν ποσότητα τοῦ χρυσίου ἀποδίδωσιν. ἐπὶ τούτοις Ἰωάννης εἰς Ἔδεσαν ἀνέστρεψε καὶ τὸν ἐνιαύσιον φόρον ἀνύσας πρὸς Ἰὰδ ἐκπέμπει. Ἡράκλειος δὲ τοῦτο ἀκούσας ὑπαίτιον ἔκρινε τὸν Ἰωάννην ὡς ἄνευ τῆς βασιλικῆς εἰδήσεως τοῦτο πεποιηκότα, καὶ τοῦτον μεταπεμψάμενος ἐξορίᾳ κατέκρινεν. ἀντ' αὐτοῦ δὲ ἐκπέμπει Πτολεμαΐου τινα στρατηλάτην.

636/7. Α. Μ. 6129 κη'. δ'. κθ'. ε'.

Τούτῳ τῷ ἔτει παρέλαβον οἱ Ἄραβες τὴν Ἀντιόχειαν. καὶ ἐπέμφθη Μαυΐας ὑπὸ Οὐμάρου στρατηγὸς καὶ ἀμηρᾶς πάσης τῆς ὑπὸ τοὺς Σαρακηνοὺς χώρας ἀπὸ Αἰγύπτου ἕως Εὐφράτου.

637/8. Α. Μ. 6130

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	Κωνσταντ.	Ἀλεξανδρείας
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	ἐπίσκοπος	ἐπίσκοπος
ϛρλ'.	ἔτη χλ'.	Ἡράκλειος	Οὔμαρος	Πύρρος	Κῦρος
		ἔτη λα'.	ἔτη ιβ'.	ἔτη γ'.	ἔτη ι'.
		κθ'.	ε'.	α'.	ϛ'.

Τούτῳ τῷ ἔτει ἐπέρασεν Ἰὰδ πᾶσαν στρατιὰν τὸν Εὐφράτην καὶ καταλαμβάνει τὴν Ἔδεσαν. οἱ δὲ Ἐδεσηνοὶ ἀνοίξαντες ἔλαβον λόγον σὺν τῇ χώρᾳ καὶ τῷ στρατηλάτῃ καὶ τοῖς σὺν αὐτῷ Ῥωμαίοις. καὶ
522 B ἀπέρχονται ἐπὶ Κωνσταντίαν, καὶ πολιορκήσαντες αὐτὴν αἱροῦσιν αὐτὴν πολέμῳ καὶ τ' Ῥωμαίους ἀνήλωσαν. κἀκεῖθεν ἀπῆλθον εἰς τὸ Δαρᾶς καὶ ταύτην λαμβάνουσι πολέμῳ καὶ πολλοὺς ἐν αὐτῇ ἀπώλεσαν· καὶ οὕτω πᾶσαν τὴν Μεσοποταμίαν παρέλαβεν Ἰάδ.

---

1 κζ' (κϛ' γ). γ'. κη'. α'. δ'. η'. *codd.* — *v. v.* 2—10 *om.* d. — 2 τὸ ἐπίκλ. f. — Κατέας g *et* f *sed* é *sec. m. in lit.* — 3 Ὀσροϊνης *sine acc.* c Ὀσρωϊνῆς f Ὀσρωΐνης em Ῥοϊνῆς g. — Hiad A Ἰαὸ *sine acc.* c Ἴασδον ef Ἰασδόν z Σίασδον m. — Χαλκίδα gA Χαλκήδα h Χαλκηδόνα cy. — ἐστ. δὲ δοῦναι c. — 5 Εὐφράτην μήτε μήτε εἰρηνικῶς *lacuna dimidii fere versus inter* μήτε *et* μήτε *interposita* f. — μήτε πολεμικῶς *om.* cy. — 6 Ἔδεσσαν em. — 7 Hiadum A Ἰαὸ *sine acc.* c Ἰάσδον ef Ἰασδόν z Ἰασδον *sine acc.* m. — 8 τῆς *om.* c. — 11 κη'. δ'. κθ'. β'. ε'. θ'. *codd.* — 13 Μαΰϊας em. — ἀμηράς dfm *sine acc.* ce. — 14 ὑπὸ τῶν Σαρακηνῶν yz. ὑπὸ τοῖς Σαρακηνοῖς Taf. — ἕως τοῦ Εὐφράτου z. — Περσῶν βασιλεὺς Ὀρμίσδας (Ὀρμ. y) ἔτη ια' *post* Εὐφράτου *add. codd.* — 17[5] Πύρος c. — 17[6] Κύρος gy *sine acc.* c. — 20 ἐπέρασεν Combefis *ex* A ἐπεστράτευσεν *codd.* — Ἰάδ (*sine acc.* c) x Ἴαδος y Ἰάϊδος (-δός h) zA. — σὺν πάσῃ τῇ στρατιᾷ αὐτοῦ Taf. πᾶσαν στρατείαν *codd.* πάσῃ στρατιᾷ? — 21 Αἴδεσαν c. — Ἐδεσινοί yz Αἰδεσηνοί x. — 22 καὶ τοῦ στρατηλάτου καὶ τῶν—Ῥωμαίων z. — 23 Κωνστάντιαν z. — αἵρουσιν cfh αἴρουσιν degm. — 24 ἀπῆλθον Taf. abierunt A ἀνῆλθον xy ἦλθον z. — 25 τὸ *om.* z. — Δαράς dy Δαρας *sine acc.* c. Δαρές g Δάρας Taf. — 26 Ἰάδ x Ἰάϊδος efzA Ἴαδος m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λ'. ς'. β'. ζ'. A. M. 6131 638/9.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσαν οἱ Σαρακηνοὶ κατὰ Περσίδος καὶ 283 P
συνάπτουσι πόλεμον μετ' αὐτῶν, καὶ νικήσαντες κατὰ κράτος πάντας τοὺς Πέρσας ὑπέταξαν. Ὁρμίσδας δέ, ὁ τῶν Περσῶν βασιλεύς, φυγῇ χρησάμενος ἐπὶ τοὺς ἐνδοτέρους Πέρσας ἀφεὶς τὰ βασίλεια κατέλαβεν. οἱ δὲ Σαρακηνοὶ ἠχμαλώτευσαν τὰς τοῦ Χοσρόου θυγατέρας μετὰ πάσης τῆς βασιλικῆς ἀποσκευῆς· καὶ ἦχθησαν πρὸς Οὔμαρον.

Αὐτῷ δὲ τῷ χρόνῳ ἐκέλευσεν Οὔμαρ ἀναγραφῆναι πᾶσαν τὴν ὑπ' αὐτὸν οἰκουμένην. ἐγένετο δὲ ἡ ἀναγραφὴ ἀνθρώπων καὶ κτηνῶν καὶ φυτῶν.

λα'. ζ'. γ'. η'. A. M. 6132 639/40.

Τούτῳ τῷ ἔτει τελευτᾷ Ἡράκλειος ὁ βασιλεὺς μηνὶ Μαρτίῳ, ἰνδικτιῶνος ιδ', ὑδεριάσας, βασιλεύσας ἔτη λ' καὶ μῆνας ι'. βασιλεύει δὲ μετ' αὐτὸν Κωνσταντῖνος, ὁ υἱὸς αὐτοῦ, μῆνας δ', καὶ φαρμακευθεὶς ὑπὸ Μαρτίνης, τῆς αὐτοῦ μητρυιᾶς, καὶ Πύρρου πατριάρχου τελευτᾷ. καὶ βασιλεύει Ἡρακλωνᾶς, ὁ Μαρτίνης υἱός, σὺν τῇ μητρὶ Μαρτίνῃ.

Ῥωμαίων βασιλεὺς Ἡρακλωνᾶς μῆνας ς'. A. M. 6133 640/1.
Κωνσταντινουπόλεως ἐπίσκοπος Παῦλος ἔτη ιβ'. 523 B
α'. η'. α'. θ'.

Τούτῳ τῷ ἔτει παραλαμβάνει Μαυΐας Καισάρειαν τῆς Παλαιστίνης μετὰ ἑπταετίαν τῆς πολιορκίας αὐτῆς· καὶ κτέννει ἐν αὐτῇ Ῥωμαίους χιλιάδας ἑπτά.

Τούτῳ τῷ ἔτει ἀπώσατο ἡ σύγκλητος Ἡρακλωνᾶν ἅμα Μαρτίνῃ τῇ μητρὶ αὐτοῦ καὶ Βαλεντίνῳ· καὶ ἐγλωσσοκόπησαν Μαρτῖναν, καὶ ἐρρινοκόπησαν Ἡρακλωνᾶν, καὶ ἐξορίσαντες αὐτοὺς ἀνεβίβασαν Κώνσταν, υἱὸν Κωνσταντίνου, ἔγγονα Ἡρακλείου, ἐπὶ τῆς ἀρχῆς· καὶ ἐκράτησεν ἔτη κζ'. Πύρρου δὲ ἐκβληθέντος τῆς ἐπισκοπῆς,

---

1 ια'. λ'. ς'. β'. ζ'. cy. — 2 τὴν Περσίδα z. — 4 ὑπέταξεν y. — Ὁρμίσδας xy. — 5 Π. εἰς τὰ βασίλεια ἐχώρει z Π. ἐν τῇ βασιλείᾳ (om. κατέλαβεν) x Π. κατέλαβεν (om. εἰς τὰ βασίλεια) y dimisit regalia A ἀφεὶς τὰ βασίλεια ἐχώρει Taf. — 6 τὰς om. h. — τοῦ om. y. — 7 μετὰ πάσης zA ἅμα xy. — σκευῆς em. — καὶ om. h. — 8 Οὔμαρ zA Οὔμαρος xy. — 9 ὑπ' αὐτὸν om. h ὑπ' αὐτῷ δ Taf. — οἰκουμένην] γῆν κρατουμένην d. — ἡ om. h. — 13 ἰν codd. — ὑδριάσας g ὑδεριάσας ante μηνὶ v. 12 inser. x. — μῆνας ε'? (ab Octobrio scil. ad Martium) μῆνας ι' z μῆνας (sine numero) y μῆνα d μηνᾶ c. — 14 ἀντ' αὐτοῦ x. — φαρμαχθείς d. — 15 Πύρου gx. — 16 ὁ τῆς Μαρτ. υἱός x ὁ υἱὸς Μαρτίνης m. — 18 Ἡρακλωνάς em. — μῆνας ζ' c. — 20 α'. η'. θ'. α'. cy numeros om. g. — v. v. 21—23 post p. 342, 3 collocat d. — 21 Μαυϊάς em Μαΐας g. — τῆς om. y. — 22 κτέννει g κτέννη e κτένει cm κταίνει h κτείνει d et sec. m. f. — ἐν αὐτῇ dzA ἐν αὐτῷ c om. y. — 24 τῷ δὲ αὐτῷ χρόνῳ z. — 25 τῇ om. y. — Βαλλεντίνῳ cef. — Μαρτίναν fmz. — 26 ἐρινοκόπησαν codd. — ἐξορίσαντα c. — 27 Κώνσταν om. f. — ἔγγονον d et sec. m. f. — 28 Πύρου dg.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐχειροτονήθη πατριάρχης Κωνσταντινουπόλεως Παῦλος πρεσβύτερος καὶ οἰκονόμος ⟨τῆς ἐκκλησίας⟩ μηνὶ Ὀκτωβρίῳ ἰνδικτιῶνος ιε', ἐπισκοπήσας ἔτη ιβ'.

641/2. A. M. 6134

Κόσμου	Τῆς	Ῥωμαίων	Ἀράβων	Κωνσταντ.	Ἀλεξανδρείας
ἔτη	Θείας	βασιλεὺς	ἀρχηγὸς	ἐπίσκοπος	ἐπίσκοπος
,ϛρλδ'.	σαρκώσεως	Κώνστας	Οὔμαρος	Παῦλος	Κῦρος
	ἔτη χλδ'.	ἔτη κζ'.	ἔτη ιβ'.	ἔτη ιβ'.	ἔτη ι'.
		α'.	θ'.	β'.	ι'.

284 P Τούτῳ τῷ ἔτει βασιλεύσας Κώνστας πρὸς τὴν σύγκλητον ἔλεγεν· "τοῦ ἐμὲ γεγεννηκότος πατρὸς Κωνσταντίνου, ὃς ἐπὶ ζωῆς τοῦ ἰδίου πατρός, ἐμοῦ δὲ πάππου, Ἡρακλείου ἱκανὸν σὺν αὐτῷ ἐβασίλευσε χρόνον, μετὰ τοῦτον δὲ καὶ λίαν βραχύν· τὰς γὰρ χρηστοτάτας ἐλπίδας ὁ Μαρτίνης, τῆς αὐτοῦ μητρυιᾶς, φθόνος συνδιατμήξας τοῦ ζῆν ἀπήλλαξεν, καὶ τοῦτο διὰ Ἡρακλωνᾶν, τὸν ἐξ αὐτῆς καὶ Ἡρα-
524 B κλείου ἀθεμίτως γεγεννημένον· ἣν μάλιστα μετὰ τοῦ τέκνου ἡ ὑμετέρα σὺν θεῷ ψῆφος τῆς βασιλείας δικαίως ἐξέβαλεν, πρὸς τὸ μὴ ἰδεῖν ἐκνομώτατον τὴν βασιλείαν Ῥωμαίων, τοῦτο μάλα ἐγνωκυῖα ἡ ὑμετέρα ὑπερφυὴς σεμνοπρέπεια. διὸ παρακαλῶ ὑμᾶς ἔχειν συμβούλους καὶ γνώμονας τῆς κοινῆς τῶν ὑπηκόων σωτηρίας." ταῦτα εἰπὼν ἀπέλυσε τὴν σύγκλητον δωρεαῖς ⟨δαψιλέσι⟩ φιλοτιμησάμενος.

642/3. A. M. 6135

β'. ι'. γ'. ια'.

Τούτῳ τῷ ἔτει ἤρξατο Οὔμαρ οἰκοδομεῖν τὸν ναὸν ἐν Ἱερουσαλήμ, καὶ οὐχ ἵστατο τὸ κτίσμα ἀλλὰ κατέπιπτεν· πυθομένῳ δὲ τὴν αἰτίαν εἶπον οἱ Ἰουδαῖοι ὅτι· "ἐὰν τὸν σταυρὸν τὸν ὄντα ἐπάνω τοῦ ναοῦ τοῦ ὄρους τῶν ἐλαιῶν οὐκ ἐπάρητε, οὐ στήκει τὸ κτίσμα." ἕνεκεν ταύτης τῆς ὑποθέσεως ἐπήρθη ὁ σταυρὸς ἐκεῖθεν, καὶ οὕτω συνεστάθη αὐτῶν ἡ οἰκοδομή. διὰ ταύτην τὴν αἰτίαν πολλοὺς σταυροὺς κατήγαγον οἱ μισόχριστοι.

---

2 τῆς ἐκκλησίας *add. ex* A: oeconomus ecclesiae *om. codd.* — ἐν *codd.* — ιε' *om.* y *spatio duarum fere literarum vacuo relicto* ε' h. — 6[1] ϛρλα' y. — 7[2] χλα' y. — 6[3] *Κύρος* cgy. — *v.* 8 *om.* g. — 8[4] ζ' c. — 10 *γεγεννηκότος* h *γεννηκότος* em. — *ὡς* z. — 11 *σὺν αὐτῷ*] *μετ' αὐτοῦ* x. — 12 *μετὰ τοῦτον* y *μετ' αὐτόν* d. — *βραχύ* dhm. — *χρηστότητας* h. — 13 *συνδιατήξας* c. — 14 *τούτῳ* g. — 15 *γεγενημένον* fmz factus est A. — *μετά*] *μὲν τὰ* h *om.* m. — 16 *δικαίως om.* x. — *ἐξέβαλλεν* g. — 17 *ἐκνομωτάτων* Combefis *ἐκνομώτατον* ⟨*ἄνδρα διαθύνοντα*⟩ *τὴν βασ.*? — *τοῦτο δὲ μ. z.* — *μάλα* x *μάλλα* g *μέγα* y *μεγάλα* h. — 19 *σωτηρίας om.* y. — 20 *δαψιλέσι add. ex* A: donis dapsilibus *om. codd.* — 22 *Οὔμαρ* zA *Οὔμαρος* xy. — *ἐν om.* fx. — *τὸν ναὸν ἐν Ἱερουσαλήμ*] *τὸ μασγίδην* (*μαγίσδην* m) *τῶν Σαρακηνῶν, ἐν ᾗ πρώην ὑπῆρχεν ὁ Σολωμωνιακὸς ναὸς ὁ τῶν Ἰουδαίων* em. — 23 *οὐκ codd.* — *τὸ om.* fm. — *ἀλλ' ἐκατέπιπτεν* y. — 25 *ἐπάρετε* y *ἐπάρηται* h. — *οὐ στίκει* y *οὐκ ἔστι* c *οὐχ ἵσταται* d. — 27 *αὐτῷ legit* A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλεξανδρείας ἐπίσκοπος Πέτρος ἔτη ι΄. A. M. 6136 643/4.
γ΄. ια΄. δ΄. α΄.

Τούτῳ τῷ ἔτει ἐστασίασε Βαλεντινιανὸς ὁ πατρίκιος κατὰ Κώνσταντος, καὶ πέμψας ὁ βασιλεὺς τοῦτον ἀνεῖλε καὶ τὸν λαὸν εἰς τὴν ἑαυτοῦ εὔνοιαν μετήγαγεν. καὶ ἔκλειψις ἡλίου ἐγένετο μηνὶ 525 B
Δίῳ πέμπτῃ, ἡμέρᾳ ἕκτῃ, ὥρᾳ ἐννάτῃ.

δ΄. ιβ΄. ε΄. β΄. A. M. 6137 644/5.

Τούτῳ τῷ ἔτει ἐδολοφονήθη Οὔμαρ, ὁ τῶν Σαρακηνῶν ἀρχηγός, μηνὶ Δίῳ ἡμέρᾳ ε΄ ὑπό τινος Πέρσου μαγαρίτου. προσκυνοῦντα γὰρ αὐτὸν εὑρηκὼς ἐκέντησε κατὰ γαστρὸς διελάσας τὸ ξίφος καὶ οὕτω τοῦ ζῆν ἀπήλλαξεν ἀμηρεύσαντα ἔτη ιβ΄, καὶ μετ' αὐτὸν ἵσταται Οὐθμάν, ὁ τούτου συγγενής, ὁ υἱὸς τοῦ Φάν.

Ἀράβων ἀρχηγὸς Οὐθμὰν ἔτη ι΄. A. M. 6138 645/6.
ε΄. α΄. ϛ΄. γ΄.

Τούτῳ τῷ ἔτει ἐστασίασε Γρηγόριος ὁ πατρίκιος Ἀφρικῆς σὺν 285 P
τοῖς Ἄφροις.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	Κωνσταντ.	Ἀλεξανδρείας	A. M. 6139 646/7.
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	ἐπίσκοπος	ἐπίσκοπος	
,ϛρλθ΄.	ἔτη χλθ΄.	Κώνστας	Οὐθμὰν	Παῦλος	Πέτρος	
		ἔτη κζ΄.	ἔτη ι΄.	ἔτη ιβ΄.	ἔτη ι΄.	
		ϛ΄.	β΄.	ζ΄.	δ΄.	

Τούτῳ τῷ ἔτει γέγονε κατὰ τῆς γῆς ἄνεμος βίαιος καὶ πολλὰ φυτὰ ἐξερρίζωσε καὶ παμμεγέθη δένδρα ἀνέσπασε πρόρριζα, καὶ πολλοὺς στύλους κιονιτῶν κατέβαλεν. τῷ δ' αὐτῷ ἔτει ἐπεστράτευσαν Σαρακηνοὶ τὴν Ἀφρικὴν καὶ συμβαλόντες τῷ τυράννῳ Γρηγορίῳ τοῦτον τρέπουσι καὶ τοὺς σὺν αὐτῷ κτέννουσι ⟨καὶ τοῦτον τῆς Ἀφρικῆς ἀπελαύνουσιν·⟩ καὶ στοιχήσαντες φόρους μετὰ τῶν Ἄφρων ὑπέστρεψαν.

ζ΄. γ΄. η΄. ε΄. A. M. 6140 647/8.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μαυΐας διὰ θαλάσσης τὴν Κύπρον· εἶχε δὲ σκάφη ,αψ΄ καὶ παρέλαβε Κωνσταντίαν σὺν τῇ νήσῳ πάσῃ, 526 B

---

3 Βαλλεντινιανός e Βαλεντιανός m Ἀλλεντινιανός f. — 5 ἔννοιαν h *om.* f. — ἔλλειψις h. — γέγονεν g. — 6 Δεκεμβρίῳ f. — 8 Οὔμαρ *scr. ex* A Οὔμαρος *codd.* — 9 μηνὶ Δίῳ ζ΄ d ζ΄ *om. rell.* — 11 τὸ ζῆν g. — ἀμηρεύσας g ἀμηρατεύσαντα h. — 12 Οὐθμάν f Οὐθμέν e Οὐθμά m. — Φᾶν g Ἀφέν em. — *v.* 13 *om.* y. — 13 Ἀράβων ἀρχηγός *om.* c. — Οὐθμᾶν z. — *v.* 14 *om.* cy. — *v. v.* 17—21 m *sic:* Ἀράβων ἀρχηγὸς Οὐθμὰν ἔτη ι΄. ,ϛρλδ΄. χλδ΄. ϛ΄. β΄. ζ΄. δ΄. *reliqua omnia omittit.* — 19[1] *et* 19[2] ,ϛρλδ΄. χλδ΄. y. — 19[4] Οὐθμᾶν_z *sine acc.* c. — *v.* 21 *om.* g. — 23 ἐξερίζωσεν *codd.* — πρόριζα cem *om.* d. — καὶ *om.* y. — 24 στύλους κιονιτῶν *scr. e Georg. Mon. p.* 588 στύλους κιόνων xz κιόνων στύλους y columnas columnatorum monachorum *scripsisse videtur* A. — 25 τῇ Ἀφρικῇ z. — 26 κτέννουσι efx κτένουσι gm κταίνουσι h. — 26 καὶ τοῦτον—27 ἀπελαύνουσιν *add. ex* A: et hunc ab Africa pellunt. *om. codd.* — 30 Μαΰας cm. — τῇ Κύπρῳ z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ταύτην ἐλυμήνατο. ἀκούσας δὲ καὶ Κακόριζον κουβικουλάριον κατ' αὐτοῦ μετὰ πλείστης δυνάμεως Ῥωμαϊκῆς ἐρχόμενον ἀνέπλευσε κατέναντι Ἀράδου, καὶ καθορμίσας τὴν ἑαυτοῦ ναυστολίαν τὴν πολίχνην τῆς νήσου, τὸν Κάστελλον, ἐπειρᾶτο παραλαβεῖν παντοίαις μηχαναῖς χρώμενος. μηδὲν δὲ ἐξισχύσας πέμπει πρὸς αὐτοὺς ἐπίσκοπόν τινα, Θωμάριχον τοὔνομα, ἐκφοβῶν αὐτοὺς ἀφιέναι τὴν πόλιν καὶ ὑποσπόνδους εἶναι, ἐξιέναι δὲ τῆς νήσου. ὡς οὖν πρὸς αὐτοὺς εἰσῆλθεν ὁ ἐπίσκοπος, τοῦτον ἐκράτησαν ἔνδον, Μαυΐᾳ δὲ οὐκ εἶξαν. καὶ δὴ ἀνονήτου γενομένης τῆς κατὰ Ἄραδον πολιορκίας, ἀνέστρεψεν ἐν Δαμασκῷ, ἐπεὶ ὁ χειμὼν κατέλαβεν.

648/9. A. M. 6141 ηʹ. δʹ. θʹ. ϛʹ.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μαυΐας κατὰ τῆς Ἀράδου σφοδρῶς παραταξάμενος, καὶ ταύτην λόγῳ παρέλαβεν εἰς τὸ κατοικεῖν
286 P αὐτοὺς ἔνθα βούλονται· τὴν δὲ πόλιν ἐνέπρησε καὶ ἀπετείχισεν, καὶ τὴν νῆσον ἀοίκητον κατέστησεν ἕως τοῦ νῦν.

Τῷ δ' αὐτῷ ἔτει γέγονεν ἐν Ῥώμῃ σύνοδος ὑπὸ Μαρτίνου τοῦ πάπα κατὰ τῶν Μονοθελητῶν.

649/50. A. M. 6142 θʹ. εʹ. ιʹ. ζʹ.

Τούτῳ τῷ ἔτει ⟨Βουσοὺρ⟩ στρατοπεδάρχης σὺν τοῖς Ἄραψιν
527 B ἐπεστράτευσε κατὰ Ἰσαυρίας· καὶ κτείνας πολλοὺς ἠχμαλώτευσε καὶ μετὰ πεντακισχιλίων δεσμίων ὑπέστρεψεν. πέμπει δὲ ὁ βασιλεὺς Κώνστας Προκόπιόν τινα πρὸς Μαυΐαν ζητῶν εἰρήνην. ὃ καὶ γέγονεν ἔτη βʹ, Γρηγόριον, υἱὸν Θεοδώρου, λαβὼν Μαυΐας ἐνέχυρον ἐν Δαμασκῷ.

650/1. A. M. 6143 ιʹ. ϛʹ. ιαʹ. ηʹ.

Τούτῳ τῷ ἔτει ἐστασίασε Πασαγνάθης, ὁ τῶν Ἀρμενίων πατρίκιος, τῷ βασιλεῖ καὶ σπονδὰς μετὰ Μαυΐου πεποίηκε δεδωκὼς αὐτῷ καὶ τὸν ἴδιον υἱόν. καὶ ἀκούσας ὁ βασιλεὺς ἦλθεν ἕως Καισαρείας Καππαδοκίας καὶ ἀπελπίσας τῆς Ἀρμενίας ὑπέστρεψεν.

651/2. A. M. 6144	Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	Κωνσταντ.	Ἀλεξανδρείας
	ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	ἐπίσκοπος	ἐπίσκοπος
	ϛρμδʹ.	ἔτη χμδʹ.	Κώνστας	Οὐθμὰν	Παῦλος	Πέτρος
			ἔτη κζʹ.	ἔτη ιʹ.	ἔτη ιβʹ.	ἔτη ιʹ.
			ιαʹ.	ζʹ.	ιβʹ.	θʹ.

1 καὶ κόριζον f *Κακόριζον (om. καί)* z. — 3 κατὰ ἐναντία (κατ' ἐν. m) Ῥόδου y καταέναντι ἀρόδου (*sic*) c. — καθορμήσας y. — τῇ — ναυστολίᾳ? — 3. 4 τῇ πολίχνῃ x τὴν πολίχνη em. — 6 αὐτόν c. — 9 γενομένου yz. — ῥάδου e ῥόδου m. — 12 ῥόδου em. — 13 proeliaturus A. — 14 βούλωνται cg. — 17 πάππα g. — 19 *Βουσοὺρ add. ex* A *om. codd.* — 20 ἠχμαλώτευσε καὶ *om.* A. — 21 μετὰ ε' δεσμίους g. — 22 Μαύϊαν *et* 23 Μαύϊας em. — *v. v.* 25—29 *om.* xy. — *v. v.* 30—34 *Inter principem Arabum et episcopum Constant.* y *add.:* Ῥώμης ἐπίσκοπος Μαρτῖνος ἔτη ηʹ cz: Ῥώμης ἐπίσκοπος Μαρτῖνος ἔτη. — 32^2 χμθʹ c. — 32^4 Οὐθμᾶν z *sine acc.* c. — *v.* 34 *om.* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τούτῳ τῷ ἔτει Γρηγόριος, ἀδελφιδοῦς Ἡρακλείου, ἐν Ἡλιουπόλει ἀπέθανε καὶ σμυρνισθεὶς εἰσήχθη ἐν Κωνσταντινουπόλει. τῷ δ' αὐτῷ ἔτει κόνις ἐξ οὐρανοῦ κατηνέχθη, καὶ φόβος μέγας ἐπέπεσε τοῖς ἀνθρώποις.

Κωνσταντινουπόλεως ἐπίσκοπος Πέτρος ἔτη ιβ'. A. M. 6145 *652/3*
Παῦλος τελευτᾷ καὶ Πύρρος πάλιν ἀπεκατεστάθη μῆνας δ' ἡμέρας κγ'.
ιβ'. η'. α'. ι'.

Τούτῳ τῷ ἔτει Μαυΐας τὴν Ῥόδον καταλαβὼν καθεῖλε τὸν κολοσσὸν Ῥόδου μετὰ ατξ' ἔτη τῆς αὐτοῦ ἱδρύσεως, ὃν Ἰουδαῖός τις ὠνησάμενος ἔμπορος Ἐδεσηνὸς ἐννακοσίας καμήλους ἐφόρτωσεν 528 B *αὐτοῦ τὸν χαλκόν. τῷ δ' αὐτῷ ἔτει Ἄβιβος, ὁ τῶν Ἀράβων στρατηγός, τὴν Ἀρμενίαν ἐπεστράτευσε καὶ περιτυχὼν Μαυριανόν, τὸν τῶν Ῥωμαίων στρατηγόν, καταδιώκει αὐτὸν ἕως τῶν Καυκασίων ὀρέων καὶ τὴν χώραν ἐληΐσατο.*

ιγ'. θ'. β'. A. M. 6146 *653/4*

Τούτῳ τῷ ἔτει ἐπέτρεψε Μαυΐας γενέσθαι ἐξόπλισιν μεγάλην 287 P *τῶν πλοίων πρὸς τὸ ἀνελθεῖν τὸν στόλον αὐτοῦ κατὰ Κωνσταντινουπόλεως. ἡ δὲ πᾶσα ἑτοιμασία ἐν Τριπόλει ἦν τῇ κατὰ Φοινίκην. τοῦτο δὲ θεασάμενοι δύο ἀδελφοί τινες φιλόχριστοι ἐν Τριπόλει καταμένοντες, υἱοὶ Βουκινάτορος, ξήλῳ θεοῦ τρωθέντες ἐπὶ τὸ δεσμωτήριον τῆς πόλεως ὥρμησαν (εἶχε δὲ πλῆθος δεσμίων Ῥωμαίων) καὶ διαρρήξαντες τὰς πύλας καὶ τοὺς δεσμίους λύσαντες ἐπὶ τὸν ἀμηρᾶν τῆς πόλεως ὥρμησαν, καὶ κτείναντες αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ καὶ τὴν ἀποσκευὴν ἅπασαν πυρὶ καταναλώσαντες ἐπὶ τὴν Ῥωμανίαν ἀπέπλευσαν. πλὴν οὐδ' οὕτως τῆς αὐτῆς ἐπαύσαντο ἐξαρτήσεως· ἀλλ' ὁ μὲν Μαυΐας στρατεύει ἐπὶ Καισάρειαν Καππαδοκίας, Ἀβουλαθὰρ δὲ ἀρχηγὸν κατέστησε τῆς αὐτῆς πλοιοποιΐας· ὃς παραγενόμενος εἰς τὸν λεγόμενον Φοίνικα τῆς Λυκίας, ἔνθα ἦν ὁ βασιλεὺς Κώνστας μετὰ τοῦ Ῥωμαϊκοῦ στόλου, ναυμαχεῖ μετ'* 529 B

---

1 *τούτῳ τῷ ἔτει*—2 *ἐν Κωνστ. om.* dA. — *ἀδελφιδοῦς* c *ἀδελφοῦς* y *ὁ ἀδελφοῦς* z *cf. p.* 344, 23. — *Ἰλιουπόλει* g. — 2 *σμυρνηθείς* h. — *εἰσήχθη* y *ἠνέχθη* cz. — 3 *ἔπεσε* y. — 5 *Πέτρος* z *Παῦλος* cy. — 6 *καὶ om.* cy. — *Πύρος* cg. — *ἀπεκατέστη* y *ἀντεκατέστη* c. — 7 *ιβ'. η'. ι'. α'.* cy. — 8 *τῷ δ' αὐτῷ ἔτει* d. — 10 *Ἐδεσινός* gy *Αἰδεσινός* dh *Αἰδεσινός* c. — *ἐνακοσίας* ehm *ἐννακοσίους* g. — *ἐπεφόρτωσεν* z. — 11 *χαλκοῦν* y. — *Ἄββιβος* em. — 13 *αὐτὸν om.* xy. — 15 *β'*] *γ'* c. — 16 *ἐπέτρεψε M. γενέσθαι ἐξ.* x praecepit M. armaturam fieri A *ἐπεστράτευσε M. γενέσθαι ἐξ.* y *ἐπεστράτευσε M. καὶ ὡρίσατο γεν. ἐξ.* z. — *Μαύϊας* c *item v.* 26. — 17 *πρὸς τό*] *τοῦ* xy. — 18 *Φοινίκη* y. — 20 *βουκινάτωρος* dg *βουκηνάτορος* h. — 21 *Ῥωμαίων δεσμίων* g. — 23 *ἀμηρᾶν codd. praeter* g. — *καὶ τοὺς σὺν αὐτῷ om.* y. — 25 *ἐπαύσατο* z. — 26 *ἐξαρτύσεως sec. m.* f *ἐξαρτίσεως?* — *ἐπὶ τὴν Καισ.* y *κατὰ Καισαρείας* d. — *τῆς Καππαδοκίας* dz. — 27 *Ἀβουλαθάρ*] Abulathar A *Ἀβουλανάρ* g *Ἀβουλαῦαρ* h *Ἀβουλαούαρ* x *Ἀβουλαούρ* f *Ἀβουλάουρ* e *Ἀβούλαουρ* m. — *τῆς ναυπλοίας* (*om. αὐτῆς*) z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ. μέλλοντος δὲ τοῦ βασιλέως ναυμαχεῖν, θεωρεῖ κατ' ὄναρ τῇ νυκτὶ ἐκείνῃ εἶναι αὐτὸν ἐν Θεσσαλονίκῃ. διϋπνισθεὶς δὲ διηγήσατό τινι ὀνειροκρίτῃ τὸ ὅραμα. ὁ δὲ ἔφη· "ὦ βασιλεῦ, εἰθοις μὴ ἐκοιμήθης, μήτε ὄνειρον εἶδες. τὸ γὰρ εἶναί σε ἐν Θεσσαλονίκῃ "θὲς ἄλλῳ νίκην" ἐγκρίνεται, ⟨τοῦτ' ἔστι⟩ πρὸς τὸν ἐχθρόν σου ἡ νίκη τρέπεται." τοῦ δὲ βασιλέως μηδὲν ποιησαμένου πρὸς παράταξιν ναυμαχίας, τὸν Ῥωμαϊκὸν στόλον προσηγήσατο εἰς πόλεμον. καὶ συμβαλόντες ἀλλήλοις ἡττῶνται Ῥωμαῖοι, καὶ συγκιρνᾶται ἡ θάλασσα τῷ αἵματι τῶν Ῥωμαίων. ἐνέδυσε δὲ ὁ βασιλεὺς ἄλλον τὴν ἐσθῆτα αὐτοῦ. καὶ εἰσπηδήσας ὁ υἱὸς τοῦ Βουκινάτορος ὁ προλεχθεὶς εἰς τὸ βασιλικὸν σκάφος, τὸν βασιλέα ἁφαρπάσας καὶ εἰς ἕτερον σκάφος τοῦτον μεταβαλὼν παραδόξως διέσωσεν. αὐτὸς δὲ ἀνδρείως ἐπιστὰς τῇ βασιλικῇ νηῒ πολλοὺς ἀνεῖλεν ὁ γενναιότατος θανάτῳ ἑαυτὸν παραδοὺς ὑπὲρ τοῦ βασιλέως. τοῦτον δὲ κυκλώσαντες οἱ πολέμιοι καὶ ἐν μέσῳ κατασχόντες ἐδόκουν αὐτὸν εἶναι τὸν βασιλέα. μετὰ δὲ τὸ πολλοὺς ἀνελεῖν ἔκτειναν αὐτὸν οἱ πολέμιοι σὺν τῷ φοροῦντι τὴν
530 B βασιλικὴν ἐσθῆτα. ὁ δὲ βασιλεὺς οὕτω τροπωσάμενος σώζεται καὶ καταλιπὼν πάντας ἀπέπλευσεν ἐν Κωνσταντινουπόλει.

654/5 A. M. 6147 ιδ'. ι'. γ'.

Τούτῳ τῷ ἔτει ἐδολοφονήθη Οὐθμάν, ὁ τῶν Ἀράβων ἀρχηγός, ὑπὸ τῶν ἐν Ἐθρίβοις, ἀμηρεύσας ἔτη ι'. γέγονε δὲ ἀνασοβὴ μέσον
288 P αὐτῶν. ὅσοι γὰρ κατὰ τὴν ἔρημον ὑπῆρχον, τὸν Ἀλὴ ἤθελον, ἀνεψιὸν τοῦ Ἀλή, γαμβρὸν ὄντα τοῦ Μουάμεδ· οἱ δὲ κατὰ Συρίαν καὶ Αἴγυπτον τὸν Μαυΐαν ἤθελον· ὃς καὶ ἐνίκησε καὶ ἐκράτησεν ἔτη κδ'.

655/6. A. M. 6148 Ἀράβων ἀρχηγὸς Μαυΐας ἔτη κδ'.

ιε'. α'. δ'.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μαυΐας κατὰ Ἀλή· καὶ συναθροί-

---

2 ἑαυτόν e. — 3 εἴθυς h εἴθε g *et sec. m.* f. — 4 οἶδες em. — 4. 5 θὲς, ἄλλῳ νίκη d θὲς ἄλλῳ τὴν νίκην A Georg. Mon. p. 589 Zon. XIV, 19 Θεσσαλονίκη cyz. — 5 τοῦτ' ἔστι *add. ex* A Georg. Mon. *om. codd.* — ἡ νίκη z Georg. *om.* xy. — 6 τοῦ δὲ βασ. — 7 προσηγήσατο εἰς πόλεμον xy. *Eadem fere legit* A *sed* προεστήσατο (praestruxit) εἰς πόλεμον. τοῦ δὲ βασιλέως μηδένα ποιησαμένου λόγον περὶ τούτου (τοῦτο h), πρὸς παράταξιν — προεστήσατο (ἡ *add.* h) καὶ πόλεμον z. *Equidem post* ναυμαχίας, Μαυΐας *intercidisse crediderim.* — 7 καὶ δὴ συμβαλόντες z. — 8 τῷ αἵματι *sec. m.* f Georg. Mon. sanguine A τοῦ αἵματος xy τοῖς αἵμασι z. — 9 ἄλλῳ d. — ἄλλον τινὰ z τινα *om.* xyA. — τὴν ἑαυτοῦ ἐσθῆτα z. — βουκινάτωρος d βουκηνάτορος h. — 11 καὶ τὸν βασ. xy καὶ *om.* zA. — καὶ *ante* εἰς *om.* x. — 12 μεταβαλὼν παραδ. zA μετέβαλε καὶ παρ. xy. — 15 τὸν βασιλέα *om.* cy. — 16 ἔκτειναν αὐτὸν οἱ πολέμιοι (οἱ πολ. *om.* d) xyA κτείνεται καὶ αὐτὸς ὑπὸ τῶν πολεμίων z. — 17 τροπευσάμενος z. — 19 ιδ'. γ'. ι'. g. — 20 Οὐθμᾶν z Οὐθμέν em. — Ἀράβων xyA Σαρακηνῶν z. — στρατηγός g. — 21 μέσων f. — 22 Ἀλῆ g *sine acc.* c. — 23 Ἀλῆ fg *sine acc.* c. — 24 Μάνϊαν em. — *v.* 25 *om.* cef. — ἔτη κθ' g. — 27 ἐστράτευσε c. — Μάνϊας em. — Ἀλῆ cg.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ξονται ἀμφότεροι ἀναμέσον Βαρβαλισσοῦ εἰς τὸ Καισάριον πλησίον τοῦ Εὐφράτου. οἱ δὲ τοῦ Μανΐου ἐπικρατέστεροι γεγονότες τὸ ὕδωρ ἔλαβον· εἰς δίψαν δὲ ἐλθόντες οἱ τοῦ Ἀλὴ ἐλιποτάκτουν. Μανΐας δὲ οὐκ ἤθελε πολεμῆσαι· ἀλλ' ἀπονητὶ τὴν νίκην ἥρατο.

ις'. β'. ε'. A. M. 6149 *656/7*.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν ὁ βασιλεὺς κατὰ Σκλαυινίας καὶ ᾐχμαλώτευσε πολλοὺς καὶ ὑπέταξεν. τῷ δ' αὐτῷ ἔτει καὶ τὰ κατὰ τὸν ἅγιον Μάξιμον καὶ τοὺς μαθητὰς αὐτοῦ ἐπράχθη ὑπὲρ τῆς ὀρθῆς πίστεως ἀγωνισαμένων κατὰ τῶν Μονοθελητῶν. οὓς Κώνστας 531 B
εἰς τὴν ἑαυτοῦ κακοδοξίαν μὴ ἰσχύσας μετενέγκαι, τὴν θεόσοφον καὶ πολυμαθεστάτην γλῶσσαν τοῦ ἁγίου ἀπέτεμε μετὰ τῆς δεξιᾶς χειρὸς αὐτοῦ, ὡς πλεῖστα κατὰ τῆς αὐτοῦ δυσσεβείας σὺν τοῖς μαθηταῖς αὐτοῦ Ἀναστασίοις συγγραψαμένου, ἃ καὶ κατ' ἔπος οὗτοι γεγράφασιν, ὡς οἱ φιλομαθεῖς γινώσκουσιν.

ιζ'. γ'. ς'. A. M. 6150 *657/8*.

Τούτῳ τῷ ἔτει ἐστοιχήθη μεταξὺ Ῥωμαίων καὶ Ἀράβων, τοῦ Μανΐου πρεσβεύσαντος διὰ τὴν ἀνταρσίαν, ἵνα τελῶσι τοῖς Ῥωμαίοις οἱ Ἄραβες καθ' ἡμέραν νομίσματα χίλια καὶ ἵππον καὶ δοῦλον. γέγονε δὲ καὶ σεισμὸς μέγας ἐν τούτῳ τῷ χρόνῳ καὶ πτῶσις ἔν τε τῇ Παλαιστίνῃ καὶ Συρίᾳ μηνὶ Δαισίῳ ἰνδικτιῶνος β'.

Τῷ δ' αὐτῷ ἔτει ἐξωρίσθη Μαρτῖνος, ὁ ἁγιώτατος πάπας Ῥώμης, ὑπὲρ τῆς ἀληθείας γενναίως ἀγωνισάμενος καὶ ὁμολογητὴς γενόμενος, ἐν τοῖς κλίμασι τῆς ἀνατολῆς τελευτήσας.

ιη'. δ'. ζ'. A. M. 6151 *658/9*.

Τούτῳ τῷ ἔτει ἀνεῖλε Κώνστας Θεοδόσιον, τὸν ἴδιον ἀδελφόν. τῶν δὲ Ἀράβων ὄντων εἰς τὸ Σαπφίν, ἐδολοφονήθη Ἀλή, ὁ τῆς Περσίδος· καὶ μονοκρατορεῖ Μανΐας βασιλικῶς κατοικήσας ἐν Δα- 289 P
μασκῷ καὶ τοὺς θησαυροὺς ἐκεῖ ἀποθέμενος τῶν χρημάτων.

ιθ'. ε'. η'. A. M. 6152 *659/60*.

Τούτῳ τῷ ἔτει ἀνεφάνη αἵρεσις Ἀράβων, οἱ λεγόμενοι Χαρουρ- 532 B
γῖται. Μανΐας δὲ τούτους χειρωσάμενος τοὺς ἐν Περσίδι ἐταπείνωσεν, τοὺς δὲ ἐν Συρίᾳ ὕψωσεν· καὶ τοὺς μὲν ἐκάλεσεν Ἰσαμίτας,

---

1 *Βαρκαλίσσου* xy. — *Καισάρειον* dhy. — 3 *Ἀλῆ* cg. — *ἐλειποτάκτουν* g. — 4 *ἠθέλησε* x. — *ἧρατο* deh *sine spir.* c. — 5 *ε'*] *ι'* h. — 6 *Σκλαβινίας* fg *Σκλαυηνίας* h. — 7 *αἰχμαλώτευσε* y. — 8 *περί* g. — 11 *ἀπέτεμεν om.* y. — 13 *συγγραψαμένοις* yz. — *καθ' ἔπος* h *καθέπος* dg *καθέπως* em *καθέσεως* f. — 17 *Μανΐα* ch. — *τελέσωσι* cz. — *τοῖς om.* z. — 20 *δεσίῳ codd. praeter* g. — *δ ἰν codd.* — *ιβ'* em. — 21 *πάππας* g. — 23 *κλήμασι* dhy. — *τῆς ἀνατολῆς ἤτοι ἐν Χερσῶνι ἐκεῖσε τελ.* d. — *v.* 24 *om.* y. — 26 *ὁ Ἀλ.* z. — *Ἀλήν* (*-ῆν* c) *codd.* — 27 *Μάνΐας* em. — *v.* 29 *om.* c. — 30 *Χαρουργῆται* (*-γήται* f) y *Χαρουργεῖται* h. — 31 *Μάνΐας* cem. — 32 *τοὺς δέ*] *καὶ τοὺς* x. — *Ἰσαμήτας* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς δὲ Ἡρακίτας. καὶ τῶν μὲν Ἰσαμιτῶν τὰς ῥόγας ἀνήνεγκεν ἕως σ' νομισμάτων, τῶν δὲ Ἡρακιτῶν κατήνεγκεν ἕως λ' νομισμάτων.

660/1 A. M. 6153 κ'. ς'. θ'.

Τούτῳ τῷ ἔτει καταλιπὼν ὁ βασιλεὺς Κωνσταντινούπολιν μετέστη ἐν Συρακούσῃ τῆς Σικελίας, βουληθεὶς ἐν Ῥώμῃ τὴν βασιλείαν μεταστῆσαι. καὶ πέμπει τοῦ ἀγαγεῖν τὴν γυναῖκα αὐτοῦ καὶ τοὺς τρεῖς υἱοὺς αὐτοῦ, Κωνσταντῖνον, Ἡράκλειον καὶ Τιβέριον· οἱ δὲ Βυζάντιοι οὐκ ἀπέλυσαν αὐτούς.

661/2 A. M. 6154 κα'. ζ'. ι'.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσαν οἱ Ἄραβες κατὰ Ῥωμανίας καὶ πολλοὺς ἠχμαλώτευσαν καὶ τόπους πλείους ἠρήμωσαν.

662/3 A. M. 6155 κβ'. η'. ια'.

Τούτῳ τῷ ἔτει ἠχμαλωτίσθη μέρος τῆς Σικελίας, καὶ ᾠκίσθησαν ἐν Δαμασκῷ θελήσει αὐτῶν.

663/4 A. M. 6156 κγ'. θ'. ιβ'.

Τούτῳ τῷ ἔτει ἐγένετο πλάνη τῶν νηστειῶν. καὶ ἐπεστράτευσεν ὁ Ἀβδεραχμάν, ὁ τοῦ Χαλέδου, τὴν Ῥωμανίαν καὶ ἐν αὐτῇ ἐχείμασε καὶ πολλὰς ἐλυμήνατο χώρας. οἱ δὲ Σκλαυινοὶ τούτῳ προσρυέντες
533 B σὺν αὐτῷ ἐν Συρίᾳ κατῆλθον χιλιάδες πέντε, καὶ ᾠκίσθησαν εἰς τὴν Ἀπαμέων χώραν ἐν κώμῃ Σελευκοβόλῳ.

664/5 A. M. 6157 Κωνσταντινουπόλεως ἐπίσκοπος Θωμᾶς ἔτη γ'.
κδ'. ι'. α'.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Βουσοὺρ κατὰ Ῥωμανίας· καὶ ἀπέθανε Θωμάριχος, ὁ ἐπίσκοπος Ἀπαμείας· καὶ ἐκάη ὁ ἐπίσκοπος Ἐμέσης.

665/6 A. M. 6158 κε'. ια'. β'.
290 P. Τούτῳ τῷ ἔτει ἐπεστράτευσε πάλιν Βουσοὺρ τὴν Ῥωμανίαν καὶ ἐλυμήνατο τὰ μέρη Ἐξαπόλεως, καὶ Φαδαλᾶς ἐκεῖ ἐχείμασεν.

666/7 A. M. 6159 κς'. ιβ'. γ'.

Τούτῳ τῷ ἔτει ὁ τῶν Ἀρμενιάκων στρατηγὸς Σαβώριος Περσογενὴς ἐστασίασε κατὰ Κώνστα τοῦ βασιλέως καὶ πέμπει πρὸς Μανῦαν

---

1 Ἡραβίτας h Heraclitas A. — Ἰσαμητῶν h. — 2 σ' νομ.—κατήν. ἕως om. y. — ἕως τῶν σ' z. — Ἡραμιτῶν c Ἡραβιτῶν h Heraclitarum A. — ἕως τῶν λ' x. — 6 τοῦ om. g. — 11 πλείους cy πλείστους d πολλούς z nonnulla A. — v. v. 13—15 om. x. — 14 Δαμασκῷ om. em. — 16 τῷ δ' αὐτῷ ἔτει d. — 17 Ἀὐδεραχμάν (-μᾶν g sine acc. c) egm Ἀὐδεραυχμάν (sine acc. c) hx. — 18 Σκλανίνοι m Σκλαβίνοι g κλαύινοι e. — τοῦτο y. — 19 ᾤκησαν g. — 20 Ἀπαμαίων hxy Ἀπαμαῖαν g. — ἐν κώμῃ λεγομένῃ Σελ. d. — Seleucobori A. — 21 Θωμάς f. — 22 κα' c κ' f. — 23 Βουσοῦρ z Βησούρ em item v. 26. — 24 Θαμάριχος em. — Ἀπαμείας—ὁ ἐπίσκοπος om. h. — ἐκάθη f. — Αἰμέσης h Αἱμέσης c. — 26 τὴν Ῥωμανίαν c τῇ Ῥωμανίᾳ rell. — 27 Ἐξαπόλεως om. y Ἐξαπόλεως rell. — καὶ Φαλαδάς em Κεφαλάδας f. — ἐκεῖσε xz. — 29 Ἀρμενιακῶν f Ἀρμενίων x. — Σαβόριος h Σαβούριος y. — 30 Κώνστου h Κώνσταντος x. — Μάνϊαν em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σέργιον τὸν στρατηλάτην ὑποσχόμενος τῷ Μανΐᾳ ὑποτάξαι τὴν Ῥωμανίαν, εἰ αὐτῷ συμμαχήσει κατὰ τοῦ βασιλέως. γνοὺς δὲ Κωνσταντῖνος, ὁ υἱὸς τοῦ βασιλέως, ἀποστέλλει καὶ αὐτὸς πρὸς Μανΐαν Ἀνδρέαν τὸν κουβικουλάριον μετὰ δώρων, ὅπως μὴ συνδώσῃ τῷ ἀντάρτῃ. καταλαβὼν δὲ Ἀνδρέας τὴν Δαμασκὸν εὗρε Σέργιον προλαβόντα, ὁ δὲ Μανΐας ὑπεκρίνετο συμπαθεῖν τῷ βασιλεῖ. ἦν δὲ Σέργιος καθήμενος πρὸς Μανΐαν, καὶ εἰσελθόντος Ἀνδρέου, ἰδὼν αὐτὸν ὁ Σέργιος ἐπηγέρθη. ὁ δὲ Μανΐας ἐμέμψατο τὸν Σέργιον, 534 B *λέγων· "τί ἐδειλίασας;" ὁ δὲ Σέργιος ἀπελογήσατο κατὰ συνήθειαν τοῦτο πεποιηκέναι. στραφεὶς δὲ Μανΐας λέγει τῷ Ἀνδρέᾳ· "τί ζητεῖς;" ὁ δὲ λέγει· "ἵνα δώσῃς βοήθειαν κατὰ τοῦ ἀντάρτου." ὁ δὲ λέγει. "ἀμφότεροι ἐχθροί ἐστε· καὶ τῷ πλείω παρέχοντί μοι δίδωμι." καὶ ὁ Ἀνδρέας ἔφη πρὸς αὐτόν· "μὴ ἀμφιβάλῃς, ἀμηρᾶ, ὅτι ὀλίγα παρὰ βασιλέως κρεῖττόν σοι, ἢ πλεῖστα παρὰ ἀντάρτου· ὅμως, ὡς ἐρασμίως ἔχεις, ποίει." καὶ ταῦτα εἰπὼν Ἀνδρέας ἐσιώπησεν. ὁ δὲ Μανΐας λέγει· "σκέπτομαι περὶ τούτου·" καὶ κελεύει ἀμφοτέρους ἐξελθεῖν. προσκαλεσάμενος δὲ Μανΐας κατ' ἰδίαν τὸν Σέργιον λέγει αὐτῷ· "μηκέτι προσκυνήσῃς τῷ Ἀνδρέᾳ, ἐπεὶ οὐδὲν ἀνύσεις." καὶ τῇ ἐπαύριον προλαβὼν ὁ Σέργιος τὸν Ἀνδρέαν πρὸς Μανΐαν ἐκάθητο. καὶ εἰσελθόντος τοῦ Ἀνδρέου, οὐκ ἐπηγέρθη καθὼς χθές. ὁ δὲ Ἀνδρέας περιβλεψάμενος τῷ Σεργίῳ δεινῶς ὕβρισε καὶ ἠπείλησε λέγων, ὅτι· "εἰ ζῶ, δεῖξαί σοι ἔχω τὸ τίς εἰμί." ὁ δὲ Σέργιος ἔφη· "οὐκ ἐπεγείρομαί σοι, ὅτι οὐκ εἶ ἀνήρ, οὐδὲ γυνή." ἀμφοτέρους δὲ παύσας ὁ Μανΐας τῷ Ἀνδρέᾳ ἔφη· "στοίχησον δοῦναι καθὼς ὁ Σέργιος δίδωσιν·" "καὶ πόσον ἔστιν;" ἔφη Ἀνδρέας.* 535 B *ὁ δὲ Μανΐας εἶπεν· "τὴν εἰσφορὰν τῶν δημοσίων παρέχειν τοῖς Ἄραψιν." καὶ ὁ Ἀνδρέας ἔφη· "βαβαί σοι, Μανΐα, συμβουλεύεις τὸ σῶμα δοῦναι, τὴν δὲ σκιὰν κατέχειν. ὡς θέλεις, μετὰ Σεργίου* 291 P *στοίχει· ἐγὼ γὰρ τοῦτο οὐ ποιῶ. πλὴν σὲ παρεῶντες, πρὸς τὸν θεόν, ὡς δυνατώτερόν σου ὄντα ὑπερασπίζειν Ῥωμαίοις, καταφεύγομεν καὶ ἐπ' αὐτῷ τὰς ἐλπίδας τιθέμεθα." ταῦτα εἰπὼν λέγει τῷ*

---

1 *Σέργιον—τῷ Μανΐᾳ om.* em. — *τοῦ M.* c. — 2 *συμμαχήσῃ* xy. — 3 *Μανΐαν* em *item v.* 7. 20. — 4 *συνδώσει* cf. — 6 *Μανΐας* c. — *ὑπεκρίνετο* dzA *ὑπεκρίνατο* cy. — 8 *ὁ ante Σέργιος om.* c. — *ἠγέρθη* y. — 8 *ὁ δὲ Μανΐας—* 9 *ὁ δὲ Σέργιος om.* y. — 9 *τί* dA *ὅτι* cz. — 10 *Μανΐας* em *item v.* 16. 24. 26. — 11 *δώσεις* fg *δόσῃς* h. — 12 *παρέχοντι—*13 *πρὸς αὐτόν om.* h. — 12 *παρασχόντι* g. — 13 *ἀμηρά* cgy. — 14 *σου* y. — 17 *Μανΐας* e *om.* m. — 19 *ἀνύσεις* g *ἀνοίσεις* chy *ἀνοίσῃς* d. — 19 *προσλαβών* f. — *τὸν Ἀνδρέαν* g *τῷ Ἀνδρέᾳ vell.* — 20 *ἐπειγέρθη* y *ἐπεγέρθη* z. — 22 *τὸ om.* y. — 23 *οὐδὲ πάλιν γυνή* z. — 25 *ὁ Ἀνδρέας* hm. — 26 *ἔφη* x. — 27 *Μανΐα* em. — 29 *παρεῶντες vulg.* te dimisso A *παρεοῦντες* xz *παριοῦντες* y. — 30 *δυνατωτέρῳ—ὄντι* yz. — *σου om.* x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μανΐᾳ· "σῴζου·" καὶ ἐξῆλθεν ἀπὸ Λαμασκοῦ ἐπὶ τὴν Μελιτηνὴν διὰ τὸ τὸν τύραννον εἶναι ἐν τοῖς μέρεσιν ἐκείνοις, ἐν οἷς καὶ Σέργιος εἶχε πορεύεσθαι. ὡς δὲ κατέλαβε τὴν Ἀραβισσόν, περιτυγχάνει τῷ κλεισουροφύλακι. οὐ γὰρ συναπῆλθε τῷ τυράννῳ. τούτῳ δὲ προστάττει παρατηρεῖν τὸν Σέργιον ἐπανερχόμενον, ἵνα αὐτὸν ἀγάγῃ πρὸς αὐτόν. αὐτὸς δὲ ἐπορεύθη εἰς Ἀμνησίαν τὸν Σέργιον ἐκδεχόμενος, τὰ δὲ πεπραγμένα τῷ βασιλεῖ ἐδήλωσεν. Σέργιος δὲ στοιχήσας μετὰ Μανΐου τὰ δοκοῦντα παρέλαβε Φαδαλᾶν, στρατηγὸν Ἀράβων, μετὰ βοηθείας βαρβαρικῆς συμμαχεῖν τῷ Σαβωρίῳ. προπορευόμενος δὲ ὁ Σέργιος τῷ Φαδαλᾷ καὶ περιχαρῶς πρὸς Σαβώριον ἀπερχόμενος περιπίπτει ἐν ταῖς κλεισούραις τοῖς τοῦ Ἀνδρέου λόχοις. καὶ τοῦτον κρατήσαντες πρὸς Ἀνδρέαν φέρουσι δέσμιον. ὁ δὲ Σέργιος ἰδὼν τὸν Ἀνδρέαν ῥίπτει ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ
536 B *δεόμενος φεῖσασθαι αὐτοῦ. ὁ δὲ πρὸς αὐτόν· "σὺ εἶ Σέργιος ὁ ἐγκαυχώμενος ἐν τοῖς αἰδοίοις ἐπὶ Μανΐου, κἀμὲ θηλυδρίαν ἀποκαλῶν. ἰδού· ἀπὸ τοῦ νῦν τὰ αἰδοῖά σου οὐδέν σε ὠφελήσουσιν, ἀλλὰ καὶ θανατώσουσιν." ταῦτα εἰπὼν ἐπιτρέπει ἐκτμηθῆναι αὐτοῦ τὰ αἰδοῖα, καὶ ἐκρέμασεν αὐτὸν ἐπὶ ξύλου. ὁ δὲ Κωνσταντῖνος ἀκούσας τὴν τοῦ Φαδαλᾶ ἄφιξιν εἰς τὴν Σαβωρίου βοήθειαν ἀποστέλλει Νικηφόρον τὸν πατρίκιον μετὰ Ῥωμαϊκῆς δυνάμεως ἀντιτάξασθαι τῷ Σαβωρίῳ. ἦν δὲ Σαβώριος εἰς Ἀδριανούπολιν, καὶ ὡς ἐπύθετο Νικηφόρον ἔρχεσθαι πρὸς αὐτόν, ἐγύμναζεν ἑαυτὸν πρὸς πόλεμον. συνέβη δὲ ἐν μιᾷ τῶν ἡμερῶν κατὰ τὸ εἰωθὸς τοῦτον τῆς πόλεως ἔφιππον ἐξελαύνειν. ὡς δὲ γέγονε πλησίον τῆς πύλης τῆς πόλεως, δίδωσι τῷ ἵππῳ τῇ μάστιγι. ὁ δὲ ἀφηνιάσας καὶ τούτου τὴν κεφαλὴν τῇ πύλῃ προσρήξας κακῶς τοῦ ζῆν ἀπήλλαξεν· καὶ οὕτως ὁ θεὸς τὴν νίκην ἐδωρήσατο τῷ βασιλεῖ. Φαδαλᾶς οὖν ἐλθὼν εἰς τὴν Ἐξάπολιν καὶ μαθὼν πάντα ἠπόρησεν, καὶ ἀποστέλλει πρὸς Μανΐαν αἰτῶν βοήθειαν διὰ τὸ τοὺς Ῥωμαίους εἰς ὁμόνοιαν ἐλθεῖν.*

---

1 *Μάνϊα* em. — *ἐξελθών* g. — *Μελιτινὴν* emxz *Μελιτίνην* f. — 2 *τὸ om.* c. — 3 *Ἀράβισσον* em *Ἀραβησσον sine acc.* c. — 4 *συναπίει* y *συναπείη* d *συναπήχθη* z. — 5 *Σέργιον, ἵνα ἐπανερχόμενον αὐτ.* y. — *ἀγάγει* h *ἄγει* y. — 8 *Φαδαλάν* f *Φαδαλάμ* g *Φάδαλην* em *om.* x. — 9 *τῷ Σαβορίῳ* g *τῷ Σαβώρῳ* y *τῷ σοβαρῷ Σαβορίῳ* h. — 10 *ὁ om.* y. — *Φαδαλάν* d *Φαδαλάμ* c *Φαδάλῳ* fz *Φαδαλῷ* em Phadalum A. — *Σαβόριον* z. — 11 *κλησούραις* y. — *τοῖς om.* y. — 12 *πρὸς τὸν Ἀνδρέα* h. — 14 *πρὸς αὐτὸν ἔφη* d. — 15 *αἰδοῖς* em *αἰδοίοις* f *sec. m. in lit.* — *θηλύδριον* yz. — 16 *ὠφελήσωσι* dy. — 17 *καὶ om.* z. — *Θανατώσωσιν* y. — *αὐτοῦ ἐκτμηθῆναι τά* f *αὐτὸν ἐκτμ. τά* em. — 18 *Κωνστάντιος* g. — 19 *Φαδαλᾶμ* dg *Φαδαλάμ* ch *Φαδάλου* y Phadali A. — *τὴν τοῦ Σ.* x. — *Σαβορίου* h *Σαβώρου* gy. — 21 *Σαβορίῳ* ceh. — *Σαβόριος* h. — 22 *τὸν Νικ.* h. — 24 *τῆς πύλης om.* cg. — 25 *τῷ μάστιγι* em *τῇ μ. sed τῇ sec. m. in lit.* f *τὴν μάστιγα coni.* Classen. — *τούτῳ* g. — 27 *Φαδαλάς* d *Φαδαλάμ* z *Φαλαδάς* c *Φάλαδας* y. — 28 *ἠπόρησε πάντα* y. — 29 *Μάνϊαν* m *Μανϊάν* e. — *ἐλθεῖν εἰς ὁμόνοιαν* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πέμπει δὲ αὐτῷ Μαυΐας τὸν υἱὸν αὐτοῦ Ἰζίδ, καθοπλίσας αὐτὸν πλήθει βαρβάρων. παρεγένοντο δὲ ἀμφότεροι εἰς Χαλκηδόνα καὶ 537 B
ἠχμαλώτευσαν πολλούς, παρέλαβον δὲ καὶ τὸ Ἀμώριον τῆς Φρυγίας ε' χιλιάδας ἐνόπλων ἀνδρῶν ἀφέντες εἰς φυλακὴν αὐτοῦ, καὶ ἀνέκαμψαν
εἰς Συρίαν. χειμῶνος δὲ γενομένου πέμπει ὁ βασιλεὺς τὸν αὐτὸν 292 P
Ἀνδρέαν τὸν κουβικουλάριον, καὶ χιόνος πολλῆς οὔσης, ἐν νυκτὶ καταλαμβάνει· καὶ διὰ ξύλων ἀνέρχονται ἐπὶ τὸ τεῖχος καὶ εἰσέρχονται εἰς τὸ Ἀμώριον· καὶ πάντας κτείνουσι τοὺς Ἄραβας, τὰς ε' χιλιάδας, καὶ οὐχ ὑπελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. ἐν αὐτῷ δὲ τῷ χειμῶνι πλημμύρα ὑδάτων γέγονεν εἰς Ἔδεσαν, καὶ πολλοὶ ἀπώλοντο· ἐφάνη δὲ καὶ σημεῖον ἐν τῷ οὐρανῷ.

Κωνσταντινουπόλεως ἐπίσκοπος Ἰωάννης ἔτη ϛ'. A. M. 6160 667/8.
,ϛρξ'. χξ'. κζ'. ιγ'. α'.

Τούτῳ τῷ ἔτει ἐθολοφονήθη ὁ βασιλεὺς Κώνστας ἐν Σικελίᾳ ἐν Συρακούσῃ ἐν τῷ βαλανείῳ, ᾧ ὄνομα Δάφνη. ἦν δὲ ἡ αἰτία αὕτη. μετὰ τὴν ἀναίρεσιν Θεοδοσίου, τοῦ ἀδελφοῦ αὐτοῦ, ἐμισήθη ὑπὸ τῶν Βυζαντίων, καὶ μάλιστα ὅτι καὶ Μαρτῖνον, τὸν ἁγιώτατον πάπαν Ῥώμης, ἀτίμως ἤγαγεν ἐν Κωνσταντινουπόλει καὶ ἐξώρισεν εἰς τὰ τῆς Χερσῶνος κλίματα, καὶ Μάξιμον τὸν σοφώτατον καὶ ὁμολογητὴν ἐγλωσσοτόμησεν καὶ ἐχειροκόπησε καὶ πολλοὺς τῶν ὀρθοδόξων αἰκίαις καὶ ἐξορίαις καὶ δημεύσεσι κατεδίκασε διὰ τὸ μὴ πείθεσθαι τῇ αἱρέσει αὐτοῦ, καὶ τοὺς δύο Ἀναστασίους μαθητὰς ὑπ- 538 B
άρχοντας τοῦ ὁμολογητοῦ καὶ μάρτυρος Μαξίμου ἐξορίαις καὶ βασάνοις ἐπέδωκεν. διά τοι ταῦτα ἐμισήθη σφοδρῶς παρὰ πάντων. δειλιάσας δὲ ἠβουλήθη μετενέγκαι τὸ βασίλειον εἰς Ῥώμην. ὅθεν καὶ τὴν βασίλισσαν καὶ τοὺς τρεῖς υἱοὺς αὐτοῦ ἐπᾶραι ἠθέλησεν, εἰ μὴ Ἀνδρέας ὁ κουβικουλάριος καὶ Θεόδωρος ὁ Κολωνείας τὴν τούτου βουλὴν διεκώλυσαν. ἐποίησε δὲ ἐν Σικελίᾳ ἔτη ϛ'. εἰσελθόντι δὲ αὐτῷ ἐν τῷ εἰρημένῳ βαλανείῳ συνεισῆλθεν αὐτῷ τις Ἀνδρέας, υἱὸς Τρωΐλου, ὑπουργῶν αὐτῷ. ὡς δὲ ἤρξατο γαλλικῷ σμήχεσθαι, λαβὼν Ἀνδρέας τὸ κάδιον δίδωσι κατὰ κορυφῆς τοῦ βασιλέως καὶ εὐθέως

---

1 αὐτῶν e *om.* h. — Ἰζιδ f Ἰζιδ *sine acc.* ce Ἰεζίδ h. — 2 βαρβαρικῷ d. — 3 Ἀμώριν em. — ε'] ι' x. — 4 ἀνδρῶν ἐνόπλων z. — 5 τὸν *om.* em. — 7 ξύλου g. — ἀνέρχονται f ἀνέρχεται g. — 8 κτέννουσι g. — ε'] ι' d. — 9 ὑπελήφθη xy. — 10 πλημμῦρα g πλημύρα h. — τῶν ὑδάτων h. — 13 Κόσμου ἔτη ,ϛρξ' τῆς θείας σαρκώσεως ἔτη χξ'. κζ'. ιγ'. α'. z. — χξ' *om.* f. — 14 εἰς Σικελίαν z. — 18 πάππα g. — 19 Χερσόνος c. — κλήματα *codd. praeter* g. — σοφώτατον] ἁγιώτατον d. — 20 ἐγλωσσοκόπησεν y. — 23 ἐξορίαις καὶ βασάνοις] tormentis et exiliis A. — 25 ad urbem Romam A. — 26 tollere a Byzantio A. — καὶ εἰ μὴ xy καὶ *om.* zA *deletum in* df καὶ ἐποίησεν ἄν? — 27 Κολωνείας g Κολωνίας h Κολονίας x Κωλωνίας f Κωλονίας em. — 29 συνῆλθεν f. — 30 Ῥωΐλου y. — γαλλικῷ σμίχεσθαι h γαλλίκῳ σκήχεσθαι (*sic*) g γαλίκω σμίχεσθαι x γαλίκως μίχεσθαι y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπέδρα. τοῦ δὲ βασιλέως χρονίσαντος ἐν τῷ βαλανείῳ, εἰσπηδῶσιν οἱ ἔξω καὶ εὑρίσκουσι τὸν βασιλέα τεθνηκότα· καὶ τοῦτον θάψαντες Μιζίζιόν τινα Ἀρμένιον βασιλέα πεποίηκαν βιασάμενοι τοῦτον· ἦν γὰρ λίαν εὐπρεπὴς καὶ ὡραιότατος. ἀκούσας δὲ Κωνσταντῖνος τὴν τοῦ πατρὸς ἀποβίωσιν μετὰ πλείστης ναυστολίας τὴν Σικελίαν κατ- 5
293 P 539 B ἔλαβεν, καὶ χειρωσάμενος Μιζίζιον τοῦτον ἀναιρεῖ σὺν τῶν φονέων τοῦ ἰδίου πατρός. καὶ καταστήσας τὰ ἑσπέρια ἐπὶ τὴν Κωνσταντινούπολιν ὥρμησεν, καὶ βασιλεύει τῶν Ῥωμαίων μετὰ Τιβερίου καὶ Ἡρακλείου, τῶν ἰδίων ἀδελφῶν.

668/9 A. M. 6161 Ῥωμαίων βασιλεὺς Κωνσταντῖνος ἔτη ιζ'. 10
α'. ιδ'. β'.

Τούτῳ τῷ ἔτει ἐβασίλευσε Κωνσταντῖνος σὺν τοῖς ἀδελφοῖς αὐτοῦ. καὶ ἐπεστράτευσαν Σαρακηνοὶ τὴν Ἀφρικὴν καὶ ᾐχμαλώτευσαν χιλιάδας π', ὥς φασιν. οἱ δὲ τοῦ θέματος τῶν ἀνατολικῶν ἦλθον ἐν Χρυσοπόλει λέγοντες ὅτι· "εἰς τριάδα πιστεύομεν· τοὺς τρεῖς 15
στέψωμεν." ἐταράχθη δὲ Κωνσταντῖνος, διότι αὐτὸς μόνος ἦν ἐστεμμένος, οἱ δὲ ἀδελφοὶ αὐτοῦ οὐδεμίαν ἀξίαν εἶχον· καὶ ἀποστείλας Θεόδωρον τὸν πατρίκιον [τὸν] Κολωνείας ἐτροπώσατο αὐτοὺς ἐπαινέσας αὐτούς, καὶ ἔλαβε τὰ πρωτεῖα αὐτῶν τοῦ εἰσελθεῖν ἐν τῇ πόλει καὶ μετὰ τῆς συγκλήτου βουλεύσασθαι καὶ ποιῆσαι τὸ θέλημα 20
540 B αὐτῶν. εὐθέως δὲ ὁ βασιλεὺς τούτους ἐφούρκισεν ἀντιπέραν ἐν Συκαῖς. καὶ τοῦτο ἰδόντες καὶ καταισχυνθέντες ἀπῆλθον ἐν ὀδύνῃ εἰς τὰ ἴδια. ὁ δὲ βασιλεὺς τοὺς ἀδελφοὺς αὐτοῦ ἐρρινοκόπησεν.

---

3 Mizium A *hic et infra* Μίζιξον Georg. Mon. p. 590. — 5 καταλαμβάνει z. — 6 σὺν τῶν φονέων *codd.* σὺν τῷ φονεῖ *sec. m.* f cum occisoribus A καὶ τὸν φονέα σὺν τοῖς στασιάσασιν Georg. Mon. μετὰ τῶν φονέων? — 7 τοῦ] τῶν h. — 8 τῶν Ῥωμαίων *om.* x. — 9 *Post* ἀδελφῶν cyz (*cf.* Zon. XIV, 20) *addunt alteram hanc de nece Constantis imp. narrationem e margine sine dubio in textum illatam, quae abest a* dA*:* τοῦ δὲ βασιλέως Κώνσταντος ἐν Σικελίᾳ ὄντος ἐπανέστη αὐτῷ Μιζίζιος (Μιζίζινος h Μιζίζονος g) μετὰ ἑτέρων ἐν τῷ λουτρῷ καὶ ἐθανάτωσαν αὐτόν. ἠμύνατο δὲ ὁ βασιλεὺς τὸν Μιζίζιον (Μιζίζινον z) καὶ τοὺς σὺν αὐτῷ τοὺς τοῦτο (τοὺς τοῦτο *om.* f τοὺς τότε em) τετολμηκότας καὶ ἀπεκεφάλισεν αὐτούς. ὡσαύτως δὲ καὶ Ἰουστινιανὸν τὸν πατρίκιον, τὸν πατέρα Γερμανοῦ τοῦ γενομένου πατριάρχου· τὸν δὲ Γερμανὸν τραχύτερον ὄντα εὐνούχισεν (εὐνούχησεν *codd.*). — 13 τῇ Ἀφρικῇ z. — 15 si in trinitatem credimus (εἰ τριάδα πιστ.) A. — 16 στέψομεν h. — δέ] ὁ z. — ἦν μόνος x. — 18 τὸν *ante* πατρίκιον *om.* z τὸν πατρίκιον *om.* x. — τὸν *ante* Κολ. *om.* g. — Κολωνείας g Κολωνίας h Κολονίας x Κωλονίας y. — 21 τούτους] hos deceptos A. — ἐφούρκησεν fh. — ἀντίπεραν z ἀντίπερα xy. — 22 τοῦτον h. — 23 ἐρινοκόπησεν *codd.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	Κωνσταντ.	A. M. 6162 669/70.
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	ἐπίσκοπος	
,ϛρξβ′.	ἔτη χξβ′.	Κωνσταντῖνος	Μαυΐας	Ἰωάννης	
		ἔτη ιζ′.	ἔτη κδ′.	ἔτη ϛ′.	
		β′.	ιε′.	γ′.	

Τούτῳ τῷ ἔτει χειμὼν μέγας ἐγένετο, καὶ πολλοὶ ἐκινδύνευσαν ἄνθρωποι καὶ θηρία. καὶ ἐχείμασε Φαδαλᾶς εἰς Κύζικον.

γ′. ιϛ′. δ′. A. M. 6163 670/71.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Βουσοὺρ καὶ ἠχμαλώτευσε πολλοὺς 294 P
καὶ ὑπέστρεψεν.

δ′. ιζ′. ε′. A. M. 6164 671/2.

Τούτῳ τῷ ἔτει ἐφάνη Ἶρις ἐν τῷ οὐρανῷ, καὶ ἔφριξε πᾶσα σάρξ, ἐν μηνὶ Μαρτίῳ Δύστρῳ, ὥστε λέγειν πάντας ὅτι συντέλειά ἐστιν.

‖ *Τούτῳ τῷ χρόνῳ στόλον μέγαν ἐξαρτίσαντες οἱ ἀρνηταὶ τοῦ* cf. Nicephori brev. p. 32
Χριστοῦ καὶ παραπλεύσαντες τὴν Κιλικίαν παρεχείμασαν, εἰς Σμύρνην Μουάμεδ ὁ τοῦ Ἀβδελᾶ, Κάϊσος δὲ εἰς Κιλικίαν καὶ Λυκίαν. καὶ ἐγένετο θανατικὸν ἐν Αἰγύπτῳ. ἀπέστειλε δὲ καὶ Χαλὲ τὸν ἀμηραῖον μετὰ καὶ ἑτέρου στόλου πρὸς βοήθειαν αὐτῶν, ὡς ἱκανώτατον καὶ τολμηρὸν πρὸς μάχην. ὁ δὲ προλεχθεὶς Κωνσταντῖνος τὴν τοιαύτην τῶν θεομάχων κατὰ Κωνσταντινουπόλεως κίνησιν ἐγνωκὼς κατεσκεύασε καὶ αὐτὸς διήρεις εὐμεγέθεις κακκαβοπυρφόρους 541 B
καὶ δρόμωνας σιφωνοφόρους καὶ τούτους προσορμίσαι ἐκέλευσεν ἐν τῷ Προκλιανησίῳ τῶν Καισαρίου λιμένι. ‖

ε′. ιη′. ϛ′. A. M. 6165 672/3.

‖ *Τούτῳ τῷ ἔτει ὁ προλεχθεὶς τῶν θεομάχων στόλος ἀναβάλας* cf. Niceph. brev. p. 32
προσώρμισεν ἐν τοῖς Θρακῴοις μέρεσιν ἀπὸ τῆς πρὸς δύσιν ἀκρότητος τοῦ Ἑβδόμου, ἤτοι τῆς λεγομένης Μαγναύρας, μέχρι πάλιν τοῦ πρὸς ἀνατολὴν ἀκρωτηρίου τοῦ λεγομένου Κυκλοβίου. κατὰ πᾶσαν οὖν ἡμέραν συμβολὴ πολέμου ἐκροτεῖτο ἀπὸ πρωΐ ἕως ἑσπέρας, ἀπὸ τοῦ βραχιαλίου τῆς Χρυσῆς πόρτης μέχρι τοῦ Κυκλοβίου

4[a] ἔτη κβ′ *codd.* — 7 *Φαδάλας* d *Φαδαλας sine acc.* c *Φάδαλ* em. — 9 *Βουσοῦρ* h *Βησούρ* em. — 13 *ἐν om.* c. — *Μαΐῳ* y. — 14 *τούτῳ τῷ ἔτει* c *τῷ δ′ αὐτῷ ἔτει* d. — *ἐξαρτήσαντες* dgy. — 14. 15 *τοῦ Χριστοῦ om.* xy *Σαρακηνοὶ interpolant* em. — 15 *τὴν om.* g. — *Σμύρνην om.* y. — 16 *Μοάμεδ* g *Μούαδ* f. — *Ἄβδελα* dh *Ἀβδελλα* y *Ἀβδελλα sine acc.* c. — 17 *Χαλέ* z *Χάλε* xy *Χαλέβ* Niceph. saevus amiraeus (χαλεπὸν ἀμηρ.) A. — 18 *ἀμηραῖαν* fg. — *αὐτῶν* x. — 19 *πρὸς μάχην* hy *εἰς μάχην* gx. — 20 *Κωνσταντινουπόλεως* x *Κωνσταντινούπολιν* y *Κωνσταντινουπο* $g^{\lambda}_{?}$ *Κωνσταντινοῦπο* h. — 21 *καὶ om.* h. — *κακαβοπυρφόρους* hm. — 22 *δρόμονας* ehmx. — *σιφονοφόρους codd. praeter* g. — *προσορμῆσαι* hx *προσωρμῆσαι* y. — 23 *Προκλιανισίῳ* g *Προκληανησίῳ* h. — 25 *ἀναβάσλας* em *om.* d. — 26 *προσώρμησεν codd. praeter* g. — 27 *Μαγραύρας* g. — 28. 29 *καὶ κατὰ πᾶσαν ἡμέραν* xy. — 30 *βραχιαλίου* xyA *βραχιολίου* z. — *Κυκλωβίου* d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑαυτοὺς ὠθοῦντες καὶ ἀντωθούμενοι. ἐν τούτοις οὖν διετέλεσαν ἀπὸ τοῦ Ἀπριλλίου μηνὸς μέχρι τοῦ Σεπτεμβρίου. καὶ ὑποστρέψαντες ἀπέρχονται ἐν Κυζίκῳ, καὶ ταύτην παραλαβόντες ἐκεῖσε παρεχείμαζον. καὶ κατὰ τὸ ἔαρ ἀναβάλλων ὁμοίως πόλεμον διὰ θαλάσσης συνῆπτε μετὰ τῶν Χριστιανῶν. ἐπὶ ἑπτὰ δὲ ἔτη τὰ αὐτὰ τελέσαντες, καὶ αἰσχυνθέντες τῇ τοῦ θεοῦ βοηθείᾳ καὶ τῆς θεομήτορος, πλῆθός τε ἀποβαλόντες ἀνδρῶν μαχίμων, καὶ τραυματίας μεγίστης εἰς αὐτοὺς γενομένης, ἀνθυπέστρεψαν μετὰ μεγάλης λύπης. ἐκπορίζων δὲ ὁ αὐτὸς θεοβύθιστος στόλος κατελήφθη ὑπὸ χειμερίου ζάλης καὶ πνεύ-
542 B ματος καταιγίδος ἐπὶ τὰ μέρη τοῦ Συλλαίου καὶ συντριβεὶς ὁλοκλή-
ρως ὤλετο. ‖ Σουφιᾶν δέ, ὁ υἱὸς τοῦ Ἄὐφ, ὁ δεύτερος ἀδελφός, συνέβαλε πόλεμον μετὰ Φλώρου καὶ Πετρωνᾶ καὶ Κυπριανοῦ ἐχόν-
295 P των δύναμιν Ῥωμαϊκήν· καὶ κτείνονται Ἄραβες χιλιάδες λ'. τότε Καλλίνικος ἀρχιτέκτων ἀπὸ Ἡλιουπόλεως Συρίας προσφυγὼν τοῖς Ῥωμαίοις πῦρ θαλάσσιον κατασκευάσας τὰ τῶν Ἀράβων σκάφη ἐνέπρησε καὶ σύμψυχα κατέκαυσεν. καὶ οὕτως οἱ Ῥωμαῖοι μετὰ νίκης ὑπέστρεψαν καὶ τὸ θαλάσσιον πῦρ εὗρον.

673/4 A. M. 6166 Κωνσταντινουπόλεως ἐπίσκοπος Κωνσταντῖνος ἔτη β'.
ς'. ιθ'. α'.

Τούτῳ τῷ ἔτει ἐχείμασεν Ἀβδελᾶς, υἱὸς Κάϊς, καὶ Φαδαλᾶς εἰς Κρήτην.

674/5 A. M. 6167 ζ'. κ'. β'.

Τούτῳ τῷ ἔτει ὤφθη σημεῖον ἐν τῷ οὐρανῷ ἐν ἡμέρᾳ σαββάτῳ.

675/6 A. M. 6168 Κωνσταντινουπόλεως ἐπίσκοπος Θεόδωρος ἔτη β'.
η'. κα'. α'.

Τούτῳ τῷ ἔτει ἐγένετο ἀκρὶς μεγάλη κατὰ Συρίαν καὶ Μεσοποταμίαν.

---

1 ἑαυτούς] ἕως αὐτούς g. — 2 τοῦ *om.* y. — Ἀπριλίου h. — 3 ἀπέρχονται *om.* x. — 4 τὸ *om.* x. — ἀναβάλων h ἀνέβαλλον em ἔβαλλον f. — πόλεμον ὁμοίως y. — 5 τὰ αὐτά] ταῦτα g. — 6 καὶ αἰσχυνθέντες *om.* g. — 8 γεγενημένης z. — 9 Θεοβύδιστος em Θεοβύθιστος (θι *sec. m. in lit.*) f. — 10 Συλαίου z. — 11 Σουφιάν fx Σαφιέν em. — Ἄφ mx. — 12 Φλόρου ehm. — Πετρονᾶ h. — 14 Ἡλιουπόλεως h Ἰλιουπόλεως g. — Συρίας *om.* hx. — ἐν τοῖς Ῥωμ. h. — 15 κατέπρησεν xy. — 17 ἀνέστρεψαν hx. — εὗρον πῦρ h. — 18 Κωνσταντῖνος *om.* g. — 20 Ἀβδελᾶς g Ἀβδελάς m Ἀβδελλᾶς cf Ἄβδελλας h Ἀδελλας (*sic*) *sine acc.* e. — ὁ υἱός g. — καὶ Φαδαλάς h καὶ Φαλάδας e καὶ Φάλαδας m καὶ Φαλαδας (*sine acc.*) c Κεφαλάδας f. — 20. 21 ἐν Κρήτῃ h. — 26 κατά τε Σ. g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Ἀράβων*	*Κωνσταντ.*	A. M. 6169 *676/7.*
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*ἀρχηγὸς*	*ἐπίσκοπος*	
ϛρξθ'.	*ἔτη χξθ'.*	*Κωνσταντῖνος*	*Μαυΐας*	*Θεόδωρος*	
		ἔτη ιϛ'.	*ἔτη κδ'.*	*ἔτη β'.*	
		θ'.	*κβ'.*	*β'.*	

Τούτῳ τῷ ἔτει εἰσῆλθον Μαρδαΐται εἰς τὸν Λίβανον καὶ ἐκράτησαν ἀπὸ τοῦ Μαύρου ὄρους ἕως τῆς ἁγίας πόλεως καὶ ἐχειρώσαντο τὰς τοῦ Λιβάνου περιωπάς· καὶ πολλοὶ δοῦλοι καὶ αἰχμάλωτοι καὶ αὐτόχθονες πρὸς αὐτοὺς κατέφυγον, ὥστε δι' ὀλίγου χρόνου εἰς 543 B
πολλὰς χιλιάδας γενέσθαι. ‖ καὶ ταῦτα μαθὼν Μαυΐας καὶ οἱ σύμ- cf. Niceph. brev. p. 32
βουλοι αὐτοῦ ἐφοβήθησαν σφόδρα συλλογισάμενοι, ὅτι τὸ βασίλειον τῶν Ῥωμαίων ὑπὸ θεοῦ φρουρεῖται. καὶ ἀποστέλλει πρέσβεις πρὸς τὸν αὐτοκράτορα Κωνσταντῖνον ζητῶν εἰρήνην, ὑποσχόμενος καὶ ἐτήσια τῷ βασιλεῖ παρέχειν πάκτα. ὁ δὲ βασιλεὺς τοὺς τοιούτους πρέσβεις δεξάμενος καὶ τὴν αἴτησιν αὐτῶν ἀκηκοὼς ἀπέστειλε σὺν αὐτοῖς ἐν Συρίᾳ Ἰωάννην τὸν πατρίκιον, τὸ ἐπίκλην Πιτζιγαῦδιν, ὡς ἀρχαιογενῆ τῆς πολιτείας καὶ πολύπειρον ὄντα καὶ μεγάλης ἀντεχόμενον φρονήσεως, ἐπὶ τὸ ἁρμοδίως διαλεχθῆναι τοῖς Ἄραψι καὶ τὰ τῆς εἰρήνης συμφωνῆσαι. τούτου δὲ καταλαβόντος ἐν Συρίᾳ, ὁ 296 P
Μαυΐας σώρευμα πεποιηκὼς τῶν τε ἀμηραίων καὶ κορασηνῶν ἐδέξατο αὐτὸν μετὰ μεγάλης τιμῆς. πολλῶν οὖν ἀναμεταξὺ αὐτῶν εἰρηνικῶν λεχθέντων λόγων, συνεφωνήθη πρὸς ἑκατέρους ἔγγραφον γενέσθαι εἰρήνης μεθ' ὅρκου λόγον ἐπὶ συμφώνου ἐτησίου πάκτου, παρέχεσθαι τῇ Ῥωμαϊκῇ πολιτείᾳ παρὰ τῶν Ἀγαρηνῶν χρυσοῦ χιλιάδας τρεῖς καὶ ἄνδρας αἰχμαλώτους ν' καὶ ἵππους εὐγενεῖς ν'. ταῦτα στοιχηθέντα μεταξὺ τῶν δύο μερῶν ἐπὶ χρόνους λ' φυλάττεσθαι πλατεῖαν εἰρήνην ἀναμέσον Ῥωμαίων καὶ Ἀράβων ⟨πεποίηκεν⟩· καὶ 541 B
τῶν τοιούτων καθολικῶν δύο ἐγγράφων λόγων πρὸς ἀλλήλους μεθ' ὅρκων γεγονότων καὶ ἀλλήλοις ἐπιδοθέντων, ὁ πολλαχῶς λεχθεὶς

---

v. v. 1—5 *ϛρξθ'. χξθ'. θ'. κβ'. β'. reliquis omissis* m. — *v.* 5 *om.* g. — *v.* 6 *sqq. cf.* Const. Porph. de adm. imp. *cp.* 21. — 8 *καὶ αἰχμάλωτοι add.* xzA *om.* y Const. — 9 *κατέφυγον*] *ἐχώρησαν* x. — 10 *μυριάδας* d. — *τοῦτο* Const. — 11 *συλλογησάμενοι* dy. — *ὅτι om.* h. — 13 *τὸν om.* f. — 13 *ὑποσχόμενος* — 14 *πάκτα om.* g. — 14. 15 *τοὺς τοιούτους πρέσβεις om.* x. — 16 *εἰς Συρίαν* h. — *Πιτζιγαῦδιν* h *Πιτζιγαυδιν sine acc.* c Pitzigaudin A *Πιτζιγαύδιον* Nic. *Πιτζιγαύδην* dg *Πιττιγαύδην* em *Πιττηγαύδην* f *Πιτζηκαύδην* Const. — 19 *τούτου*] *τοῦ* xz. — 20 *ποιήσας* y. — *ἀμηρέων codd. praeter* g. — *κορασηνῶν* h Corasinorum A *κορρασηνῶν* g *κορασίων* d *κορασσίων* cem *κορασσιῶν* f. — 21. 22 *ἀναμ. αὐτῶν εἰρημένων λόγων εἰρηνικῶν* x. — 22 *ἑτέρους* em. — 23 *εἰρήνης om.* d. — *μεθ' ὅρκων* dh. — *λόγων* dg *λόγου* h. — *ἐπισυμφόνως* h. — 24 *Ἀγαρινῶν* xy. — *χρυσίου* Nic. Const. — 25 *τρεῖς*] *τξε'* em. — *αἰχμαλώτους ν'* dz (*ν' in lit.* d) A Nic. *αἰχμαλώτους η'* x Zon. XIV, 20 *αἰχμαλώτους η' χιλιάδας* y *αἰχμαλώτους ω'* Const. — 27 *πεποίηκεν add. ex* A: pax — effecta est *om. codd.* — 28 *ἀλλήλους* — 29 *γεγ. καί om.* y. — 28 *μεθ' ὅρκων* — 29 *ἀλλήλοις om.* x. — 29 *πολλαχῶς* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πανεύφημος ἀνὴρ πρὸς τὸν βασιλέα ὑπέστρεψε μετὰ καὶ δώρων πολλῶν. ταῦτα μαθόντες οἱ τὰ ἑσπέρια οἰκοῦντες μέρη, ὅ τε Χαγάνος τῶν Ἀβάρων καὶ οἱ ἐπέκεινα ῥῆγες ἔξαρχοί τε καὶ κάσταλδοι καὶ οἱ ἐξοχώτατοι τῶν πρὸς τὴν δύσιν ἐθνῶν, διὰ πρεσβευτῶν δῶρα τῷ βασιλεῖ στείλαντες εἰρηνικὴν πρὸς αὐτοὺς ἀγάπην κυρωθῆναι 5
ἠτήσαντο. εἴξας οὖν ὁ βασιλεὺς ταῖς αὐτῶν αἰτήσεσιν ἐκύρωσε καὶ πρὸς αὐτοὺς δεσποτικὴν εἰρήνην. καὶ ἐγένετο ἀμεριμνία μεγάλη ἔν τε τῇ ἀνατολῇ καὶ δύσει. ‖

677/8 A. M. 6170 *Κωνσταντινουπόλεως ἐπίσκοπος Γεώργιος ἔτη ϛ΄.*
ϛρο΄. χο΄. ι΄. κγ΄. α΄. 10

Τούτῳ τῷ ἔτει γέγονε σεισμὸς μέγας κατὰ τὴν Μεσοποταμίαν, ἐν ᾧ πίπτει τὸ βατᾶν καὶ ὁ τροῦλλος τῆς ἐκκλησίας Ἐδέσης· καὶ κτίζει αὐτὸν Μανοὺας σπουδῇ τῶν Χριστιανῶν.

678/9 A. M. 6171 *ια΄. κδ΄. β΄.* 15

Τούτῳ τῷ ἔτει ἀπεβίω Μανοὺας, ὁ τῶν Σαρακηνῶν πρωτοσύμβουλος, μηνὶ Ἀρτεμισίῳ ϛ΄ ἰνδικτιῶνος α΄. γέγονε δὲ στρατηγὸς ἔτη κ΄, καὶ ἀμήρευσεν ἔτη κδ΄, καὶ ἦρξεν Ἰζίδ, ὁ υἱὸς αὐτοῦ.

Niceph. brev. p. 33 545 B *‖ Καὶ τούτῳ τῷ χρόνῳ τὸ τῶν Βουλγάρων ἔθνος ἐπῆλθε τῇ Θρᾴκῃ. ἀναγκαῖον δὲ εἰπεῖν καὶ περὶ τῆς ἀρχαιότητος τῶν Οὐννογουνδούρων Βουλγάρων καὶ Κοτράγων. ἐν τοῖς ἀρκτῴοις περατικοῖς μέρεσι τοῦ Εὐξείνου πόντου, ἐν τῇ λεγομένῃ Μαιώτιδι λίμνῃ,* 20
297 P *εἰς ἣν εἰσάγεται ποταμὸς μέγιστος ἀπὸ τοῦ ὠκεανοῦ καταφερόμενος διὰ τῆς τῶν Σαρματῶν γῆς, λεγόμενος Ἄτελ, εἰς ὃν εἰσάγεται ὁ λεγόμενος Τάναϊς ποταμὸς καὶ αὐτὸς ἀπὸ τῶν Ἰβηρίων πυλῶν ἐξερχόμενος τῶν ἐν τοῖς Καυκασίοις ὄρεσιν, ἀπὸ δὲ τῆς μίξεως τοῦ* 25
Τάναϊ καὶ τοῦ Ἄτελ, (ἄνωθεν τῆς προλεχθείσης Μαιώτιδος λίμνης σχιζομένου τοῦ Ἄτελ) ἔρχεται ὁ λεγόμενος Κοῦφις ποταμός, καὶ

---

1 *καὶ om.* hx. — 3 Ἀράβων fx *Βουλγάρων* em. — 6 *εἴξας*] ἦξεν em ἦξεν f. — *καὶ om.* x. — 7 *εἰρήνην δεσποτικήν* fm *ἀγάπην καὶ εἰρήνην δεσποτικήν* h donatoriam pacem A *δωρεὰν vel ἐπὶ δώροις εἰρήνην* Combefis. — 8 *τῇ δύσει* z. — 12 *βατᾶν* z *βατάν* df *βάταν* e *βαταν sine acc.* c *βάτταν* m ascensus A. — *τροῦλος* fh. — *ὁ τρ. ὁ μέγας τῆς* x. — *Αἰδέσης* x. — 13 *αὐτῶ* c. — *Μάνϊας* em. — 16 *ἀρτεμησίῳ* efx. — *ἰν codd.* — 17 *κ΄* xzA *κϛ΄* y Const. Porph. de adm. imp. *cp.* 21. — *καὶ ante ἀμήρ. om.* y. — Ἰζιδ *sine acc.* c Ἰζιδ *sine acc.* ef. — 18 *καί*] *ἐν* g. — 19 *τῶν*] *αὐτῶν* h. — *Οὐνογουνδούρων Βουλγάρων* d *Ονουνογουνδούρων Βουλγάρων* c Ὀνογουνδούρων (Ὠν. em) *Βουλγάρων* yA *Οὐννοβουνδοβουλγάρων* z *Οὔννων καὶ Βουλγάρων* Niceph. — 20 Contragenses *it* Contragus A *ubique.* — 21 Εὐξίνου hy. — *Μαιώτηδι* d *Μεῶτιδι* h *Μεότητι* em *Μαιότιδι* f *sec. m. in lit.* — 23 Ἄτελ em Ἀντελῆς *sec. m. ex* Ἀτελί f Ἄταλ x Ἄταλης z Ἀτήλ Const. Porphyr. de adm. imp. *cp.* 37 Ἐτέλ *ib. cp.* 40 Atel A *hic et v.* 26 *sed v.* 27 Atal. — 25 *τῶν*] *αὐτῶν* d *ἃ τῶν* c. — 26 Ἄτελ em Ἀτελῆς *ex* Ἀτελί *ut vid.* f Ἄταλ xz. — *Μεύτιδος* y *Μεῶτιδος* h. — 27 Ἄτελ m Ἄταλ *rell.* A. — *Κοῦφις* ce Const. Porph. l. l. *cp.* 42 *Κούφις* df *Κοῦφος* z *om.* m Cuchthis A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀποδίδει εἰς τὸ τέλος τῆς Ποντικῆς θαλάσσης πλησίον τῶν Νεκροπήλων εἰς τὸ ἄκρωμα τὸ λεγόμενον Κριοῦ Πρόσωπον. ἀπὸ δὲ τῆς προσημανθείσης λίμνης ἴσα ποταμῷ θάλασσα, καὶ εἰσάγεται εἰς τὴν τοῦ Εὐξείνου πόντου θάλασσαν διὰ τῆς γῆς Βοσφόρου καὶ Κιμμερίου, ἐξ οὗ ποταμοῦ ἀγρεύεται τὸ λεγόμενον μουρξοῦλιν καὶ τὰ τούτου ὅμοια, καὶ εἰς μὲν τὰ πρὸς ἀνατολὴν μέρη τῆς προκειμένης λίμνης ἐπὶ Φαναγουρίαν καὶ τοὺς ἐκεῖσε οἰκοῦντας Ἑβραίους παράκεινται ἔθνη πλεῖστα· ἀπὸ δὲ τῆς αὐτῆς λίμνης ἐπὶ τὸν λεγόμενον Κοῦφιν ποταμόν, ἔνθα τὸ ξυστὸν ἀγρεύεται Βουλγαρικὸν ὀψάριν, ἡ παλαιὰ Βουλγαρία ἐστὶν ἡ μεγάλη, καὶ οἱ λεγόμενοι Κότραγοι ὁμόφυλοι αὐτῶν καὶ οὗτοι τυγχάνοντες. ἐπὶ δὲ τῶν χρόνων Κων- 546 B
σταντίνου, τοῦ εἰς τὴν δύσιν, Κροβάτου τοῦ κυροῦ τῆς λεχθείσης Βουλγαρίας καὶ τῶν Κοτράγων τὸν βίον μεταλλάξαντος καὶ πέντε καταλιπόντος υἱοὺς καὶ διατυπώσαντος μηδαμῶς τούτους ἀποχωρισθῆναι ἐκ τῆς πρὸς ἀλλήλους διαίτης, διὰ τὸ πάντη κυριεύειν αὐτοὺς καὶ ἑτέρῳ μὴ δουλωθῆναι ἔθνει, μετ' ὀλίγον δὲ χρόνον τῆς ἐκείνου τελευτῆς εἰς διαίρεσιν ἐληλυθότες οἱ αὐτοῦ πέντε υἱοὶ διέστησαν ἀπ' ἀλλήλων μετὰ τοῦ ἐν ὑπεξουσιότητι ἑκάστου αὐτῶν ὑποκειμένου λαοῦ. καὶ ὁ μὲν πρῶτος υἱὸς ὁ λεγόμενος Βατβαιᾶν τὴν ἐντολὴν τοῦ οἰκείου φυλάξας πατρὸς διέμεινεν ἐν τῇ προγονικῇ αὐτοῦ γῇ μέχρι τῆς δεῦρο. ὁ δὲ δεύτερος τούτου ἀδελφός, ὁ λεγόμενος Κότραγος, τὸν Τάναϊν διαβὰς ποταμὸν ἀπέναντι τοῦ πρώτου ᾤκησεν ἀδελφοῦ. ὁ δὲ τέταρτος καὶ ὁ πέμπτος τὸν Ἴστρον ἤτοι Δανοῦβιν λεγόμενον περαιωθέντες ποταμόν, ὁ μὲν εἰς Πανονίαν τῆς Ἀβαρίας ὑποταγεὶς τῷ Χαγάνῳ τῶν Ἀβάρων ἔμεινεν ἐκεῖ μετὰ τῆς δυνάμεως αὐτοῦ, ὁ δὲ τὴν πρὸς τῇ Ῥαβέννῃ Πεντάπολιν καταλαβὼν ὑπὸ τὴν βασιλείαν τῶν Χριστιανῶν γέγονεν. ἔπειτα τούτων ὁ τρίτος, Ἀσπαροὺχ λεγόμενος, τὸν Δάναπριν καὶ Δάναστριν περάσας καὶ τὸν 547 B

---

1 *Νεκρωπηλῶν* f *νεκρῶν πήλων* e *νεκρῶν πύλων* m Necropela A. — 3 *εἰσαγ. καὶ εἰς* h. — 4 *Εὐξίνου* dhy. — *Βοσφόρου* yzA *Βοσπόρου* x. — *καὶ Κιμμ. om.* m. — 5 *μουρξούλιν* fgx *μουρζούλιον* em. — 7 Phanoriam A. — *Ἑβραίους om.* g *Κιμμερίους vel Ἰβήρους coni.* Goar. — *παράκειται* d. — 9 *Κούφιν* f *Κοῦφον* z *Κώφινα* Nic. — *βολγαρικόν* g. — 10 *Κοτράγοι* em. — 12 *τοῦ εἰς τὴν δύσιν τελευτήσαντος coni.* Goar *ὃς κατὰ τὴν δύσιν ἐτελεύτα* Nic. *βασιλεύσαντος post δύσιν add.* Combefis *ex* A: qui in occidente regnavit. — *Κροβάτου*] *Κοβράτου s. Κουβράτου* Nic. — 13 *μεταλλάξαντα* c. — 14 *καταλιπόντα* c *καταλιπόντας* em. — *καὶ om.* y. — 15 *ἀλλήλους*—17 *διέστησαν ἀπ' om.* f. — 16 *δουλοῦσθαι* em. — 17 *αὐτοῦ*] *αὐτοί* x. — 18 *ἑκάστῳ* x *ἑκάσ*$^{\tau}$ m. — 19 *ὁ ante λεγ. om.* h. — *Βατβαιάν* hy *Βατβαΐγάν* d *Βατβαΐαγαν sine acc.* c Bathahias A *Βαϊανός* Nic. — 20 *φυλάξαντος* y. — 21 *αὐτοῦ* m. — 23 *Δανούβιν* y *Δανούβην* x *Δάνουβιν* g. — 24 *Πανονίαν* g. — *Ἀραβίας* em. — 26 *τὴν om.* xy. — *πρὸς τῇ Ῥαβέννῃ* d *πρὸς τῇ Ῥαβέννει* c *πρὸς τὴν Ῥαβέννῃ* g *πρὸς τὴν ἀβέννῃ* y. — *Πενταπόλει* c. — 27 *τοῦτον* ch. — *Ἀπαρούχ* y. — 28 *Δάπριν* y.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

Ὄγλον καταλαβὼν βορειοτέρους τοῦ Δανουβίου ποταμοὺς μεταξὺ τούτου κἀκείνων ᾤκησεν, ἀσφαλῆ καὶ δυσμάχητον εἶναι τὸν τόπον στοχασάμενος ἐξ ἑκάστου μέρους· τελματώδης γὰρ ἔμπροσθεν, καὶ ἄλλοθεν τοῖς ποταμοῖς στεφανούμενος, πολλὴν τῷ ἔθνει τεταπεινωμένῳ διὰ
298 P τὸν μερισμὸν τὴν ἐκ τῶν πολεμίων παρεῖχεν ἄνεσιν. τούτων δὲ οὕτως εἰς πέντε μέρη διαιρεθέντων καὶ ἐν βραχύτητι καταντησάντων, ἐξῆλθε τὸ μέγα ἔθνος τῶν Χαζάρων ἀπὸ τοῦ ἐνδοτέρου βάθους Βερζιλίας τῆς πρώτης Σαρματίας καὶ ἐδέσποσε πάσης τῆς περατικῆς γῆς μέχρι τῆς Ποντικῆς θαλάσσης· καὶ τὸν πρῶτον ἀδελφὸν Βατβαιᾶν, τῆς πρώτης Βουλγαρίας ἄρχοντα, ὑποτελῆ καταστήσας φόρους παρ' αὐτοῦ κομίζεται μέχρι τοῦ νῦν. ὁ δὲ βασιλεὺς Κωνσταντῖνος μεμαθηκώς, ὅτι ἐξάπινα ἔθνος ῥυπαρὸν καὶ ἀκάθαρτον ἐκεῖθεν τοῦ Δανουβίου εἰς τὸν Ὄγλον ἐσκήνωσεν, καὶ τὰ πλησιάζοντα τῷ Δανουβίῳ ἐκτρέχει καὶ λυμαίνεται, τοῦτ' ἔστι τὴν νῦν κρατουμένην ὑπ' αὐτῶν χώραν, ὑπὸ Χριστιανῶν τότε κρατουμένην, ἠνιάθη σφόδρα· καὶ κελεύει περᾶσαι πάντα τὰ θέματα ἐν τῇ Θρᾴκῃ. καὶ ἐξοπλίσας
548 B στόλον διά τε γῆς καὶ θαλάσσης κατ' αὐτῶν ἀπεκίνησε πολέμῳ τούτους ἐκδιῶξαι πειρώμενος, καὶ διὰ μὲν τῆς πρὸς τῷ Ὄγλῳ καλουμένῳ καὶ Δανουβίῳ ἠπείρου τὰ πεζικὰ παρατάξας, διὰ δὲ τῆς πλησιαζούσης ἀκτῆς τὰς ναῦς προσορμίσας. τοῦτο δὲ τὸ ἀθρόον καὶ παμπληθὲς τῆς παρατάξεως οἱ Βούλγαροι θεασάμενοι, τῆς ἑαυτῶν ἀπεγνωκότες σωτηρίας εἰς τὸ προλεχθὲν ὀχύρωμα καταφεύγουσι καὶ ἑαυτοὺς ἀσφαλίζονται. ἐν τρισὶ δὲ καὶ τέτρασιν ἡμέραις ἐκ τοῦ τοιούτου ὀχυρώματος αὐτῶν μὲν ἐξελθεῖν μὴ τολμησάντων, τῶν δὲ Ῥωμαίων πόλεμον μὴ συναψάντων διὰ τὴν προκειμένην τῶν τελμάτων πρόφασιν, στοχασάμενον τὸ μιαρὸν ἔθνος τὴν χαυνότητα τῶν Ῥωμαίων ἀνελάβετο καὶ προθυμότερον γέγονεν. τοῦ δὲ βασιλέως ἐν ποδαλγίᾳ ὀξυπαθήσαντος καὶ ἐπὶ Μεσημβρίαν βιασθέντος ὑποστρέψαι διὰ συνήθειαν λουτροῦ ἅμα πέντε δρομώνων καὶ τῶν οἰκείων αὐτοῦ ἀνθρώπων, κατέλιπε τοὺς στρατηγοὺς καὶ τὸν λαὸν

---

1 Ὄγλον Nic. Ὄγκλον dhy Ὀγκλόν g Ὄγκλον sine acc. c Onglon A hic sed rel. locis Hoglon. — βοριωτέρους z βοριωτέρου y. — ποταμοῦ οὖς μεταξύ y. — τούτων g. — 2 κἀκεῖνον y κἀκείνῳ g. — 5 τῶν om. xz. — 8 Βερζηλίας dhy Βερζήλιος c Βερζίλιος g Βερυλίας Nic. — 9 Βατβαΐαν hm Βατβαΐαν efg Βατβαΐαν sine acc. c Βατγαΐαν d Bathahian A Βαϊανόν Nic. — 13 Ὄγλον Nic. Hoglon A Ὄγγλον dh Ὄγκλόν g Ὄλγον f Ὄχλον em. In cod. c hoc verbum interiit. — τοῦ Δανουβίου cz. — 14. 15 παρ' αὐτῶν κρατουμέννην g. — 16 πάντα περᾶσαι g. — 17 θαλάττης c. — κατ' αὐτῶν om. z. — 18 τῷ] τὸ yz. — Ὄγγλῳ d Ὄγκλῳ g Ὄχλῳ em. — καλουμένου cg. — 19 Δανουβίου cz. — 20 προσορμήσας f προσωρμήσας em. — 24 ὀχ. ἐξελθ. μὲν αὐτῶν μή em. — 25 διὰ τὴν τῶν προσκειμένων τελμάτων πρ.? propter adiacentium paludum occasionem A. — παλμάτων codd. correctum sec. m. in ef. — 27 ἀνεβάλετο d. — 29 δρομόνων hy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κελεύσας παρακονδακίζειν καὶ ὑποσῦραι αὐτοὺς ἐκ τοῦ ὀχυρώματος καὶ πόλεμον πρὸς αὐτοὺς κροτῆσαι, εἰ τύχοι αὐτοὺς ἐξελθεῖν· εἰ δὲ μή, κἂν παρακαθίσαι αὐτοὺς καὶ φυλάττειν ἐν τοῖς ἐρύμασιν. οἱ δὲ τοῦ καβαλλαρικοῦ τὸν βασιλέα φεύγειν διαφημίσαντες καὶ φόβῳ συσχεθέντες τῇ αὐτῇ φυγῇ ἐχρήσαντο, μηδενὸς διώκοντος. οἱ δὲ 549 B
Βούλγαροι τοῦτο θεασάμενοι ἐπεδίωκον ὀπίσω αὐτῶν καὶ τοὺς πλείστους ξίφει ἀνεῖλον, πολλοὺς δὲ καὶ ἐτραυμάτισαν. καὶ καταδιώξαντες αὐτοὺς μέχρι τοῦ Δανουβίου καὶ τοῦτον περάσαντες καὶ ἐλθόντες ἐπὶ τὴν λεγομένην Βάρναν πλησίον Ὀδύσσου καὶ τοῦ ἐκεῖσε μεσογαίου, τὸν τόπον ἑωρακότες ἐν πολλῇ ἀσφαλείᾳ διακείμενον, ἐκ μὲν τῶν ὄπισθεν διὰ τοῦ Δανουβίου ποταμοῦ, ἔμπροσθεν δὲ καὶ ἐκ πλαγίων διὰ κλεισουρῶν καὶ τῆς Ποντικῆς θαλάσσης, κυριευσάντων 299 P
δὲ αὐτῶν καὶ τῶν παρακειμένων Σκλαυινῶν ἐθνῶν τὰς λεγομένας ἑπτὰ γενεάς, τοὺς μὲν Σέβερεις κατῴκισαν ἀπὸ τῆς ἔμπροσθεν κλεισούρας Βερεγάβων ἐπὶ τὰ πρὸς ἀνατολὴν μέρη, εἰς δὲ τὰ πρὸς μεσημβρίαν καὶ δύσιν μέχρις Ἀβαρίας τὰς ὑπολοίπους ἑπτὰ γενεὰς ὑπὸ πάκτον ὄντας· ἐν τούτοις οὖν πλατυνθέντων αὐτῶν ἐγαυρίασαν, καὶ ἤρξαντο τὰ ὑπὸ τὴν Ῥωμαϊκὴν πολιτείαν ὄντα κάστρα τε καὶ χωρία ἐπιρρίπτειν καὶ αἰχμαλωτίζειν. ὅθεν ἀναγκασθεὶς ὁ βασιλεὺς εἰρήνευσε μετ' αὐτῶν, ἐτήσια αὐτοῖς συμφωνήσας πάκτα παρέχειν ἐπ' αἰσχύνῃ Ῥωμαίων διὰ πλῆθος πταισμάτων· ‖ θαυμαστὸν γὰρ ἦν ἀκουόμενον τοῖς μακρὰν καὶ τοῖς ἐγγύς, ὅτι ὁ πάντας ὑποτελεῖς ἑαυτῷ καταστησάμενος, τούς τε κατὰ τὴν ἑῴαν καὶ δύσιν καὶ ἄρκτον 550 B
καὶ μεσημβρίαν, ὑπὸ τοῦδε τοῦ μυσαροῦ καὶ νεοφανοῦς ἔθνους ἡττήθη. ἀλλ' οὗτος μὲν ἐκ προνοίας θεοῦ τοῦτο συμβεβηκέναι Χριστιανοῖς πιστεύσας, εὐαγγελικῶς διανοησάμενος εἰρήνευσεν· καὶ ἦν ἕως τελευτῆς αὐτοῦ ἠρεμῶν ἐκ πάντων πολεμίων σπουδὴν ἔχων ἐξαίρετον ἑνῶσαι τὰς ἁπανταχῇ διῃρημένας ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀπὸ τῶν χρόνων Ἡρακλείου τοῦ βασιλέως καὶ προπάππου αὐτοῦ, καὶ Σεργίου τοῦ κακόφρονος καὶ Πύρρου, τῶν ἀναξίως ἡγησαμένων τοῦ θρόνου Κωνσταντινουπόλεως, μίαν τε θέλησιν καὶ μίαν ἐνέργειαν ἐπὶ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δογματισάντων, ‖ ὧν τὰς κακοδοξίας ἀνατρέψαι σπουδάζων ὁ αὐτὸς Niceph. brev. p. 36

---

1 παρακοντακίζειν coni. Goar. — ὑποσύρειν d. — 2 τύχῃ h. — 3 κἂν om. g. — παρακαθῆσαι xy. — αὐτούς hx αὐτοῖς gy. — ῥεύμασιν em. — 4 καβαλαρικοῦ dh. — διαφημήσαντες dy. — 5 τῇ αὐτῇ yA τοιαύτῃ cz om. d. — 12 καὶ ante τῆς Ποντ. om. y. — 13 παρῳκημένων Nic. — Σκλαβίνων g. — 14 Σέβερης hy Σεβερης sine acc. c. — κατῴκησαν codd. — 15 Μερεγάβων g. — 16 ὑπολοίπας c. — 17 πάκτων y. — ἠγαυρίασαν em et ut vid. f. — 20 παρέχειν πάκτα cz. — 21 τῶν Ῥωμαίων xz. — διὰ πλήθους y. — 22 ἀκούομεν y ἀκοῦσαι g. — 24 τοῦδε x δέ yz. — 25 οὕτως hmx. — 26 ἦν] νῦν m νήν e. — 30 Πύρου x. — 32 καὶ θεοῦ om. x. — 33 ὧν τῆς κακ. h. — δοξάζων y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χριστιανικώτατος βασιλεὺς σύνοδον οἰκουμενικὴν συναθροίσας ἐπισκόπων σπθ΄ ἐν Κωνσταντινουπόλει, τά τε προκεκυρωμένα ἐν ταῖς προλαβούσαις ἁγίαις καὶ οἰκουμενικαῖς πέντε συνόδοις ἐπεβεβαίωσε δόγματα, καὶ τὸ τῶν δύο θεληµάτων καὶ ἐνεργειῶν εὐσεβὲς θεσπισθῆναι δόγμα συνεψηφίσατο κατὰ τὴν αὐτὴν ἁγίαν καὶ ἀκριβεστάτην 5
ἕκτην οἰκουμενικὴν σύνοδον, ‖ ἧς καὶ ἐξῆρχον ὁ αὐτός τε πανευσεβὴς βασιλεὺς Κωνσταντῖνος καὶ οἱ εὐσεβεῖς ἱεράρχαι.

679/80. A. M. 6172 551 B — *Ἀράβων ἀρχηγὸς Ἀζὶδ ἔτη γ΄.*
,ϛροβ΄. χοβ΄. ιβ΄. α΄. γ΄.

Τούτῳ τῷ ἔτει συνηθροίσθη ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύν- 10
300 P *οδος ἐν Κωνσταντινουπόλει τῶν σπθ΄ ἁγίων ἐπισκόπων καὶ πατέρων κατὰ ἐπιτροπὴν τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου.*

680/81. A. M. 6173

Κόσμου	*Τῆς Θείας*	*Ῥωμαίων*	*Ἀράβων*	*Κωνσταντ.*
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*ἀρχηγὸς*	*ἐπίσκοπος*
,ϛρογ΄.	*ἔτη χογ΄.*	*Κωνσταντῖνος*	*Ἀζὶδ*	*Γεώργιος*
		ἔτη ιϛ΄.	*ἔτη γ΄.*	*ἔτη ϛ΄.*
		ιγ΄.	*β΄.*	*δ΄.*

Τούτῳ τῷ ἔτει ἀπώσατο Κωνσταντῖνος τοὺς ἀδελφοὺς αὐτοῦ τῆς βασιλείας, Ἡράκλειον καὶ Τιβέριον, καὶ μόνος ἐβασίλευσε σὺν Ἰουστινιανῷ τῷ υἱῷ αὐτοῦ.

681/2 A. M. 6174 — *ιδ΄. γ΄. ε΄.*

Τούτῳ τῷ ἔτει Μουχτὰρ ὁ ψεύστης τυραννήσας ἐπικρατὴς γέγονε τῆς Περσίδος, ἀπεκάλει δὲ ἑαυτὸν προφήτην. καὶ ἐταράχθησαν οἱ Ἄραβες.

682/3. A. M. 6175 — *Ἀράβων ἀρχηγὸς Μαρουὰμ ἔτος α΄.*
ιε΄. α΄. ϛ΄.

Τούτῳ τῷ ἔτει ἀπεβίω Ἰζίδ, καὶ ταραχθέντες οἱ Ἄραβες τοῦ Ἐθρίβου διηγέρθησαν καταστήσαντες ἀρχηγὸν ἑαυτοῖς Ἀβδελᾶν τινα, υἱὸν Ζουβέρ. καὶ συναχθέντες οἱ Φοίνικες καὶ οἱ Παλαιστίνης ἐπὶ τὴν Δαμασκὸν ἔρχονται καὶ ἕως τοῦ Γαβιθᾶ πρὸς Ἀσάν, ἀμηρᾶν 30
Παλαιστίνης· καὶ δίδουσι χεῖρας δεξιὰς τῷ Μαρουὰμ καὶ ἱστῶσιν αὐτὸν ἀρχηγόν, καὶ ἀμηρεύει μῆνας θ΄. καὶ τελευτήσαντος αὐτοῦ,

2 *τά τε*] *κατά τε τά* y. — 3 *καὶ om.* y. — 4 *δύο om.* xz. — *πισθῆναι* em. — 6 *ἐξῆρχεν* xz. — *τε om.* y. — *πανεύφημος* y. — 8 *Ἰζίδ* em. — *ἔτη θ΄.* y. — 11 *πατέρων καὶ ἐπισκόπων* h. — 19 *ἐβασίλευε* h. — 21 *ιδ΄*] *ιθ΄* g. — 22 *Μουχτᾶρ* cg *Μουκτάρ* m *Μουχάρ* h. — 23 *αὐτόν* f *αὐτόν* em. — 26 *ϛ΄*] *ζ΄* g *ις΄* f. — 27 *Ἰζιδ sine acc.* ex Azid A. — 28 *Αἰθρίβου* g *Ἐθρίον* y *τῆς Αἰθρίβου* Const. Porph. de adm. imp. *cp.* 21. — *διεγέρθησαν* y. — *Ἀβδελᾶν* efg *Ἀβδελάν* m *Ἄβδελαν* h *Ἄβδελλαν* d *Ἀβδελλαν sine acc.* c. — 29 *Ζουβέρ* d Const. Porph. *Ζοῦβερ* z *Ζούβερ* y *sine acc.* c. — *Φοινίκης* cz *τῆς Φοινίκης* d. — *οἱ om.* d. — *Παλαιστινεῖς?* — 29. 30 *ἔρχονται ἐπὶ τ. Δαμ.* xz. — *Γαβιθά sine acc.* e *Γαμιθά* c. — *Ἀσᾶν* g *Ἀσαν sine acc.* ce *Ἀσσάν* d *Σάσαν* f *Οὐσάν* Const. Porph. — *ἀμηράν codd. praeter* g. — 31 *δίδωσι codd.* — *τῶν M.* f. — *Μαρουέν* e *Μαρούεν* m. — 32 *τελευτήσαντος αὐτοῦ*] *τελευτήσας* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀβιμέλεχ, ὁ υἱὸς αὐτοῦ, διαδέχεται τὴν ἀρχὴν ἀμηρεύσας ἔτη κά' 552 B
ἥμισυ, καὶ χειροῦται τοὺς τυράννους καὶ ἀποκτέννει τὸν Ἀβδελᾶν,
υἱὸν Ζουβέρ, καὶ Δάδαχον.

Ἀράβων ἀρχηγὸς Ἀβιμέλεχ ἔτη κβ'. A. M. 6176 *683/4*
Κωνσταντινουπόλεως ἐπίσκοπος Θεόδωρος πάλιν ἔτη γ'.
ις'. α'. α'.

Τούτῳ τῷ ἔτει ἐγένετο λιμὸς καὶ θανατικὸν μέγα ἐν Συρίᾳ,
καὶ Ἀβιμέλεχ ἐκράτησε τοῦ ἔθνους. τῶν δὲ Μαρδαϊτῶν ἐπιτιθεμέ-
νων τοῖς μέρεσι τοῦ Λιβάνου, καὶ τοῦ λοιμοῦ ἐπικρατοῦντος, ὁ
αὐτὸς Ἀβιμέλεχ τὴν ἐπὶ Μανοὺ ζητηθεῖσαν εἰρήνην αἰτεῖται ἀπο-
στείλας πρέσβεις πρὸς τὸν βασιλέα, τὰς αὐτὰς τξε' χιλιάδας τοῦ 301 P
χρυσοῦ νομισμάτων συνθέμενος τελεῖν, καὶ τοὺς τξε' δούλους, καὶ
ὁμοίως εὐγενεῖς ἵππους τξε'.

ιξ'. β'. β'. A. M. 6177 *684/5*

Τούτῳ τῷ ἔτει ἀνεπαύη ὁ εὐσεβὴς βασιλεὺς Κωνσταντῖνος κρα-
τήσας ἔτη ιζ', καὶ ἐβασίλευσεν Ἰουστινιανὸς ὁ υἱὸς αὐτοῦ.

[Ἰστέον ὅτι μάτην ληρωδῶς φλυαροῦσί τινες λέγοντες μετὰ
τέσσαρα ἔτη γεγονέναι τοὺς παρ' αὐτοῖς φημιζομένους τῆς ἕκτης
συνόδου κεφαλαιώδεις τύπους. ὡς γὰρ ἐν πᾶσι ψευδηγοροῦντες
ἐλέγχονται, ἀποδείκνυνται καὶ ἐν τούτοις μηδὲν ἀληθὲς λέγοντες. ἡ
γὰρ ἀκριβὴς χρονικὴ ἀποσημείωσις τὴν κατὰ τῶν Μονοθελητῶν ἁγίαν
οἰκουμενικὴν ἕκτην σύνοδον ἐν τῷ ιβ' ἔτει τῆς βασιλείας Κωνσταν- 553 B
τίνου, ἐκγόνου Ἡρακλείου, γενέσθαι λέγει, ἐν ἔτει ἀπὸ κτίσεως
κόσμου ϛροβ'. καὶ ὅτι μετὰ τοῦτο ἐβασίλευσεν ὁ αὐτὸς Κωνσταν-
τῖνος ἔτη ε', καὶ τελευτήσαντος αὐτοῦ, ἐμονάρχησεν Ἰουστινιανός, ὁ
υἱὸς αὐτοῦ, ἔτη ι', ἐκβληθέντος δὲ Ἰουστινιανοῦ ἐκράτησε Λεόντιος
ἔτη γ', καὶ μετὰ Λεόντιον Τιβέριος ὁ καὶ Ἀψίμαρος ἔτη ζ', καὶ
πάλιν Ἰουστινιανὸς ὁ ἐκβληθεὶς ἔτη ϛ'· ὡς εὑρίσκεσθαι ἐξ αὐτῶν
τῶν ἐκδεδομένων τύπων τῷ β' ἔτει τῆς ἐσχάτης βασιλείας τοῦ αὐτοῦ
ῥινοκοπημένου Ἰουστινιανοῦ ἐκτεθεῖσθαι αὐτοὺς περιέχοντας ἐν τῷ
γ' τύπῳ αὐταῖς λέξεσιν οὕτως· "συνορῶμεν ὥστε τοὺς μὲν δυσὶ

---

1. 2 ἔτη κβ' καὶ μῆνας ϛ' Const. Porph. — 2 ἥμισυ *om.* em. — ἀποκτέννει g ἀποκτέννη def ἀποκτένει c ἀποκτένη m ἀποκταίνει h. — Ἀβδελάν m Ἀβελᾶν g Ἀδελάν e Ἀβδελλαν dh Ἀβδελλᾶν c. — 3 τὸν υἱόν d. — Ζοῦβερ z *sine acc.* c. — nec non et Dadachum A καὶ διάδοχον cyz *om.* d. — 4 Μέλεχ f Μελέχ e. — ἔτη κά' m. — 5 Θεόδ. πάλιν Κ. ἐπ. h Κ. ἐπ. πάλιν Θεοδ. πάλιν m Κωνστ. ἐπίσκ. *om.* ef. — 9 λοιμοῦ fhx λιμοῦ egm pestilentia et fames A. — 12 νομίσματα y. — τελεῖν] τε λέγειν em. — τοὺς *om.* y. — δούλας f. — 15 ἀνεπαύη f ἐκοιμήθη d. — 17 *ad mg.* fxz *adscr.*: Σχόλιον. — 20 ἀποδείκνυται cy. — ἀληθῶς y. — 23 λέγεται y. — 24 ϛροβ'] VIcIxx A. — 27 Τιβ. καὶ ὁ Ἀψ. ef ὁ *om.* m. — Ἀψίμαρος h *sine spir.* ce. — 28 ὁ *om.* f. — ὡς] ὅς y. — 29 τῶν *om.* f. — ἐκδεδεμένων em. — 31 αὐταῖς dz ταῖς c αὐτοῦ ταῖς y. — ὥστε y ὅτι xz. — τοῖς ef.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γάμοις περιπαρέντας καὶ μέχρι τῆς ιε΄ τοῦ παρελθόντος Ἰαννουαρίου μηνὸς τῆς παρελθούσης δ΄ ἰνδικτιῶνος ἔτους ,ϛρϟθ΄ δουλωθέντας τῇ ἁμαρτίᾳ καὶ μὴ ἐκνῆψαι αὐτῆς προελομένους καθαιρέσει κανονικῇ ὑποβαλεῖν." καὶ μεθ' ἕτερα· "τοὺς δὲ μετὰ τὴν χειροτονίαν γάμῳ ἑνὶ παρανόμως προσομιλήσαντας, τοῦτ' ἔστι πρεσβυτέρους καὶ διακόνους καὶ ὑποδιακόνους, ἤδη ἐπὶ βραχύν τινα χρόνον εἰρχθέντας τῆς ἱερᾶς λειτουργίας καὶ ἐπιτιμηθέντας αὖθις αὐτοὺς τοῖς οἰκείοις ἀποκαταστῆναι βαθμοῖς, μηδαμῶς ἑτέρῳ μείζονι προκόπτοντας βαθμῷ,
554 B προδήλως διαλυθέντος αὐτοῖς τοῦ ἀθέσμου συνοικεσίου." ὥστε ἐξ αὐτῆς τῆς χρονικῆς ἀποσημειώσεως ἀριδήλως φαίνεσθαι συναγόμενα ἀπὸ τῆς ἁγίας οἰκουμενικῆς ἕκτης συνόδου ἕως τῶν ἐκδεδομένων τύπων ἔτη κζ΄, πατριαρχοῦντος ἐν τῇ ἁγίᾳ οἰκουμενικῇ συνόδῳ Κων-
302 P σταντινουπόλεως Γεωργίου, ἔτος ἄγοντος τῆς πατριαρχίας γ΄, καὶ μετὰ τὴν σύνοδον πατριαρχήσαντος ἄλλα ἔτη γ΄, μετὰ δὲ τοῦτον Θεοδώρου ἔτη γ΄, καὶ Παύλου ἔτη ζ΄, καὶ Καλλινίκου ἔτη ιβ΄, καὶ Κύρου ἔτη β΄, ὡς συνάγεσθαι καὶ ἐξ αὐτῶν τῶν πατριαρχῶν ἔτη κζ΄. ἀπὸ δὲ τῶν ἐκδεδομένων τύπων ἕως τοῦ πρώτου ἔτους Φιλιππικοῦ ἔτη ε΄· καὶ ἐν τῷ αὐτῷ πρώτῳ ἔτει τῆς βασιλείας Φιλιππικοῦ γενέσθαι ἐμμανῆ σύνοδον κατὰ τῆς ἁγίας οἰκουμενικῆς ἕκτης συνόδου· καὶ ἐξωσθέντος Κύρου τῷ ϛ΄ ἔτει τῆς πατριαρχίας αὐτοῦ, γενέσθαι Ἰωάννην πατριάρχην Κωνσταντινουπόλεως, Ἀνδρέαν δὲ μητροπολίτην τῆς Κρήτης καὶ Γερμανὸν μητροπολίτην Κυζίκου, ὑπογράψαντας προδήλως καὶ ἀναθεματίσαντας μετὰ πάντων τῶν κατὰ τοὺς αὐτοὺς χρόνους τὴν προρρηθεῖσαν κατὰ τῶν Μονοθελητῶν ἁγίαν οἰκουμενικὴν ϛ΄ σύνοδον· μετὰ δὲ ἔτη γ΄ τελευτήσαντος Ἰωάννου, μετατεθῆναι Γερμανὸν ἀπὸ Κυζίκου, καὶ πατριαρχῆσαι Κωνσταντινου-
555 B πόλεως, καὶ τῷ ιγ΄ ἔτει τῆς βασιλείας Λέοντος ἐξορισθῆναι, καὶ γενέσθαι Ἀναστάσιον καὶ πατριαρχῆσαι ἔτη κδ΄· καὶ μετ' αὐτὸν Κωνσταντῖνον ἔτη ιβ΄, καὶ Νικήταν ιδ΄, καὶ Παῦλον ε΄, καὶ Ταράσιον κα΄, καὶ Νικηφόρον η΄, καὶ Θεόδοτον ϛ΄, καὶ Ἀντώνιον ις΄, καὶ Ἰωάννην τὸν Λεκανόμαντιν ἔτη ϛ΄ καὶ μῆνα α΄.]

---

1 Ἰανουαρίου z. — 2 ἰνδ codd. — 3 ἐκν. ταύτης προελομένους Canon concilii ἐκν. αὐτοὺς προελομένους y qui—resipiscere proposuerunt A ἐκνήψαντας, προελόμεθα (-λώμεθα z) xz. — 4 ὑποβάλειν h ὑποβάλαι y. — 5 προσομιλήσαντες em προσομιλήσαντας sed ας sec. m. in lit. f. — 6 βραχύ y. — 7 ἐν τοῖς οἰκ. y. — 12 πατριαρχούντων cf. — 14 πατριαρχήσαντα c. — 15 καὶ Παύλου—ἔτη ιβ΄ om. y. — 16 καὶ om. h. — 17 πρώτου] τετάρτου codd. A. — 18 ἔτη—Φιλιππικοῦ om. g. — 22 τῆς om. xz. — 23 αὐτοὺς om. f. — 24 κατὰ τὴν τῶν em. — 27 ἔτη ιε΄ post Κωνσταντινουπόλεως add. z. — ἐξορισθῆναι καὶ] ἐξωσθέντος xz. — 29 καὶ Νικήταν ιδ΄ om. A. — 30 κα΄—ις΄ καὶ om. f. — 30 καὶ Νικηφόρον—31 μῆνα α΄ om. A. — 31 λεκανομάντιν hx λεκανομάντην ef λεκανομάντ̄ν m λεκανομαν̄ sine acc. g. — μῆνα (om. α΄) x μῆνας y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Ἀράβων*	*Κωνσταντ.*	A. M. 6178 685/6
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*ἀρχηγὸς*	*ἐπίσκοπος*	
ϛροη΄.	*ἔτη χοη΄.*	*Ἰουστινιανὸς*	*Ἀβιμέλεχ*	*Θεόδωρος*	
		ἔτη ι΄.	*ἔτη κβ΄.*	*ἔτη γ΄.*	
		α΄.	*γ΄.*	*γ΄.*	

Τούτῳ τῷ ἔτει ἀποστέλλει Ἀβιμέλεχ πρὸς Ἰουστινιανὸν βεβαιῶσαι τὴν εἰρήνην, καὶ ἐστοιχήθη ἡ εἰρήνη οὕτως· ἵνα ὁ βασιλεὺς παύσῃ τὸ τῶν Μαρδαϊτῶν τάγμα ἐκ τοῦ Λιβάνου, καὶ διακωλύσῃ τὰς ἐπιδρομὰς αὐτῶν· καὶ Ἀβιμέλεχ δώσῃ τοῖς Ῥωμαίοις καθ' ἑκάστην ἡμέραν νομίσματα χίλια καὶ ἵππον καὶ δοῦλον· καὶ ἵνα ἔχωσι κοινὰ κατὰ τὸ ἴσον τοὺς φόρους τῆς Κύπρου καὶ Ἀρμενίας καὶ Ἰβηρίας. καὶ ἔπεμψεν ὁ βασιλεὺς Παῦλον τὸν μαγιστριανὸν πρὸς Ἀβιμέλεχ ἀσφαλίσασθαι τὰ στοιχηθέντα, καὶ γέγονεν ἔγγραφος ἀσφάλεια μετὰ μαρτύρων. καὶ φιλοτιμηθεὶς ὁ μαγιστριανὸς ὑπέστρεψεν. καὶ πέμψας ὁ βασιλεὺς προσελάβετο τοὺς Μαρδαΐτας χιλιάδας ιβ΄ τὴν Ῥωμαϊκὴν δυναστείαν ἀκρωτηριάσας. πᾶσαι γὰρ αἱ νῦν οἰκούμεναι παρὰ τῶν 556 B *Ἀράβων εἰς τὰ ἄκρα πόλεις ἀπὸ Μομψουεστίας καὶ ἕως τετάρτης* 303 P *Ἀρμενίας ἀνίσχυροι καὶ ἀοίκητοι ἐτύγχανον διὰ τὴν ἔφοδον τῶν Μαρδαϊτῶν· ὧν παρασταλέντων, πάνδεινα κακὰ πέπονθεν ἡ Ῥωμανία ὑπὸ τῶν Ἀράβων μέχρι τοῦ νῦν.*

Τῷ δ' αὐτῷ ἔτει πέμπει Ἀβιμέλεχ Ζίαδον, τὸν ἀδελφὸν Μανῖου, εἰς Περσίδα κατὰ Μουχτὰρ τοῦ ψεύστου καὶ τυράννου. καὶ ἀνῃρέθη Ζίαδος ὑπὸ Μουχτάρ. καὶ ἀκούσας Ἀβιμέλεχ ἔρχεται εἰς Μεσοποταμίαν καὶ τυραννεῖται ὑπὸ Σαΐδου· ὃν ἐπανελθὼν διὰ λόγου τὴν Ἁμασκὸν πέπεικεν ἀνοῖξαι προκαταληφθεῖσαν ὑπ' αὐτοῦ, καὶ μετὰ τοῦτο δολοφονεῖ αὐτόν. ‖ Ἰουστινιανὸς δὲ νεώτερος ὤν, ὡς ις΄ χρό- cf. Niceph. brev. p. 36 *νων, ‖ καὶ ἀβούλως τὰ κατ' αὐτὸν διοικῶν ἀποστέλλει Λεόντιον τὸν στρατηγὸν ἐπὶ τὴν Ἀρμενίαν μετὰ Ῥωμαϊκῆς δυνάμεως, καὶ τοὺς ἐκεῖσε Σαρακηνοὺς κτείνας ὑποτάσσει Ῥωμαίοις, ὡσαύτως καὶ Ἰβηρίαν καὶ Ἀλβανίαν, Βουκανίαν τε καὶ Μηδίαν καὶ φορολογήσας τὰς χώρας πάμπολλα χρήματα τῷ βασιλεῖ ἀπέστειλεν. Ἀβιμέλεχ δὲ ταῦτα μεμαθηκὼς καταλαμβάνει τὸ Κερκήσιον καὶ τὴν Θεούπολιν ὑπέταξεν.*

---

1 Alexandrum Antiochiae episcopum *addit* A. — 3[1] ϛρπ΄ ef. — 3[2] χπ΄ f. — 3[4] *Ἀβημέλεχ* em. — 7 *καὶ ἐστοιχήθη ἡ εἰρήνη om.* z. — 8 *Βαρδαϊτῶν* g. — *διακωλύσει* z. — 9 *δώσει* fz. — 10 *καὶ ἵππον εὐγενῆ ἕνα καὶ Αἰθίοπα δοῦλον ἕνα* Const. Porph. de adm. imp. *cp.* 22. — 14 *ὁ μαγιστριανός om.* A. — 16 *γὰρ αἱ νῦν*] *νῦν γάρ* y *γὰρ νῦν αἱ* Const. Porph. — 17 *ἀπὸ om.* h. — *Μουμψουεστίας* em. — *ἕως τῆς δ' Ἀρμ.* d. — 19 *ὧν om.* h. — 20 *Ἀρ. ἔκτοτε καὶ μέχρι* z. — 21 *δ' om.* y. — *Ζίαδον* yA *Ζίανδον* xz. — *Μανῖα* h. — 22 *Μουκτὰρ τοῦ ψ.* m *Μουχτάρτου ψ.* f. — 23 *Ζίανδος* xz. — *Μουχτάρου* ef *Μουκτάρου* m. — 25 *πεποίηκεν* m fecit A. — 26 *δὲ om.* g. — *ὡς εἰ ις΄* d. — 29 *κτείνας Σαρακηνούς* y. — *Ῥωμαίους* ef. — 30 *Βουκανίαν* zA *Βουλκακίαν* cy *Τρκανίαν* d. — *Μηδείαν* y. — 32 *Κερκίσιον* g *Κέρσιον* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

686/7. A. M. 6179 557 B *Κωνσταντινουπόλεως ἐπίσκοπος Παῦλος ἔτη ζ'.*
β'. δ'. α'.

Τούτῳ τῷ ἔτει ἐγένετο λιμὸς ἐν Συρίᾳ· καὶ πολλοὶ εἰσῆλθον εἰς Ῥωμανίαν. καὶ ἐλθὼν ὁ βασιλεὺς εἰς Ἀρμενίαν ἐκεῖ ἐδέξατο
cf. Niceph. brev. p. 36 *τοὺς ἐν τῷ Λιβάνῳ Μαρδαΐτας, χάλκεον τεῖχος διαλύσας. ‖ παρέλυσε* 5
δὲ καὶ τὴν μετὰ τῶν Βουλγάρων παγιωθεῖσαν εἰρήνην διαταράξας
τοὺς ὑπὸ τοῦ οἰκείου πατρὸς ἐνορδίνους γεγονότας τύπους, καὶ κελεύει περᾶσαι ἐπὶ τὴν Θρᾴκην τὰ καβαλλαρικὰ θέματα βουλόμενος τούς τε Βουλγάρους καὶ τὰς Σκλαυινίας αἰχμαλωτίσαι. ‖

687/8. A. M. 6180 *ϛρπ'. χπ'. γ'. ε'. β'.* 10

cf. Niceph. brev. p. 36 ‖ *Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Ἰουστινιανὸς κατὰ Σκλαυινίας*
304 P *καὶ Βουλγαρίας. καὶ τοὺς μὲν Βουλγάρους πρὸς τὸ παρὸν ὑπηντηκότας ὤθησεν, μέχρι δὲ Θεσσαλονίκης ἐκδραμών, πολλὰ πλήθη τῶν Σκλάβων τὰ μὲν πολέμῳ, τὰ δὲ προσρυέντα παραλαβὼν εἰς τὰ τοῦ Ὀψικίου διὰ τῆς Ἀβύδου περάσας κατέστησε μέρη. ‖ ἐν δὲ τῷ ὑπο-* 15
στρέφειν αὐτὸν ὁδοστατηθεὶς ὑπὸ τῶν Βουλγάρων ἐν τῷ στενῷ τῆς κλεισούρας μετὰ σφαγῆς τοῦ οἰκείου λαοῦ καὶ τραυματίας πολλῆς μόλις ἀντιπαρελθεῖν ἠδυνήθη.

Τῷ δ' αὐτῷ ἔτει καὶ Ἀβδελᾶς ὁ Ζουβὴρ Μούσαβον τὸν ἴδιον ἀδελφὸν πέμπει κατὰ Μουκτάρου· καὶ συμβαλὼν μετ' αὐτοῦ τρέ- 20
558 B *πεται ὁ Μούκταρος καὶ φεύγει ἐπὶ Συρίαν· καὶ φθάσας αὐτὸν κτείνει αὐτόν. Ἀβιμέλεχ δὲ στρατεύει κατὰ Μουσάρου καὶ νικήσας κτείνει αὐτὸν καὶ ὑπέταξε πᾶσαν τὴν Περσίδα.*

688/9. A. M. 6181

Κόσμου	*Τῆς*	*Ῥωμαίων*	*Ἀράβων*	*Κωνσταντ.*
ἔτη	*θείας*	*βασιλεὺς*	*ἀρχηγὸς*	*ἐπίσκοπος*
ϛρπα'.	*σαρκώσεως*	*Ἰουστινιανὸς*	*Ἀβιμέλεχ*	*Παῦλος*
	ἔτη χπα'.	*ἔτη ι'.*	*ἔτη κβ'.*	*ἔτη ζ'.*
		δ'.	*ϛ'.*	*γ'.*

Τούτῳ τῷ ἔτει ἀπέστειλεν Ἀβιμέλεχ κατὰ τοῦ Ζουβεὶρ Χαγὰν εἰς τὸ Μάκκα, καὶ κτείνει αὐτὸν ἐκεῖ ὁ Χαγάν· καὶ ὑποτάξαντος τῷ 30
Ἀβιμέλεχ τὴν χώραν τοῦ Χαγὰν ἐναντιουμένην αὐτῷ, ἐνέπρησε τὸν οἶκον τοῦ εἰδώλου αὐτοῦ σὺν τῷ εἰδώλῳ τῆς σεβασμιότητος αὐτῶν·

---

1 *Παῦλος ἐπίσκοπος* g. — 2 *δ'*] *α' codd. praeter* m. — 5 *χαλκοῦν* z. — 7 *ἐνορδίνως* Const. Porph. — 8 *καβαλαρικά* dh. — 9 *Σκλαβινίας* g *item v.* 11. — 10 *Κόσμου ϛρπ'* g *ϛρπ'. χπ' om.* h. — 12 *ὑπαντηκότας codd.* — 13 *Θεσαλονίκης* h *Σαλονίκης* y. — 16 *αὐτὸν om.* g. — 17 *μετὰ σφαγῆς*] *κατασφαγείς* h. — 19 *δ' om.* y. — *Ἀβδελᾶς* cem *Ἄβδελλας* dh. — *Ζουβὴρ* z *Ζουβὶρ* emx *Ξουβὶρ* f Zuber A. — 22 *Ἀβιμέλεχ*—23 *αὐτὸν om.* h. — 24 *sqq. ϛρπα'. χπα'. δ'. ϛ'. γ'. reliquis om.* m. — 26[4] *Ἀβημέλεχ* e. — 28[5] *γ' om.* ef. — 29 *Ζεβεὶρ* d *Ζουβεὴρ* h Zubehir A *Ζουβὲρ* Const. Porph. de adm. imp. *cp.* 21. — *Χαγᾶν* g *Χαγαν sine acc.* c *Χαγᾶ* d. — 30 *τὸ Μακκά* f *τὸν Ἀκκᾶ* g *τὸν Ἀκκά* h *τὸν Ἀκκα sine acc.* c. — *Χαγᾶν* dg *sine acc.* c *item v.* 31. — 30 *καὶ ὑποτάξαντος*—31 *Χαγάν om.* f. — *ὑποτάξαντος scr. e coni. ὑποτάξας codd.* — 32 *αὐτοῦ*] *αὐτῶν* z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δι' ἣν αἰτίαν τὸν Χαγὰν στρατηγὸν τῆς Περσίδος προεβάλετο. καὶ ὑπετάγη τῷ Ἀβιμέλεχ ἥ τε Περσὶς καὶ Μεσοποταμία καὶ ἡ μεγάλη Ἀραβία τοῦ Ἐθρίβου· καὶ οἱ ἐμφύλιοι πόλεμοι αὐτῶν ἔπαυσαν.

ε'. ζ'. δ'. A. M. 6182 689/90

Τούτῳ τῷ ἔτει τέλος ἔσχε καὶ ἀπαλλαγὴν παντὸς πολέμου ἡ τῶν Ἀράβων ἀρχή· καὶ εἰρήνευσεν Ἀβιμέλεχ ὑποτάξας πάντας.

ς'. η'. ε'. A. M. 6183 690/1

Τούτῳ τῷ ἔτει τὴν πρὸς Ἀβιμέλεχ εἰρήνην Ἰουστινιανὸς ἐξ ἀνοίας ἔλυσεν· καὶ γὰρ τὴν Κυπρίων νῆσον ἀλόγως μετοικίσαι ἐσπούδασε καὶ τὸ σταλὲν χάραγμα παρὰ Ἀβιμέλεχ νεοφανὲς ὂν καὶ μηδέποτε γεγονὸς οὐ προσεδέξατο. πλῆθος δὲ Κυπρίων περώντων κατεποντίσθη, καὶ ἀπὸ ἀρρωστίας ὤλοντο· καὶ οἱ λοιποὶ ἐστράφησαν 559 B εἰς Κύπρον. καὶ ἀκούσας ταῦτα Ἀβιμέλεχ, ὑποκριθεὶς σατανικῶς 305 P παρεκάλει μὴ λυθῆναι τὴν εἰρήνην, ἀλλὰ δεχθῆναι τὴν αὐτοῦ μονήν, ὡς τῶν Ἀράβων μὴ καταδεχομένων τὴν τῶν Ῥωμαίων χαραγὴν ἐν τοῖς ἰδίοις νομίσμασιν, τῆς ὁλκῆς τοῦ χρυσοῦ διδομένης καὶ μηδεμιᾶς ζημίας τοῖς Ῥωμαίοις γινομένης ἐκ τοῦ νέα χαράσσειν Ἄραβας. ὁ δὲ τὴν παράκλησιν εἰς φόβον νομίσας, οὐκ ἐννοήσας, ὅτι τὸ σπουδαζόμενον αὐτοῖς ἦν παῦσαι τὴν τῶν Μαρδαϊτῶν ἐπαγωγήν, καὶ οὕτω διὰ δοκουμένης εὐλόγου προφάσεως λῦσαι τὴν εἰρήνην· ὃ καὶ ἐγένετο. καὶ ἀπέστειλεν Ἀβιμέλεχ οἰκοδομῆσαι τὸν τοῦ Μάκκα ναόν. καὶ ἠθέλησεν ἐπᾶραι τοὺς κίονας τῆς ἁγίας Γεθσημανῆ. καὶ παρεκάλεσεν αὐτὸν Σέργιός τις ἀνὴρ χριστιανικώτατος, ὁ τοῦ Μανσοῦρ, γενικὸς λογοθέτης καὶ λίαν ᾠκειωμένος τῷ αὐτῷ Ἀβιμέλεχ, καὶ Πατρίκιος, ὁ τούτου ἐφάμιλλος τῶν κατὰ τὴν Παλαιστίνην Χριστιανῶν προύχων, ὁ ἐπίκλην Κλαυσῦς, αἰτούμενοι μὴ γενέσθαι τοῦτο, ἀλλὰ δι' ἱκεσίας αὐτῶν πεῖσαι Ἰουστινιανὸν ἀποστεῖλαι ἄλλους ἀντ' αὐτῶν· ὅπερ καὶ γέγονεν.

ζ'. θ'. ς'. A. M. 6184 691/2

‖ Τούτῳ τῷ ἔτει Ἰουστινιανὸς ἐπελέξατο ἐκ τῶν μετοικισθέντων cf. Niceph. brev. p. 36

1 *Χαγάνον* g. — *προεβάλλετο* g. *προβάλλεται* d. — 2 *τε add. ex* hxA *om.* gy. — 3 *Ἀραβία*] Armenia A. — *Ἐθρίβους* h *Αἰθρίβου* gx *Αἰθρίου* y Ethrii A. — *v. v.* 5—6 *om.* d. — 5 *ἔσχον codd.* habuit A. — *καὶ ἀπαλλαγήν*] *ἀπαλλαγή* cy. — 6 *ὑποτάξας καὶ εἰρηνεύσας πάντας* g. — *v.* 7 *om.* f. — 9 *καὶ γὰρ καὶ τήν* z. — *μετοικῆσαι codd. praeter* g. — 10 *νεοφανὴς ὤν* y. — 11 *γεγονώς* dhy. — *περόντων* h *περούντων* em *περώντων sed ών sec. m. in lit.* f. — 14 *μονῆταν* gx. — 16 *καὶ*—17 *γινομένης om.* g. — 17 *μηδεμιᾶς*] *μιᾶς* y. — *τοῖς om.* hx. — 18 *εὐνοήσας codd. praeter* d. — 19 *τὸ om.* em. — 21 *οἰκονομῆσαι* f. — *Μάκκα* d *Μάκα* f *Μαίκκα* em *Μαχᾶ* g *Μαχα sine acc.* h Machan A. *Μα seq. lacuna quattuor quinqueve literarum* c. — 22 *Γεθσημανῆς* y *Γεθσιμανῆς* g. — 23 *Μανσούρ* dy. — 24 *γενεικός* y. — *οἰκειωμένος* cemz *οἰκειώμενος* f *οἰκειωμένος corr. ex οἰκειωσάμενος* d. — 26 *ὁ*] *ᾧ* d. — *Κλαυσῦς* h *Κλαυσύς* dem *Κλαυσυς sine acc.* c *Κλαυσῆς sed ῆ sec. m. in lit.* f *Κλαισός* g Clausus A *cf.* Bekk. An. p. 1195. — 27 *ἄλλους ἀποστεῖλαι* g. — 30 *ἀπελέξατο* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

560 B ὑπ' αὐτοῦ Σκλάβων καὶ ἐστράτευσε χιλιάδας λ' καὶ ὁπλίσας αὐτοὺς ἐπωνόμασεν αὐτοὺς λαὸν περιούσιον, ἄρχοντά τε αὐτῶν Νέβουλον τοὔνομα. θαρρήσας δὲ εἰς αὐτοὺς γεγράφηκε τοῖς Ἄραψι μὴ ἐμμένειν αὐτὸν τῇ ἐγγράφως συμφωνηθείσῃ εἰρήνῃ. καὶ παραλαβὼν τὸν περιούσιον λαὸν καὶ πάντα τὰ καβαλλαρικὰ θέματα ἐπορεύθη ἐν Σεβαστοπόλει τῇ παρὰ θάλασσαν. τῶν δὲ Ἀράβων ὑποκρινομένων καὶ μὴ αἱρουμένων λῦσαι τὴν εἰρήνην, ἀλλὰ τῇ βασιλικῇ αἰτίᾳ καὶ προπετείᾳ τοῦτο πρᾶξαι ἀναγκαζομένων, ὁπλισθέντες καὶ αὐτοὶ παρεγένοντο ἐν Σεβαστοπόλει, προμαρτυρούμενοι τῷ βασιλεῖ τὰ μεθ' ὅρκων ἀναμεταξὺ αὐτῶν συμφωνηθέντα μὴ διαστραφῆναι· ἐπεί τοί γε ἔκδικος καὶ κριτὴς ὁ θεὸς τῶν αἰτίων γενήσεται. τοῦ δὲ βασιλέως μηδὲ δι' ἀκοῆς τὰ τοιαῦτα ἀνασχομένου, ἀλλὰ πρὸς μάχην μᾶλλον κατεπείγοντος, τὸν τῆς εἰρήνης ἔγγραφον λόγον λύσαντες καὶ ἐπὶ ὑψηλῆς ἄστας ἀντὶ φλαμούλου προάγειν κρεμάσαντες κατὰ τῶν Ῥωμαίων ὥρμησαν, Μουάμεδ στρατηγὸν ἔχοντες, καὶ συνέβαλον πόλεμον. καὶ τὸ μὲν πρῶτον ἠττήθησαν Ἄραβες. ὑποβαλὼν δὲ
306 v Μουάμεδ τῷ συμμαχοῦντι Ῥωμαίοις στρατηγῷ τῶν Σκλάβων, πέμπει αὐτῷ κούκουρον γέμον νομισμάτων, καὶ πολλαῖς ὑποσχέσεσι τοῦ-
561 B τον ἀπατήσας πείθει προσφυγεῖν πρὸς αὐτοὺς μετὰ καὶ κ' χιλιάδων Σκλάβων, καὶ οὕτω Ῥωμαίοις τὴν φυγὴν περιεποιήσατο. ‖ τότε Ἰουστινιανὸς ἀνεῖλε τὸ τούτων ἐγκατάλειμμα σὺν γυναιξὶ καὶ τέκνοις παρὰ τῷ λεγομένῳ Λευκάτῃ, τόπῳ κρημνώδει καὶ παραθαλασσίῳ κατὰ τὸν Νικομηδειάσιον κόλπον κειμένῳ.

692/3 A. M. 6185 ηʹ. ιʹ. ζʹ.

Τούτῳ τῷ ἔτει Σαββάτιος, ὁ πατρίκιος Ἀρμενίας, μαθὼν τὴν τῶν Ῥωμαίων ἦτταν τὴν Ἀρμενίαν παρέδωκε τοῖς Ἄραψιν, καὶ ὑπετάγη αὐτοῖς καὶ ἡ ἔσω Περσίς, ἡ λεγομένη Χωρασάν, καὶ φύεται ἐκεῖσε παράβουλος ὀνόματι Σαβῖνος, καὶ πολλοὺς τῶν Ἀράβων ἀπέκτεινε καὶ αὐτὸν τὸν Χαγάνον παρ' ὀλίγον τελείως ποταμόπνικτον ἐποίει.

---

1 *Σκλαβῶν* y *sine acc.* c. — 2 *ἄρχοντα* — 5 *περιούσιον λαόν om.* g. — 3 *κατέστησε vel simile quid post τοὔνομα intercidisse videtur.* principem — Nebulum nomine statuit A. — *καθαρρήσας* f. — 4 *αὐτόν*] *αὐτῶν* y. — *ἐγγράφῳ* φ *ef ἐγγρά* m. — 5 *καβαλαρικά* dh. — 9 *προμαρτυρόμενοι* dh. — *τά*] *τάς* y. — 10 *συμφωνηθέντα* y Georg. Mon. *p.* 616 *στοιχηθέντα* xz quae consono pacto placita fuerant A. — 11 *αἰτίων* f *αἰτιῶν rell.* — 13 *λύσας* y. — 14 *φλαμούρου* cy. — *κρεμμάσαντες* g. — 17 *Σκλαβῶν* em. — 18 *κούκουρον* hy *κούρκουρον* dg *κουρκουρον sine acc.* c. — *νομίσματα* y. — 19 *καὶ om.* h. — 20 *Σκλαβῶν* em *sine acc.* c. — 21 *ἐγκατάλιμμα* c *ἐγκατάλυμα* h. — 22 *Λευκάτι* em *Λευκᾶτι* f. — 23 *Νικομηδιάσιον* h *Νικομηδείσιον* dy. — *κόλπων* cy. — 25 *Συμβάτιος* z. — 26 *τῶν om.* em. — 27 *Χωρασᾶν* g *Χωράσαν* e *Χώρασαν* f *sine acc.* cm. — 28 *Ἀβάρων* c. — *τὸν om.* f. — 29 *ποταμόπνηκτον* y *ποταμόπνιτον* d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

‖ ἔκτοτε ἐπὶ πλεῖον θρασυνθέντες οἱ Ἀγαρηνοὶ τὴν Ῥωμανίαν ἐλυ- cf. Niceph. brev. p. 37
μήναντο. ‖

| Κόσμου ἔτη ,ϛρπϛ΄. | Τῆς θείας σαρκώσεως ἔτη ,χπϛ΄. | Ῥωμαίων βασιλεὺς Ἰουστινιανὸς ἔτη ι΄. ϑ΄. | Ἀράβων ἀρχηγὸς Ἀβιμέλεχ ἔτη κβ΄. ια΄. | Κωνσταντ. ἐπίσκοπος Καλλίνικος ἔτη ιβ΄. α΄. | A. M. 6186 693/4.

Τούτῳ τῷ ἔτει ἔκλειψις γέγονεν ἡλίου μηνὶ Ὑπερβερεταίῳ ε΄ ἡμέρᾳ α΄ ὥρᾳ γ΄, ὥστε φανῆναί τινας λαμπροὺς ἀστέρας. καὶ ἐπ-
10 εστράτευσε Μουάμεδ τὴν Ῥωμανίαν, ἔχων μεθ' ἑαυτοῦ τοὺς πρόσφυγας Σκλάβους ὡς ἐμπείρους τῆς Ῥωμανίας, καὶ πολλοὺς ἠχμαλώτευσεν. ἐγένετο δὲ καὶ ἀναίρεσις τῶν χοίρων ἐν Συρίᾳ. Ἰουστινιανὸς δὲ εἰς τὰ τοῦ παλατίου κτίσματα ἐπεμελεῖτο. καὶ ἔκτισε τὸν Ἰουστινιανοῦ τρίκλινον λεγόμενον καὶ τὰ τοῦ παλατίου περιτειχίσματα· 562 B
15 ‖ καὶ ἐπέστησεν ἐπείκτην Στέφανον τὸν Πέρσην, σακελλάριον αὐτοῦ cf. Niceph. brev. p. 37
καὶ πρωτοευνοῦχον, κύριον καὶ ἐξουσιαστήν, λίαν ὄντα αἱμοβόρον καὶ ἀπηνῆ· ὅστις ἀνηλεῶς τοὺς μὲν ὑπερας αἰκίζειν οὐκ ἠρκεῖτο, ἀλλὰ καὶ λιθοβολεῖν αὐτούς τε καὶ τοὺς τούτων ἐπιστάτας. τοῦ δὲ βασιλέως ἀποδημήσαντος, κατετόλμησεν ὁ ἄγριος θὴρ ἐκεῖνος καὶ
20 τὴν αὐτοῦ μητέρα Ἀναστασίαν τὴν αὐγούσταν παιδικῶς δι' ἀβηνῶν μαστιγῶσαι. ἐν τούτοις δὲ καὶ εἰς ἅπαν τὸ πολιτικὸν πλῆθος πολλὰ κακὰ ἐνδειξάμενος μισητὸν τὸν βασιλέα πεποίηκεν. ὁμοίως καὶ εἰς τὰ τοῦ γενικοῦ λογοθεσίου πράγματα κατέστησεν ἀββᾶν τινα ὀνόματι Θεόδοτον, ἔγκλειστον τὸ πρότερον ὄντα ἐν τοῖς Θρᾳκῴοις τοῦ
25 Στενοῦ μέρεσιν, καὶ αὐτὸν δεινότατον καὶ ἀτίθασον λίαν ὑπάρχοντα, 307 P
ὅστις πλείστους τῆς πολιτείας ἄρχοντας καὶ ἐμφανεῖς ἄνδρας οὐκ ἐκ τῶν διοικητῶν μόνον, ἀλλὰ καὶ ἐκ τῶν τῆς πόλεως οἰκητόρων, εἰκῇ καὶ μάτην ἀπροφασίστως, ἀπαιτήσεις καὶ ἐκπαγὰς καὶ δημεύσεις ποιούμενος σχοίνοις τε τούτους κρεμνῶν καὶ ἀχύροις ὑποκαπνίζων.
30 ‖ ἔτι δὲ καὶ ὁ ἔπαρχος βασιλικῇ κελεύσει πλείστους ἄνδρας ἐν εἱρκταῖς κατακλείσας ἐπὶ χρόνους τηρεῖσθαι πεποίηκεν. ταῦτα πάντα ἐπ- 563 B
ηύξησε τὸ μῖσος τοῦ λαοῦ πρὸς τὸν βασιλέα. ὁ δὲ βασιλεὺς ἀπήτει

---

1 Ἀγαρινοί xy. — 5⁴ Ἀβημέλεχ ef. — 7⁵ α΄] β΄ f. — Ἱεροσολύμων ἐπίσκοπος Ἀλέξανδρος ἔτη *add.* em. — 8 ὑπερβερετέῳ z. — 9 ἀστέρας *om.* y. — 10 τὴν Ῥωμανίαν h τῇ Ῥωμανίᾳ *rell.* — τοὺς *om.* g. — προσφύγους y. — 13 κτίσματα] περιτειχίσματα f. — ἐπιμελεῖτο h. — ἔκτισε] ἔστησε g. — τόν] τό g. — 14 καί] εἰς h. — 15 ἐπίκτην ehmx. — 17 μὲν ὅπερας degm μενσόπερας f exteriores A. — 18 ϑοβολεῖν c. — 19 ἐπιδημήσαντος g. — 20 αὐγοῦσταν g. — διαβηνῶν fm διὰ βηνῶν e διαβήνων h διὰ ἀβινῶν c δι' ἀβίνων g διὰ ἀβινων *sine acc.* d. — 23 γενεικοῦ cem. — κατέστησεν *om.* g. — ἀββάν c. — 24 ἐγκλειστὸν *codd. praeter* g. — 25 ἀτίθασον c ἀτίθασσον *rell.* — 26 ἐκφανεῖς cem. — 27 μόνων fhm. — 29 σχοινίοις g. — τούτοις cem. — 30 ὕπαρχος xz. — 31 ηὔξησε xz. — 32 ἠπαίτει e *et ut vid. pr. m.* f ἀπαιτεῖ m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καλλίνικον τὸν πατριάρχην ποιῆσαι εὐχήν, ἵνα καταλύσῃ τὴν ἐκκλησίαν τῆς ἁγίας θεοτόκου τῶν μητροπολίτου τὴν σῦσαν πλησίον τοῦ παλατίου, θέλων ἐν τῷ τόπῳ στῆσαι φιάλην καὶ βάθρα κτίσαι τοῦ δήμου τῶν Βενέτων, ὅπως ἐκεῖ δέχωνται τὸν βασιλέα. ὁ δὲ πατριάρχης ἔλεγεν ὅτι· "εὐχὴν ἐπὶ συστάσει ἐκκλησίας ἔχομεν, ἐπὶ δὲ καταλύσει ἐκκλησίας οὐ παρελάβομεν." βιαζομένου δὲ αὐτὸν τοῦ βασιλέως καὶ πάντως ἀπαιτοῦντος τὴν εὐχήν, ἔφη ὁ πατριάρχης· "δόξα τῷ θεῷ τῷ ἀνεχομένῳ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν." καὶ τοῦτο ἀκούσαντες κατέλυσαν τὴν ἐκκλησίαν καὶ ἐποίησαν τὴν φιάλην. καὶ ἐποίησαν τὴν ἐκκλησίαν τῶν μητροπολίτου εἰς τὸ Πετρίν. ‖

694/5 A. M. 6187 *ι'. ιβ'. β'.*

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μουάμεθ τὴν τετάρτην Ἀρμενίαν καὶ αἰχμαλωτεύσας πολλοὺς ἀνέστρεψεν.

Ἐν αὐτῷ δὲ τῷ ἔτει Ἰουστινιανὸς ἐξεβλήθη τῆς βασιλείας τρόπῳ τοιῷδε· ἐκέλευσε Στεφάνῳ τῷ πατρικίῳ καὶ στρατηγῷ, τὸ ἐπίκλην
564 B *Ῥουσίῳ, νυκτὸς ἀποκτεῖναι τὸν δῆμον Κωνσταντινουπόλεως, ἄρξα-*
cf. Niceph. brev. p. 37 *σθαι δὲ ἀπὸ τοῦ πατριάρχου.* ‖ *Λεόντιος δὲ ὁ πατρίκιος καὶ στρατηγὸς τῶν ἀνατολικῶν γενόμενος καὶ ἐν πολέμοις εὐδοκιμήσας ἐν φρουρᾷ τε χρόνους τρεῖς ποιήσας, κατηγορηθεὶς ἐξάπινα ἀνεκλήθη καὶ στρατηγὸς Ἑλλάδος προεβλήθη. ἐκελεύσθη δὲ εἰς τρεῖς ἐμβληθῆναι δρόμωνας καὶ αὐθημερὸν ἀποκινῆσαι τῆς πόλεως. τῇ δὲ αὐτῇ νυκτὶ ἐν τῷ Ἰουλιανησίῳ λιμένι τῶν Σοφίας πλησίον τῶν Μαύρου πρὸς τὸ ἐκπορίσαι τῆς πόλεως μεθορμίσαντος, συνετάσσετο τοῖς πρὸς αὐτὸν ἀπερχομένοις φίλοις, ἐν οἷς πρὸς αὐτὸν παρεγένοντο καὶ οἱ γνήσιοι αὐτοῦ φίλοι, Παῦλος μοναχὸς τῶν Καλλιστράτου, ὁ καὶ ἀστρονόμος, Γρηγόριος ὁ Καππάδοξ ὁ καὶ κλεισουριάρχης γενόμενος, ἔπειτα δὲ μοναχὸς καὶ ἡγούμενος τῶν Φλώρου· οἵ τινες ἐν τῇ φυ-*
308 P *λακῇ πυκνοτέρως αὐτὸν ἐπισκεπτόμενοι διεβεβαιοῦντο αὐτὸν βασιλεύσειν τῶν Ῥωμαίων. ὁ δὲ Λεόντιος λέγει πρὸς αὐτούς· "ὑμεῖς διεβεβαιώσασθέ με ἐν τῇ φυλακῇ περὶ βασιλείας· καὶ νῦν ἡ ζωή*

---

3 *στῆσαι* y Georg. Mon. p. 617 sistere A *ποιῆσαι* xz. — *κτῆσαι* y. — 4 *δέχονται codd. praeter* g. — 5 *ἐκκλησίας om.* f Georg. Mon. — 6 *παρελάβομεν* Georg. Mon. suscepimus A *παρέλαβον codd.* — 7 *παντός* h. — 10 *τὴν ante ἐκκλησίαν om.* xz. — 11 *τῶν*] *τήν* xz. — *Πετρίν*] *πραιτώριον* em. — 13 *ἐπὶ τὴν Ἀρμενίαν* h. — 14 *αἰχμαλωτίσας* def. — *ὑπέστρεψεν* c. — 18 *πατρίκιος καὶ om.* d. — 19 *γενάμενος* y. — 20 *καὶ στρατ. Ἑλλ. προεβλήθη om.* g. — 21 *δρόμονας* hy. — 22 *αὐθήμερον codd.* — 23 *Ἰουλιανισίῳ* g. — *τὸν Σοφ.* h. — *Μαύρου*] *Μαύ* f. — 24 *ἐκπορῆσαι* em *ἐκπορθῆσαι* f *ἐκπλοΐσαι* c *ἐκπλοῆσαι* dz. — *μεθορμήσαντος* dyz *μεθορμίσαντα* c. — 26 *αὐτοῦ om.* f. — 27 *Καππαδόξ* c *Καπαδοξ sine acc.* m. — 28 *ἔπειτα — ἡγούμενος om.* g. — *Φλόρου codd praeter* g. — 29 *πυκνοτέρος* em *πυκνότερος* f. — *βασιλεύειν* y. — 31 *καὶ om.* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μου ἐν κακοῖς τελειοῦται. ὄπισθεν γάρ μου ἔσομαι κατὰ πᾶσαν ὥραν ἐκδεχόμενος τὸν θάνατον." οἱ δὲ εἶπον· "αὐτὸς μὴ ὀκνήσῃς, καὶ τοῦτο εὐθέως πληροῦται. ἐπάκουσον ἡμῖν μόνον, καὶ ἀκολούθησον ἡμῖν." καὶ λαβὼν ὁ Λεόντιος τοὺς ἀνθρώπους αὐτοῦ, καὶ ἅρματα, 565 B
ὅσα εἶχεν, ἀνῆλθεν εἰς τὸ πραιτώριον σιγῇ πολλῇ, καὶ κρούσαντες τὴν πύλην προεφασίσαντο τὸν βασιλέα παραγεγονέναι ἐπὶ τὸ διοικῆσαί τινας τῶν ἐκεῖσε ὄντων. μηνυθέντος δὲ τοῦ τηνικαῦτα ὑπάρχου καὶ συντόμως ἐλθόντος καὶ τὰς πύλας ἀνοίξαντος, χειροῦται ὑπὸ Λεοντίου καὶ βαπισθεὶς ἐπεδήθη χεῖρας καὶ πόδας. εἰσελθὼν δὲ ὁ Λεόντιος καὶ τὰς φυλακὰς ἀνοίξας λύσας τε τοὺς καθειργμένους ἄνδρας πολλοὺς καὶ γενναίους, ἀπὸ ἓξ καὶ ὀκτὼ χρόνων ἐγκεκλεισμένους, στρατιώτας τοὺς πλείονας τυγχάνοντας, καὶ τούτους ὁπλίσας εἰς τὸν Φόρον ἐξῆλθε σὺν αὐτοῖς κράζων· "ὅσοι Χριστιανοὶ εἰς τὴν ἁγίαν Σοφίαν." καὶ πέμψας καθ' ἕκαστον ῥεγεῶνα τὴν αὐτὴν φωνὴν ἀνακράζειν προσέταξεν. τὸ δὲ πλῆθος τῆς πόλεως θορυβηθὲν σπουδῇ εἰς τὸν λουτῆρα τῆς ἐκκλησίας συνηθροίσθη. αὐτὸς δὲ ἅμα τοῖς δυσὶ μοναχοῖς καὶ φίλοις αὐτοῦ σὺν καί τινων τῶν ἐκ τῆς φυλακῆς ἐξελθόντων ἐμφανεστέρων ἀνδρῶν εἰς τὸ πατριαρχεῖον ἀνῆλθε πρὸς τὸν πατριάρχην. εὑρὼν δὲ καὶ αὐτὸν τεταραγμένον διὰ τὰ κελευσθέντα τῷ πατρικίῳ Στεφάνῳ τῷ Ῥουσίῳ πείθει αὐτὸν κατελθεῖν εἰς τὸν λουτῆρα καὶ φωνῆσαι οὕτως· "αὕτη ἡ ἡμέρα, ἣν 566 B
ἐποίησεν ὁ κύριος." ἅπαν δὲ τὸ πλῆθος ἦραν φωνήν· "ἀνασκαφῇ τὰ ὀστέα Ἰουστινιανοῦ." καὶ οὕτως ἐν τῷ ἱπποδρομίῳ ἐξέδραμε πᾶς ὁ λαός. ἡμέρας δὲ γενομένης, ἐξάγουσι τὸν Ἰουστινιανὸν εἰς τὸ ἱπποδρόμιον διὰ τῆς σφενδόνης καὶ ῥινοκοπήσαντες ἅμα καὶ γλωσσοκοπήσαντες ἐξώρισαν ἐν Χερσῶνι· ὁ δὲ ὄχλος συλλαβόμενος τόν τε Θεόδοτον τὸν μοναχὸν καὶ γενικὸν λογοθέτην καὶ Στέφανον τὸν σακελλάριον τὸν Πέρσην, σχοίνοις τε ἐκ ποδῶν τούτους δήσαντες σύρουσι διὰ τῆς μέσης λεωφόρου καὶ εἰς τὸν Βοῦν ἀπαγαγόντες κατέκαυσαν· καὶ οὕτω Λεόντιον βασιλέα εὐφήμησαν. ‖

Ῥωμαίων βασιλεὺς Λεόντιος ἔτη γ'. A. M. 6188 695/6
α'. ιγ'. γ'.

Τούτῳ τῷ ἔτει Λεόντιος ἐβασίλευσε καὶ πάντοθεν εἰρηνικῶς 369 P
διέμεινεν.

---

1 μου γάρ z. — καθ' ἑκάστην ὥραν z. — 2 ὀκνήσεις ef. — 3 ἐπακ. ἡμῶν μ. y. — 3. 4 ἀκολ. ἡμῶν y ἀκολ. ἡμᾶς d. — 4 ἅρματα d ἅρματα rell. — 9 εἰσελθὼν δέ xzA καὶ εἰσελθών y. — 13 σὺν αὐτῷ c. — 14 καθ'] εἰς g. — 15 προσέταξεν xz ἐκέλευσεν y. — 17 σὺν codd. μετά sec. m. f. — 18 πατριαρχίον fz. — ἀνῆλθον y. — 21 ἐκφωνῆσαι d. — ἡ om. hm. — 23 ἱπποδρομείῳ emx. — 23 ἐξέδραμε — 25 ἱππόδρομιον om. f. — 24 πᾶς om. h. — 25 ἱπποδρομεῖον emx. — φενδόνης f. — 26 συλλαβόμενοι x συλλαβόμ ε g. — 27 τε om. h. — Στέφανον] ἕτερον h. — 28 σχοινίοις z. — τε om. h. — 33 εἰρηνικός h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

696/7. A. M. 6189 β'. ιδ'. δ'.

697/8 Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Ἄλιδος τὴν Ῥωμανίαν καὶ πολλοὺς αἰχμαλωτίσας ὑπέστρεψεν. καὶ ἐστασίασε Σέργιος, ὁ πατρίκιος τῆς Λαζικῆς, ὁ τοῦ Βαρνουκίου, καὶ ταύτην τοῖς Ἄραψιν ὑπέταξεν.

697/8. A. M. 6190 ,ϛρϛ'. χϛ'. γ'. ιϛ'. ε'.

cf. Niceph. Brev. p. 39 ‖ Τούτῳ τῷ ἔτει ἐπεστράτευσαν οἱ Ἄραβες τὴν Ἀφρικὴν καὶ ταύτην παρέλαβον καὶ ἐκ τοῦ οἰκείου στρατοῦ ταξιάρχους ἐν αὐτῇ
567 B κατέστησαν. ὁ δὲ Λεόντιος ταῦτα μαθὼν ἀποστέλλει τὸν πατρίκιον Ἰωάννην, ἄνδρα ἱκανόν, μετὰ πάντων τῶν Ῥωμαϊκῶν πλωϊμάτων. τούτου δὲ ἐν Καρθαγέννῃ φθάσαντος καὶ πολέμῳ τὴν τοῦ ἐκεῖσε λιμένος ἅλυσιν ἀνοίξαντος καὶ τοὺς ἐχθροὺς τρέψαντος καὶ ἐκδιώξαντος, ἅπαντα τὰ τῆς Ἀφρικῆς κάστρα ἠλευθέρωσε καὶ καταλιπὼν ταξιάρχους ἴδιον τῷ βασιλεῖ ταῦτα ἀνήγαγε καὶ ἐκεῖσε ἐχείμασε κέλευσιν παρ' αὐτοῦ ἐκδεχόμενος. ὁ δὲ πρωτοσύμβουλος ταῦτα μαθὼν δυνατώτερον καὶ πολὺν στόλον κατ' αὐτῶν ἀποστέλλει καὶ
568 B τὸν προλεχθέντα Ἰωάννην σὺν τῷ αὐτοῦ στόλῳ πολέμῳ τοῦ λιμένος διώκει· καὶ εἰς περίδρομον λιτὸν ἔνδον παραλαβὼν ἔξωθεν φωσατικῶς ἠπλήκευσεν. ὁ δὲ προλεχθεὶς ἐπὶ Ῥωμανίαν ἀνέκαμψε πλειοτέραν δύναμιν παρὰ τοῦ βασιλέως βουλόμενος κομίσασθαι καὶ ἦλθεν ἕως Κρήτης ἐπὶ τὸν βασιλέα πορευόμενος. ὁ δὲ στρατὸς ὑπὸ τῶν ἰδίων ἀρχόντων [ἑλκόμενος καὶ] πρὸς τὸν βασιλέα ἀναβαλεῖν μὴ βουλόμενος (εἶχε γὰρ αὐτοὺς φόβος καὶ αἰσχύνη) εἰς βουλὴν πονηρὰν ἐξετράπη, καὶ τοῦτον ἀνέσκαψαν ψηφισάμενοι βασιλέα Ἀψίμαρον, δρουγγάριον τῶν Κιβυραιωτῶν εἰς Κουρικιώτας ὑπάρχοντα, Τιβέριον
569 B αὐτὸν μετονομάσαντες. τοῦ δὲ Λεοντίου ἐν Κωνσταντινουπόλει τὸν Νεωρήσιον λιμένα ἐκκαθαίροντος, ἡ τοῦ βουβῶνος λύμη ἐνέσκηψε
310 P τῇ πόλει καὶ πλῆθος λαοῦ ἐν τέσσαρσι μησὶ διέφθειρεν. καταλαμβάνει δὲ Ἀψίμαρος ἅμα τῷ συνόντι αὐτῷ στόλῳ καὶ προσώρμισεν ἀντικρὺ τῆς πόλεως ἐν Συκαῖς. ἐπὶ χρόνον δέ τινα τῆς πόλεως

---

2 Ἄλιδος h. — 3 Σέργιος] Γεώργιος y. — 4 Βαρνοκίου f. — 6 τὴν om. em. — 7 ταξατίωνα degm Const. Porph. de adm. imp. cp. 22. — ἐν ταύτῃ xz. — 9 πλωϊμάτων g πλοϊμάτων hx πλοημάτων y. — 10 Καρθαγέννῃ c Καρθαγένῃ dz Καρταγένῃ y. — 11 ἀνοίξαντες — τρέψαντες — ἐκδιώξαντες y. — καὶ om. y. — ἐχθρούς τε τρ. h. — καὶ om. y. — 12 τὰ om. f. — 13 ταξατίωνα g. — 14 πρῶτος σύμβουλος h. — 16 αὐτῷ y. — στόλου g. — 17 λητόν em λησιόν f. — φωσατικῶς x φοσατικῶς h φουσατικῶς y φωσσατικῶς g. — 18 ἠπλήκευσεν fg ἠπλίκευσεν dehm. — ὁ δὲ προλ. Ἰωάννης hA. — 21 ἑλκόμενος καί z om. xyA. — ἀναβαλλεῖν m ἀναβάλλειν ef. — 23 ἐνέσκαψαν g ἀνέσκαψεν y. — Ἀψίμαρον h. — 24 Κυβυραιωτῶν g Κιβυρεωτῶν em Κιβερεωτῶν f Κιβυριωτῶν x Κηβυρραιωτῶν h. — apud Curiositas A sed στρατὸς Κουρικιωτῶν Niceph. — 26 νεωρησίου y νεορήσιον h. — βομβῶνος codd. praeter f bumbonis A. — λοίμη yz. — 28 Ἀψίμαρος ch. — σιόντι em. — προσορμίζεται Nic. προσώρμησεν codd. — 29 ἄντικρυ ehm ἄντικρους g ἀντικρύ* l.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λεόντιον προδοῦναι μὴ βουλομένης, προδοσία γέγονε διὰ τοῦ μονοτείχους Βλαχερνῶν ὑπὸ ἐξωτικῶν ἀρχόντων τῶν τὰς κλεῖς τοῦ χερσαίου τείχους μεθ' ὅρκου φρικτοῦ ἐκ τῆς ἁγίας τραπέζης ἐμπιστευθέντων· οὗτοι δι' ἐπιβουλῆς παρέδωκαν τὴν πόλιν. εἰσελθόντες δὲ οἱ τῶν πλωϊμάτων στρατιῶται εἰς τοὺς οἴκους τῶν πολιτῶν ἐγύμνωσαν τοὺς οἰκήτορας αὐτῶν. ὁ δὲ Ἀψίμαρος τὸν μὲν Λεόντον ἐρρινοκόπησε καὶ ἐν τῇ μονῇ τῆς Δελμάτου ὑπὸ φυλακὴν εἶναι προσέταξεν, ‖ τοὺς δὲ ἄρχοντας καὶ φίλους αὐτοῦ ὡς συναποθανόντας αὐτῷ τύψας καὶ δημεύσας ἐξώρισεν· Ἡράκλειόν τε, τὸν γνήσιον αὐτοῦ ἀδελφόν, ὡς λίαν ἱκανώτατον, μονοστράτηγον πάντων τῶν ἔξω καβαλλαρικῶν θεμάτων προβαλόμενος ἐπὶ τὰ μέρη Καππαδοκίας καὶ τῶν κλεισουρῶν διατρέχειν καὶ τὴν κατ' ἐχθρῶν ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν ἀπέστειλεν.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	Κωνσταντ.	A. M. 6191	698/9.
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	ἐπίσκοπος	569 B	
,ϛρϟα'.	ἔτη χϟα'.	Ἀψίμαρος	Ἀβιμέλεχ	Καλλίνικος		
		ἔτη ζ'.	ἔτη κβ'.	ἔτη ιβ'.		
		α'.	ιϛ'.	ϛ'.		

Τούτῳ τῷ ἔτει Ἀψίμαρος τῆς βασιλείας ἐκράτησεν. καὶ ἐστασίασεν Ἀβδεραχμὰν ἐν Περσίδι καὶ ἐκυρίευσεν αὐτῆς καὶ ἐδίωξε τὸν Χαγὰν ἀπ' αὐτῆς.

β'. ιϛ'. ζ'. A. M. 6192 699/700.

Τούτῳ τῷ ἔτει γέγονε θανατικὸν μέγα. καὶ ἐπεστράτευσε Μουάμεδ σὺν τῷ πλήθει τῶν Ἀράβων κατὰ τοῦ Ἀβδεραχμάν, καὶ καταλαβὼν τὴν Περσίδα ἐνοῦται τῷ Χαγάν, καὶ πολεμήσαντες τὸν Ἀβδεραχμὰν κτείνουσιν αὐτὸν καὶ πάλιν τῷ Χαγὰν τὴν Περσικὴν ἐνεχείρισαν. οἱ δὲ Ῥωμαῖοι κατέδραμον Συρίαν καὶ ἔρχονται ἕως τὸ Σαμόσατον, καὶ προνομεύσαντες τὴν πέριξ χώραν πολλοὺς ἀπέκτειναν, ὥς φασιν, χιλιάδας σ' Ἀράβων· καὶ πλεῖστα σκῦλα λαβόντες καὶ αἰχμαλωσίαν πολλὴν Ἀράβων ὑπέστρεψαν φόβον μέγαν ἐμποιήσαντες εἰς αὐτούς.

1 *Λεόντιον προδοῦναι* y *παραδοῦναι Λεόντιον* xz prodere nolente Leontium A. — 2 *Βλ. καὶ ὑπό* y. — *τῶν om.* y. — 4 *οὗτοι*] *ὅσοι* h. — *δι'*] *δέ* em. — 5 *πλωΐμων* gx *πλοΐμων* h. — 5. 6 *ἐγύμν. τ. οἰκ. αὐτῶν om.* f. — 6 *αὐτῶν* xA *αὐτῆς* emz. — *Ἀψίμαρος* h *sine spir.* c. — *ἐρινοκόπησεν codd.* — 7 *Δαλμάτου* d. — *προσέταξεν om.* y. — 11 *καβαλαρικῶν* d. — *προβαλλόμενος codd.* — 12 *κλεισούρων codd.* — 14^{3}—18^{3} *om.* em. — 16^{1} ϛϟα' c. — 16^{3} *Ἀψίμαρος* h. — 16^{4} *Ἀβημέλεχ* y. — 17^{5} *ἔτη κβ'* em. — 18^{5} ϛ' *om.* y. — 19 *Ἀψίμαρος* hm *sine spir.* c. — 20 *Ἀβδεραχνάν* h *Ἀβδεραχάμ* egm. — *αὐτήν* y. — 21 *Χαγάν seq. litura duarum litt.* d Chagan A *Χαγάνον* cyz *cf. v. v.* 25. 26. — 24 *Ἀβδεραχμᾶν* dem *Ἀβδεραχάμ* g *Ἀβδεραχάν* f. — 24 *καὶ καταλαβὼν* — 25 *Χαγάν om.* g. — 25 *Χαγάν seq. litura unius litt.* d. — *πολεμήσας* xz. — *τόν* xz *τῷ* y. — *Ἀβδεραχάμ* egm. — 26 *Χαγὰν* g *Χαγάνῳ* d. — *ἐνεχείρησαν* y *ἐνεχείρισεν* gx *ἐνεχείρησεν* h. — *ἀρχήν post ἐνεχείρ. add.* z. — 27 *Συρίας* x. — *Σαμοσάτον* c *Σαμοσατον sine acc.* d *Σαμώσατον* g *Σαμωσάτον* ef h *Σαμωσατον sine acc.* m usque Samosatum A. — 28 *καὶ om.* h. — 30 *μέγαν*] *γάρ* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

700/1. A. M. 6193 γ'. ιή'. η'.

311 P Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Ἀβδελᾶς Ῥωμανίαν, καὶ πολιορκήσας Τάραντον καὶ μηδὲν ἀνύσας ὑπέστρεψε καὶ ᾠκοδόμησε τὴν Μομψουεστίαν καὶ ἔθετο ἐν αὐτῇ φύλακας.

701/2 A. M. 6194 δ'. ιθ'. θ'.

Τούτῳ τῷ ἔτει Βαάνης, ὁ ἐπίκλην Ἑπταδαίμων, τὴν τετάρτην
570 B Ἀρμενίαν τοῖς Ἄραψιν ὑπέταξεν. Ἀψίμαρος δὲ Φιλιππικόν, τὸν υἱὸν Νικηφόρου τοῦ πατρικίου, εἰς Κεφαληνίαν ἐξώρισεν ὡς ὀνειροπολούμενον βασιλεύειν· ἔφασκε γὰρ ἑωρακέναι κατ' ὄναρ, ὅτι ἡ κεφαλὴ αὐτοῦ ἐσκιάζετο ὑπὸ ἀετοῦ. ἀκούσας δὲ ταῦτα ὁ βασιλεὺς παραχρῆμα αὐτὸν ἐξώρισεν.

702/3 A. M. 6195 ε'. κ'. ια'.

Τούτῳ τῷ ἔτει ἐστασίασαν οἱ ἄρχοντες Ἀρμενίας κατὰ τῶν Σαρακηνῶν καὶ τοὺς ἐν Ἀρμενίᾳ Σαρακηνοὺς ἀπέκτειναν. καὶ αὖθις πρὸς Ἀψίμαρον πέμπουσι καὶ Ῥωμαίους εἰς τὴν αὐτῶν χώραν φέρουσιν. ὁ δὲ Μουάμεδ ἐπιστρατεύσας κατ' αὐτῶν πολλοὺς κτείνει, καὶ τὴν μὲν Ἀρμενίαν Σαρακηνοῖς ὑποτάσσει, τοὺς δὲ μεγιστᾶνας τῶν Ἀρμενίων σωρεύσας ἐν τόπῳ ἑνὶ ζωοκαύστους ἐποίησεν. κατ' αὐτὸν δὲ τὸν χρόνον ἐπεστράτευσεν Ἄζαρ τὴν Κιλικίαν μετὰ χιλιάδων δέκα· καὶ περιτυχὼν αὐτῷ Ἡράκλειος, ὁ ἀδελφὸς τοῦ βασιλέως, τοὺς πλείστους ἀπέκτεινε καὶ τοὺς λοιποὺς δεσμίους τῷ βασιλεῖ ἀπέστειλεν.

703/4 A. M. 6196 ς'. κα'. ια'.

Τούτῳ τῷ ἔτει Ἄζιδος, ὁ τοῦ Χουνεΐ, ἐπεστράτευσε τὴν Κιλικίαν· καὶ πολιορκήσας τὸ Σίσιον κάστρον, κατέλαβεν ὁ τοῦ βασιλέως ἀδελφὸς Ἡράκλειος καὶ πολεμήσας αὐτὸν κτείνει δώδεκα χιλιάδας
cf. Niceph. Brev. p. 40 Ἀράβων. ‖ τοῦ δὲ Ἰουστινιανοῦ ἐν Χερσῶνι διάγοντος καὶ δημηγοροῦντος ἑαυτὸν πάλιν βασιλεύειν μέλλοντα, οἱ τῶν ἐκεῖσε οἰκήτορες
571 B τὸν ἐκ τῆς βασιλείας κίνδυνον φοβηθέντες ἐβουλεύσαντο τοῦτον ἀνελεῖν ἢ τῷ βασιλεῖ παραπέμψαι. αὐτὸς δὲ διεγνωκὼς ἠδύνηθη διεκφυγεῖν, καὶ εἰς τὸ Δαρᾶς καταδραμὼν ἠτήσατο τῷ τῶν Χαζάρων Χαγάνῳ συνοφισθῆναι. αὐτὸς δὲ μαθὼν ἐδέξατο αὐτὸν μετὰ τιμῆς

---

2 Ἄβδελας mx *Αβδελας sine acc.* ef Ἄβδελλας h. — τὴν Ῥωμανίαν em. — 2. 3 πολιορκήσαντες — ἀνύσαντες — ὑπέστρεψαν y. — 3 Ταραντόν c. — 4 Μούμψου ἔστίαν c *Μομψοῦ ἔστίαν* f. — ἐν αὐτοῖς h. — 7 Ἀψίμαρος h. — 15 Ἀψίμαρον h *sine spir.* c. — 16 ἑαυτῶν g. — 17 μὲν *om.* x. — μεγιστάνους y. — 18 ζωκαύστους y ζωοκαύτους c. — ἐποίησαν y. — 19 ἐπεστράτευσε νάζαρ h. — Ἄζάρ d *sine acc.* c. — 20 αὐτόν dy αὐτῷ c *sed ῳ sec. m. in vestigiis scripturae evanescentis.* — 21 ἀπέκτεινεν *om.* c. — ἀπέλυσεν em ἀπέστειλεν f *sed στειλ sec. m. in lit.* — 22 κα'] κ' cy. — 23 Ἄξιδος f Ἄζιβος g. — Χουνεή g Χουνεΐ h Cunei A. — 24 Σίσιον] Sisui A. — κάστρον, ὃν κατέλαβεν h κάστρον κατέβαλεν· ὃν κατέλαβεν gx *ut in textu* yA. — 27 ἑαυτοῦ em. — 30 ἐκφυγεῖν xz. — καὶ *om.* y. — Δαρᾶς dem *Δαρας sine acc.* cf Δόρος Nic.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεγάλης καὶ ἐξέδοτο αὐτῷ εἰς γυναῖκα Θεοδώραν, τὴν γνησίαν αὐτοῦ ἀδελφήν. μετ' ὀλίγον δὲ χρόνον αἰτησάμενος τῷ Χαγάνῳ κατῆλθεν εἰς Φαναγουρίαν κἀκεῖ διέτριβε μετὰ Θεοδώρας. ταῦτα ἀκούσας Ἀψίμαρος πέμπει πρὸς τὸν Χαγάνον ὑποσχόμενος αὐτῷ παρέχειν πολλὰ δῶρα, εἰ τὸν Ἰουστινιανὸν ζῶντα αὐτῷ παραπέμψει· εἰ δὲ 312 I
μή, κἂν τὴν αὐτοῦ κεφαλήν. εἴξαντος δὲ τοῦ Χαγάνου τῇ τοιαύτῃ αἰτήσει, παραφυλακὴν αὐτῷ ἔπεμψεν, ὡς δῆθεν διὰ τὸ μὴ ὑπὸ τῶν ἰδίων ὁμοφύλων ἐπιβουλευθῆναι, ἐντειλάμενος Παπατζύν, τὸν ἐκ προσώπου αὐτοῦ ἐκεῖσε ὄντα, καὶ Βαλγίτζιν, τὸν ἄρχοντα Βοσφόρου, ἵνα, ὅταν δηλωθῇ αὐτοῖς, ἀνέλωσιν Ἰουστινιανόν. τούτων δὲ δι' οἰκέτου τοῦ Χαγάνου τῇ Θεοδώρᾳ μηνυθέντων καὶ τῷ Ἰουστινιανῷ γνωσθέντων, προσκαλεσάμενος τὸν λεχθέντα Παπατζὺν κατ' ἰδίαν ὁμιλῆσαι, κόρδαξ τοῦτον ἐπῆγξεν· ὁμοίως δὲ καὶ Βαλγίτζιν τὸν ἄρχοντα. εὐθέως δὲ ἀποστέλλει Θεοδώραν ἐν Χαζαρίᾳ, αὐτὸς δὲ 372 I
ἀπὸ Φαναγουρίαν λάθρα δραπετεύσας εἰς Τόμιν κατῆλθεν. καὶ εὑρηκὼς ἁλιάδα ἐξηρτισμένην ἐπέβη ἐπ' αὐτὴν καὶ παραπλεύσας τὴν Ἀσσάδα ἦλθε μέχρι Συμβόλου πλησίον τῆς Χερσῶνος. καὶ ἀποστείλας κρυπτῶς ἐν Χερσῶνι ἐπῆρε Βαρισβακούριον καὶ τὸν ἀδελφὸν αὐτοῦ, τόν τε Σαλιβᾶν καὶ Στέφανον, καὶ τὸν Μωρόπαυλον σὺν Θεοφίλῳ· καὶ σὺν αὐτοῖς ἀποπλεύσας διέβη τὸν φάρον Χερσῶνος. εἶθ' οὕτως παραπλεύσας τὰ Νεκρόπηλα τὸ στόμιόν τε τοῦ Δάναπρι καὶ τοῦ Δάναστρι, κλύδωνος γεγονότος, ἀπέγνωσαν πάντες τὴν ἑαυτῶν σωτηρίαν. Μυάκης δέ, ὁ οἰκειακὸς αὐτοῦ ἄνθρωπος, ἔφη αὐτῷ· "ἰδοὺ ἀποθνήσκομεν, δέσποτα, τάξαι τῷ θεῷ περὶ τῆς σωτηρίας σου, ἵνα, ἐὰν ὁ θεὸς ἀποδώσῃ σοι τὴν βασιλείαν σου, μηδένα ἀμύνεσθαι τῶν ἐχθρῶν σου." ὁ δὲ ἀποκριθεὶς ἐν θυμῷ λέγει αὐτῷ· "ἐὰν φείσωμαί τινος ἐξ αὐτῶν, ὁ θεὸς ἐνταῦθά με καταποντίσῃ." καὶ ἀκινδύνως ἐκ τοῦ κλύδωνος ἐκείνου ἐξῆλθε καὶ

---

1 αὐτόν g. — 3 Φαγανουρίαν cg Phenagoriam A ἐν Φαναγώρῃ Nic. Φαναγωρίαν?. — κἀκεῖσε d. — 4 Ἀψίμαρος h. — αὖτόν h. — 5 αὖτόν h. — παραπέμψῃ x. — 8 Παπατζῦν h Παπατζυν sine acc. c Παπατζίν f Πατζήν g Papatzin A. — 9 Βαλγίτζην f Βαλγίτζειν em Βαλίτζην g Balgitzin A. — 10 ὅτε y ὄντα h. — 11 δι' οἰκετῶν h. — 12 Παπατζῦν h Παπατζήν f Πατζῆν g Papatzin A. — 13 ὁμιλίσα c. — Βαλγίτζην fgm Βαλγίτζυν e Balgitzin A. — 14 ἄρχοντα Βοσφόρου z. — 14 ἀποστέλλει — p. 375, 13 τυφλώσας interierunt in f. — 15 ἀπὸ Φαναγουρίαν (sic) dem ἐπὶ Φαναγ. cz a Phenagoria A. — Τόμιν Nic. Τόμην codd. in men A. — 16 ἐξαρτισμένην ehm. — ἐπ' αὐτῆ x ἐν αὐτῇ em. — 16. 17 τὴν Ἀσσάδα dem τὴν Ἀσάδα ch τὴν Ἄσαδα g iuxta littora A. — 18 Barisbacurium A Βαρασβακούριον Nic. Βασβακούριον codd. — 19 Σαλιβᾶν A Nic. Σαλβανόν z Σαλβάνον em Σάλβανον d Σαλβανον sine acc. c. — Μοροπαῦλον ehm. — 21 transfretantes A. — 24 τί ἰδού h. — τῷ θεῷ om. h. — 25 ἵνα ὁ θεὸς ἐὰν ἀποδ. xz. — ἀποδώσει egm. — σου em. — μηδένα] μηδέ τινα h δεῖνα em. — 26 ἀμύνεσαι gx ἀμύναι σε h. — 27 αὐτῷ om. xA. — φείσομαι dehm. — καταποντίσει gmx καταποντήσει eh.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰσῆλθεν εἰς τὸν Δανοῦβιν ποταμόν. ἀποστείλαντος δὲ αὐτοῦ Στέφανον πρὸς Τέρβελιν, τὸν κῦριν Βουλγαρίας, ἐπὶ τῷ δοῦναι αὐτῷ σύναρσιν, ὅπως κρατήσῃ τὴν προγονικὴν αὐτοῦ βασιλείαν, ὑπέσχετο αὐτῷ πλεῖστα παρέχειν δῶρα καὶ τὴν ἑαυτοῦ θυγατέρα εἰς γυναῖκα. αὐτοῦ δὲ πάντα ὑπακούειν καὶ συντρέχειν ἐνομότως ὑποσχομένου
573 B καὶ τοῦτον μετὰ τιμῆς δεξαμένου, συγκινεῖ πάντα τὸν ὑποκείμενον αὐτῷ λαὸν τῶν Βουλγάρων καὶ Σκλάβων· καὶ τῷ ἐρχομένῳ χρόνῳ ὁπλισθέντες ἐπὶ τὴν βασιλεύουσαν πόλιν παρεγένοντο. ‖

704/5	A. M. 6197	Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	Κωνσταντ.
		ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	ἐπίσκοπος
		ϛρϟζ΄.	ἔτη χϟζ΄.	Ἀψίμαρος	Ἀβιμέλεχ	Καλλίνικος
				ἔτη ζ΄.	ἔτη κβ΄.	ἔτη ιβ΄.
				ζ΄.	κβ΄.	ιβ΄.

313 P Τούτῳ τῷ ἔτει τέθνηκεν Ἀβιμέλεχ, ὁ τῶν Ἀράβων ἀρχηγός, καὶ ἐκράτησεν Οὐαλίδ, ὁ υἱὸς αὐτοῦ.

cf. Niceph. Brev. p. 42 ‖ Τῷ δ' αὐτῷ ἔτει Ἰουστινιανὸς τὴν βασιλίδα πόλιν καταλαβὼν ἅμα Τέρβελι καὶ τῶν σὺν αὐτῷ Βουλγάρων ἠπλήκευσεν εἰς τὴν Χαρσίου πόρταν καὶ ἕως Βλαχερνῶν. καὶ ἐπὶ τρεῖς ἡμέρας προσλαλοῦντες τοῖς ἐν τῇ πόλει ὑβρίζοντο παρ' αὐτῶν, καὶ οὐδὲ λόγον κατεδέχοντο. ὁ δὲ Ἰουστινιανὸς μετ' ὀλίγων ὁμοφύλων πολέμου χωρὶς διὰ τοῦ ἀγωγοῦ εἰσελθὼν καὶ θόρυβον ἀνασκαφῆς βαλὼν τὴν πόλιν παρέλαβε καὶ πρὸς βραχὺ ἐσκήνωσεν ἐν τῷ παλατίῳ Βλαχερνῶν. ‖

705/6. A. M. 6198 Ῥωμαίων βασιλεὺς Ἰουστινιανὸς πάλιν ἔτη ϛ΄.
Ἀράβων ἀρχηγὸς Οὐαλὶδ ἔτη θ΄.
Κωνσταντινουπόλεως ἐπίσκοπος Κῦρος ἔτη ϛ΄.
α΄. α΄. α΄.

Τούτῳ τῷ ἔτει Ἰουστινιανὸς τὴν βασιλείαν ἀπολαμβάνει, καὶ πολλὰ δῶρα δοὺς τῷ Τέρβελι καὶ βασιλικὰ σκεύη ἀπέλυσεν αὐτὸν

---

1 *Δανούβιν* x *Δάνουβιν* g *Δανούβιον* em. — 2 *Τέρβελιν* x Nic. *Τερβέλιν* z *Τέρβελλιν* emA. — *κύριν* hx *κύριον* egm. — *ἐπὶ τὸ δοῦναι* hx *ἐπιδοῦναι* g. — 3 *ὅπως — βασιλείαν om.* em. — 4 et filiam eius in mulierem accepturum A, *at cf.* Nic. p. 42, 2. — 5 ipsique A *αὐτοῦ τε?* — 6 cum ingenti honore A *μετὰ τιμῆς μεγάλης?* — *δεξάμενος* em. — *συγκ. τὸν ὑποκ. αὐτῷ πάντα λαόν* g. — 7 *τῶν om.* em. — *τε καὶ Σκλ.* m. — *ἐχομένῳ* ch. — *v. v.* 9—13 ϛρϟζ΄. χϟζ΄. ζ΄. κβ΄. ιβ΄. *tell. om.* m. — 11[1] ϛϟζ΄ ch. — 11[3] *Ἀψίμαρος* h. — 11[4] *Ἀβημέλεχ* e. — *v.* 13 *om.* g. — 14 *Σαρακηνῶν* d. — 15 *Οὐαλιδ sine acc.* e *Οὐάλδ* cz. — 17 *Τερβελι sine acc.* c *Τέρβελη* d *Τερβέλη* g *Τερβέλιν* h *Τέρβελλη* em Terbelli A. — *τοῖς — Βουλγάροις* d. — *ἠπλίκευσεν* h *ἠπλίκευσεν* d. — 18 *ἡμέραις* egm. — 19 *τοῖς ἐν om.* em. — 20 *μετ' ὀλίγους ὁμοφύλους* em. — 21 et tumultum excitans fodiendo urbem optinuit A. — 24 *πάλιν Ἰουστινιανός* z *πάλιν om.* e. — 25 *Οὐαλιδ sine acc.* c *Οὐάλδ* z. — 26 *Κύρος* z. — *v.* 27 *om.* g. — 28 *τὴν βασ. ἀπολαμβάνει* em *πάλιν τὴν βασ. παραλαμβάνει* xz imperium — recepit A. — 29 *Τέρβελη* xz *Τέρβελλι* m *Τερβέλλι* e Terbeli A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν εἰρήνῃ. Ἀψίμαρος δὲ καταλιπὼν τὴν πόλιν εἰς Ἀπολλωνιάδα φεύγει, καταδιωχθεὶς δὲ συλλαμβάνεται καὶ πρὸς Ἰουστινιανὸν ἄγεται. ‖ καὶ Ἡράκλειος δὲ ἀπὸ Θράκης δεδεμένος ἦχθη σὺν πᾶσι τοῖς cf. Niceph. Brev. p. 42
συνασπιζομένοις αὐτοῖς ἄρχουσιν, οὓς ἐν τῷ τείχει πάντας ἐφούρ- 574 B
κισεν. ἀποστείλας δὲ καὶ εἰς τὰ μεσόγαια πλείους ἐξ αὐτῶν εὑρὼν ἐμπράκτους καὶ ἀπράκτους ὁμοίως ἀπέκτεινεν. τὸν δὲ Ἀψίμαρον καὶ Λεόντιον ἁλύσεσι δεδεμένους εἰς πᾶσαν πόλιν πομπεῦσαι πεποίηκεν· καὶ τοῦ ἱππικοῦ ἀγομένου, καὶ αὐτοῦ ἐν τῷ σένζῳ καθεζομένου, ἤχθησαν συρόμενοι δημοσίᾳ καὶ ἐρρίφησαν ὑποταγάδην αὐτῷ· καὶ ἐπάτησε τὸν τράχηλον αὐτῶν ἄχρις ἀπολύσεως τοῦ πρώτου βαΐου, τοῦ δήμου βοήσαντος, ὅτι "ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπέβης, καὶ κατεπάτησας λέοντα καὶ δράκοντα·" καὶ τούτους ἀποστείλας ἐν τῷ Κυνηγίῳ ἀπεκεφάλισεν. Καλλίνικον δὲ τὸν πατριάρχην τυφλώσας ἐν τῇ Ῥώμῃ ἐξώρισεν· καὶ ἀντ' αὐτοῦ Κῦρον, τὸν ἐν τῇ νήσῳ Ἀμάστρης ἔγκλειστον ὄντα, ὡς προσημάναντα αὐτῷ τὴν τῆς δευτέρας βασιλείας ἀποκατάστασιν προεβάλετο. ἀναρίθμητον δὲ πλῆθος ἔκ τε τοῦ πολιτικοῦ καὶ τοῦ στρατιωτικοῦ καταλόγου ἀπώλεσεν, πολλοὺς δὲ καὶ ἐν σάκκοις ἐμβαλὼν ἐν τῇ θαλάσσῃ πικροθανάτους ἐποίει, ἄλλους δὲ πρὸς ἀριστόδειπνον κλητορεύων ἅμα τῷ ἀναστῆναι οὓς 314 F
μὲν ἐφούρκιζεν, οὓς δὲ ἀπέτεμνεν· κἀντεῦθεν μέγας φόβος συνεῖχε πάντας. ἀπέστειλε δὲ στόλον πρὸς τὸ ἀγαγεῖν ἐκ Χαζαρίας τὴν ἑαυ- 575 B
τοῦ γυναῖκα, καὶ πολλὰ σκάφη ἐβυθίσθησαν σύμψυχα. ἀκούσας δὲ ὁ Χαγάνος δηλοῖ αὐτῷ· "ὦ ἀνόητε, οὐκ ἔδει σε διὰ δύο ἢ τριῶν σκαφῶν λαβεῖν σου τὴν γυναῖκα, καὶ μὴ ἀποκτεῖναι τοσοῦτον πλῆθος; ἢ δοκεῖς ὅτι καὶ ταύτην πολέμῳ λαμβάνεις; ἰδοὺ ἐτέχθη σοι καὶ υἱός, καὶ ἀπόστειλον, λάβε αὐτούς." ὁ δὲ ἀποστείλας Θεοφύλακτον κουβικουλάριον ἤγαγε τὴν Θεοδώραν καὶ Τιβέριον, τὸν υἱὸν αὐτῆς, καὶ ἔστεψεν αὐτούς· καὶ συνεβασίλευσαν αὐτῷ. ‖

Ἱεροσολύμων ἐπίσκοπος Ἰωάννης ἔτη λ'. A. M. 6199 *706/7*

β'. β'. β'. β'.

Τούτῳ τῷ ἔτει Οὐαλὶδ ἥρπασε τὴν καθολικὴν Δαμασκοῦ ἁγιω-

---

1 Ἀψίμαρος h. — Ἀπολωνιάδα g. — 2 εἰς cz. — 3 σύν] ἐν em. — 4 αὐτῷ Classen. — ἐφούρκησεν dh. — 5 μεσόγεια xz. — μεσόγεια πάντα hx μεσ. ἅπαντα g πάντα om. emA. — 6 ἐμπράκτους] εὐπράκτους em. — ὁμοίως emA πάντας xz Ἀψίμαρον h *sine spir.* c. — 8 σένσῳ em. — 9 ὑποταχάδην h ὑπογάδην em. — 10 βαΐου] bravii (βραβείου) A *at cf.* Malal. p. 340, 16; 446, 5; 474, 8. — 14 Κύρον df. — 15 ἔγκλειστόν fx *sine acc.* hm. — δευτέρας] prioris (προτέρας) A *sed* δευτέρας *etiam* Nic. *et* Georg. Mon. p. 623. — 16 κατάστασιν Nic. — προεβάλλετο z. — τε *om.* g. — 18 ἐμβάλλων g ἐμβαλλων *sine acc.* c. — 20 ἀπέτεμεν hy. — 22 ἐποντίσθησαν cz ἐποντώθησαν d. — 23 ὁ *om.* h. — αὐτόν g. — 24 τοσοῦτο c. — 25 ὅτι *om.* g. — καὶ *om.* h. — λαμβάνειν g. — 28 αὐτῷ] αὐτούς c. — 30 β' *quartum om.* cy. — 31 Οὐαλιδ *sine acc.* e Ουαλιδ *sine acc. et spir.* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τάτην ἐκκλησίαν φθόνῳ τῷ πρὸς Χριστιανοὺς ὁ ἀλιτήριος διὰ τὸ ὑπερβάλλον κάλλος τοῦ τοιούτου ναοῦ· καὶ ἐκώλυσε γράφεσθαι Ἑλληνιστὶ τοὺς δημοσίους τῶν λογοθεσίων κώδικας, ἀλλ' ἐν Ἀραβίοις αὐτὰ παρασημαίνεσθαι, χωρὶς τῶν ψήφων, ἐπειδὴ ἀδύνατον τῇ ἐκείνων γλώσσῃ μονάδα ἢ δυάδα ἢ τριάδα ἢ ὀκτὼ ἥμισυ ἢ τρία γράφεσθαι· διὸ καὶ ἕως σήμερόν εἰσι σὺν αὐτοῖς νοτάριοι Χριστιανοί.

707/8. A. M. 6200	Κόσμου ἔτη ϛσ΄.	Τῆς θείας σαρκώσεως ἔτη ψ΄.	Ῥωμαίων βασιλεὺς Ἰουστινιανὸς ἔτη ϛ΄. γ΄.	Ἀράβων ἀρχηγὸς Οὐαλὶδ ἔτη θ΄. γ΄.	Κωνσταντ. ἐπίσκοπος Κῦρος ἔτη ϛ΄. γ΄.	Ἱεροσολύμων ἐπίσκοπος Ἰωάννης ἔτη λ΄. γ΄.

cf. Niceph. Brev. p. 43

‖ Τούτῳ τῷ ἔτει Ἰουστινιανὸς τὴν ἀναμεταξὺ Ῥωμαίων καὶ
576 B Βουλγάρων εἰρήνην διέστρεψε καὶ περάσας τὰ καβαλλαρικὰ θέματα εἰς τὴν Θράκην καὶ ἐξοπλίσας πλώϊμον κατὰ Βουλγάρων καὶ Τέρβελι ὥρμησεν. καταλαβὼν δὲ τὴν Ἀγχίαλον τὸ μὲν πλώϊμον ἔμπροσθεν τοῦ κάστρου προσώρμισεν, τὰ δὲ καβαλλαρικὰ εἰς τοὺς ἄνωθεν κάμπους ἀπαραφυλάκτως καὶ πάσης ὑποψίας ἐκτὸς ἀπληκεῦσαι προσέταξεν. τοῦ δὲ λαοῦ σκορπισθέντος ὡς πρόβατα ἐπὶ τοὺς κάμπους πρὸς τὸ συλλέξαι χόρτον, εἶδον ἐκ τῶν ὀρέων οἱ κατάσκο-
315 P ποι τῶν Βουλγάρων τὴν τῶν Ῥωμαίων ματαίαν διοίκησιν· καὶ σωρευθέντες ὡς θῆρες ἐξάπινα ἐπιρρίψαντες μεγάλως διέφθειραν τὸ Ῥωμαϊκὸν ποίμνιον, πολλὴν αἰχμαλωσίαν τε καὶ ἵππους καὶ ἅρματα δίχα τῶν ἀναιρεθέντων λαβόντες. ὁ δὲ Ἰουστινιανὸς ἐν τῷ κάστρῳ καταφυγὼν σὺν τοῖς περισωθεῖσιν ἐπὶ τρισὶν ἡμέραις ἀπέκλεισε τὰς πύλας. θεασάμενος δὲ τὴν τῶν Βουλγάρων παραμονὴν αὐτὸς πρῶτος τὸν ἑαυτοῦ ἵππον νευροκοπήσας πάντας τὸ αὐτὸ ποιῆσαι παρεκελεύσατο. τρόπαια δὲ ἐπὶ τῶν τειχῶν θέμενος διὰ νυκτὸς εἰς τὰ σκάφη ἐπιβὰς λαθραίως ἀπέπλευσε καὶ μετ' αἰσχύνης τῇ πόλει παραγέγονεν.

708/9. A. M. 6201 δ΄. δ΄. δ΄. δ΄.

cf. Niceph. Brev. p. 43

‖ Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μασαλμᾶς καὶ Ἄβας τὴν Τύανον

1 πρὸς τοὺς Χρ. f. — ἀλητήριος dgy. — 2 ἑλληνιστῇ dem. — 3 λογοθεσιῶν d. — κώδηκας xy. — ἐν Ἀραβικοῖς d ἐν Ἀράβοις y. — 6 διό] διὰ τό y. — Χριστιανοὶ νοτάριοι h. — v. 8—12 ϛσ΄. ψ΄. γ΄. γ΄. γ΄. m *rell. om.* — 8^6—12^6 *om.* ce 11^6—12^6 *om.* f. — 10^5 Κύρος efg. — v. 12 *om.* g. — 12^5 γ΄] ε΄ f. — 14 καβαλαρικά d. — 15 πλόϊμον h. — Τέρβελη g Τέρβελλι m Τέρβελλη ef Terbeli A. — 16 πλόϊμον h. — προσώρμησεν fhmx. — 17 καβαλαρικά d καββαλλαρικά g. — 18 κάππους em. — ἀπαραφυλάκτος em ἀπαραφυλάκτους df. — ἀπλικεῦσαι dhm. — 20 εἶδον αὐτοὺς ἐκ xz εἶδον δὲ ἐκ m. — 23 ἅρματα cemz. — 26 δέ] γάρ g. — ἐπιμονήν xz. — 28 τροπαί y. — θεασάμενος gy. — 29 ἀπέλυσεν y. — 31 Μάσαλμας fxz Μεσελμάς em. — Ἄβας d Ἀβάς c Ἀββᾶς z διαβάς y Σολυμᾶς Niceph. καὶ Ἄβας *om.* A. — τήν] τῇ z. — Τύανον y *cf. p.* 633, 10 Bonn. Τυάνων dg Τοιανων *sine acc.* c τῶν Τυάνων h adversus Tyanum A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ τὴν μανίαν τοῦ ἀποκτανθέντος στρατοῦ σὺν τῷ Μαϊουμᾶ ὑπὸ 577 B
Μαριανοῦ, καὶ ταύτην πολιορκοῦντες παρεχείμασαν ἐκεῖ. καὶ ἀποστέλλει πρὸς αὐτοὺς ὁ βασιλεὺς δύο στρατηγούς, Θεόδωρον τὸν Καρτεροῦκαν καὶ Θεοφύλακτον τὸν Σαλιβᾶν μετὰ στρατοῦ καὶ γεωργικοῦ λαοῦ χωρικοβοηθείας πρὸς τὸ πολεμῆσαι καὶ ἐκδιῶξαι αὐτούς. αὐτοὶ δὲ εἰς ἔριν ἀλλήλων ἐλθόντες καὶ ἀτάκτως συμβαλόντες αὐτοῖς τρέπονται, καὶ πολλαὶ χιλιάδες ἀπώλοντο, καὶ ᾐχμαλωτεύθησαν πολλοί. λαβόντες δὲ τὸ τοῦλδον καὶ τὰ τούτων βρώματα παρεκάθισαν, ἕως οὗ παρέλαβον τὴν πόλιν. λειφθέντες γὰρ ἦσαν τὰ βρώματα, καὶ ἤμελλον ἀναχωρεῖν. οἱ δὲ τῆς πόλεως Τυάνων ταῦτα ἰδόντες καὶ ἀπογνόντες ἔλαβον λόγον τῆς ἑαυτῶν ἀπαθείας καὶ ἐξῆλθον πρὸς αὐτοὺς καταλιπόντες τὴν πόλιν ἔρημον ἕως τοῦ νῦν. οἱ δὲ τὸν λόγον μὴ φυλάξαντες τούτους εἰς τὴν ἔρημον ἐξώρισαν, καὶ πολλοὺς δούλους ἐκράτησαν. ‖

,ϛσβ΄. ψβ΄. ε΄. ε΄. ε΄. ε΄. A. M. 6202 709/10.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Ἄβας τὴν Ῥωμανίαν καὶ πολλοὺς αἰχμαλωτίσας ὑπέστρεψεν. καὶ ἤρξατο κτίζειν τὸ Γαρὶς εἰς τὴν χώραν Ἡλιουπόλεως.

ϛ΄. ϛ΄. ϛ΄. ϛ΄. A. M. 6203 710/11.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Οὐθμᾶν τὴν Κιλικίαν καὶ πολλὰ 316 P
κάστρα ὑπὸ λόγον παρέλαβεν. προεδόθη αὐτοῖς καὶ τὸ Κάμαχον 578 B
σὺν τοῖς παρακειμένοις τόποις. ‖ Ἰουστινιανὸς δὲ ἀπέλυσε Μαῦρον cf. Niceph. Brev p. 44
τὸν πατρίκιον εἰς Χερσῶνα διὰ μνησικακίαν σὺν Στεφάνῳ πατρικίῳ, τὸ ἐπίκλην Ἀσμίκτῳ, ἐξοπλίσας στόλον πολύν, μνησθεὶς τῆς κατ' αὐτοῦ γενομένης ἐπιβουλῆς ὑπό τε τῶν Χερσωνιτῶν καὶ Βοσφοριανῶν καὶ τῶν λοιπῶν κλιμάτων, πᾶσαν ναῦν δρομώνων τε καὶ τριηρῶν καὶ σκαφῶν μυριαγωγῶν καὶ ἁλιάδων καὶ ἕως χελανδίων, ἀπὸ διανομῆς τῶν οἰκούντων τὴν πόλιν συγκλητικῶν τε καὶ ἐργαστηριακῶν καὶ δημοτῶν καὶ παντὸς ὀφφικίου. καὶ τούτους ἀποστείλας παρήγγειλε πάντας τοὺς οἰκοῦντας ἐν ἐκείνοις τοῖς κάστροις τῷ ξίφει ὀλοθρεῦσαι καὶ μηδένα ζωογονῆσαι, παραδεδωκὼς αὐτοῖς καὶ Ἡλίαν τὸν σπαθάριον ὀφείλοντα ἄρχοντα Χερσῶνος καταστῆναι. οἱ δὲ τὴν

---

1 *μανίαν*] *μῆνιν* Combefis indignationem A. — *Μαϊουμᾶ* x *Μαϊμᾶ* m. — 2 a Mariniano A. — 3 *ὁ βασιλεὺς om.* g. — 4 *Καρτεροῦ* y. — *Σαλιβάν* df *Σαλίβαν* em *sine acc.* c. — *στρατοῦ* xzA *στρατιωτικοῦ* y. — 6 *συμβαλλόντες* z. — *αὐτούς* y. — 8 *παρεκάθισαν*—9 *βρώματα om.* m. — *παρεκάθησαν* defh. — 10 *Τυανῶν* y. — *v. v.* 16—18 *om.* d. — 16 *Ἄβας* em *Ἀβάς* f *Ἄβας sine acc.* c *Ἀββᾶς* z Abas A. — 17 *αἰχμαλωτεύσας* cz. — *Γάρις* f *sine acc.* c. — 18 *Ἰλιουπόλεως* h Eupoleos A. — 20 *Οὐθμᾶν* g Utham A. — 21 *Καμάχον* f. — 24 *τό*] *τῷ* d. — 25 Boosphorianensibus A. — 26 *κλημάτων* dhy. — *δρομόνων* dhy *δρόμον* g. — *τριήρων* demz *sine acc.* c. — 27 *μυριαγώγων* y *μυριοβόλων* xz. — 29 *δημάτων* g. — *ὀφφικίου* h *ὀφικίου* f *ὁμφικίου* egmx. — 31 *Ἡλίαν* h. — 32 *καταστῆσαι* dy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χερσῶνα καταλαβόντες, μηδενὸς αὐτοῖς ἀντιστάντος, τὰ κάστρα παρέλαβον καὶ πάντας τῷ ξίφει ἀνεῖλον χωρὶς τῶν μειρακίων, ὡς νηπίων τούτων φεισάμενοι καὶ πρὸς δουλείαν περιποιηθέντων. Τουδοῦνον δέ, τὸν ἄρχοντα Χερσῶνος ὡς ἐκ προσώπου τοῦ Χαγάνου ὄντα, καὶ Ζώϊλον, τὸν ἐκ σειρᾶς καὶ γένους ὄντα πρωτοπολίτην, καὶ ἑτέρους τεσσαράκοντα ἐμφανεῖς καὶ πρωτεύοντας τῆς Χερσῶνος συμφαμίλους δεσμίους πρὸς τὸν βασιλέα ἀπέστειλαν, ἑτέρους δὲ ἑπτὰ
579 B τῶν πρωτευόντων Χερσῶνος εἰς σούβλας ξυλίνας προσαρτήσαντες ἐπὶ πυρὸς ὤπτησαν, ἄλλους δὲ εἴκοσιν ἐξάγκωνα δήσαντες καὶ εἰς χελανδίου λώρους προσδήσαντες καὶ λίθοις τοῦτο γεμίσαντες εἰς βυθὸν κατεπόντισαν. τοῦ δὲ Ἰουστινιανοῦ ταῦτα μαθόντος καὶ ἐπὶ τῇ τῶν μειρακίων σωτηρίᾳ μανέντος, ἐκέλευσε σπουδαίως αὐτοὺς πρὸς αὐτὸν παραγενέσθαι. ἀποκινήσαντος δὲ τοῦ στόλου τῷ Ὀκτωβρίῳ μηνί, καὶ ἐν τῷ πελάγει φθασθέντος ἐν τῇ τοῦ ἄστρου ἐπιτολῇ τοῦ λεγομένου Ταυρουρᾶ, μικροῦ δεῖν ἅπας ὁ στόλος κατεπον- 15
τίσθη· καὶ ἠριθμήθησαν οἱ ἐν τῷ ναναγίῳ ἀποθανόντες χιλιάδες ογ'. τοῦ δὲ Ἰουστινιανοῦ ταῦτα μαθόντος καὶ μὴ λυπηθέντος, μᾶλλον μὲν οὖν χαρᾶς πλησθέντος καὶ τῆς τοιαύτης μανίας ἀκμὴν ἐχομένου καὶ κραυγικῶς ἐπαπειλοῦντος, πάλιν ἕτερον ἐκπέμπειν στόλον καὶ ἀροτριᾶν ἅπαντας καὶ ἐξεδαφίζειν ἕως οὐροῦντα πρὸς τοῖχον, ἤκουσαν ταῦτα οἱ τῶν κάστρων ἐκείνων καὶ ἑαυτοὺς ἠσφαλίσαντο, καὶ ἀναγκασθέντες κατὰ τοῦ βασιλέως φρονῆσαι ἀπέστειλαν πρὸς τὸν Χαγάνον εἰς Χαζαρίαν αἰτούμενοι λαὸν πρὸς φυλακὴν αὐτῶν. ἐπὶ τούτοις οὖν διεγείρεται καὶ Ἡλίας ὁ σπαθάριος καὶ Βαρδάνης ὁ
580 B ἐξόριστος, τὸ τηνικαῦτα ἀνακληθεὶς ἀπὸ Κεφαληνίας καὶ σὺν τῷ
317 P στόλῳ εἰς Χερσῶνα ὤν. ὁ δὲ Ἰουστινιανὸς ταῦτα μαθὼν ἀπέστειλε μετ' ὀλίγων δρομώνων Γεώργιον τὸν πατρίκιον, τὸ ἐπίκλην Σύρον, καὶ γενικὸν λογοθέτην, καὶ Ἰωάννην τὸν ἔπαρχον, καὶ Χριστοφόρον, τουρμάρχην τῶν Θρᾳκησίων, μετὰ καὶ τριακοσίων ἐξωπλισμένων,

---

1 *μηδεινός* f *μηδείνος* e. — 3 *Τούδουνον* d *Τουδουνον sine acc.* c *τοῦ δοῦναι* y. — 4 *δὲ om.* y. — *τοῦ om.* g. — 5 *Ζωΐλον* f *sine acc.* c. — *ὄντα om.* em. — 6 *συμφαμίλους* — 7 *Χερσῶνος om.* z. — *συμφαμήλους* y. — 7 *ἀπέστειλεν* y. — 8 *ξυλίνους codd. praeter* g. — *προσαρτήσαντες* x Nic. *προσαναρτήσαντες* yz. — 9 *ἐξάγκονα* ehmx. — 9. 10 *εἰς χελανδίου λώρους scr. ex* A: *ad lora navis εἰς χελανδούρους* hxy *εἰς χελανδούρου* g. — 10 *λίθους codd.* — *γεμήσαντες* dy. — 14 *φθάσαντες (sic)* y. — *ἄστου* f *ἄ (sic)* em. — *ἐπιστολῇ* h *ἐπὶ τὸ λιμένη* f. — 15 *Ταυρουραί* f *ταύρου οὐρᾶ* h *ἀρκτουρά* Combefis. — 16 *ἀποθανέντες* h. — 17 *τοῦτο* xz. — 19 *ἀπειλοῦντος* f. — *ἐκπέμπειν* d *ἐκπέμπει rell.* A. — 20 *ἀροτριᾷ* y. — *ἅπαντα* Combefis Classen. — *καὶ κατασφάζειν ἅπαντας mg.* e *sec. manu.* — 24 *Ἡλίας* h *sine spir.* c. — *Βαρδάνιος* h. — 26 *εἰς Χερσῶν ἅλων* f. — 27 *δρομόνων codd. praeter* g. — *τὸ lit. e τὸν fact.* d *τόν* g. — 28 *γενεικόν* y. — *ὕπαρχον* z. — 29 *ἐξοπλισμένων codd. praeter* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παραδεδωκὼς αὐτοῖς Τουδοῦνόν τε καὶ Ζώϊλον ὀφείλοντας ἀποκατασταθῆναι κατὰ τὸ πρότερον ἐν Χερσῶνι, δι' ἀποκρισιαρίου δὲ ἀπολογήσασθαι τῷ Χαγάνῳ, ἀγαγεῖν δὲ πρὸς αὐτὸν Ἠλίαν καὶ Βαρδάνην. τῶν δὲ περασάντων ἐν Χερσῶνι, οἱ τῆς πόλεως Χερσῶνος τούτοις περιλογὴν οὐκ ἐποίησαν. τῇ δὲ ἐπαύριον τούτους μόνους εἰσελθεῖν οἱ τῆς πόλεως προτρεψάμενοι τὰς πύλας ἀπέκλεισαν, καὶ τὸν μὲν γενικὸν λογοθέτην ἅμα τῷ ἐπάρχῳ ξίφει ἀνεῖλον, τὸν δὲ Τουδοῦνον ἅμα Ζωΐλῳ καὶ τῷ λεχθέντι τουρμάρχῃ σὺν τοῖς τριακοσίοις στρατιώταις τοῖς Χαζάροις παρέδωκαν καὶ πρὸς τὸν Χαγάνον ἀπέστειλαν. τοῦ δὲ Τουδούνου κατὰ τὴν ὁδὸν τεθνηκότος, οἱ Χάζαρεις εἰς δοχὴν αὐτοῦ ἀπέκτειναν τὸν τουρμάρχην σὺν τοῖς τριακοσίοις στρατιώταις. τότε οἱ Χερσῶνος καὶ τῶν λοιπῶν κάστρων τὸν μὲν Ἰουστινιανὸν ἀνέσκαψαν, τὸν δὲ ἐκεῖσε ἐξόριστον Βαρδάνην Φιλιππικὸν καὶ βασιλέα εὐφήμησαν. ταῦτα μαθὼν Ἰουστινιανὸς καὶ 581 B
ἐπὶ πλέον ἐκμανεὶς τὰ μὲν τέκνα τοῦ σπαθαρίου Ἠλία εἰς τὸν τῆς μητρὸς ἀπέσφαξε κόλπον, ταύτην δὲ ἠνάγκασε τῷ οἰκείῳ αὐτῆς ξευχθῆναι μαγείρῳ Ἰνδῷ ὄντι· εἶθ' οὕτω τε πλώϊμον ἕτερον κατασκευάσας ἀποστέλλει Μαῦρον τὸν πατρίκιον, τὸν Βέσσον, παραδεδωκὼς αὐτῷ πρὸς καστρομαχίαν κριόν, μαγγανικά τε καὶ πᾶσαν ἑλέπολιν, ἐντειλάμενος αὐτῷ, τὰ μὲν τείχη Χερσῶνος ἐδαφίσαι καὶ πᾶσαν τὴν πόλιν, μηδεμίαν δὲ ψυχὴν ἐξ αὐτῆς ζωογονῆσαι, πυκνοτέρως δὲ δι' ἀναφορῶν τὰ αὐτῷ πεπραγμένα δηλοῦν. τούτου δὲ περάσαντος καὶ διὰ τοῦ κριοῦ τὸν λεγόμενον Κεντηναρήσιον πύργον καταβαλόντος, ἅμα δὲ καὶ τὸν πλησίον αὐτοῦ Σύαγρον καλούμενον, Χαζάρων δὲ καταλαβόντων, ἐγένετο ἀνοχὴ τοῦ πολέμου. Βαρδάνης δὲ ἐκφυγὼν πρὸς τὸν Χαγάνον ᾤχετο. ἀπράκτου δὲ τοῦ στόλου γεγονότος καὶ πρὸς τὸν βασιλέα ὑποστρέψαι μὴ τολμῶντος, τὸν μὲν Ἰουστινιανὸν ἀνέσκαψαν, τὸν δὲ Βαρδάνην ὡς βασιλέα καὶ αὐτοὶ εὐφήμησαν. ἠτήσαντο δὲ τὸν Χαγάνον δοθῆναι αὐτοῖς τὸν Φιλιππικόν, τοῦ δὲ Χαγάνου λόγον αὐτοὺς ἀπαιτήσαντος τοῦ μὴ προδοθῆ-

---

1 *Τουδοῦνον* h *Τούδουνον* d *τοῦ δουνόν* c *τὸν δοῦνον* g *τὸν δούνον* m *τὸ δουνόν* ef. — 3 *Ἠλίαν* fh. — 7 *γενεικόν* cy. — *ἅμα τοῦ ἐπάρχου* y. — *ὑπάρχῳ* xz. — 8 *Τούδουνον ἅμα* d *Τουδουνον* (*sine acc.*) *ἅμα* c *τούδουν ὂν ἅμα* e *τόνδουν ὄνομα* m *δούνον καΐ* f. — *Ζώηλον* f. — *τοῦ λεχθέντος τουρμάρχου codd.* — 10 *τοῦ δοῦνα* y. — 11 *δοχήν* f *δογήν* emx *δογῆν* g *δουγήν* h. — 13 *ἐξόριστον ἐκεῖσε* g. — 14 *καὶ om.* dy *Φιλ. μετωνόμασαν καΐ?* — *καὶ om.* z. — 15 *πλεῖον* hy. — *ἐκμανής* c *ἐμμανεὶς* g. — *Ἠλία* h. — 17 *πλόϊμον* h. — 18 *τὸν B.* yΛ *τὸ ἐπίκλην B.* z *τὸ ἐπίκλην τὸν B.* x. — *Βέσον* h *Βαῖσον* g Besum A. — 20 *ἑλεπόλιν* ehmx. — *αὐτόν* em *αὐτῷ sed ῷ sec. m. in lit.* f. — *τὰ μὲν τῆς Χερσῶνος τείχη* xz. — *ἐδαφίσαι* ch *ἐκδαφίσαι* d *ἐκδαφῖσαι* g *ἐκδαφῆσαι* y. — 21 *δὲ om.* y. — *ἐξ αὐτῶν* hx *ἐξ αὐτῷ* g. — 22 *αὐτά* y. — 24 *καταβαλλόντος* h *καταλαβόντος* c. — *σύναγρον* c. — *καλούμενος* y. — 25 *δέ*] que A *τε*? — *Βαρδάνιος* gy. — 27 *ἐπιστρέψαι* y. — 28 *καὶ αὐτόν* cz. — 30 *προδοῦναι* xy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναι αὐτὸν ὑπ' αὐτῶν καὶ τοῦ κομίσασθαι αὐτὸν κατὰ ἄνδρα ἀνὰ
582 B νομίσματος ἑνός, οἱ δὲ παραχρῆμα ταῦτα δόντες παρέλαβον τὸν
318 P Φιλιππικὸν βασιλέα. ἐν δὲ τῷ χρονίζειν τὸν στόλον, ἀναφορᾶς τε
μὴ ἐλθούσης, ἐστοχάσατο Ἰουστινιανὸς τὴν αἰτίαν, καὶ ἐπάρας σὺν
αὐτῷ τοὺς τοῦ Ὀψικίου καὶ μέρος Θρᾳκησίων ἀνῆλθεν ἕως Σινώπης
πρὸς τὸ διαγνῶναι τὰ ἐν Χερσῶνι. ἐν δὲ τῷ σκοπεύειν αὐτὸν τὰ
περατικὰ μέρη ὁρᾷ τὸν στόλον ἐπὶ τὴν πόλιν ἀρμενίζοντα καὶ βρύξας
ὡς λέων καὶ αὐτὸς ἐπὶ τὴν πόλιν ὥρμησεν. τοῦ δὲ Φιλιππικοῦ
προλαβόντος καὶ τὴν πόλιν κρατήσαντος, αὐτὸς ἐπὶ τὸν Δαματρῦν
ἐλθὼν ἐν αὐτῷ σὺν τοῖς αὐτοῦ ἠπλήκευσεν. ὁ δὲ Φιλιππικὸς ἀπο-
στέλλει εὐθέως κατὰ μὲν τοῦ Τιβερίου Μαῦρον τὸν πατρίκιον σὺν
Ἰωάννῃ σπαθαρίῳ, τὸ ἐπίκλην Στρούθῳ, τὸν δὲ Ἠλίαν ὁμοίως μετὰ
κούρσου κατὰ Ἰουστινιανοῦ εἰς τὸν Δαματρῦν, καὶ ἕτερον πάλιν
κατὰ τοῦ Βαρισβακουρίου φυγῇ χρησαμένου. καὶ ὁ μὲν Μαῦρος
ἅμα τοῦ ῥηθέντος Στρούθου ἐν Βλαχέρναις πορευθεὶς εὗρε τὸν Τιβέ-
ριον κρατοῦντα τῇ μιᾷ χειρὶ τὸ κιονάκιον τῆς ἁγίας τραπέζης τοῦ
θυσιαστηρίου τῆς Θεομήτορος, καὶ τῇ ἑτέρᾳ τὰ τίμια ξύλα καὶ ἐν
τῷ τραχήλῳ φυλακτά, ἔξωθεν δὲ τοῦ βήματος παρακαθεζομένην
Ἀναστασίαν, τὴν τοῦ πατρὸς αὐτοῦ μητέρα. ἥ τις τοῖς ποσὶ τοῦ
Μαύρου κυλινδουμένη ἠτεῖτο μὴ ἀποκτανθῆναι τὸν αὐτῆς ἔγγονὰ
Τιβέριον, ὡς μηδὲν ἄτοπον πράξαντα. αὐτῆς δὲ τοὺς πόδας τούτου
583 B κατεχούσης καὶ μετὰ δακρύων ἱκετευούσης, εἰσελθὼν ὁ Στροῦθος
ἔνδον τοῦ βήματος βίᾳ ἀφήρπασεν αὐτόν· καὶ τὰ μὲν τίμια ξύλα
ἐξ αὐτοῦ ἄρας ἐπάνω τῆς τραπέζης ἐπέθηκεν, τὰ δὲ φυλακτὰ εἰς τὸν
ἴδιον προσήρτησε τράχηλον. καὶ λαβόντες τὸν παῖδα ἐπὶ τῷ ἄνω
τῶν Καλλινίκης παραπορτίῳ καὶ τοῦτον ἐκδύσαντες καὶ ἐπὶ τῆς
φλιᾶς ἁπλώσαντες δίκην προβάτου αὐτὸν ἐλαρυγγοτόμησαν, καὶ τοῦ-
τον ἐν τῷ ναῷ τῶν ἁγίων ἀναργύρων, τῷ λεγομένῳ Παυλίνης,
ταφῆναι προσέταξαν. χειρωθεὶς δὲ καὶ Βαρισβακούριος, ὁ πρωτο-
πατρίκιος καὶ κόμης τοῦ Ὀψικίου, καὶ αὐτὸς ἀνῃρέθη. ὁ δὲ Ἠλίας
ἅμα τῷ συνόντι αὐτῷ λαῷ ἀνελθὼν ἐν τῷ Δαματρῦ καὶ εἰς λόγους
μετὰ τοῦ ἐκεῖσε ὄντος στρατοῦ ἐλθὼν λόγον τε ἀπαθείας τῷ συνόντι
τῷ Ἰουστινιανῷ λαῷ δεδωκώς, διῃρέθησαν ἅπαντες καὶ ἀπέδρασαν

---

1. 2 *ἀνὰ νομίσματος ἑνός*] *ἑκατὸν νομίσματα* Niceph. — 6 *σκοπεῖν* d. — 9 *Δαματρύν* xy Damastrym A. — 10 *ἠπλίκευσεν* ch. — 12 *Στρουθῷ* f. — *Ἠλίαν* fh. — 13 *Δαματρύν* fx *Δάματρυν* em Damastryn A. — 14 *Βαρισβακουρίου* A *Βασβακουρίου* x *Βασβακορίου* y *Βασβακαρίου* g *Βασκαρίου* h. — 16 *τὸ κιονάκην* d *τὸν κίονα* h. — 17 *τὰ om.* f. — 20 *ἑαυτῆς* c. — *ἔγγονον* hx. — 23 *βίᾳ om.* y. — 24 *τῆς ἁγίας τραπέζης* d. — *ἀπέθηκεν* h. — 26 *τῶν Καλλινίκων* Niceph. — 29 *προσέταξεν* y. — *καί*] *καὶ ὁ* f *om.* egm. — *Βασβακούριος codd.* A. — 30 *Ἠλίας* h *sine spir.* f. — 31 *Δαματρύ* dfz *Δάματρυν* em *sine acc.* c Damastryn A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκ τοῦ Ἰουστινιανοῦ, μόνον αὐτὸν καταλιπόντες καὶ τῷ μέρει τοῦ Φιλιππικοῦ προσρυέντες. τότε ὁ προλεχθεὶς Ἡλίας σπαθάριος θυμῷ ἐπιδραμὼν καὶ τὸν τούτου τράχηλον δραξάμενος τῷ παραμηρίῳ, ᾧ ἦν διεζωσμένος, ἀπέτεμε τὴν αὐτοῦ κάραν καὶ διὰ Ῥωμανοῦ σπαθαρίου πρὸς Φιλιππικὸν ἀπέστειλεν· ὁ δὲ Φιλιππικὸς διὰ τοῦ αὐτοῦ 584 B
σπαθαρίου ταύτην ἐπὶ τὰ δυτικὰ μέρη ἕως Ῥώμης ἐξέπεμψεν. ‖ πρὸ 319 r
δὲ τοῦ βασιλεῦσαι αὐτὸν ἐν τῇ μονῇ τῶν Καλλιστράτου ἔγκλειστος ἦν προορατικὸς καὶ αἱρετικός, ὅστις ἀνελθόντι τῷ Φιλιππικῷ εἶπεν αὐτῷ, ὅτι "βασιλεία σοι κεῖται." ὁ δὲ ἐταράχθη, καὶ λέγει ὁ ἔγκλειστος· "εἰ ὁ θεὸς κελεύει, σὺ τί ἀντιλέγεις; τοῦτο δὲ λέγω σοι, ὅτι ἡ ἕκτη σύνοδος κακῶς ἐγένετο· ἐὰν οὖν βασιλεύσῃς, ταύτην ῥίψον, καὶ γενέσθαι σοι ἔχει ἡ βασιλεία κραταιὰ καὶ πολυχρόνιος." ὁ δὲ συνέθετο αὐτῷ μεθ' ὅρκου τοῦτο ποιεῖν. τοῦ δὲ Λεοντίου διαδεξαμένου τὸν Ἰουστινιανόν, ἀνέρχεται Φιλιππικὸς πρὸς τὸν ἔγκλειστον. ὁ δὲ λέγει αὐτῷ· "μὴ σπουδάσῃς, γενέσθαι ἔχει." βασιλεύσαντος δὲ καὶ Ἀψιμάρου, πάλιν ἀνῆλθε πρὸς αὐτόν, καὶ πάλιν εἶπεν αὐτῷ, ὅτι "μὴ σπουδάσῃς, ἐκεῖνο περιμένει σε." θαρρήσαντος δὲ Φιλιππικοῦ τινι τῶν φίλων αὐτοῦ, ἐμήνυσε τῷ Ἀψιμάρῳ. ὁ δὲ δείρας καὶ κουρεύσας αὐτὸν καὶ σιδηρώσας ἐξώρισεν εἰς Κεφαληνίαν. βασιλεύσαντος δὲ Ἰουστινιανοῦ, πάλιν ἀνεκαλέσατο αὐτόν. καὶ βασιλεύσας cf. Niceph. Frev p. 48
ἐποίησε ψευδοσύνοδον ἐπισκόπων κατὰ τὸν λόγον τοῦ ψευδαββᾶ καὶ 585 B
ἐγκλείστου καὶ ἔρριψε τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἕκτην σύνοδον. καὶ τῷ αὐτῷ χρόνῳ ἐτυφλώθη ὁ μάταιος. ἐν πολλῇ δὲ ἀμεριμνίᾳ εἰς τὰ βασίλεια διατελῶν πλήθη τε χρημάτων καὶ λαμπροτάτων οὐσιῶν ἐκεῖσε εὑρὼν ἐκ πλειόνων χρόνων ὑπὸ τῶν προβεβασιλευκότων συναχθέντων ἐκ δημεύσεων καὶ διαφόρων προφάσεων, καὶ μάλιστα ὑπὸ τοῦ εἰρημένου Ἰουστινιανοῦ, ταῦτα εἰκῇ καὶ μάτην ἀπόνως διεσκόρπισεν. καὶ ἐν μὲν ταῖς διαλαλιαῖς αὐτοῦ λόγιος καὶ ἐχέφρων ἐλογίζετο, ἐν δὲ ταῖς πράξεσιν αὐτοῦ ἀσέμνως καὶ ἀνικάνως τὸν βίον διατελῶν πάντῃ ἀδόκιμος ἐδείκνυτο. ἦν δὲ καὶ αἱρετικὸς καὶ μοιχός. Κῦρον δὲ τὸν πατριάρχην ἐξωθήσας τῆς ἐκκλησίας Ἰωάννην τὸν αὐτοῦ συμμύστην καὶ συναιρετικὸν προεβάλετο.

---

1 καὶ *om.* y. — 1 καὶ — 2 προσρυέντες *om.* h. — 2 Ἡλίας h. — ὁ σπαθάριος y. — 7 αὐτὸν *om.* f. — ἐγκλειστός dfh ἔγκλειστός e *sine acc.* c. — 9 σου em. — λέγει αὐτῷ ὁ h. — ἐγκλειστός cefh *sine acc.* d. — 10 τί *om.* g. — 14 ἐγκλειστόν fhx. — 15 σπουδάζῃς h. — ἔχεις yz ἔχεις βασιλέα *vulg.* — 16 Ἀψιμάρου h *sine spir.* c. — 17 θαρέσας em θαρίσας f. — Φιλιππικός cy. — 18 τινί Classen τινός gx τινά y πρός h. — Ἀψιμάρῳ h. — 19 καὶ *om.* y. — 20 βασιλεύσαντος g. — 21 ψευδοαββᾶ d ψευδάμβα e. — ψ. τοῦ καὶ f. — 22 ἐγκλειστοῦ *codd. praeter* g. — 23 ἀμεριμνείᾳ y. — 25 ἐκ πλ. τῶν χρ. xz. — 30 πάντῃ d *παντί rell.* ubique A. — 31 Κύρον cz. — 32 μύστην y. — προεβάλλετο dg.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

711/12 A. M. 6204 *Κόσμου ἔτη ϛσδ'.* *Τῆς θείας σαρκώσεως ἔτη ψϛ'.* *Ῥωμαίων βασιλεὺς Φιλιππικὸς ἔτη β'. α'.* *Ἀράβων ἀρχηγὸς Οὐαλὶδ ἔτη θ'. ζ'.* *Κωνσταντ. ἐπίσκοπος Ἰωάννης ἔτη γ'. α'.* *Ἱεροσολύμων ἐπίσκοπος Ἰωάννης ἔτη λ'. ζ'.*

320 P *Τούτῳ τῷ ἔτει Φιλιππικὸς τοὺς Ἀρμενίους τῆς ἑαυτοῦ γῆς ἐξελάσας Μελιτηνὴν καὶ τὴν τετάρτην Ἀρμενίαν οἰκῆσαι ἠνάγκασεν. Μασαλμᾶς δὲ τὴν Ἀμάσειαν παρέλαβε σὺν ἄλλοις καστελλίοις καὶ*
586 B *πολλῇ αἰχμαλωσίᾳ· Γεώργιός τε, ὁ Ἀπαμείας ἐπίσκοπος μετῳκίσθη*
cf. Niceph. Brev. p. 48 *ἐν Μαρτυροπόλει. ‖ Φιλιππικὸς δὲ οὐκ ἠσχύνθη ἐκμανῶς κινηθῆναι κατὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, ἀνατρέπειν σπεύδων τὰ ὑπ' αὐτῆς βεβαιωθέντα θεῖα δόγματα. εὗρε δὲ ὁμόφρονας αὐτοῦ Ἰωάννην, ὃν ἐπίσκοπον Κωνσταντινουπόλεως πεποίηκε καθελὼν Κῦρον, τὸν ταύτης πρόεδρον, ὃν καὶ περιώρισεν ἐν τῷ τῆς Χώρας μοναστηρίῳ· Γερμανόν τε τὸν μετὰ ταῦτα τὸν θρόνον Κωνσταντινουπόλεως κατασχόντα, ἐπίσκοπον τὸ τηνικαῦτα ὑπάρχοντα Κυζίκου, καὶ Ἀνδρέαν καὶ αὐτὸν ἐπίσκοπον Κρήτης ὄντα, Νικόλαόν τε τὸν ἀπὸ καυκοδιακόνων σοφιστὴν γεγονότα τῆς ἰατρικῆς ἐπιστήμης κυέστορά τε τότε ὑπάρχοντα, Ἐλπίδιόν τε διάκονον τῆς μεγάλης ἐκκλησίας, Ἀντίοχόν τε τὸν χαρτοφύλακα καὶ ἑτέρους τούτων ὁμοιοτρόπους· οἵτινες καὶ ἐγγράφως ἀνεθεμάτισαν τὴν ἁγίαν ἕκτην σύνοδον. τῶν δὲ Βουλγάρων διὰ τοῦ Φιλέα λάθρα ἐπὶ τὸ Στενὸν καταρριψάντων καὶ μεγάλην σφαγὴν πεποιηκότων καὶ ἕως τῆς πόλεως ἐκδραμόντων, καὶ πολλοὺς περαματίζοντας, γάμους τε ἐνουσίους καὶ δαψιλεστάτους ἀρίστους μετὰ ποικίλου ἀργύρου καὶ λοιπῆς ἀποσκευῆς εὑρηκότων, καὶ ἕως τῆς Χρυσῆς πύρτης διαδραμόντων καὶ τὴν*
587 B *ἅπασαν Θρᾴκην αἰχμαλωτισάντων, ὑπέστρεψαν ἀβλαβεῖς εἰς τὰ ἴδια μετὰ κτηνῶν ἀμέτρων. ὁμοίως καὶ οἱ Ἄραβες τὴν Μίσθειαν παρέλαβον καὶ ἕτερα κάστρα, πλείστων φαμιλιῶν καὶ κτηνῶν ἀναριθμήτων ἅλωσιν ποιησάμενοι. ‖*

---

v. 1[6]—5[9] *om.* h. — 3[4] *Οὐάλιδ* f *Οὐαλιδ sine acc.* ce *Οὐαλήδ* m. — 5[3] *α' om.* f. — 6 *αὐτοῦ* y. — 7 *ἀπελάσας* hx. — *Μελιτινήν codd. praeter* d. — 8 *Μάσαλμας* dfz *Μασαλμας sine acc.* c *Μεσαλμᾶς* e *Μεσελμᾶς* m. — *Ἀμάσιαν* gy. — 8. 9 *καὶ πολλὴν αἰχμαλωσίαν ἐποίησαν* d. — 9 *Ἀμασίας* f. — 10 *οὐκ ἠσχύνθη*] non praevaluit (*οὐκ ἴσχυσεν*) A. — *ἐμμανῶς* g. — 12 *δὲ om.* y. — 13 *Ἰωάννην ὃν ἐπ. Κωνστ. πεποίηκε* yA *Ἰωάννην τὸν ἐπ. Κωνστ., ὃν πεποίηκε* xz. — 13 *πεποίηκε* — 15 *Κωνσταντινουπόλεως om.* f. — 14 *Κύρου* dz. — 16 *ἐπίσκοπον* — *ὑπάρχοντα om.* y. — *ἐπίσκοπος* c. — 18 *ἀπὸ τῶν καυκ.* g a diacono caucum effectum A. — 18 *κυαίστορα* m *κυαίστωρα* cf *κοιαίστορα* g. — 20 *ὁμοτρόπους* b. — 22 *διὰ τ. Φιλ. λάθρα* xA *λάθρα διὰ τ. Φ.* yz. — *Φυλέα* f. — *καταριψάντων codd.* — 25 *ἀργύρου* yA *ἀρίστου* xz. — 26. 27 *καὶ τὴν ἅπ. Θρ. αἰχμαλωτισάντων om.* g. — 28 *μετά*] *σύν* y. — *Μίσθιαν* xz *Μισθείαν* f *Μισθίαν* em *Μήδειαν* Niceph. — 29 *πλείστων τε φαμ.* y. — *φαμηλιῶν* (*-λίων* d) *codd.* — *ἀμετρήτων* cz *ἀμέτρων* d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

β'. η'. β'. η'. A. M. 6205 712/3.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Ἄβας τὴν Ῥωμανίαν καὶ παρέλαβεν Ἀντιόχειαν Πισιδίας μετὰ πολλῆς αἰχμαλωσίας, καὶ ὑπέστρεψεν. ἐγένετο δὲ σεισμὸς μέγας κατὰ τὴν Συρίαν μηνὶ Περιτίῳ κη'. διετοῦς δὲ χρόνου τῆς βασιλείας Φιλιππικοῦ ἐν τούτοις παραδραμόντος, καὶ τοῦ γενεθλίου ἱππικοῦ ἐπιτελουμένου, Πρασίνων νικησάντων, ἔδοξε τῷ βασιλεῖ τῷ σαββάτῳ τῆς πεντηκοστῆς καβαλλάριον μετὰ δοχῆς καὶ ὀργάνων εἰσελθεῖν καὶ λούσασθαι εἰς τὸ δημόσιον λουτρὸν τοῦ Ζευξίππου καὶ μετὰ πολιτῶν ἀρχαιογενῶν ἀριστῆσαι. ἐν δὲ τῷ μεσημβρίζειν αὐτὸν ἐξάπινα διὰ τῆς Χρυσῆς πόρτης εἰσῆλθε Ῥοῦφος, ὁ πρωτοστράτωρ τοῦ Ὀψικίου, ὑπὸ βουλὴν Γεωργίου, πατρικίου καὶ κόμητος τοῦ Ὀψικίου, τὸ ἐπίκλην Βουράφου, καὶ Θευδώρου πατρικίου τοῦ Μυακίου, μετὰ τῶν ταξάτων, ὧν εἶχεν ἐν τῇ Θράκῃ τοῦ αὐτοῦ θέματος, καὶ εἰσδραμὼν εἰς τὸ παλάτιον εὗρε τὸν Φιλιππικὸν μεσημβρίζοντα, καὶ ἁρπάσας αὐτὸν ἀνήνεγκεν εἰς τὸ 588 B
ὀρνατώριον τῶν Πρασίνων κἀκεῖ αὐτὸν ἐτύφλωσεν, μηδενὸς διεγνωκότος. τῇ δὲ ἐπαύριον, ἤγουν τῇ πεντηκοστῇ, σωρευθέντος τοῦ λαοῦ εἰς τὴν μεγάλην ἐκκλησίαν, ἐστέφθη Ἀρτέμιος ὁ πρωτοασηκρήτης, μετονομασθεὶς Ἀναστάσιος. τῷ δὲ σαββάτῳ μετὰ τὴν πεντηκοστὴν ἐτυφλώθη Θεόδωρος ὁ Μυάκης, καὶ τῷ δευτέρῳ σαββάτῳ ἐτυφλώθη Γεώργιος ὁ Βούραφος, καὶ ἐξωρίσθησαν ἐν Θεσσαλονίκῃ.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	Κωνσταντ.	Ἱεροσολύμων	A. M. 6206 713/4.
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	ἐπίσκοπος	ἐπίσκοπος	
,ϛϛϛ'.	ἔτη ψϛ'.	Ἀρτέμιος	Οὐαλὶδ	Ἰωάννης	Ἰωάννης	
		ἔτη β'.	ἔτη θ'.	ἔτη γ'.	ἔτη λ'.	
		α'.	θ'.	γ'.	θ'.	

Τούτῳ τῷ ἔτει ἐκούρσευσε Μασαλμᾶς τὴν Ῥωμανίαν, καὶ σκυλεύσας τὴν Γαλατίαν ὑπέστρεψε μετ' αἰχμαλωσίας καὶ σκύλων πολλῶν. ὁ δὲ Ἀρτέμιος στρατηγοὺς ἱκανωτάτους προβαλλόμενος εἰς τὰ καβαλλαρικὰ θέματα, καὶ λογιωτάτους εἰς τὰ πολιτικά, ἐν ἀδείᾳ διετέλει. τῶν δὲ Ἀράβων ὁπλιζομένων κατὰ Ῥωμανίας διά τε γῆς

cf. Niceph. Brev. p. 49 321 P

cf. Niceph. Brev. p. 49

---

2 Ἄβας d Ἀβάς cf Ἄββᾶς z Ἄββες em. — 5 δὲ *om.* y. — 6 ἐπιτελουμένου ἱππικοῦ em ἐπιτελ. τοῦ ἱππικοῦ f. — 7 καββαλλάριον g καβαλάριον d. — 11 Ῥουφῖνος y. — 11 ὑπὸ βουλὴν — 12 Ὀψικίου *om.* gA. — ὑποβολῇ? — 12 Βουράφου Niceph. Βοράφου *codd.* Buramphi A *cf. v.* 21. — 13 Μιακίου m Ἀμυακίου f. — ταξατῶν *codd.* — 15 τὸν *om.* z. — 16 ὀρνατούριον *codd.* oratorium A. — μηδενὸς μὴ ἐγνωκότος y. — διεγνωκότας c. — 17 τῇ ἁγίᾳ ν' d. — πρωτοασηκρίτης d πρωτοασικρήτης m πρωτοασικρίτης efh πρωτοασηκριτις *sine acc.* c πρωτοασηκρῆτις g. — 19 μετὰ τὴν πεντηκοστήν *om.* g. — 20 ἐτυφλ. Γεώργιος καὶ Θεόδ. g. — Μυάκιος g. — 21 Βουράφος em *sine acc.* c Buramphus A. — ἐν Θεσαλονίκῃ h εἰς Σαλονίκην y. — 24[4] Οὐάλιδ f Οὐαλήδ m. — 25[6] ἔτη θ' h. — *v.* 26 *om.* g. — 26[6] θ'] ε' cef *om.* h. — 27 Μάσαλμας *codd.* — 30 καββαλλαρικά g καβαλαρικά d. — 31 κατὰ Ῥωμ. ὁπλιζομένων h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ θαλάσσης, ἀπέστειλεν ὁ βασιλεὺς ἄρχοντας ἐν Συρίᾳ πρὸς Οὐαλίδ, ὡς δῆθεν τὰ τῆς εἰρήνης προσλαλῆσαι, Δανιὴλ τὸν Σινωπίτην, πατρίκιον καὶ ἔπαρχον τῆς πόλεως, ἐντειλάμενος αὐτῷ ἐν ἀκριβείᾳ διερευνῆσαι περὶ τῆς κατὰ Ῥωμανίας κινήσεως καὶ δυνάμεως αὐτῶν. τοῦ δὲ ἀπελθόντος καὶ ὑποστρέψαντος, ἀπήγγειλε τῷ βασιλεῖ τὴν
5 9 B μεγάλην κατὰ τῆς βασιλίδος πόλεως διά τε γῆς καὶ θαλάσσης ἐξόπλισιν αὐτῶν..... ὅτι ἕκαστος φροντιζέτω τὰς ἑαυτοῦ δαπάνας
322 V ἕως τοῦ τριετοῦς χρόνου, ὁ δὲ τοῦτο ἀπορῶν ἀποτρεχέτω τῆς πόλεως. ἔστησε δὲ ἐπείκτας καὶ ἤρξατο κτίζειν δρόμωνάς τε καὶ διήρεις ⟨πυρσοφόρους καὶ μεγίστας τριήρεις⟩· καὶ τὰ παράλια δὲ ἀνεκαίνισε τείχη, ὡσαύτως δὲ καὶ τὰ χερσαῖα, στήσας τοξοβολίστρας καὶ τετραρέας εἰς τοὺς πύργους καὶ μαγγανικά· καὶ κατὰ τὸ δυνατὸν αὐτῷ τὴν πόλιν ὀχυρώσας γεννήματά τε πλεῖστα εἰς τὰ βασιλικὰ ὅρια ἀπέθετο καὶ καθ' ἑαυτὸν ἠσφαλίσατο. ‖

714/5 A. M. 6207 Ἀράβων ἀρχηγὸς Σουλεϊμὰν ἔτη γ'.
Κωνσταντινουπόλεως ἐπίσκοπος Γερμανὸς ἔτη ιε'.
β'. α'. α'. ι'.

Τούτῳ τῷ ἔτει ἀπεβίω Οὐαλίδ, καὶ Σουλεϊμὰν διαδέχεται τὴν ἀρχήν. τῷ δ' αὐτῷ δευτέρῳ ἔτει τῆς βασιλείας Ἀρτεμίου, τοῦ καὶ Ἀναστασίου, τῆς ιγ' ἰνδικτιῶνος μηνὶ Αὐγούστῳ ια', μετετέθη Γερμανὸς ἀπὸ τῆς μητροπόλεως Κυζίκου εἰς Κωνσταντινούπολιν· ἐφ' ᾗ καὶ κιτατόριν μεταθεσίμου τὸ ὑποτεταγμένον ἐκπεφώνηται· ψήφῳ καὶ δοκιμασίᾳ τῶν θεοσεβεστάτων πρεσβυτέρων καὶ διακόνων, καὶ παντὸς τοῦ εὐαγοῦς κλήρου, καὶ τῆς ἱερᾶς συγκλήτου, καὶ τοῦ φιλο-
590 B χρίστου λαοῦ τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως, ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ λείποντα ἀναπληροῦσα, μετατίθησι Γερμανόν, τὸν ὁσιώτατον πρόεδρον τῆς Κυζικηνῶν

---

1 θαλάττης xz. — 2 λαλῆσαι f. — Σινωπήτην f Σινοπίτην h Σινοπήτην em. — 3 ὕπαρχον xz. — 4 κατὰ Ῥωμανίαν xz. — 5 ἀπήγγειλαν e ἀπηγγέλει z. — 6 θαλάττης xz. — 7 *Ante* ὅτι ἕκαστος *desunt nonnulla.* A *addit:* tum ille praecipit (τότε ὁ βασιλεὺς προσέταξεν). *Sed cum in Niceph. eodem modo oratio impedita sit, lacunosum auctoris, quem sequuntur, exemplar utrumque scriptorem nactum esse et perverse descripsisse verisimilius est.* — 8 ἀποτρέχω f. — 9 ἔστησε y ἐπέστησε xz constituit A. — δὲ xzA τε y. — ἐπίκτας *codd.* praepositos construentium naves A. — δρόμονας dhy. — 9. 10 πυρσοφόρους καὶ μεγίστας τριήρεις *add. ex* A *om. codd.* — 11 τοξοβολήστρας y. — τετραραίας xz. — 13 γενήματα *codd.* — ὀρεία d ὀρεῖα h ὄρει *sine acc.* c ὦρια em ὡρία f ὡρεῖα g. — 15 Σουλεϊμάν m Σουλεϊμᾶς *rell.* — *v.* 17 *om.* y. — 18 Οὐάλιδ m. — καὶ Σουλ. διαδέχεται τὴν ἀρχήν y καὶ διαδέχ. Σουλ. τὴν ἀρχήν x καὶ διαδ. αὐτοῦ Σουλ. τὴν ἀρχήν z. — Σουλεϊμᾶν z. — 19 τῷ δ' αὐτῷ ἔτει δευτέρῳ em τῷ δ' αὐτῷ ἔτει δευτέρῳ ὄντι d τῷ δ' αὐτῷ πρώτῳ ἔτει Goar. — 20 τῆς *om.* g. — ιδ' *codd. praeter* h. — ια'] δ' Goar. — 22 κητατόριν fgx κητατοριον h. — τῇ ψήφῳ h. — 26 τὰ ἐλλίποντα g. — 27 τὸν ὁσιώτατον πρόεδρον cyA τὸν ὁσιώτατον μητροπολίτην καὶ πρόεδρον z τὸν ὁσ. πρόεδρον μητροπολίτην d. — Κυζικινῶν chy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μητροπόλεως, εἰς ἐπίσκοπον ταύτης τῆς Θεοφυλάκτου καὶ βασιλίδος πόλεως. ἐγένετο δὲ ἡ παροῦσα μετάθεσις κατὰ παρουσίαν Μιχαήλ, τοῦ ὁσιωτάτου πρεσβυτέρου καὶ ἀποκρισιαρίου τοῦ ἀποστολικοῦ θρόνου, καὶ λοιπῶν ἱερέων καὶ ἐπισκόπων, ἐπὶ Ἀρτεμίου βασιλέως.

5 μαθὼν δὲ Ἀρτέμιος, ὅτι στόλος τῶν Σαρακηνῶν ἀπὸ Ἀλεξανδρείας ἐπὶ τὸν Φοίνικα ἀνέβραμε πρὸς τὸ κόψαι ξυλὴν κυπαρισσίνην, ἐπιλεξάμενος ἐκ τοῦ οἰκείου στόλου τὰ εὔδρομα σκάφη ἔβαλε ταξάτους ἐκ τοῦ Ὀψικίου θέματος, καὶ εἰς τὴν Ῥόδον ἀθροισθῆναι ἐκέλευσε πάντας καὶ προεβάλετο στρατηγὸν καὶ κεφαλὴν αὐτῶν τὸν διάκονον 10 Ἰωάννην τῆς μεγάλης ἐκκλησίας, ⟨τὸν ἐπιλεγόμενον παπᾶν Ἰωαννάκιν⟩ τὸ τηνικαῦτα λογοθέτην γενικὸν ὑπάρχοντα. αὐτοῦ δὲ ἐν τῇ Ῥόδῳ καταλαβόντος, καὶ τῶν πλωΐμων συναθροισθέντων, διελάλει τοῖς ἄρχουσι περὶ τοῦ ἀποκινῆσαι αὐτούς, καὶ ἀπελθεῖν εἰς τὸν Φοίνικα, πρὸς τὸ καῦσαι τὴν ξυλὴν καὶ τὴν εὑρισκομένην ἐξάρτυσιν 15 τῶν Ἀγαρηνῶν. πάντων δὲ προθύμως ὑπακουσάντων, οἱ τοῦ Ὀψικίου οὐ κατεδέξαντο· καὶ τὸν μὲν βασιλέα ἀνέσκαψαν, τὸν δὲ διάκονον Ἰωάννην ῥομφαίαις ἀνεῖλον. ἐντεῦθεν λοιπὸν οἱ στόλοι διαιρεθέντες εἰς τοὺς ἰδίους ἀπέπλευσαν τόπους, οἱ δὲ κακοῦργοι κατὰ τῆς βασιλίδος ἀνέβαλον πόλεως. ἐλθόντων δὲ αὐτῶν ἐν τῷ 20 Ἀδραμυτίῳ, ἀκεφάλων ὄντων, εὗρον ἐκεῖ ἄνδρα ἐντόπιον Θεοδόσιον ὀνόματι, ἐκλήπτορα τῶν δημοσίων φόρων ὑπάρχοντα, ἀπράγμονά τε καὶ ἰδιώτην, καὶ προετρέψαντο αὐτὸν τοῦ βασιλεύειν. ὁ δὲ φυγῇ χρησάμενος εἰς τὸ ὄρος ἐκρύβη. εὑρόντες δὲ αὐτὸν εὐφήμησαν αὐτὸν βιασάμενοι ὡς βασιλέα. ὁ δὲ Ἀρτέμιος ταῦτα μαθὼν ἐπέστησε τῇ 25 πόλει οἰκειακοὺς αὐτοῦ ἀνθρώπους ἄρχοντας ἅμα τοῦ κατασκευασθέντος ὑπ' αὐτοῦ στόλου, καὶ ἐξοπλίσας αὐτοὺς αὐτὸς ἐξῆλθεν ἐν Νικαίᾳ τῇ πόλει, κἀκεῖσε ἑαυτὸν ἠσφαλίσατο. οἱ δὲ ἀντάρται ἀναβαλόντες καὶ συγκινήσαντες ὅλον τὸ θέμα τοῦ Ὀψικίου καὶ τοὺς Γοτθογραίκους, συλλαμβάνονται πλεῖστα μικρά τε καὶ μεγάλα πραγμα- 30 τευτικὰ σκάφη καὶ διά τε γῆς καὶ θαλάσσης ἐν Χρυσοπόλει ἀνέβραμον. τοῦ δὲ τῆς πόλεως στόλου εἰς τὸν λιμένα τοῦ ἁγίου Μάμαντος

cf. Niceph. Brev. p. 50

591 B

323 B

---

2 δὲ *om.* x. — κατὰ παρουσίαν h κατὰ παρουσίας d κατὰ παρουσία cgy. — 5 ὁ Ἀρτέμιος g. — ὁ στόλος mz. — ἀπὸ Ἀλεξάνδρειαν c. — 6 ἐξέβραμεν g. — ξυλὶν f ξυλῖν e ξυλίνην h. — 7 ἔβαλλε h. — ταξάτας g. — 8 Ὀψικίου] οἰκείου y. — 8. 9 πάντας ἐκέλευσε g. — 9 προεβάλλετο g. — 10 τὸν ἐπιλεγ. π. Ἰωαννάκιν *add. ex* A: qui dicebatur papa Iohannacis *cf.* Georg. Mon. p. 627. — 11 γενικὸν ὑπάρχοντα λογοθέτην y γενικὸν λογοθέτην ὑπάρχοντα d. — 12 πλοΐμων dh. — 12. 13 διελάλει περὶ τοῦ ἀποκ. αὐτοὺς τοῖς ἄρχουσι xz. — 14 ἐξάρτησιν *codd.* — 15 τῶν Σαρακηνῶν y. — 16 καὶ] ἀλλὰ d. — μὲν *om.* f. — 17 ῥομφαίᾳ Niceph. — 19 αὐτῶν *om.* g. — 20 Ἀδραμυντίῳ z Niceph. — 22 αὐτὸν τοῦ] αὐτοῦ g. — βασιλεῦσαι xz. — 23 αὐτὸν *post* εὐφ. *om.* xz. — 25 ἄρχοντας *om.* y. — 26 παρ' αὐτοῦ y ὑπ' *om.* h. — 27 αὐτόν fg. — 30 θαλάττησχν. — 31 τοῦ δὲ—*p.* 386, 1 μῆνας ἓξ *om.* fx.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁρμοῦντος, καθ' ἑκάστην ἡμέραν ἐπολέμουν ἀλλήλους ἐπὶ μῆνας ἕξ. τοῦ δὲ τῆς πόλεως στόλου ἐπὶ τὸν τοῦ Νεωρίου τῆς πόλεως λιμένα
592 B μεθορμίσαντος, περάσας ὁ Θεοδόσιος τὰ Θρᾳκῶα ἐκράτησε μέρη. προδοσίας δὲ γενομένης, διὰ τῆς πόρτης τοῦ μονοτείχους τῶν Βλαχερνῶν τὴν πόλιν ἔλαβον. οἱ δὲ παράνομοι λαοὶ τοῦ Ὀψικίου ἅμα τῶν Γοτθογραίκων τῇ νυκτὶ εἰς τοὺς οἴκους τῶν πολιτῶν διαδραμόντες μεγίστην εἰργάσαντο ἅλωσιν, μηδενὸς φεισάμενοι· τοὺς δὲ ἐν αὐτῇ ὑπάρχοντας τοῦ Ἀρτεμίου ἄρχοντας ἅμα Γερμανῷ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως συλλαβόμενοι ἐν Νικαίᾳ ἀπήγαγον πρὸς πίστωσιν Ἀρτεμίου καὶ τῶν σὺν αὐτῷ ὄντων. ὁ δὲ Ἀρτέμιος τούτους θεασάμενος ἀπέγνω ἑαυτοῦ καὶ ἑαυτὸν παρέδωκε λόγον τε ἀπαθείας αἰτησάμενος τὸ μοναδικὸν περιεβάλετο σχῆμα. ὁ δὲ Θεοδόσιος ἀβλαβῆ τοῦτον διατηρήσας ἐν Θεσσαλονίκῃ ἐξώρισεν. ‖ ἐβασίλευσε δὲ Φιλιππικὸς μὲν ἔτη β' καὶ μῆνας θ', Ἀρτέμιος δὲ ἔτος α' καὶ μῆνας γ'. Λέων δέ, τῶν ἀνατολικῶν στρατηγὸς ὤν, Ἀρτεμίου ὑπερμαχῶν οὐχ ὑπετάγη Θεοδοσίῳ· εἶχε δὲ συμπνέοντα αὐτῷ καὶ συντρέχοντα Ἀρτάνασδον Ἀρμένιον, τῶν Ἀρμενιάκων στρατηγόν, ᾧ καὶ συνέθετο δοῦναι τὴν ἑαυτοῦ θυγατέρα εἰς γυναῖκα· ὃ καὶ πεποίηκεν.

γ15/6 A. M. 6208 Κόσμου ἔτη ,ϛσή'. — 593 B — Τῆς θείας σαρκώσεως ἔτη ψή'. — 324 P — Ῥωμαίων βασιλεὺς Θεοδόσιος ἔτος α'. α'. — Ἀράβων ἀρχηγὸς Σουλεϊμὰν ἔτη γ'. β'. — Κωνσταντ. ἐπίσκοπος Γερμανὸς ἔτη ιε'. β'. — Ἱεροσολύμων ἐπίσκοπος Ἰωάννης ἔτη λ'. ια'.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μασαλμᾶς κατὰ Κωνσταντινουπόλεως καὶ προέπεμψε Σουλεϊμὰν μετὰ στρατοῦ διὰ ξηρᾶς, Οὔμαρον δὲ διὰ θαλάσσης. αὐτὸς δὲ ὀπίσω αὐτῶν μετὰ πολλῆς ἀποσκευῆς πολεμικῆς ἦκεν. Σουλεϊμὰν δὲ καὶ Βάκχαρος ἐπὶ τὸ Ἀμώριον φθάσαντες γράφουσι πρὸς Λέοντα, τὸν στρατηγὸν τῶν ἀνατολικῶν, ὅτι

---

2 ἐπὶ τὸν Νεωρήσιον λιμένα d. — τοῦ ante Νεωρίου om. y. — 3 μεθορμήσαντος chy. — ὁ om. y. — 4 μονοτείχου ef μονοτει χ m. — 5 παρέλαβον h. — 7 μηδὲν νοσφισάμενοι h. — 8. 9 sanctissimo patriarcha Const. A. — 9. 10 duxerunt in casam (ἐν οἰκίᾳ) Artemii et eorum, qui cum ipso erant A. — 11 ἑαυτοῦ] ἑαυτόν cg. — ἑαυτόν] αὐτόν g. — 12 περιεβάλλετο z. — 13. 14 ἐβασίλευσε μὲν Φιλ. ἔτη β' g. — 15 γ'] δ' h. — δὲ ὁ τῶν h. — 16 δὲ καὶ συμπνέοντα h. — καὶ συντρέχοντα αὐτῷ g. — 17 Ἀρτάβασδον dm. — ᾧ] ὃν em. — 22³ Θεόδωρος (sic) ὁ Ἀδραμυν τ g Θεοδόσιος Ἀδρα μ h. — 22⁴ Σουλεϊμᾶν ez. — v. 24 om. f. — 25 Μάσαλμας fhx Μεσελμὲς em. — Κωνσταντινουπο λ g Κωνσταντινούπο λ h. — 26 προέπεμψαν y. — Σουλεϊμᾶν dz. — 27 Θαλάττης ef. — 28 Σουλεϊμᾶν dz sine acc. c. — Βάκκαρος ef Βάκαρος m Bacharum A. — Ἀμόριον f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

"οἴδαμεν, ὅτι ἡ βασιλεία τῶν Ῥωμαίων σοι ἁρμόζει, ἐλθὲ οὖν πρὸς ἡμᾶς, καὶ ἃς λαλήσωμεν τὰ πρὸς εἰρήνην." θεωρήσας οὖν ὁ Σουλεϊμὰν τὸ Ἀμώριον στρατὸν μὴ ἔχον καὶ πρὸς τὸν στρατηγὸν ἐν ἔχθρᾳ διακείμενον διὰ τὴν πρὸς Ἀρτέμιον συμμαχίαν, παρεκάθισεν αὐτό, βουλόμενος ἐκεῖ ἐκδέξασθαι καὶ τὸν Μασαλμᾶν. ἅμα δὲ ἐπλησίασε τῇ πόλει, ἤρξαντο οἱ Σαρακηνοὶ εὐφημεῖν τὸν στρατηγὸν Λέοντα βασιλέα, παρακαλοῦντες καὶ τοὺς ἔσω τὸ αὐτὸ ποιεῖν. ἰδόντες δὲ οἱ τοῦ Ἀμωρίου, ὅτι οἱ Σαρακηνοὶ πόθῳ αὐτὸν εὐφήμουν, εὐφήμησαν καὶ αὐτοί. γνοὺς δὲ ὁ στρατηγὸς ὅτι ταξάτων καὶ ἀρχόντων οὐκ ὄντων μέλλει ἀπολέσθαι τὸ Ἀμώριον, δηλοῖ τῷ Σουλεϊμάν, ὅτι "ἐὰν θέλῃς ἵνα ἔλθω πρός σε καὶ τὰ πρὸς εἰρήνην λαλήσωμεν, διὰ τί παρακαθέζῃ τὴν πόλιν;" ὁ δὲ πρὸς αὐτόν· "ἐλθέ, καὶ ἀναχωρῶ." καὶ λαβὼν ὁ στρατηγὸς λόγον παρ' αὐτοῦ μετὰ τριακοσίων καβαλ- 594 B
λαρίων παραγίνεται πρὸς αὐτόν. ἰδόντες δὲ αὐτὸν οἱ Ἀγαρηνοί, φορέσαντες τὰ λωρίκια καὶ τὰ κατάφρακτα αὐτῶν ὑπήντησαν αὐτῷ, καὶ ἠπλήκευσεν ἀπὸ ἡμίσεως μιλίου τοῦ φωσάτου αὐτῶν. ἐπὶ τρισὶ δὲ ἡμέραις προερχομένου αὐτοῦ πρὸς αὐτούς, ἐλάλουν τὰ πρὸς εἰρήνην καὶ τοῦ ἀναχωρῆσαι αὐτοὺς τῆς πόλεως. οἱ δὲ ἔφασκον, ὅτι "στοίχησον τὴν εἰρήνην, καὶ τότε ἀναχωροῦμεν." γνοὺς δὲ ὁ στρατηγὸς ὅτι βούλονται αὐτὸν κρατῆσαι, ἐκάλεσεν ἐκ τῶν ἐμφανῶν Σαρακηνῶν πλείστους εἰς δεῖπνον, καὶ ἐσθιόντων αὐτῶν ἐπέστειλε Σουλεϊμὰν τρισχιλίους Σαρακηνοὺς λωρικάτους κυκλῶσαι καὶ φυλάττειν αὐτὸν πρὸς τὸ μὴ διαδρᾶσαι. ἡ δὲ βίγλα γνοῦσα ἐδήλωσεν αὐτῷ, ὅτι "πλῆθος Σαρακηνῶν κύκλῳ ἡμῶν ἵστανται καβαλλάριοι." ἐλθὼν δὲ εἷς ἐξ αὐτῶν καβαλλάριος ὀνόματι Ζοῦβερ, ἔστη ἔμπροσθεν λέγων, ὅτι "δοῦλος ἔφυγε κλέψας χρῆμα πολύ, καὶ δι' ἐκεῖνον ἐκαβαλλικεύσαμεν." ὁ δὲ στρατηγὸς τὴν τέχνην τῆς ἀπάτης αὐτῶν ἐγνωκὼς ἔφη πρὸς αὐτούς· "μὴ περισπασθῆτε. ὅπου γὰρ δήποτε 325 B
ἂν ἀπέλθῃ ἐν τοῖς κάστροις ἡμῶν, εὑρίσκομεν αὐτόν." λυπηθεὶς

---

1. 2 πρὸς ἡμᾶς *om.* x. — 2 ἃς (ἂς e ἀς *sine spir.* c) λαλήσωμεν cef ἀσλαλήσωμεν dgm ἂς *om.* h. — λαλήσομεν ch. — λαλ. σοι τὰ πρ. εἰρ. xz. — Σουλεϊμὰν dz Σουλεϊμάς y. — 3 ἔχοντα y. — πρὸς *om.* xy. — 4 πρὸς Ἀρτεμίου y. — 5 αὐτῷ y αὐτόν g. — καὶ *om.* z. — Μάσαλμαν dehm Μασαλμάν f *sine acc.* c. — 9 ταξατῶν ehmx. — 10 οὐκ] μή fm. — ἀπόλλυσθαι xz. — Σουλεϊμᾶν dz. — 11 λαλήσομεν h. — 13 παρ' αὐτῶν y. — τρακοσίων f. — καβαλλαρίων d καββαλλαρίων g. — 15 τὰ λωρ. αὐτῶν καὶ τὰ κατάφρακτα ὑπ. y. — 16 ἠπλήκευσεν] manebat A ἠπλήκευσαν dfgm ἠπλίκευσαν ceh. — ἡμισέος c. — μηλίου hx. — φωσάτου x φουσάτου m φοσάτου h φωσσάτου eg φοσσάτου f *sed o sec. m. in lit.* — 17 προερχομένου cz προσερχομένου dy procedente A. — 18 καὶ τοῦ — τῆς πόλεως *om.* h. — 20 βούλωνται g. — 22 Σουλεϊμᾶν cz *sine acc.* c Σουλεϊμάς y. — 23 ἐδήλωσεν xz ἐμήνυσεν y. — 24 πλήθη d. — ἵστανται κύκλῳ ἡμῶν y. — καβαλάριοι et 25 καβαλαρίοις d καββαλλάριοι et 25 καββαλλαρίοις g. — 25 Ζούβερ df Ζουβέρ em *sine acc.* c. — 26 χρήματα πολλά dg. — 27 ἐκαβαλικεύσαμεν dh ἐκαββαλλίκευσαμεν g. — 29 ἂν *om.* em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ ἠδυνήθη κρυπτῶς δι' ἀνθρώπου αὐτοῦ δηλῶσαι τοῖς τοῦ Ἀμω-
595 B ρίου, ὅτι "φοβήθητε τὸν θεόν, μὴ προδώσητε ἑαυτούς. ἰδοὺ γὰρ πλησιάζει καὶ ὁ Μασαλμᾶς." καὶ ἐξέρχεται ὁ ἐπίσκοπος πρὸς αὐτόν, καὶ ταῦτα αὐτὰ λαλεῖ αὐτῷ. γνοὺς δὲ ὁ Σουλεϊμάν, ὅτι ἐξῆλθε πρὸς αὐτὸν ὁ ἐπίσκοπος, πέμπουσι πρὸς τὸν στρατηγόν, ὅτι "δὸς ἡμῖν τὸν ἐπίσκοπον." ὁ δὲ περιστατηθεὶς ἔκρυψεν αὐτὸν εἰπὼν ἑνὶ τῶν ἀνθρώπων αὐτοῦ, ὅτι "ἡμῶν ὁμιλούντων, ἔνδυσον αὐτὸν ἑτέραν στολὴν καὶ ὡς διὰ ξύλα ἢ ὕδωρ ἀπόλυσον αὐτὸν πορευθῆναι εἰς τὰ ὄρη." ἐνισταμένων δὲ τῶν Σαρακηνῶν περὶ τοῦ ἐπισκόπου, λέγει ὁ στρατηγός· "οὐκ ἔστιν ὧδε, πλὴν ἀπέλθετε πρὸς τὸν ἀμηρᾶν, καὶ ἔρχομαι κἀγώ, καὶ περὶ πάντων λαλοῦμεν." αὐτοὶ δὲ λογισάμενοι, ὅτι εἰσερχομένου αὐτοῦ εἰς τὸν ἀμηρᾶν ἐν μέσῳ αὐτῶν κρατοῦσιν αὐτόν, ἀφῆκαν αὐτόν. καβαλλικεύσας δὲ σὺν διακοσίοις ἀνθρώποις αὐτοῦ, ὡς δῆθεν κυνηγῶν, ἔδωκεν ἐπὶ τὰ ἀριστερά. οἱ οὖν συνόντες αὐτῷ Σαρακηνοὶ λέγουσιν αὐτῷ. "ποῦ ἀπέρχῃ;" ὁ δὲ εἶπεν, ὅτι "εἰς τὰ λιβάδια θέλω μεταπληκεῦσαι." οἱ δὲ εἶπον, ὅτι "ἡ βουλή σου οὐκ ἔστιν ἀγαθή, καὶ οὐκ ἐρχόμεθα μετὰ σοῦ." τότε λέγει ὁ στρατηγὸς τοῖς ἰδίοις αὐτοῦ, ὅτι "λόγον ἡμῖν δόντες κρα-
596 B τῆσαι ἡμᾶς ἠθέλησαν, καὶ δι' ἡμῶν τοὺς Χριστιανοὺς ἀπολέσαι· ἐκ τῶν ἀνθρώπων ἡμῶν ἢ τῶν ἀλόγων τῶν ἀπομεινάντων οὐδένα κρατοῦσιν." καὶ πορευθεὶς μίλια δέκα ἠπλήκευσεν. τῇ δὲ ἐπαύριον πέμπει τὸν δομέστικον τῶν στρατόρων αὐτοῦ, καὶ δηλοῖ αὐτοῖς, ὅτι "λόγον μοι ἐδώκατε, καὶ δόλῳ κρατῆσαί με ἠθελήσατε· διὰ τοῦτο ἀνεχώρησα." ὁ δὲ Μασαλμᾶς ὑπερβὰς ἦν τὰς κλεισούρας, ὁ δὲ Σουλεϊμὰν τοῦτο οὐκ ἔγνω. ἐστασίασαν δὲ οἱ ἀμηραῖοι καὶ ὁ λαὸς κατὰ τοῦ Σουλεϊμάν, ὅτι "τί παρακαθεζόμεθα τὰ τείχη καὶ οὐ κουρσεύομεν;" καὶ ἐκτρέψαντες τὰς τένδας ἀνεχώρησαν. ὁ δὲ στρατηγὸς Νικαίαν τὸν τουρμάρχην μετὰ ω' στρατιωτῶν εἰσήνεγκεν εἰς τὸ Ἀμώριον ἐκβαλὼν καὶ τὰ πλεῖστα γυναικόπαιδα. καὶ ἀπέρχεται αὐτὸς

---

1 τοῖς] τούς g. — 2 φοβηθῆτε cehm. — προδόσητε dz προδώσεται f προδόσεται em. — αὐτούς g. — 3 Μάσαλμας *codd. praeter* g. — ἔρχεται g. — καὶ ὁ ἐπίσκ. h. — 4 ταῦτα] τά z. — αὐτόν g. — Σουλεϊμᾶν dz. — 6 εἰπὼν — 7 ἔνδυσον αὐτόν *om.* f. — 7 ἑτέραν — 8 ἀπόλυσον αὐτόν *om.* em. — 8 περιβαλὼν *post* στολὴν *add.* f. — ἀπέλυσεν f. — 10 ἀπέλθετε h ἀπέλθατε g ἄπελθε xy. — ἀμηράν dhy *sine acc.* c. — 12 ἀμηράν *codd.* — κρατήσωσιν g. — καὶ *ante* ἀφ. *erat in* f *postea nescio qua manu deletum.* — 13 ἀφίησαν em ἀφῆκαν f *sed* ῆκαν *sec. m. in lit.* — καβαλικεύσας dh καββαλλικεύσας g. — 16 ὅτι *om.* g. — λιβαδία de λιβαδεῖα ch λιβα g. — 20 οὐδεῖνα y. — 21 μήλια hx. — ἠπλίκευσεν ehm. — 24 Μάσαλμας *codd. praeter* g. — 25 Σουλεϊμᾶν dz *item* v. 26. — ἀμηραῖοι dh ἀμηρέοι cem ἀμήρεοι f ἀμωραῖοι g. — 26 τοῦ *om.* xz. — τί *om.* hy. — τὰ τείχη ταῦτα xz ταῦτα *om.* yA. — 27 στρέψαντες d. — τέντας d. — 28 Νικαῖαν eg Νίκαιαν h. — ω'] cum octingentis militibus A μετὰ τῶν στρατιωτῶν *codd.* — 29 Ἀμώριν y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς Πισιδίαν. τοῦ δὲ Μασαλμᾶ ἐλθόντος εἰς Καππαδοκίαν, ἀπογνόντες ἑαυτῶν οἱ Καππάδοκες ἐξῆλθον πρὸς αὐτὸν παρακαλοῦντες αὐτὸν λαβεῖν αὐτούς. ἀκούων δὲ ὁ Μασαλμᾶς τὴν ἔχθραν, ἣν εἶχε Θεοδόσιος ὁ βασιλεὺς πρὸς τὸν στρατηγόν, βουλόμενος τοῦτον δε-
λεάσαι καὶ εἰρηνεῦσαι μετ' αὐτοῦ καὶ δι' αὐτοῦ τὴν Ῥωμανίαν ὑπο- 326 P
τάξαι, λέγει αὐτοῖς· "οὐκ ἐστε τοῦ στρατηγοῦ;" οἱ δὲ εἶπον· "ναί." "ποιεῖτε, εἴ τι ποιεῖ ἐκεῖνος;" ὅτι "ναί." τότε λέγει αὐτοῖς· "ἀπ- 597 B
ἐλθετε ἐν τοῖς κάστροις ὑμῶν, καί τινα μὴ φοβηθῆτε." καὶ παρήγγειλε τὸν λαὸν αὐτοῦ τοῦ μὴ πραιδεῦσαι ἐν πάσαις ταῖς ἐπαρχίαις τοῦ στρατηγοῦ. ταῦτα γνοὺς ὁ στρατηγὸς καὶ ἐννοηθείς, ὅτι ὁ Σουλεϊμὰν δηλοῖ τῷ Μασαλμᾷ, ὅτι ἀφῆκεν αὐτὸν καὶ ἀνεχώρησεν, ἀπέστειλε γράμματα πρὸς τὸν Μασαλμᾶν, ὅτι "ἐγγύς σου ἐβουλόμην ἐλθεῖν· ἀλλ' ὁ Σουλεϊμάν, ἀπελθόντος μου πρὸς αὐτόν, ἠβουλήθη κρατῆσαί με, καὶ νῦν φοβοῦμαι ἐλθεῖν πρὸς σέ." λέγει οὖν ὁ Μασαλμᾶς τῷ ἀνθρώπῳ τοῦ στρατηγοῦ· "οἶδα ὅτι ἐμπαίζει με ὁ στρατηγὸς διὰ τὸ ὅλως μὴ πραιδεῦσαί με τὰς ἐπαρχίας αὐτοῦ." λέγει αὐτῷ ὁ ἄνθρωπος τοῦ στρατηγοῦ· "οὐκ ἔστιν οὕτως· ἀλλ' ἐν ἀληθείᾳ σοι γράφει." τότε ἐρωτᾷ· "τὸ Ἀμώριον πῶς ἐστὶν ἐγγὺς αὐτοῦ;" ἔφη· "καλῶς, καὶ ἐν ὑποταγῇ αὐτοῦ." ὀξυνθεὶς δὲ ὕβρισεν αὐτόν, εἰπών· "τί ψεύδῃ;" ἐκεῖνος εἶπεν, ὅτι "ὡς εἶπον, οὕτως ἐστίν, καὶ ταξάτους ἔβαλε μετὰ καὶ τουρμάρχου ἐν αὐτῷ· καὶ ἐξήγαγε τὰς περισσὰς φαμιλίας." θλῖψιν οὖν μεγάλην δεξάμενος περὶ τούτου ὁ Μασαλμᾶς καὶ θυμωθεὶς ἐδίωξεν αὐτόν. βουλὴν γὰρ εἶχε διὰ τοῦ καλοκαιρίου λαβεῖν αὐτὸ καὶ ἐκδέξασθαι τὸν στόλον, καὶ οὕτω ἐπὶ τὴν Ἀσίαν κατελθεῖν καὶ χειμάσαι. πάλιν οὖν ζητήσας τὸν 598 B
ἄνθρωπον τοῦ στρατηγοῦ ἐπανακρίνει αὐτόν. ὁ δὲ πρὸς αὐτὸν ἐνωμότως ἔφη, ὅτι "πάντα ἅπερ λέγω σοι ἀληθῆ ὑπάρχει. ἀλλὰ καὶ χίλιοι ταξάτοι σὺν τῷ τουρμάρχῃ ἐκεῖ εἰσῆλθον· πᾶσαν δὲ ὕπαρξιν τῶν ἐκεῖσε καὶ τὰς ἀπόρους φαμιλίας ἐξήγαγε τῶν ἐκεῖ." ταῦτα ἀκούσας γράφει τῷ στρατηγῷ, ὅτι "ἐλθὲ ἐγγύς μου, καὶ εἰρηνεύω μετὰ σοῦ, καὶ πάντα ὡς θέλεις ποιῶ." θεωρήσας δὲ ὁ στρατηγὸς

---

1 *Μάσαλμα codd. praeter* g. — *ἐν Καππαδοκίᾳ* gx. — 2 *Καππάδοκες* c *Καππαδόκες* em *Καππαδόκαις* h *Καππαδόκαι* dg. — 3 *Μάσαλμας* dhy *sine acc.* c. — 6 *ἐσταὶ τοῦτο τοῦ στρ.* h. — 7 *ποιεῖτε — ναί om.* h. — *ἀπέλθατε* g — 8 *ἡμῶν* efx. — 9 *τῷ λαῷ* g *τοῦ λαοῦ* c. — *τοῦ om.* xz. — 10 *εὐνοηθείς* h. — 11 *Σουλεϊμᾶν* h *sine acc.* d *Σουλεϊμᾶς* g. — *Μάσαλμα* fhx *Μέσελμε* em. — *ἀφίησεν* em *ἀφῆκεν* f *scd ἠκ sec. m. in lit.* — 12 *Μάσαλμαν* dfh *sine acc.* c *Μέσελμεν* em. — *περιέχοντα post Μασαλμᾶν add.* z. — 12 *ὅτι — 13 Σουλεϊμάν om.* x. — 13 *Σουλειμᾶν* z. — 15 *Μάσαλμας* fhx *Μέσελμες* em *item v.* 23. — *ὅτι om.* y. — *ἐμπαίζῃ* h. — *με* y *μοι* xz. — 16 *αὐτῶν* c. — 17 *αὐτῷ om.* xz. — 22 *φαμηλίας codd. praeter* g. — 25 *ἐλθεῖν* xz. — 27 *πάντα τὰ ἔπερ* f. — *ὑπάρχει*] *εἰσίν* y. — 28 *σὺν αὐτῷ τουρμ.* em. — 29 *φαμηλίας codd. praeter* g. — 30 *εἰρηνεύσω* g. — 31 *ὡς θέλης* d *ὅσα θέλης* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι ἐπὶ Μασαλαιὸν ἐπλησίασεν, καὶ ὅτι ἐν ἄλλαις πέντε ἡμέραις παρέρχεται τὰς ἐπαρχίας αὐτοῦ, πέμπει πρὸς αὐτὸν δύο ὑπάτους καὶ δηλοῖ αὐτῷ, ὅτι "τὰ γράμματά σου ἐδεξάμην καὶ τὴν προαίρεσίν σου ἀπεδεξάμην, καὶ ἰδοὺ ἔρχομαι πρὸς σέ. ἀλλ' ὡς ἐπίστασαι, στρατηγός εἰμι, καὶ χρήματα καὶ ἄργυρος καὶ λαός μοι ἔχει ἀκολουθῆσαι. πέμψον μοι περὶ ἑκάστου λόγον. καὶ εἰ μέν, καθὼς ἐπιζητῶ ἐξ ὑμῶν, γένηται τὸ πρᾶγμά μου, εὖ καὶ καλῶς, ἐπεὶ κἂν ἀξήμιος καὶ ἄθλιπτος ἐπανελεύσομαι." τῶν οὖν ὑπάτων καταφθασάντων αὐτὸν εἰς Θεοδοσιανά, λέγει πρὸς αὐτοὺς ὁ Μασαλμᾶς· "ἤδειν ὅτι ἐμπαίζει με ὁ στρατηγὸς ὑμῶν." ἐκεῖνοι δὲ ἔφησαν· "μὴ γένοιτο." τότε πεποιηκὼς ὃν ἐπεζήτησαν λόγον, ἀπολύει αὐτούς. ἐν
599 B ὅσῳ οὖν οἱ ὕπατοι μετὰ τοῦ ἐνυπογράφου λόγου πρὸς τὸν στρατη-
327 P γὸν ἀπήρχοντο, ὁ Μασαλμᾶς πλήθη πολλὰ ἔχων καὶ μὴ δυνάμενος πώποτε στῆναι παραγίνεται εἰς Ἀκροϊνόν. ἰδὼν δὲ ὁ στρατηγός, ὅτι παρῆλθε τὰς ἐπαρχίας αὐτοῦ, ἐπὶ τὴν Νικομήδειαν ἀπέρχεται. περιτυχὼν δὲ τὸν τοῦ Θεοδοσίου υἱὸν χειροῦται τοῦτον μετὰ πάσης τῆς βασιλικῆς ὑπουργίας καὶ τῶν ἐν τέλει ἀνδρῶν τοῦ παλατίου. ὁ δὲ Μασαλμᾶς κατελθὼν εἰς Ἀσίαν ἐκεῖ παρεχείμασεν, καὶ Οὔμαρος ἐν Κιλικίᾳ. ὁ δὲ στρατηγὸς παραλαβὼν τὸν υἱὸν τοῦ βασιλέως καὶ συμβουλευσάμενος τοῖς σὺν αὐτῷ ἔρχεται εἰς Χρυσόπολιν. γνοὺς δὲ Θεοδόσιος τὰ πραχθέντα καὶ βουλευσάμενος Γερμανὸν τὸν πατριάρχην καὶ τὴν σύγκλητον, ἔλαβε λόγον διὰ τοῦ αὐτοῦ πατριάρχου παρὰ Λέοντος τῆς αὐτοῦ ἀβλαβείας ⟨καὶ τοῦ ἀσάλευτον φυλάττειν τὴν ἐκκλησίαν⟩, καὶ οὕτως ἐγχειρίζει αὐτῷ τὴν βασιλείαν. Θεοδόσιος δὲ σὺν τῷ υἱῷ αὐτοῦ κληρικοὶ γεγονότες τὸν ὑπόλοιπον χρόνον
cf. Niceph. Brev. p. 52 τῆς ζωῆς αὐτῶν ἐν εἰρήνῃ διῆξαν. ‖ ἐλθὼν δὲ Μασαλμᾶς ἐν τῇ Περγάμῳ ταύτην παρεκάθισε καὶ παραχωρήσει θεοῦ ταύτην παρέλαβεν, ἐκ διαβολικῆς ἐνεργείας. εἰσηγήσεσι γάρ τινος μάγου ἐνέγκαντες οἱ τῆς πόλεως ἔγκυον γυναῖκα πρὸς τὸ τεκεῖν οὖσαν, ταύτην ἀνέτεμον· καὶ λαβόντες τὸ βρέφος καὶ ἐπὶ κακκάβου ἑψήσαντες, εἰς τὴν τοιαύτην θεοβδέλυκτον θυσίαν πάντες οἱ πολεμεῖν βουλόμενοι

---

1 *Μασαλαιόν* hx *Μασαλαῖον* em *Μασαλαίυν* f *Μασσαλαιών* g. — 3 *τὰ* om. h. — *καὶ τὴν προαίρεσίν σου ἀπεδεξάμην* fA om. *rell.* *ὅτι τὴν προαίρεσίν σου ἐδεξάμην add.* em *v.* 4 *post* *ἔρχομαι πρὸς σέ.* — 6 *καθὼς*] *ὡς* g. — 7 *μοῦ* om. g. — 8 *ἄθλιβος* g. — 9 *αὐτῶν* eh ad *eos* A. — *Θεοδοσιονά* f. — *Μάσαλμας* fhx *Μέσελμες* em. — 10 *ἐμπαίζη* h *ἐμπέζη* ef. — *μοι* xz. — 12 *μετ' αὐτοῦ ἐνυπογρ.* g. — 13 *Μάσαλμας* fhx *Μεσελμέ* m *Μέσελεμέ* e. — 14 *Ἀκρωϊνόν* g. — 15 *Νικομηδείαν* em *Νικομηδεῖαν* f. — 16 *τοῦτον* xz hunc A *αὐτόν* y. — 18 *Μάσαλμας* fhx *Μέσελμες* em. — *Οὔμαρτος* f. — 21 *ὁ Θεοδόσιος* f. — *συμβουλευσάμενος* m. — 23 *ἀβλίας* c. — 23. 24 *καὶ τοῦ ἀσ. φυλάττειν τὴν ἐκκλησίαν add. ex* A: et ecclesiae sine perturbatione servandae. — 24 *ἐγχειρίζει*] committunt A. — 26 *ἐλθῶντος δέ* em. — *Μάσαλμας* fhx *Μεσελμές* em. — 30 *ἀνατεμόντες καὶ λαβόντες* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ μανίκια τῆς δεξιᾶς αὐτῶν χειρὸς κατέβαψαν καὶ ἐντεῦθεν τοῖς 600 B
ἐχθροῖς παρεδόθησαν. ‖

Ῥωμαίων βασιλεὺς Λέων ὁ Ἴσαυρος ἔτη κδ'. A. M. 6209 716/7.
ϛσθ'. ψθ'. α'. γ'. γ'. ιβ'.

Τούτῳ τῷ ἔτει Λέων ἐβασίλευσεν ἐκ τῆς Γερμανικέων καταγόμενος, τῇ ἀληθείᾳ δὲ ἐκ τῆς Ἰσαυρίας. ὑπὸ δὲ Ἰουστινιανοῦ τοῦ βασιλέως σὺν τοῖς γονεῦσι μετοικίζεται ἐν Μεσημβρίᾳ τῆς Θρᾴκης ἐν τῇ πρώτῃ αὐτοῦ βασιλείᾳ· ἐν δὲ τῇ δευτέρᾳ αὐτοῦ βασιλείᾳ ἐρχομένου αὐτοῦ μετὰ τῶν Βουλγάρων, ὑπήντησεν αὐτῷ μετὰ δώρων προβάτων φ'. θεραπευθεὶς δὲ ὁ Ἰουστινιανὸς σπαθάριον αὐτὸν εὐθέως πεποίηκεν, καὶ ἔσχεν αὐτὸν ὡς γνήσιον φίλον. φθόνῳ δὲ φερόμενοί τινες πρὸς αὐτὸν διέβαλον αὐτὸν ὡς τῆς βασιλείας ὀρεγόμενον. ζητήσεως δὲ γενομένης περὶ τούτου, ὡς συκοφάνται κατῃσχύνθησαν. ὁ δὲ τοιοῦτος λόγος ἔκτοτε ἤρξατο ὑπὸ πολλῶν λαλεῖσθαι. ὁ οὖν Ἰουστινιανὸς εἰ καὶ προφανῶς βλάψαι τοῦτον οὐκ ἠθέλησεν, ἀλλ' οὖν βρόμος τις αὐτῷ κατ' αὐτοῦ ἐντίθεται, καὶ ἀποστέλλει αὐτὸν ἐν Ἀλανίᾳ μετὰ χρημάτων πρὸς τὸ συγκινῆσαι τοὺς Ἀλανοὺς κατὰ Ἀβασγίας, τῶν Σαρακηνῶν ἐπικρατούντων τήν τε Ἀβασγίαν καὶ Λαζικὴν καὶ Ἰβηρίαν. ὁ δὲ ἀπελθὼν ἐν τῇ Λαζικῇ 328 P
τὰ μὲν χρήματα ἀπέθετο ἐν τῷ Φάσιδι, ὀλίγους δὲ λαβὼν τῶν ἐντοπίων ἀπῆλθεν εἰς Ἀψιλίαν, καὶ ὑπερβὰς τὰ Καυκάσια ὄρη ἦλθεν 601 B
ἐν Ἀλανίᾳ. ὁ δὲ Ἰουστινιανὸς θέλων ἀπολέσαι αὐτόν, πέμψας ἐπῆρε τὰ χρήματα ἐκ τοῦ Φάσιδος· οἱ δὲ Ἀλανοὶ τὸν σπαθάριον μετὰ πάσης τιμῆς δεξάμενοι καὶ τῶν λόγων αὐτοῦ ὑπακούσαντες εἰσῆλθον καὶ ᾐχμαλώτευσαν τὴν Ἀβασγίαν. ὁ δὲ τῶν Ἀβασγῶν κύριος δηλοῖ τοῖς Ἀλανοῖς, ὅτι "ὡς εὑρίσκω ἄλλον τοιοῦτον ψεύστην οὐκ εἶχεν Ἰουστινιανός, ὃν ὤφειλεν ἀπολῦσαι καὶ συγκινῆσαι ὑμᾶς καθ' ἡμῶν τῶν γειτόνων ὑμῶν, εἰ μὴ τὸν ἄνθρωπον τοῦτον. ἐψεύσατο γὰρ ὑμᾶς καὶ περὶ τὴν ὑπόσχεσιν τῶν χρημάτων· πέμψας γὰρ ὁ Ἰουστινιανὸς ταῦτα ἐπῆρεν. ἀλλὰ δότε ἡμῖν αὐτόν, καὶ παρέχομεν ὑμῖν τρισχίλια νομίσματα, καὶ ἡ ἀπ' ἀρχῆς ἀγάπη ἡμῶν μὴ διαλυθῇ." οἱ

---

1 *μανιάκια* dg. — 3 *Λέων om.* f. — 4 ϛρθ' h. — 5 *Γερμανικαίων* dgy. — 6 *τῇ δὲ ἀληθείᾳ* c. — genere Syrus A. — *δὲ post ὑπὸ om.* h. — 8 *αὐτοῦ βασιλείᾳ om.* g. — 9 *μετά*] *ἐκ* g. — 10. 11 *εὐθέως αὐτόν* g. — 12 *διέβαλλον* gy. — 14 *ὑπό*] *ἀπό* y. — *λαλεῖσθαι ὑπὸ πολλῶν* h. — 15 *βλάψαι τοῦτον* yA *τοῦτον βλάψαι* xz. — 16 *αὐτῷ*] *αὐτόν* c. — 17 *Ἀλβανίᾳ* xy. — 18 *κατὰ Ἀβασγίας* d *κατὰ Ἀβασγίαν rell.* — 18 *τῶν Σαρακηνῶν* — 19 *Ἀβασγίαν om.* g *post* 19 *Ἰβηρίαν inserunt* em *ibidemque* f *καὶ τῶν Σαρακ.* — *Ἀβασγίαν.* — 20 *Φασίδι* f. — 21 *εἰς* — *ἦλθεν om.* em. — *Ἀψηλεῖαν* h *Λαψιλίαν* c *Λαψηλίαν* df *Λαψίλειαν* g. — 22 *Ἀλανείᾳ* h. — 24 *τὸν λόγον* dhy. — *ἦλθον* xz. — 25 *τῶν om.* g. — 26 *ὡς om.* em. — *ὅτι ante ἄλλον repetit* g. — *τοιοῦτον om.* g. — 27 *ἡμᾶς* d. — *καθ' ὑμῶν* x. — 28 *τῶν γειτόνων ὑμῶν om.* h. — *ὑμῶν om.* m. — *ἡμῶν* d. — 29 *ἡμᾶς* d. — *ὁ om.* z. — 30 *ἀπῆρεν* m. — 31 *ἡμῶν ἀγάπη* z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ Ἀλανοὶ εἶπον, ὅτι "ἡμεῖς οὐχ ἕνεκεν χρημάτων ὑπηκούσαμεν αὐτῷ, ἀλλὰ διὰ τὴν τοῦ βασιλέως ἀγάπην." πάλιν δὲ οἱ Ἀβασγοὶ πέμπουσι πρὸς αὐτοὺς λέγοντες, ὅτι "δότε ἡμῖν αὐτόν, καὶ παρέχομεν ὑμῖν ἑξακισχίλια νομίσματα. οἱ δὲ Ἀλανοὶ θέλοντες καταμαθεῖν τὴν χώραν τῶν Ἀβασγῶν συνέθεντο λαβεῖν τὰ ἑξακισχίλια νομίσματα καὶ δοῦναι τὸν σπαθάριον. οἱ δὲ Ἀλανοὶ ἐθάρρησαν τῷ σπαθαρίῳ πάντα, καὶ λέγουσιν αὐτῷ, ὅτι "ὡς ὁρᾷς ἡ ὁδὸς ἡ ἐπὶ Ῥωμανίαν ἄγουσα κεκλεισμένη ἐστίν, καὶ πῶς παρελθεῖν οὐκ ἔχεις·
602 B ἀλλὰ μᾶλλον τροπευσώμεθα καὶ συνταξώμεθα αὐτοῖς, ὅτι παραδίδομέν σε, καὶ ἀπολύομεν ἅμα αὐτοῖς ἀνθρώπους ἡμῶν καὶ καταμανθάνομεν τὰς κλεισούρας αὐτῶν καὶ κουρσεύομεν καὶ ἀφανίζομεν τὴν χώραν αὐτῶν καὶ ποιοῦμεν τὴν θεραπείαν ὑμῶν." τῶν δὲ ἀποκρισιαρίων τῶν Ἀλανῶν ἀπελθόντων εἰς Ἀβασγίαν καὶ συνθεμένων παραδίδειν τὸν σπαθάριον, πλεῖστα ξένια παρ' αὐτῶν εἰλήφασιν· καὶ πλείονας ἀποκρισιαρίους πάλιν ἀποστέλλουσι μετὰ καὶ τῆς ποσότητος τοῦ χρυσίου πρὸς τὸ παραλαβεῖν τὸν σπαθάριον. οἱ δὲ Ἀλανοὶ λέγουσι τῷ σπαθαρίῳ, ὅτι "οἱ ἄνθρωποι οὗτοι, καθὼς καὶ προείπομεν, ἐπὶ τὸ λαβεῖν σε παρεγένοντο, καὶ ἡ Ἀβασγία ἐκδέχεταί σε. καὶ ἐπεὶ πλησιάζομεν αὐτοῖς, πραγματευταὶ ἀπερχόμενοι πρὸς αὐτοὺς οὐ διαλείπουσιν. λοιπὸν ἵνα μὴ
329 P διαβληθῇ ὁ σκοπὸς ἡμῶν, παραδώσομέν σε φανερῶς· καὶ ἀποκινούντων ὑμῶν, ἀπολύομεν κρυπτῶς ἐκ τῶν ὀπίσω, καὶ ἐκείνους μὲν ἀποκτέννομεν, σὲ δὲ κρύπτομεν, ἕως ἂν σωρευθῇ ὁ λαὸς ἡμῶν καὶ ἀσυμφανῶς εἰσέλθωμεν ἐν τῇ γῇ αὐτῶν." ὃ καὶ γέγονεν. παραλαβόντες γὰρ οἱ τῶν Ἀβασγῶν ἀποκρισιάριοι τὸν σπαθάριον σὺν
603 B τοῖς ἀνθρώποις αὐτοῦ, δήσαντες αὐτοὺς ἀπῆρχοντο· καταλαβόντες δὲ ἐκ τῶν ὄπισθεν οἱ Ἀλανοὶ σὺν τῷ Ἰταξῇ, τῷ κυρίῳ αὐτῶν, ἀποκτέννουσι τοὺς Ἀβασγούς, τὸν δὲ σπαθάριον ἐκρυψαν. καὶ στρατολογήσας ἐκίνησε κατὰ Ἀβασγίας καὶ ἀπροσδοκήτως εἰσελθὼν τὰς κλεισούρας πλείστην αἰχμαλωσίαν καὶ ἀφανισμὸν εἰς τοὺς Ἀβασγοὺς

---

1 οὐκ y. — τῶν χρημάτων h. — 5 τὰ *om.* f. — 6 προδοῦναι d. — 6. 7 τὸν σπαθάριον c. — 7 πάντα *om.* g. — 9 ἀλλὰ καὶ μᾶλλον f. — τροπευσόμεθα xy τροπωσώμεθα Tafel *ad p.* 334, 7. — συνταξόμεθα hxy. — παραδιδοῦμεν efhx. — 10 ἀπολύωμεν z. — ἅμα τοὺς ἀνθρώπους ἡμῶν h ἅμα αὐτοῖς ἀνθρώποις ἡμῶν g. — καταμανθάνωμεν fg. — 11 κουρσεύωμεν h. — 12 ποιῶμεν g. — ἡμῶν y. — 14 παραδιδεῖν cem. — 16 λαβεῖν g. — 21 παραδώσωμεν y παραδόσωμεν h. — 22 ὑμῶν e *et sec. m.* f ἡμῶν *ut vid.* m *et pr. m.* f *et* A αὐτῶν xz. — 23 ἀποκτένομεν fm ἀποκταίνομεν h. — κρύπτωμεν y. — 24 ἀσυμφανῶς d ἀσυμφώνως *rell.* συμφώνως Combefis concorditer A. — παραλαμβάνοντες g. — 25 γάρ] δέ y. — οἱ *om.* g. — 27 ὄπιθεν d. — Ἰταξῇ y Ἰταζῇ h Ἰταζῖ g cum Hiotaxi A. — 28 ἀποκτένουσι fm ἀποκταίνουσι h. — 29. 30 εἰς τὰς κλ. h. — 30 αἰχμαλωσίαν εἰς τοὺς Ἀβασγοὺς καὶ ἀφανισμόν xz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπειργάσατο. ἀκούσας δὲ ταῦτα Ἰουστινιανός, ὅτι καὶ χωρὶς τῶν χρημάτων τὰ τῆς ἐπιτροπῆς αὐτοῦ γέγονεν, πέμπει γράμματα πρὸς τοὺς Ἀβασγούς, ὅτι "ἐὰν διασώσητε τὸν σπαθάριον ἡμῶν καὶ παρελθεῖν ἐάσητε δι' ὑμῶν ἀβλαβῆ, πάντα τὰ πταίσματα ὑμῶν συγχωροῦμεν ὑμῖν. οἱ δὲ μετὰ χαρᾶς ταῦτα δεξάμενοι ἀπέστειλαν πάλιν εἰς Ἀλανίαν, λέγοντες, ὅτι "δίδομεν ὑμῖν ὤψιδας τὰ τέκνα ἡμῶν, καὶ δότε ἡμῖν τὸν σπαθάριον, ἵνα ἀπολύσωμεν αὐτὸν πρὸς Ἰουστινιανόν. ὁ δὲ σπαθάριος τοῦτο οὐ κατεδέξατο, εἰπών, ὅτι "δύναται ὁ θεὸς ἀνοῖξαί μοι θύραν τοῦ ἐξελθεῖν· ἐπεὶ δι' Ἀβασγίας οὐκ ἐξέρχομαι." μετὰ δὲ χρόνον τινὰ φωσάτου Ῥωμαίων καὶ Ἀρμενίων εἰσελθόντων ἐν Λαζικῇ καὶ τὴν Ἀρχαιόπολιν πολιορκούντων, ἀκουσάντων τε τὴν τῶν Σαρακηνῶν ἔλευσιν, ἀνεχώρησαν. ἀποσπασθέντες δὲ ἐξ αὐτῶν ἕως τῶν διακοσίων ἀνῆλθον ἐν τοῖς μέρεσιν Ἀψιλίας καὶ τῶν Καυκασίων πραιδεύοντες. τῶν δὲ Σαρακηνῶν καταλαβόν- 604 B
των τὴν Λαζικήν, φυγῇ χρησάμενος ὁ τῶν Ῥωμαίων καὶ Ἀρμενίων λαὸς ἐπὶ τὸν Φᾶσιν ὑπέστρεψαν. οἱ δὲ διακόσιοι ἀπομείναντες εἰς τὰ Καυκάσια ὄρη ἔστησαν ληστεύοντες, ἀπογνόντες ἑαυτῶν. οἱ δὲ Ἀλανοὶ μαθόντες τοῦτο ὑπέλαβον πλῆθος Ῥωμαίων εἶναι ἐν τοῖς Καυκασίοις καὶ χαρέντες λέγουσι τῷ σπαθαρίῳ, ὅτι "οἱ Ῥωμαῖοι ἐπλησίασαν, ἄπελθε πρὸς αὐτούς." λαβὼν δὲ ὁ σπαθάριος πεντήκοντα Ἀλανοὺς καὶ ὑπερβὰς μετὰ κυκλοπόδων Μαΐου μηνὸς τὰς χιόνας τῶν Καυκασίων εὗρεν αὐτούς, καὶ ἐν πολλῇ χαρᾷ γεγονὼς ἠρώτα, "ποῦ ἐστὶν ὁ λαός;" οἱ δὲ εἶπον· "τῶν Σαρακηνῶν ἐπιπεσόντων, ἐπὶ Ῥωμανίαν ὑπέστρεψαν. ἡμεῖς δὲ μὴ δυνηθέντες ἐπὶ Ῥωμανίαν ἀπελθεῖν ἐπὶ Ἀλανίαν ἠρχόμεθα." καὶ εἶπε πρὸς αὐτούς· "τί ποιοῦμεν ἄρτι;" οἱ δὲ εἶπον, ὅτι "διὰ τῆς χώρας ταύτης ἀδύνατόν ἐστι διελθεῖν ἡμᾶς." ὁ δὲ σπαθάριος ἔφη· "οὐκ ἔστι δυνατὸν δι' ἄλλης ὁδοῦ ἐξελθεῖν." κάστρον οὖν ὑπῆρχεν ἐκεῖσε, ἐπιλεγόμενον Σιδηρόν, ἐν ᾧ ἦν τοποτηρητὴς Φαρασμάνιός τις τοὔνομα 330 P
ὑπὸ τοὺς Σαρακηνοὺς τυγχάνων καὶ εἰρήνην ἔχων μετὰ τῶν Ἀρμενίων. πέμψας οὖν ὁ σπαθάριος δηλοῖ αὐτῷ, ὅτι "ἐφ' ὅσον εἰρήνην ἔχεις μετὰ τῶν Ἀρμενίων, εἰρήνευσον καὶ μετ' ἐμοῦ· καὶ γενοῦ ὑπὸ

---

1 ἀπειργάσαντο y *εἰργάσαντο pr.* m *corr. ex εἰργάσατο* h. — ὁ Ἰουστινιανός dh. — καὶ *om.* z. — 2 πέμπει γὰρ γράμμ. h. — 3 διασώσητε] δώσητε h. — 4 δι' ἡμῶν em. — 6 εἰς Ἀλβανίαν y. — διδοῦμεν xy. — 8 ὅτι *om.* z. — 10 φωσάτον h φωσάτων g φωσσάτον emx φοσσάτων *sed o sec. m. in lit.* f. — 12 τε] δέ em. — τὴν τῶν *om.* xy. — ἀκουσ. τὸ τῶν τε Σαρ. ἕλ. f. — ἀποσπασθέντες δέ τινες ἐξ z ἀποσπασθέντων δέ τινες ἐξ c ἀποσπασθέντων δέ τινων ἐξ d. — 13 τῶν *om.* y. — Ἀψηλίας y. — 14 καταλαβόντες c. — 15 καὶ Ἀρμενίων *om.* h. — 16 Φάσιν demz *sine acc.* c. — ἐπέστρεψεν g. — 18 τοῦτο *om.* xz. — 18. 19 in Caucasiis montibus A. — 19 Ῥωμεῖς emx Ῥωμῆς f γρ. καὶ Ῥωμεῖς *mg.* g. — 21. 22 τοὺς χιόνας hxy. — 29 Φαρασμανιότης τοῦν. h. — 31 αὐτόν g. — 32—*p.* 394, 1 ὑπὸ τὴν βασιλείαν Ῥωμαίων z sub regno meo A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

605 B τὴν βασιλείαν, καὶ δὸς ἡμῖν σύναρσιν τοῦ κατελθεῖν ἐν τῇ θαλάσσῃ καὶ περᾶσαι εἰς Τραπεζοῦντα." τοῦ δὲ μὴ ἑλομένου τοῦτο ποιῆσαι, πέμπει ὁ σπαθάριος ἐκ τῶν ἀνθρώπων αὐτοῦ καὶ Ἀρμενίους, παραγγείλας αὐτοῖς ποιῆσαι ἔγκρυμμα· "καὶ ὅτε ἐξέρχονται ἐκ τοῦ κάστρου εἰς τὸν κάματον, χειρώσασθε ἐξ αὐτῶν ὅσους δύνασθε, καὶ τὰς πόρτας κρατήσατε ἐκ τῶν ἔξω, ἕως ἂν καὶ ἡμεῖς φθάσωμεν." τῶν δὲ ἀπελθόντων καὶ ποιησάντων τὸ ἔγκρυμμα, καὶ τοῦ λαοῦ ἐξελθόντος εἰς τὸν κάματον, ἄφνω ἐπιπεσόντες τήν τε πόρταν ἐκράτησαν καὶ πολλοὺς ἐζώγρησαν. τοῦ δὲ Φαρασμανίου ἐν τῷ κάστρῳ μετ' ὀλίγων μείναντος, κατέλαβε καὶ ὁ σπαθάριος καὶ προσλαλήσας τῷ Φαρασμανίῳ, ὅπως ἀνοίξῃ [τὰς πόρτας] μετ' εἰρήνης, οὐκ ἠθέλησεν, ἀλλ' ἐκρότησε πόλεμον. τοῦ δὲ κάστρου ὀχυροῦ ὄντος, λαβεῖν αὐτὸ οὐκ ἠδύναντο. Μαρῖνος δέ, ὁ πρῶτος τῶν Ἀψιλῶν, μαθὼν πολιορκεῖσθαι τὸ κάστρον φόβῳ συνεσχέθη, νομίσας πολὺν λαὸν εἶναι σὺν τῷ σπαθαρίῳ· καὶ λαβὼν μεθ' ἑαυτοῦ τριακοσίους ἀπῆλθε πρὸς τὸν σπαθάριον λέγων, ὅτι "ἐγώ σε διασώζω ἕως τῆς παραθαλασσίας." ὁ δὲ Φαρασμάνιος ἑωρακὼς τὴν περίστασιν ἔφη πρὸς τὸν σπαθάριον· "λάβε τὸ τέκνον μου ὄψιδα, καὶ ὁμολογῶ δουλεύειν
606 B τῇ βασιλείᾳ." ὁ δὲ λαβὼν τὸ τέκνον αὐτοῦ λέγει αὐτῷ· "ποῖον δοῦλον ἑαυτὸν τῆς βασιλείας καλεῖς, ὅτι ἐναπόκλειστος ὢν λαλεῖς ἡμῖν; ἀδύνατόν ἐστιν ἡμῖν ἀναχωρῆσαι, μέχρις ἂν παραλάβωμεν τὸ κάστρον." τότε λέγει ὁ Φαρασμάνιος· "δός μοι λόγον." ὁ δὲ σπαθάριος ἔδωκεν αὐτῷ λόγον μηδὲν αὐτὸν ἀδικῆσαι, ἀλλὰ μετὰ τριάκοντα ὀνομάτων μόνον εἰσελθεῖν ἐν τῷ κάστρῳ. τούτου δὲ τὸν λόγον μὴ φυλάξαντος, παρήγγειλε τοῖς συνεισερχομένοις αὐτῷ τριάκοντα, ὅτι "ἐν τῷ εἰσελθεῖν ἡμᾶς κρατήσατε τὰς πόρτας, καὶ ἂς εἰσέλθωσι πάντες." καὶ τούτου γενομένου, ἐπέτρεψε βληθῆναι πῦρ εἰς τὸ κάστρον. γενομένης δὲ πυρκαϊᾶς μεγάλης, ἐξῆλθον αἱ φαμιλίαι ἁρπάζουσαι εἴ τι ἠδύναντο βαστάσαι ἐκ τῶν ὑπαρχόντων αὐτῶν· καὶ ποιήσας ἄλλας τρεῖς ἡμέρας κατέλυσε τὰ τείχη ἕως τῆς γῆς καὶ ἀποκινήσας κατῆλθεν ἐν Ἀψιλίᾳ μετὰ καὶ Μαρίνου, τοῦ πρώτου αὐτῶν, ὑποδεχθεὶς ὑπὸ τῶν Ἀψιλῶν μετὰ μεγάλης τιμῆς. κἀκεῖθεν

---

2 ad Trapezuntensium loca A. — 5 *χειρώσασθαι codd. praeter* h. — 8 *ἐπιπεσόντων* z. — 9 *Φαρασμάνου* g. — 10 *μετ' ὀλίγον* h. — 11 *τῷ Φαρασμάνῃ* d. — *τὰς πόρτας om.* yA. — *μετ' εἰρήνης om.* xz. — 12 *ἰσχυροῦ* cz. — 13 *ἠδύναντο* cyA *ἠδύνατο* dz. — *Ἀψίλων* d. — 20 *αὐτόν* g. — 21 *ἀδύν. ἡμῖν ἐστιν* y. — 22 *Φαρασμάνης* dA. — *ὁ δὲ σπαθάριος ἔδωκεν αὐτῷ λόγον om.* xz. — 23 *αὐτόν*] *με* xz. — 24 *μόνον om.* h. — *τούτου*] *τοῦτον* f. — 25 *συνεισερχομένοις* czA *συνερχομένοις* dy. — 26 *ἐν τῷ sec. m.* f *τό codd.* — *ἂς* c *ἂς sine acc.* emx *om.* d. — 27 *ἔλθωσι* y. — *ἐπέτρεψε* y *ἐκέλευσε* xz redüit (*ὑπέστρεψε*) A. — 28 *φαμηλίαι codd.* — 29 *εἴ*] *ἤ* y. — *βαστάξειν* h. — *αὐτοῖς* gx. — 30 *τρεῖς*] trigiuta A. — 31 *Ἀψηλίᾳ* hy Dapsilia A. — 32 *μεγάλης* xz *πολλῆς* y ingenti A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατελθὼν ἐν τῇ παραθαλασσίᾳ ἀντεπέρασε καὶ ἦλθε πρὸς Ἰουστινιανόν. τοῦ δὲ Ἰουστινιανοῦ ἀναιρεθέντος, καὶ τοῦ Φιλιππικοῦ τυφλωθέντος, βασιλεύει ὁ Ἀρτέμιος καὶ προβάλλεται αὐτὸν στρα- 331 P
τηγὸν εἰς ἀνατολικούς. τοῦ δὲ Θεοδοσίου βασιλεύσαντος, καὶ τοῦ Ἀρτεμίου ἐκδιωχθέντος, καὶ τῆς τῶν Ῥωμαίων πολιτείας συγκεχυ- 607 B
μένης οὔσης ἔκ τε βαρβάρων ἐπιδρομῆς καὶ ἐκ τῶν τοῦ Ἰουστινιανοῦ μιαιφονιῶν καὶ τῶν τοῦ Φιλιππικοῦ ἀνοσιουργιῶν, οὗτος ὁ εἰρημένος Λέων ὑπερεμάχει τῷ Ἀρτεμίῳ, ἐναντιούμενος Θεοδοσίῳ. εἶχε δὲ συμφωνοῦντα αὐτῷ καὶ συντρέχοντα Ἀρτάνασδον, τὸν τῶν Ἀρμενιάκων στρατηγόν, ὃν καὶ γαμβρὸν μετὰ τὸ βασιλεῦσαι αὐτὸν εἰς Ἄνναν τὴν θυγατέρα αὐτοῦ πεποίηκεν, προβαλλόμενος αὐτὸν καὶ κουροπαλάτην.

Μασαλμᾶς δὲ χειμάσας ἐν τῇ Ἀσίᾳ ἐξεδέχετο τὰς τοῦ Λέοντος ὑποσχέσεις· μηδὲν δὲ παρὰ Λέοντος δεξάμενος καὶ γνοὺς ὅτι ἐν- cf. Niceph. Brev. p. 53
επαίχθη ὑπ' αὐτοῦ, ‖ ἐλθὼν εἰς τὴν Ἄβυδον ἀντεπέρασε λαὸν ἱκανὸν εἰς τὴν Θράκην καὶ ἐπὶ τὴν βασιλεύουσαν πόλιν ἀπεκίνησεν, γράψας καὶ πρὸς Σουλεϊμὰν τὸν πρωτοσύμβουλον καταλαβεῖν μετὰ τοῦ προετοιμασθέντος στόλου. ‖ τῇ δὲ ιε' τοῦ Αὐγούστου μηνὸς παρεκάθισε τὴν πόλιν ὁ Μασαλμᾶς λυμηνάμενος καὶ τὰ Θρᾳκῶα κάστρα. περι- 608 B
χαρακώσαντες δὲ τὸ χερσαῖον τεῖχος ὤρυξαν φῶσαν μεγάλην καὶ ἐπάνω αὐτῆς περιτείχισμα στηθαῖον διὰ ξηρολίθου ἐποίησαν. τῇ δὲ α' τοῦ Σεπτεμβρίου μηνὸς τῆς α' ἰνδικτιῶνος ἀνέβαλεν ὁ χριστομάχος Σουλεϊμὰν μετὰ τοῦ στόλου καὶ τῶν ἀμηραίων αὐτοῦ ἔχων παμμεγέθεις ναῦς καὶ πολεμικὰς κατήνας καὶ δρόμωνας τὸν ἀριθμὸν ,αω', καὶ προσώρμισεν ἀπὸ τῆς Μαγναύρας ἕως τῶν Κυκλοβίου. μετὰ δὲ δύο ἡμέρας νότου πνεύσαντος, καὶ ἀπάραντες ἐκεῖθεν παρ-

---

1 τῇ *om.* g. — 7 τῶν *om.* hx. — τοῦ *om.* gy. — εἰρημένος *om.* d εὐσεβής (εὐ *postea erasum*) c. — 7. 8 hic Leo simulabatur et pro Artemio expugnabat A οὗτος ὁ Λέων εἰρωνευόμενος ὑπερεμάχει τῷ Ἀρτ.? — 8 ὑπερμαχεῖ f. — Theodosio adversatus, quin, ut verum dicatur, ad se ipsum imperium transferre decertans; quod et fecit A. — 9 Ἀρτάβασδον em. — τὸν *om.* em. — Ἀρμενιακῶν h. — 11 θυγατέραν f. — προβαλόμενος dhm. — 12 κουροπαλάτην y. — 13 Μάσαλμας fhx Μέσελμες em. — 14 δὲ *om.* fh. — 15 adiens Abydum rursus transvexit A. *cf. not. seq.* — 16 γράψας] πάλιν y πάλιν *fort. ad marg. adscr. aut ut v.* 14 *legeretur* ὅτι πάλιν ἐνεπ. ὑπ' αὐτοῦ *aut e coni. pro* πόλιν *post* Ἄβυδον *v.* 15. — 17 Σουλεϊμᾶν emz. — 19 τὴν πόλιν x Georg. Mon. p. 637 τῇ πόλει yz. — Μασαλμάς f Μάσαλμας dh *sine acc.* c Μέσελμες em. — 20 χρυσαῖον em. — foderunt in circuitu foveam prolixam et magnam et super eam sicci lapidis maceriam posuerunt A. — φῶσαν g φώσσαν *et* φῶσσαν *rell.* — 21 αὐτοῦ c. — ἐποίησαν *om.* y. — 22 ἰνδικτιόνος h ἰν *rell.* — ἀνέλαβεν g. — 23 Σουλειμᾶν dz. — 24 καὶ πολ. — δρόμ. τὸν *om.* f. — κατίνας egm. — πολεμικὰς κατήνας] scaphas sumptus vehentes A *quare* Combefis κατήνας δαπανηφόρους *scrib. coniecit. sed cf. p.* 397, 7. — δρόμονας ehm. — τῶν ἀριθμῶν em. — 25 προσώρμησεν em προσόρμησεν f προσώρμισαν h προσώρμησαν x προώρμισαν g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπλευσαν τὴν πόλιν. καὶ οἱ μὲν ἐπέρασαν εἰς τὰ Εὐτροπίου καὶ Ἀνθημίου, οἱ δὲ εἰς τὰ τῆς Θράκης μέρη ἀπὸ τοῦ καστελλίου τῶν
cf. Niceph. Brev. p. 53 Γαλάτου καὶ ἕως τοῦ Κλειδίου προσώρμισαν. ‖ τῶν δὲ μεγάλων πλοίων βεβαρημένων ἐκ τοῦ φόρτου καὶ ἀργενομένων, νωτοφύλακες μέχρι τῶν κ΄ κατηνῶν ἀπέμειναν ἐχόντων ἀνὰ ρ΄ λωρικάτων πρὸς τὸ ταῦτα φυλάττειν. εὐδίας δὲ καταλαβούσης αὐτὰς ἐν τῷ ῥεύματι, καὶ τοῦ Στενοῦ μικρὸν πνεύσαντος, ὥθησεν αὐτὰς ἐπὶ τὰ ἔξω. ὁ δὲ εὐσεβὴς βασιλεὺς παραχρῆμα τὰς ἐμπύρους ναῦς κατ᾽ αὐτῶν ἐκπέμψας ἀπὸ τῆς ἀκροπόλεως τῇ θείᾳ συμμαχίᾳ πυριαλώτους αὐτὰς ἐποίησεν· ‖ καὶ αἱ μὲν εἰς τὰ παράλια τείχη ἐμπυριζόμεναι ἀπερρίφησαν, αἱ δὲ εἰς τὸν βυθὸν αὔτανδροι κατεποντίσθησαν, ἕτεραι δὲ μέχρι τῆς Ὀξείας καὶ Πλατείας νήσου λαυρίζουσαι ἀπηνέχθησαν. ἐντεῦθεν οὖν οἱ μὲν τῆς πόλεως θάρσος ἔλαβον, οἱ δὲ πολέμιοι
609 B μεγάλως κατέπτηξαν τὴν τοῦ ὑγροῦ πυρὸς ἐγνωκότες δραστικωτάτην
332 P ἐνέργειαν· ἐβούλοντο γὰρ τῇ αὐτῇ ἑσπέρᾳ εἰς τὰ παράλια προσορμίσαι τείχη καὶ τοὺς αὐχένας εἰς τὰς ἐπάλξεις ἐπιθεῖναι. ἀλλὰ τὴν βουλὴν αὐτῶν διεσκέδασεν ὁ θεὸς διὰ τῶν πρεσβειῶν τῆς παναγνου θεοτόκου. τῇ δὲ αὐτῇ νυκτὶ τὴν ἅλυσιν ἐκ τῶν Γαλάτου ὁ εὐσεβὴς βασιλεὺς μυστικῶς συνέστειλεν. οἱ δὲ ἐχθροὶ νομίσαντες, ὅτι βουλόμενος αὐτοὺς δελεάσαι ὁ βασιλεὺς ταύτην παρέστειλεν, οὐκ ἐτόλ-
cf. Niceph. Brev. p. 53 μησαν εἰσελθεῖν καὶ ὁρμίσαι ἔνδον τῶν Γαλάτου· ‖ ἀλλ᾽ ἀναπλεύσαντες ἐν τῷ κόλπῳ τοῦ Σωσθενίου ἐκεῖ κατησφαλίσαντο τὸ ἑαυτῶν πλῴϊμον. ‖ τῇ δὲ ἡ΄ τοῦ Ὀκτωβρίου μηνὸς θνήσκει Σουλεϊμάν, ὁ
cf. Niceph. ibidem ἀρχηγὸς αὐτῶν, καὶ ἀμηρεύει Οὔμαρ. ‖ χειμῶνος δὲ γενομένου βαρυτάτου ἐν τῇ Θράκῃ, ὥστε τὴν γῆν ἐπὶ ἡμέρας ρ΄ μὴ φαίνεσθαι ἐκ τῆς κρυσταλλωθείσης χιόνος, πλῆθος ἵππων τε καὶ καμήλων καὶ λοιπῶν ζώων τῶν ἐχθρῶν τεθνήκασιν. τῷ δὲ ἐαρινῷ καιρῷ κατέλαβε Σουφιὰμ μετὰ τοῦ ἐν Αἰγύπτῳ κτισθέντος στόλου, ἔχων κατήνας σιτοφόρους υ΄ καὶ δρόμωνας. καὶ μαθὼν τὴν τοῦ Ῥωμαϊκοῦ πυρὸς ἐνέργειαν καὶ παραδραμὼν τὴν Βιθυνίαν καὶ ἀντικρὺ περάσας εἰς

2 Ἀνθημίου] Anthemii A Ἀνθιμίου codd. — 3 Γαλάτου hxA Γαλάτων gy. — κλιδίου y. — προσώρμησαν emx προσόρμησαν f. — 4 ἀργενομένων y ἀργενύντων xz. — 5 κατήνων fx κατίνων z κτηνῶν em. — λωρικάτων h. — 6 ταύτας c. — εὐδείας dfhm. — 7 Στενοῦ] νότου Combefis καὶ ἅμα μικροῦ πνεύματος ἀντιπνεύσαντος Nic. — αὐτὰ em. — τὰ om. h. — 8 εὐσεβὴς om. dA. — ἐμπόρους g ἐμπυρίους Georg. Mon. — 10 ἐποίησεν dA ἐποίησαν rell. — 11 κατεπόθησαν y. — 13 οὖν om. z. — θράσος y. — 15 γὰρ om. g. — 16 ἐπιτιθέναι h. — 17 παναγίας g. — 18 εὐσεβὴς om. dA. — 19 βουλομένους ef. — 21 ὥρμῆσαι gy ὁρμῆσαι h. — τῶν] τοῦ h. — 22 κάμπῳ h. — 23 πλόϊμον h. — ἡ xzA ε΄ y. — ὁ Σουλ. z. — Σουλεϊμᾶν z. — 24 Οὔμαρ h. — 25 ὥστε] οὔτε e οὔτε m. — ἐπὶ ρ΄ ἡμέρας xz. — 25. 26 ἐκ τοῦ κρυσταλλωθέντος χ. y. — 27 ἐχθρῶν] ἐθνῶν m. — 28 Σοφιὰμ Niceph. — κατίνας g. — 29 υ΄] γ΄ h. — δρόμονας hy. — 30 ἀντικρύ d ἄντικρυ hy ἄντικρυς g ἀντικρυς sine acc. c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν τοῦ Καλοῦ Ἀγροῦ λιμένα προσώρμισεν. μετ' οὐ πολὺ δὲ κατ-
ἔλαβε καὶ Ἰζιδ μετὰ ἑτέρου στόλου κτισθέντος ἐν Ἀφρικῇ ἔχων καὶ 610 B
αὐτὸς κατήνας τξ' ἁρμαμέντον τε καὶ δαπάνας. ὁμοίως καὶ αὐτὸς
τὰ αὐτὰ μεμαθηκὼς περὶ τοῦ ὑγροῦ πυρὸς προσώρμισεν εἰς τὸν
Σάτυρον καὶ Βρύαν καὶ ἕως Καρταλιμένος. οἱ δὲ τῶν δύο στόλων
τούτων Αἰγύπτιοι καθ' ἑαυτοὺς βουλευσάμενοι νυκτὸς τοὺς τῶν
κατηνῶν σανδάλους ἅραντες ἐν τῇ πόλει προσέφυγον τὸν βασιλέα
εὐφημοῦντες, ὥστε ἀπὸ τῆς Ἱερείας ἕως τῆς πόλεως ὁλόξυλον φαί-
νεσθαι τὴν θάλασσαν. μαθὼν δὲ δι' αὐτῶν ὁ βασιλεὺς περὶ τῶν
κρυπτομένων δύο στόλων ἐν τῷ κόλπῳ, σίφωνας πυρσοφόρους κατα-
σκευάσας εἰς δρόμωνάς τε καὶ διήρεις τούτους ἐμβαλὼν κατὰ τῶν
δύο στόλων ἐξέπεμψεν. τοῦ δὲ θεοῦ συνεργήσαντος διὰ τῶν πρεσ-
βειῶν τῆς παναχράντου θεοτόκου ἐπιτοπίως ἐβυθίσθησαν οἱ ἐχθροί·
καὶ λαβόντες τὰ σκῦλα οἱ ἡμέτεροι καὶ τὰς δαπάνας αὐτῶν μετὰ
χαρᾶς καὶ νίκης ὑπέστρεψαν. ‖ ἔτι δὲ πάλιν τοῦ Μαρδασὰν ἀπὸ
Πυλῶν σὺν τῷ στρατῷ τῶν Ἀράβων ἕως Νικαίας καὶ Νικομηδείας
διατρέχοντος, οἱ ἐν τῷ Λίβῳ καὶ Σόφωνι δίκην Μαρδαϊτῶν κρυπ-
τόμενοι βασιλικοὶ ἄρχοντες καὶ τὰ πεζικὰ ἐξάπινα τούτοις ἐπιρρίπ-
τοντες καὶ κλασματίζοντες ἐκεῖθεν ἀποδρᾶσαι ἐποίησαν· καὶ λοιπὸν
μικρᾶς ἀδείας τῆς περατικῆς παραλίου εὑρούσης, ἐκ τῆς πόλεως 611 B
ἐξερχόμενα χελάνδια πλείστας ἐκόμιζον δαπάνας· ὡσαύτως δὲ καὶ τὰ 333 P
ἁλιευτικὰ ἀγράρια εἴς τε τὰς νήσους καὶ τὰ περιπόλια τείχη ἀγρεύειν
ἰχθύας οὐκ ἐκωλύοντο. λιμοῦ τε μεγάλου γεγονότος ἐν τοῖς Ἄραψιν,
πάντα τὰ ἀποθνήσκοντα ζῶα αὐτῶν κατήσθιον, ἵππους τε καὶ ὄνους
καὶ καμήλους· φασὶ δέ τινες ὅτι καὶ ἀνθρώπους τεθνεῶτας καὶ τὴν
ἑαυτῶν κόπρον εἰς τὰ κλίβανα βάλλοντες καὶ ζυμοῦντες ἤσθιον.
ἐνέσκηψε δὲ εἰς αὐτοὺς καὶ λοιμικὴ νόσος καὶ ἀναρίθμητα πλήθη ἐξ
αὐτῶν ὤλεσεν. συνῆψε δὲ πρὸς αὐτοὺς πόλεμον καὶ τὸ τῶν Βουλ-
γάρων ἔθνος, καί, ὥς φασιν οἱ ἀκριβῶς ἐπιστάμενοι, [ὅτι] κβ'
χιλιάδας Ἀράβων κατέσφαξαν· καὶ πολλὰ αὐτοῖς συνέβησαν δεινὰ
ἐν τῷ καιρῷ ἐκείνῳ, ὥστε ἐπιγνῶναι αὐτοὺς τῇ πείρᾳ, ὅτι ὁ θεὸς

---

1 προσώρμησεν x προσώρμησαν em. — 2 Ἰζίδ f *Izid sine spir.* e Ἰζίβ xz Ἰέζιδος Niceph. — 3 κατίνας g. — ἁρμαμέντων f. — 4 τὰ αὐτά] ταῦτα y. — προσώρμησεν xy. — 5 Κάρτα λιμένος hxA. — 7 κατηνῶν em κατήνων fhx κατίνων g navium frumenta ferentium A. — 8 μέχρι y. — 10 σίφονας e σιφόνας m. — 11 δρόμονας *codd. praeter* g. — ἐμβαλὼν *sec. ut vid. manu corr. ex* ἐκβαλών f. — 12 τῶν *om.* gx. — 13 παναγίας xz. — 15 Μαρδασάν yA Μερδασάν ch Μερδασᾶν dg. — 17 Λιβῷ f. — 20 ἀδείας] aditu A. — παρόλου em. — 21 πλείστας *sec. m.* hA πλεῖστα *codd.* — 22 ἀγριάρα f ἄγρια em. — περιπόλεια xy. — 23 μεγάλου *om.* g. — γεγονότος *om.* y. — 26 τὰ *om.* h. — 27 ἀνέσκηψεν em ἐνέσκηψεν f *sed* ἐ *in lit.* — 27. 28 ἐξ αὐτῶν *om.* x. — 28 πόλεμον—29 φασιν *om.* y. — 29 ὅτι *add. codd. sed delendum videtur.* — κβ'] δώδεκα d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἡ παναγία παρθένος καὶ θεομήτωρ φρουροῦσι τὴν πόλιν ταύτην καὶ τὸ τῶν χριστιανῶν βασίλειον, καὶ οὐκ ἔστιν ἐγκατάλειψις τελεία θεοῦ ἐν τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ, εἰ καὶ πρὸς βραχὺ παιδευόμεθα διὰ τὰς ἁμαρτίας ἡμῶν.

717/8. A. M. 6210 Ἀράβων ἀρχηγὸς Οὔμαρος ἔτη β'. ,ϛσί. ψί. β'. α'. δ'. ιγ'.

cf. Niceph. Brev. p. 54 612 B ‖ Τούτῳ τῷ ἔτει Σέργιος, ὁ πρωτοσπαθάριος καὶ στρατηγὸς Σικελίας, ἀκούσας ὅτι οἱ Σαρακηνοὶ παρακαθέζονται τὴν βασιλεύουσαν πόλιν ἔστεψεν ἐκεῖσε ἴδιον βασιλέα ἐκ τῶν ἀνθρώπων αὐτοῦ, ὀνόματι Βασίλειον, Κωνσταντινουπολίτην, υἱὸν Γρηγορίου τοῦ Ὀνομαγούλου, Τιβέριον αὐτὸν μετονομάσας. ἐποίησε δὲ προβολὰς καὶ ἰδίους ἄρχοντας μετὰ βουλῆς τοῦ προλεχθέντος Σεργίου. ὁ δὲ βασιλεὺς ταῦτα ἀκηκοὼς ἀποστέλλει Παῦλον, τὸν οἰκεῖον αὐτοῦ χαρτουλάριον, προβαλόμενος αὐτὸν πατρίκιον καὶ στρατηγὸν Σικελίας, παραδεδωκὼς αὐτῷ πρὸς σύναρσιν αὐτοῦ ⟨σπαθαρίους δύο καὶ ἀνθρώπους ὀλίγους εἰς ὑπηρεσίαν αὐτοῦ⟩ κελεύσεις τε πρὸς τοὺς ἄρχοντας τῶν δυτικῶν καὶ σάκραν πρὸς τὸν λαόν. καὶ διὰ νυκτὸς εἰσελθόντες εἰς ἐξελαστικὸν δρόμωνα ἐξῆλθον ἐπὶ τὰ μέρη Κυζίκου. ἀπὸ ⟨δὲ⟩ τόπου εἰς τόπον, διά τε γῆς καὶ θαλάσσης τὴν πορείαν ποιησάμενοι ἐξάπινα τὴν Σικελίαν καταλαμβάνουσιν. εἰσελθόντων δὲ αὐτῶν ἐν Συρακούσῃ, ἤκουσε Σέργιος καὶ ἐξέστη καὶ τὴν ἑαυτοῦ ἐπιγνοὺς αἰτίαν προσέφυγεν εἰς τοὺς πλησιάζοντας τῇ Καλαβρίᾳ Λογγιβάρδους. τοῦ δὲ λαοῦ ἀθροισθέντος, καὶ τῆς σάκρας ἀναγνωσθείσης, καὶ δι' αὐτῆς πιστωθέντες, ὅτι καὶ τὸ βασίλειον
334 P συνίσταται, καὶ ἡ πόλις εὐθυμοτέρα ἐστὶ περὶ τῶν ἐχθρῶν, καὶ τὰ
613 B περὶ τῶν δύο στόλων διηγησαμένων αὐτοῖς, εὐθέως τὸν μὲν Λέοντα βασιλέα εὐφήμησαν, Βασίλειον δὲ τὸν Ὀνομάγουλον καὶ τοὺς ὑπ' αὐτοῦ προχειρισθέντας ἄρχοντας δεσμίους τῷ στρατηγῷ παραδέδωκαν. αὐτὸς δὲ τὸν μὲν Βασίλειον σὺν τῷ μονοστρατήγῳ αὐτοῦ ἀπεκεφάλισεν, καὶ τὰς κεφαλὰς αὐτῶν φουσκιάσας τῷ βασιλεῖ διὰ τῶν σπαθαρίων ἀπέστειλεν. τοὺς δὲ λοιποὺς τύψας καὶ κουρεύσας,

1 παρθένος xzA Θεοτόκος y. — 2 et Christianorum imperatorem A. — 3 θεοῦ τελεία g. — 7 ὁ *om.* z. — 9 ἐκ τῶν ἀνθρώπων αὐτοῦ *om.* z. — 10 Ὠνομαγούλου y. — 13 ἀκούσας g. — 14 προβαλλόμενος dgy. — πατρίαρον em. — 15 σπαθαρίους — 16 εἰς ὑπηρ. αὐτοῦ *add. ex* A: datis in auxilium ei spathariis duobus et in servitium eius perpaucis hominibus *om. codd.* — 16 τε cA *om.* dyz. — 17 τῶν δυτικῶν μερῶν z. — 18 δρόμονα ἐξῆλθον h δρόμον* ἐξ. f δρόμον ἀνεξ. em. — ἐπί] εἰς xz. — 19 δὲ *add. ex* A *om. codd.* — θαλάττης xz. — 20 καὶ ἐξάπινα d. — 23 Καλαυρίᾳ d. — 24 πεισθέντες x. — ὅτι τὸ βασ. (*om.* καί) xz. — 25 ἐχθρῶν] gentes (ἐθνῶν) A. — 26 ἡγησαμένων y διηγησαμένου z. — 27 εὐφήμησαν βασιλέα h. — Ὠνομάγουλον y. — 27. 28 παρ' αὐτοῦ y. — 30 φουσκίσας f φουρκίσας em φασκιώσας g σμυρνήσας d fusca condita A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τινὰς δὲ καὶ ῥινοκοπήσας ἐξώρισεν. ἐντεῦθεν οὖν μεγάλη κατάστασις ἐν τοῖς δυτικοῖς ἐγένετο. Σέργιος δὲ ὁ προλεχθεὶς λόγον ἀπαθείας τὸν στρατηγὸν αἰτησάμενος καὶ λαβὼν ἐξῆλθε πρὸς αὐτόν· καὶ πάντα εἰρήνευσαν τὰ ἑσπέρια μέρη. ‖

Οὔμαρος δὲ κρατήσας τῶν Ἀράβων ἐπέτρεψεν ἀνακάμψαι τὸν Μασαλμᾶν. ἀποκινησάντων δὲ τῶν Ἀγαρηνῶν τῇ ιε΄ τοῦ Αὐγούστου μηνὸς μετὰ πολλῆς αἰσχύνης· ἐν γὰρ τῷ ἐκπορίζειν τὸν στόλον αὐτῶν λαΐλαψ ἐκ θεοῦ διὰ τῶν προσβειῶν τῆς θεομήτορος ἐνσκήψας εἰς αὐτοὺς τούτους διεσκόρπισεν· καὶ τοὺς μὲν ἐν Προκονήσῳ καὶ ταῖς λοιπαῖς νήσοις, τοὺς δὲ ἐν τοῖς Ἀποστρόφοις καὶ ταῖς λοιπαῖς ἀκταῖς κατεπόντισεν, οἱ δὲ περιλειφθέντες παρήρχοντο τὸ Αἰγαῖον πέλαγος, καὶ ἄφνω ἐπῆλθεν αὐτοῖς θεομηνία φοβερά· χάλαζα γὰρ 614 B πύρινος κατελθοῦσα ἐπ' αὐτοὺς τὸ ὕδωρ τῆς θαλάσσης καχλάσαι πεποίηκεν, καὶ τῆς πίσσης λυθείσης, αὔτανδροι αἱ ναῦς εἰς βυθὸν κατηνέχθησαν· δέκα δὲ μόναι καὶ αὗται προνοίᾳ θεοῦ διασωθεῖσαι ἐξ αὐτῶν πρὸς τὸ ἀπαγγεῖλαι ἡμῖν τε καὶ τοῖς Ἄραψι τὰ μεγαλεῖα τοῦ θεοῦ τὰ γεγονότα εἰς αὐτούς· ἃς καὶ περιτυχόντες οἱ τῶν ἡμετέρων τὰς μὲν πέντε πιάσαι ἠδυνήθησαν, αἱ δὲ ἄλλαι πέντε ἀπεσώθησαν εἰς Συρίαν τὴν τοῦ θεοῦ δυναστείαν ἀναγγελοῦσαι. ‖ cf. Niceph. Brev. p. 55

Τῷ δ' αὐτῷ ἔτει σεισμοῦ μεγάλου γενομένου ἐν Συρίᾳ, ἐκώλυσεν Οὔμαρ τὸν οἶνον ἀπὸ τῶν πόλεων, καὶ μαγαρίζειν τοὺς Χριστιανοὺς ἠνάγκαζεν· καὶ τοὺς μὲν μαγαρίζοντας ἀτελεῖς ἐποίει, τοὺς δὲ μὴ καταδεχομένους ἀνῄρει, καὶ πολλοὺς μάρτυρας ἀπειργάσατο, καὶ μὴ παραδέχεσθαι μαρτυρίαν Χριστιανοῦ κατὰ Σαρακηνοῦ ἐθέσπισεν. ἐποίησε δὲ καὶ ἐπιστολὴν δογματικὴν πρὸς Λέοντα τὸν βασιλέα οἰόμενος πείσειν αὐτὸν τοῦ μαγαρίσαι.

γ΄. β΄. ε΄. ιδ΄. A. M. 6211 718/9.

Τούτῳ τῷ ἔτει ἐτέχθη τῷ δυσσεβεῖ βασιλεῖ Λέοντι ὁ δυσσεβέ- 335 P

---

1 τινὰς δὲ καὶ ῥινοκοπήσας om. d. — ῥινοκοπήσας] κουρεύσας c. — 5 *Ante* Οὔμαρος em *inserunt haec:* ὁ δὲ Μέσελμες ἀπάρας ἀπὸ τοῦ Βυζαντίου κατηχσιμένος (l. κατηχσυμένος) κατέλαβε τὴν Δαμασκόν. εὗρε δὲ καὶ τὸν Μαροέν, τὸν αὐθέντην (αὐθέτην e) αὐτοῦ καὶ ἀμεριμνήν, τελευτήσαντος (l. τελευτήσαντα). ἀντ' αὐτοῦ δὲ ἐκράτησεν Οὔμαρης (l. Οὔμαρις) καὶ πάλιν ἀπέστειλε τὸν Μέσελμε τοῦ πολιορκῆσαι τὸ Βυζάντιον διά τε γῆς καὶ θαλάσσης. οὗτος ὁ Οὔμαρης (Ὅμαρης e l. Οὔμαρις) ἔσχατος υἱὸς τοῦ Ἀπτελαζήζ. — 6 Μάσαλμαν *codd. praeter* g. — Σαρακηνῶν Ag *sed in mg.* g: γρ. καὶ Ἀγαρηνῶν. — 8 αὐτοῦ z. — ἐκ τοῦ θεοῦ y. — τῶν om. xz. — 9 Προικονήσῳ d Georg. Mon. p. 638. — 11 περιληφθέντες hy. — τὸ om. g. — Αἰγαιον g Αἰγαιον *sine acc.* c Αἴγεον dh Αἰγῖον *ut vid. pr. m.* f Αἴγιον em. — 14 ἐποίησεν d. — 15 μόνοι d μόνα em. — αὐταί dg αυται *sine acc. et spir.* c ταῦτα em αὗται *sec. m. e* ταύται *ut vid.* f. — περισωθεῖσαι y. — 19 ἐν Συρίᾳ y. — ἀναγγελοῦσαι] annuntiaturae A ἀναγγέλουσαι fz ἀναγγέλλουσαι dem ἀγγέλλουσαι c. — 21 Οὔμαρ eh. — μαγαρίζει em. — 27 ιδ΄] δ' *codd.* — 28 δυσσεβεῖ om. gA. — ὁ om. xz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στερος αὐτοῦ υἱὸς Κωνσταντῖνος καὶ τοῦ Ἀντιχρίστου πρόδρομος. τῇ δὲ κε' τοῦ Δεκεμβρίου μηνὸς Μαρία, ἡ γυνὴ Λέοντος, ἐστέφθη ἐν τῷ τρικλίνῳ τοῦ Αὐγουστέως, καὶ προῆλθεν ἔμπρακτος μόνη χωρὶς τοῦ ἀνδρὸς ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ εὐξαμένη πρὸ τῆς εἰσόδου τοῦ θυσιαστηρίου μετῆλθεν εἰς τὸν μέγαν βαπτιστῆρα, προεισελθόντος τοῦ ἀνδρὸς αὐτῆς μετ' ὀλίγων οἰκειακῶν ἀνθρώπων αὐτοῦ. ἔνθα βαπτίσαντος Γερμανοῦ τοῦ ἀρχιερέως τὸν τῆς κακίας τε καὶ βασιλείας αὐτῶν διάδοχον Κωνσταντῖνον, δεινόν τι καὶ δυσῶδες ἐκ νηπιότητος αὐτοῦ προεσήμαναν τεκμήριον, ἀφοδεύσαντος αὐτοῦ ἐν τῇ ἁγίᾳ κολυμβήθρᾳ, ὡς φασιν οἱ ἀκριβῶς αὐτόπται γεγονότες, ὥστε φάναι Γερμανὸν τὸν ἁγιώτατον πατριάρχην προφητικῶς, ὅτι "μεγίστου κακοῦ Χριστιανοῖς καὶ τῇ ἐκκλησίᾳ δι' αὐτοῦ μέλλοντος γίνεσθαι τὸ σημεῖον τοῦτο πέφυκεν." τοῦτον οἱ προύχοντες τῶν θεμάτων καὶ τῆς συγκλήτου βαπτισθέντα ἀνεδέξαντο. μετὰ δὲ τὴν θείαν λειτουργίαν ἔμπρακτος ἡ αὐγούστα Μαρία ἀνέκαμψε σὺν τῷ υἱῷ βεβαπτισμένῳ ὑπατείαν δοῦσα ἀπὸ τῆς ἐκκλησίας ἕως τῆς Χαλκῆς πύλης τοῦ παλατίου.

cf. Niceph. Brev. p. 55

‖ Τῷ δ' αὐτῷ ἔτει Νικήτας ὁ Ξυλινίτης γράφει πρὸς Ἀρτέμιον ἐν Θεσσαλονίκῃ, ὥστε ἀπελθεῖν αὐτὸν πρὸς Τέρβελιν, ὅπως μετὰ συμμαχίας Βουλγαρικῆς ἔλθῃ κατὰ Λέοντος. ὁ δὲ ὑπακούσας ἀπῆλθε καὶ δίδωσιν αὐτῷ στρατὸν καὶ ν' κεντηνάρια χρυσοῦ. καὶ ταῦτα λαβὼν ἐπὶ Κωνσταντινούπολιν ἔρχεται. τῆς δὲ πόλεως τοῦτον μὴ δεξαμένης, οἱ Βούλγαροι τοῦτον τῷ Λέοντι παρέδωκαν καὶ φιλοφρονηθέντες ὑπ' αὐτοῦ ὑπέστρεψαν. ὁ δὲ βασιλεὺς τοῦτον σὺν τῷ Ξυλινίτῃ ἀνεῖλεν, δημεύσας καὶ τὴν τοῦ Ξυλινίτου οὐσίαν μαγίστρου αὐτοῦ ὑπάρχοντος καὶ πολλὴν κεκτημένου· ὁμοίως δὲ καὶ Σισίννιον τὸν πατρίκιον, τὸ ἐπίκλην Ῥενδάκιν οἱ Βούλγαροι ἀπεκεφάλισαν ὡς συνόντα τῷ Ἀρτεμίῳ, καὶ τὸν ἀρχιεπίσκοπον Θεσσαλονίκης προέδωκαν τῷ βασιλεῖ, καὶ ἀπεκεφαλίσθη σὺν τῷ Ἀρτεμίῳ. ὁμοίως καὶ Ἰσόην τὸν πατρίκιον καὶ κόμητα τοῦ Ὀψικίου καὶ Θεόκτιστον πρωτο-

2 κε' y κα' xz. — Δεκεμβρίου A Ὀκτωβρίου codd. — τοῦ Λέοντος y. — 3 τρικλείνῳ xy. — ἐμπράκτως z ἔμπρακτος c. — 5 τοῦ ἁγίου θυσιαστηρίου xz ἁγίου om. yA. — βαπτιστῆραν g. — προσελθόντος h. — 8 τι y τε xz. — 10 ἀκριβεῖς y. — 12. 13 μέλλοντος (-τα h) δι' αὐτοῦ z. — γενέσθαι h. — 15 ἐμπράκτως z. — αὐγοῦστα g. — 16 βαπτισμένῳ y βαπτισαμένῳ xz. — ὑπατίαν dy. — δούς c. — 17 τοῦ παλατίου om. A. — 19 Τέρβελλιν hmx Τερβέλιον g. — 20 κατά] μετά g. — 21 ad Terbelin abiit A. — 22 τοῦτον] id A. — 26 ὁμοίως δέ om. A. — δὲ Σισ. καὶ τὸν πατρ. d. — Σισίνιον z. — 27 τὸν ἐπίκλην d. — Ῥενδάκιν x Ῥενδάκην yz Rhendacium A. — 28 τῷ om. xz. — καὶ τὸν ἀρχ. — 29 σὺν τῷ Ἀρτεμίῳ om. g. — 29 τῷ βασιλεῖ] Leoni principi A. — 30 Ἰσ. τὸν πατρ. dy τὸν om. cz. — καὶ Θεόκτιστον — p. 401, 1 τειχίου post Ῥενδάκιν v. 27 inserit g. — Θεόκτιστον yA Niceph. Θεόγνωστον xz. — τὸν πρωτ. f. — πρωτοασηκρήτην f πρωτοασηκρήτην d πρωτοασηκρήτην h πρωτοασηκρίτιν c πρωτοασηκρη g πρωτοαδσικρήτην e πρωτοαδσικρίτην m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ασηκρήτην, καὶ Νικήταν τὸν Ἀνθρακα καὶ ἄρχοντα τοῦ τειχίου ὡς φίλους καὶ συνδρόμους αὐτοῦ, ἀπέκτεινεν· τοὺς δὲ λοιποὺς ὀινοτομήσας καὶ δημεύσας ἐξώρισεν. ‖

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	Κωνσταντ.	Ἱεροσολύμων	A. M. 6212	719/20.
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	ἐπίσκοπος	ἐπίσκοπος		
,ϛσιβ΄.	ἔτη ψιβ΄.	Λέων	Ἰζὶδ	Γερμανὸς	Ἰωάννης		
		ἔτη κδ΄.	ἔτη δ΄.	ἔτη ιε΄.	ἔτη λ΄.		
		δ΄.	α΄.	ϛ΄.	ιε΄.		

‖ Τούτῳ τῷ ἔτει ἰνδικτιῶνος γ΄, τῇ ἡμέρᾳ τοῦ πάσχα, ἐστέφθη Κωνσταντῖνος ὑπὸ Λέοντος, τοῦ πατρὸς αὐτοῦ, ἐν τῷ τριβουναλίῳ τῶν ιθ΄ ἀκουβίτων, τοῦ μακαρίου Γερμανοῦ τοῦ πατριάρχου ποιήσαντος τὰς πρὸς συνήθειαν εὐχάς. cf. Niceph. Brev p. 56 336 P

Τῷ δ' αὐτῷ ἔτει ἀπεβίω Οὔμαρος, ὁ τῶν Ἀράβων ἀμηρεύσας ἔτη β΄ καὶ μῆνας δ΄, καὶ ἀμηρεύει Ἰζίδ. τούτῳ φύεται ἐν Περσίδι τύραννος ὀνόματι καὶ αὐτὸς Ἰζὶδ Μουαλαβί· καὶ συναπῆλθον αὐτῷ πολλοὶ τῆς Περσίδος· πέμψας δὲ Ἰζὶδ τὸν Μασαλμᾶν ἀνεῖλεν αὐτὸν καὶ τὴν Περσίδα ὑπέταξεν. 617 B

ε΄. β΄. ζ΄. ις΄. A. M. 6213 720/1.

Τούτῳ τῷ ἔτει ἀνεφάνη τις Σύρος ψευδόχριστος καὶ ἐπλάνησε τοὺς Ἑβραίους λέγων ἑαυτὸν εἶναι τὸν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ.

ϛ΄. γ΄. η΄. ιζ΄. A. M. 6214 721/2.

Τούτῳ τῷ ἔτει ἠνάγκασεν ὁ βασιλεὺς τοὺς Ἑβραίους καὶ τοὺς Μοντανοὺς βαπτίζεσθαι. οἱ δὲ Ἰουδαῖοι ἀπροαιρέτως βαπτιζόμενοι ἀπελούοντο τὸ βάπτισμα καὶ ἐσθίοντες μετελάμβανον τὴν ἁγίαν δωρεὰν καὶ ἔχραινον τὴν πίστιν. οἱ δὲ Μοντανοὶ διαμαντεύσαντες ἑαυτοῖς καὶ ὁρίσαντες ἡμέραν εἰσῆλθον εἰς τοὺς ὡρισμένους οἴκους τῆς πλάνης αὐτῶν καὶ κατέκαυσαν ἑαυτούς.

ζ΄. δ΄. θ΄. ιη΄. A. M. 6215 722/3.

Τούτῳ τῷ ἔτει Ἰουδαῖός τις ὁρμώμενος ἀπὸ Λαοδικείας τῆς παραλίου Φοινίκης, γόης, ἐλθὼν πρὸς Ἰζὶδ ἐπηγγείλατο αὐτῷ ἔτη μ΄

---

1 τοῦ τειχίου cy τοῦ τείχους dz Titichei A τῶν τειχῶν Niceph. — 2 ἀπέκτειναν g. — 6[4] Ἀζίδ y Ἀζήδ Const. Porph. de adm. imp. *cp.* 22. — 8[6] ιε΄ *om.* efh. — 9 ἰνδικτιόνος h ἰν *rell.* — ιγ΄ g. — 10 αὐτοῦ *om.* xz. — τριβουναλλίῳ g. — 11 ἀκουβήτων f. — 12 πρὸς συνήθεις z. — 13 ὁ τ. Ἀρ. ἀρχηγὸς ἀμηρεύσας d. — 14 Ἴζιδ *ubique fere* f *sine acc.* ex. — τοῦτο y. — ἐν Περσίδι *om.* h. — 15 Μουάλαβι em Μουαλαίβ h Moalabe A. — 16 Μάσαλμαν *codd. praeter* g. — τοῦτον ἀνεῖλεν m. — αὐτόν *om.* y. — 19 ἐφάνη mxz. — 22 ἠνάγκαζεν xz. — τοὺς Ἑβραίους d τοὺς *om. rell.* — 23 Μωντάνους y Μουντανους *sine acc.* c. — 25 Μωντανοί dm Μωντάνοι ef Μουντανοι *sine acc.* c. — 25—27 διαμαντεύσαντες — καὶ ὁρίσαντες — εἰσῆλθον — καὶ κατέκαυσαν xyA διεμαντεύσαντο — καὶ ὡρίσαντο — καὶ εἰσελθόντες — κατέκαυσαν z. — 26 ἑαυτοῖς z ἑαυτούς xy. — ὡρισμένους hy. — 28 ιη΄] ιθ΄ g. — 30 παράλου dy. — γόης *om.* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρατήσειν τῆς Ἀράβων ἀρχῆς, εἰ τὰς ἐν ταῖς ἐκκλησίαις τῶν Χριστιανῶν ἐν πάσῃ τῇ ἀρχῇ αὐτοῦ τιμωμένας σεπτὰς εἰκόνας καθέλῃ. τούτῳ πεισθεὶς ὁ ἀνόητος Ἰζὶδ δόγμα καθολικὸν ἐψηφίσατο κατὰ
618 B τῶν ἁγίων εἰκόνων· ἀλλὰ χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ταῖς πρεσβείαις τῆς ἀφθόρου μητρὸς αὐτοῦ καὶ πάντων τῶν ἁγίων τῷ αὐτῷ ἔτει τέθνηκεν Ἰζίδ, οὐδὲ ἀκουσθῆναι φθάσαντος τοῖς πολλοῖς τοῦ σατανικοῦ αὐτοῦ δόγματος. μεταλαβὼν δὲ ταύτης τῆς πικρᾶς καὶ ἀθεμίτου κακοδοξίας Λέων ὁ βασιλεὺς πολλῶν κακῶν ἡμῖν αἴτιος γέγονεν. εὑρὼν δὲ ὁμόφρονα τῆς ἀπαιδευσίας ταύτης Βησήρ τινα τοὔνομα, γενόμενον μὲν ἀπὸ Χριστιανῶν αἰχμάλωτον ἐν Συρίᾳ, ἀποστάντα δὲ τῆς εἰς Χριστὸν πίστεως καὶ ποιωθέντα τοῖς Ἀράβων δόγμασιν, οὐ πρὸ πολλοῦ δὲ χρόνου ἀπελευθερωθέντα τῆς ἐκείνων δουλείας καὶ καταλαβόντα τὴν Ῥωμαίων πολιτείαν· διὰ ῥώμην δὲ σώματος καὶ ὁμόνοιαν τῆς κακοδοξίας ἐτιμήθη παρὰ τοῦ
337 P αὐτοῦ Λέοντος· ὅστις καὶ συνασπιστὴς τοῦ μεγάλου κακοῦ τούτου γέγονε τῷ βασιλεῖ. συνεφρόνει δὲ κακῶς αὐτῷ καὶ ὁ πάσης ἀκαθαρσίας ἀνάπλεως καὶ συντρόφῳ ἀπαιδευσίᾳ συζῶν Νακωλείας ὁ ἐπίσκοπος.

723/4 A. M. 6216 Ἀράβων ἀρχηγὸς Ἰσὰμ ἔτη ιθ'.

ἡ'. α'. ι'. ιθ'.

Τὰ περὶ τοῦ μακαρίου Στεφάνου, τοῦ πάπα Ῥώμης, ὅπως τε ἔφυγεν ἐν Φραγγικῇ καὶ ἐσώθη, λέξων ἔρχομαι.

619 B Οὗτος ὁ ἀοίδιμος Στέφανος πολλὰ κακὰ ὑπέστη ὑπὸ Ἀστούλφου, τοῦ ῥηγὸς τῶν Λογγιβάρδων. προσφυγὼν δὲ τοῖς Φράγγοις ἐπὶ Πιπίνου προοίκου καὶ ἐξάρχου τῆς διοικήσεως τῶν ὅλων πραγμάτων καὶ τοῦ τῶν Φράγγων ἔθνους· ἔθος γὰρ ἦν αὐτοῖς τὸν κύριον αὐτῶν, ἤτοι τὸν ῥῆγα, κατὰ γένος ἄρχειν καὶ μηδὲν πράττειν ἢ διοικεῖν, πλὴν ἀλόγως ἐσθίειν καὶ πίνειν, οἴκοι τε διατρίβειν καὶ κατὰ Μάϊον μῆνα πρώτῃ τοῦ μηνὸς προκαθέζεσθαι ἐπὶ παντὸς τοῦ

---

2 αὐτοῦ *om.* y αὐτῶν c. — καθέλει dem καθελεῖ fh καθελει *sine acc.* c. — 3 τοῦτο hy. — 4 ἁγίων καὶ σεπτῶν εἰκόνων xz καὶ σεπτῶν *om.* yA. — 5 αὐτοῦ *om.* g. — 8 πικρᾶς καὶ ἀθεμίτου yA ἀθεμίτου καὶ πικρᾶς xz. — 9 αἴτιος ἡμῖν xz. — τῆς ἀπαιδευσίας *om.* y. — 10 Βασήρ f Bisir A. — μὲν *om.* d. — 13 καταλαβών y. — τὴν τῶν Χριστιανῶν πολιτείαν d. — 14 δέ] τε y. — 17 ἀπαιδευσίας gy. — συνζῶν h. — συζ. Κωνσταντῖνος ὁ Νακ. ἐπ. d Κωνσταντῖνος *om. etiam* A. — Νακολείας *codd. praeter* g. — *v.* 19 *om. codd.* — *v.* 20 *om.* m *in mg. pr. m. adscr.* g. — *v. v.* 21 *et* 22 *litteris paullo maioribus scripti in* hmx *om.* A. *Omnia quae sequuntur usque ad p.* 403, 23 *non a Theophane scripta esse sed scholion ad p.* 403, 29 *adscriptum in textum irrepsisse apparet. Anno* 6234 (*p.* 418, 11) *inserit* Anastasius. — 21 τοῦ *ante* πάπα *om.* z. — πάππα g. — τε] γε c *om.* y. — 22 εἰς Φραγγικήν z. — ἐσώθην g. — 23 Ἀσταλφοῦ g. — 25 ἐπὶ πίνου *codd. praeter* g. — ἐξάρχοντος y. — 26 καὶ *om.* A. — 28 πηναλόγως g. — 29 πρώτην efhx πρῳ τ g. — προκάθεσθαι c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔθνους καὶ προσκυνεῖν αὐτοὺς καὶ προσκυνεῖσθαι ὑπ' αὐτῶν καὶ δωροφορεῖσθαι τὰ κατὰ συνήθειαν καὶ ἀντιδιδόναι αὐτοῖς καὶ οὕτως ἕως τοῦ ἄλλου Μαΐου καθ' ἑαυτὸν διάγειν. ἔχει δὲ τὸν λεγόμενον πρόοικον γνώμῃ ἑαυτοῦ καὶ τοῦ ἔθνους διοικοῦντα πάντα τὰ πράγματα. ἐλέγοντο δὲ οἱ ἐκ τοῦ γένους ἐκείνου καταγόμενοι κριστάται, ὃ ἑρμηνεύεται τριχοραχάται· τρίχας γὰρ εἶχον κατὰ τῆς ῥάχης ἐκφυομένας, ὡς χοῖροι. ὁ γοῦν εἰρημένος Στέφανος τῇ ὠμότητι τοῦ Ἀστούλφου βιασθεὶς καὶ ἀβουλίᾳ, ἅμα δὲ καὶ ἐπιτραπεὶς παρ' αὐτοῦ ἀπελθεῖν εἰς Φραγγικὴν καὶ ποιῆσαι ὃ ἂν δύνηται, ἐλθὼν χειροτονεῖ τὸν Πίπινον ἄνδρα τὸ τηνικαῦτα λίαν εὐδόκιμον, προϊστάμενον ἅμα καὶ τῶν πραγμάτων ἀπὸ τοῦ ῥηγὸς καὶ προπολεμήσαντα 620 B
τοὺς περαιωθέντας Ἄραβας ἀπὸ τῆς Ἀφρικῆς ἐπὶ τὴν Σπανίαν, τοὺς καὶ κρατήσαντας ἕως τοῦ νῦν τῆς αὐτῆς Σπανίας, δοκιμάσαντας δὲ καὶ κατὰ τῶν Φράγγων παρατάξασθαι. οἷς ἀντιταξάμενος σὺν τῷ πλήθει ὁ αὐτὸς Πίπινος κτείνει μὲν καὶ αὐτὸν τὸν ἔξαρχον τοῦ ἔθνους Ἀβδεραχμάν, συναναιρεῖ δὲ καὶ πλῆθος οὐκ εὐαρίθμητον παρὰ τὸν Ἠριδανὸν ποταμόν, καὶ θαυμάζεται καὶ φιλεῖται παρὰ τοῦ ἔθνους, οὐ μόνον διὰ τοῦτο, ἀλλὰ καὶ δι' ἄλλα προτερήματα, καὶ προηγεῖται τοῦ ἔθνους πρῶτος οὐ κατὰ γένος, λύσαντος αὐτὸν τῆς ἐπιορκίας τῆς πρὸς τὸν ῥῆγα τοῦ αὐτοῦ Στεφάνου, καὶ ἀπο- 338 P
κείραντος τὸν πρὸ αὐτοῦ ῥῆγα καὶ ἐν μοναστηρίῳ μετὰ τιμῆς καὶ ἀναπαύσεως περιορίσαντος. οὗτος ὁ Πίπινος δύο υἱοὺς ἔσχεν, Κάρουλον καὶ Καρουλόμαγνον, τὸν ἀδελφὸν αὐτοῦ.

Τῷ δ' αὐτῷ ἔτει ἀπεβίω Ἰξίδ, ὁ τῶν Ἀράβων ἀμηρεύσας ἔτη δ', καὶ ἀμηρεύει Ἰσάμ, ὁ τούτου ἀδελφός, καὶ ἤρξατο κτίζειν κατὰ χώραν καὶ πόλιν παλάτια καὶ κατασπορὰς ποιεῖν καὶ παραδείσους καὶ ὕδατα ἐκβάλλειν. καὶ ἐπεστράτευσε [χθῆ] τὴν Ῥωμανίαν, καὶ 621 B
πολλοὺς τῶν σὺν αὐτῷ ἀποβαλὼν ὑπέστρεψεν.

Στέφανος δέ, ὁ πάπας Ῥώμης, προσέφυγεν εἰς τοὺς Φράγγους.

---

1 καὶ *om.* dh. — καὶ προσκυνεῖν αὐτούς *om.* y. — προσκυνεῖν τε d. — 3 ἔχειν hA. — 4 τὰ πράγματα πάντα xz. — 5 οἱ *om.* g. — 6 ὃ καὶ ἑρμ. y. — τριχοραχᾶται dy *sine acc.* c. — 8 Ἀστάλφου g. — 9 ἄν] ἐὰν *codd.* — 10 Πιπίνιον f. — λίαν *om.* x. — 12 Ἰσπανίαν f. — 13 Ἰσπανίας f Ἱσπανίας e. — 16 Ἀβδεραχμᾶν d Ἀβδεραχᾶμ g Ἀβδεραχάμ em. — Abderachman enim filius Mahuhi principatum huius tenebat gentis A. — 17 Ἠριδανὸν g Ἠρίδανον dh Ἠριδανον *sine acc.* c Ἰρίδανον y Rhodanum A. — 19 οὐ κατὰ γένος] non ignobiliter (οὐκ ἀγεννῶς) A *sed cf. p.* 402, 27. — 22 Κάρουλλον z. — 23 Καρουλομάγνον cem Καρουλλόμαγνον z. — 24 ὁ τῶν Ἀρ. ἀρχηγὸς ἀμηρ. d. — 26 παλάτιον g. — 27 χθῆ ehm *eras. in* c. *quid sibi velit nescio, nisi fort. aut nomen ducis exercitus Arabum corruptum subest, aut* ΣΧΟΛ. *ad praecedentem narrationem in mg. adscr. male lectum et perperam hic interpolatum est.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

724/5 A. M. 6217 Ῥώμης ἐπίσκοπος Γρηγόριος ἔτη θ'.
θ'. β'. α'. ιά'. κ'.

Τούτῳ τῷ ἔτει ἤρξατο ὁ δυσσεβὴς βασιλεὺς Λέων τῆς κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων καθαιρέσεως λόγον ποιεῖσθαι. καὶ μαθὼν τοῦτο Γρηγόριος, ὁ πάπας Ῥώμης, τοὺς φόρους τῆς Ἰταλίας καὶ Ῥώμης ἐκώλυσε γράψας πρὸς Λέοντα ἐπιστολὴν δογματικήν, μὴ δεῖν βασιλέα περὶ πίστεως λόγον ποιεῖσθαι καὶ καινοτομεῖν τὰ ἀρχαῖα δόγματα τῆς ἐκκλησίας, τὰ ὑπὸ τῶν ἁγίων πατέρων δογματισθέντα.

Τῷ δ' αὐτῷ ἔτει καὶ ὁ χείμαρρος πλημμυρήσας εἰσῆλθεν εἰς Ἔδεσαν τὴν πόλιν καὶ πολλοὺς ἠφάνισεν.

725/6 A. M. 6218 ι'. γ'. β'. ιβ'. κά'.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μασαλμᾶς τὴν Καισάρειαν Καππαδοκίας καὶ παρέλαβεν αὐτήν. καὶ γέγονε θανατικὸν ἐν Συρίᾳ. καὶ αἱ κάμηλοι τοῦ πρωτοσυμβούλου ἐκάησαν εἰς τὸν ἅγιον Ἠλίαν. Μαυΐας δέ, ὁ υἱὸς Ἰσάμ, ἐπεστράτευσε τὴν Ῥωμανίαν καὶ ἐμπεριπατήσας ὑπέστρεψεν.

cf. Niceph. Brev. p. 57 ‖ Ἐν αὐτῷ δὲ τῷ ἔτει, ἰνδικτιῶνος θ', ὥρᾳ θέρους, ἀτμὶς ὡς ἐκ
622 B καμίνου πυρὸς ἀνέβρασεν ἀναμέσον Θήρας καὶ Θηρασίας τῶν νήσων ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης ἐπὶ ἡμέρας τινάς, καὶ κατὰ βραχὺ παχυνομένη καὶ ἀπολιθουμένη τῇ ἐξάψει τῆς πυρώδους ἐκκαύσεως, ὅλος ὁ καπνὸς πυροφανὴς ἐδείκνυτο. τῇ δὲ παχύνητι τῆς γεώδους οὐσίας πετροκισσήρους μεγάλους ὡς λόφους τινὰς ἀνέπεμψε καθ' ὅλης τῆς μικρᾶς Ἀσίας καὶ Λέσβου καὶ Ἀβύδου καὶ τῆς πρὸς Θά-
339 P λασσαν Μακεδονίας, ὡς ἅπαν τὸ πρόσωπον τῆς θαλάσσης ταύτης κισσήρων ἐπιπολαζόντων γέμειν· μέσον δὲ τοῦ τηλικούτου πυρὸς νῆσος ἀπογεωθεῖσα τῇ λεγομένῃ Ἱερᾷ νήσῳ συνήφθη, μήπω τὸ πρὶν οὖσα, ἀλλ' ὡς αἱ προρρηθεῖσαι νῆσοι, Θήρα τε καὶ Θηρασία ποτὲ ἐξεβράσθησαν, οὕτω καὶ αὕτη νῦν ἐπὶ τῶν χρόνων τοῦ Θεομάχου

---

v. v. 1 *et* 2 *om.* A. — 3 *Λέων ὁ δυσσεβὴς βασιλεύς* d *ὁ δυσσεβὴς Λέων ὁ βασιλεύς* y. — 5 *πάππας* g. — 8 dogmata ecclesiae catholicae A. — *ἁγίων om.* h. — 10 *τῷ δ' αὐτῷ* — 11 *ἠφάνισεν om.* dA. — 11 *Αἴδεσαν* ch *Ἔδεσσαν* m. — 12 *κα'*] *κδ'* g *ια'* c. — 13 *Μάσαλμας codd. praeter* g. — 14 *καὶ γέγονε* — 15 *Ἠλίαν om.* dA. — 15 *Ἠλίαν* h *sine spir.* c. — 16 *Μάνϊας* em. — *ὁ om.* f. — *Ἰσάμ* em. — *τῇ Ῥωμανίᾳ* em. — 18 *ἰν* ^{δ} *codd.* — 18. 19 *ὡς ἐκ καμ.* dzA *ὡς om.* cy. — 19 *ἀνέβρασεν post Θηρασίας repetit* c. — 19. 20 *Θηρ. ἐκ τοῦ βυθοῦ τῶν νήσων τῆς θαλ.* xz. — 21 *ἀπολ. τῇ πυρώδη ἐκκαύσει* d. — *ἐξάψει* f *sed ψ sec. m. in lit.* *ἐξαύσει* em *ἐκκαύσει* xz *cf.* Niceph. *l. l.* — *πυρόδου* em *πύροδου ut vid.* f. — *ἐκκαύσεως*] *φλογώσεως* z. — 22 *προφανής* gx *προσφανείς* h. — 23 *πετροκισσίρους* dy *πετροκισσούρους* g. — *λόφους* y cumulos A *λίθους* xz. — *ἀνέπεμψε*] transmisit A *ἀναπέμψαι codd.* — 26 *κισσίρων* dgy. — *καὶ ἐπιπολ.* f. — 27 *τῇ Ἱερᾷ λεγομ. νήσῳ* xz. — 28 *αἱ προρρ. νῆσοι* zA *νῆσοι om.* xy. — *τε om.* y. — *ποτέ*] *τότε* h. — 29 *ταύτη* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λέοντος. ὃς τὴν κατ᾽ αὐτοῦ θείαν ὀργὴν ὑπὲρ ἑαυτοῦ λογισάμενος
ἀναιδέστερον κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἤγειρε πόλεμον, ‖
σύμμαχον ἔχων Βησὴρ τὸν ἀρνησίθεον καὶ τῆς ἴσης ἀλογίας ἐφάμιλ-
λον. ἅμφω γὰρ ἀπαιδευσίας ἦσαν ἔμπλεοι καὶ πάσης ἀμαθίας, ἐξ
ἧς τὰ πολλὰ τῶν κακῶν ἔρχεται. οἱ δὲ κατὰ τὴν βασιλίδα πόλιν
ὄχλοι σφόδρα λυπούμενοι ἐπὶ ταῖς καιναῖς διδασκαλίαις αὐτῷ τε 623 B
ἐμελέτων ἐπελθεῖν καί τινας βασιλικοὺς ἀνθρώπους ἀνεῖλον καθελόν-
τας τὴν τοῦ κυρίου εἰκόνα τὴν ἐπὶ τῆς μεγάλης Χαλκῆς πύλης, ὡς
πολλοὺς αὐτῶν ὑπὲρ τῆς εὐσεβείας τιμωρηθῆναι μελῶν ἐκκοπαῖς καὶ
μάστιξι καὶ ἐξορίαις καὶ ζημίαις, μάλιστα δὲ τοὺς εὐγενείᾳ καὶ λόγῳ
διαφανεῖς· ὥστε καὶ τὰ παιδευτήρια σβεσθῆναι καὶ τὴν εὐσεβῆ παί-
δευσιν τὴν ἀπὸ τοῦ ἐν ἁγίοις Κωνσταντίνου τοῦ μεγάλου καὶ μέχρι
νῦν κρατήσασαν, ἧς καὶ μετὰ ἄλλων πολλῶν καλῶν καθαιρέτης ὁ
σαρακηνόφρων οὗτος Λέων γέγονεν. ‖ ἐν τούτοις οὖν θείῳ κινού- cf. Niceph. Brev. p. 57
μενοι ζήλῳ στασιάζουσι κατ᾽ αὐτοῦ μεγάλῃ ναυμαχίᾳ συμφωνήσαντες
Ἕλλαδικοί τε καὶ οἱ τῶν Κυκλάδων νήσων Κοσμᾶν τινα συνεπόμε-
νον ἔχοντες εἰς τὸ στεφθῆναι, Ἀγαλλιανὸς δέ, τουρμάρχης τῶν
Ἑλλαδικῶν, ἡγεῖτο τῆς στρατιᾶς, καὶ Στέφανος· οἳ καὶ προσπελά-
σαντες τῇ βασιλίδι πόλει ιῃ τοῦ Ἀπριλλίου μηνὸς τῆς ι᾽ ἰνδικτιῶνος
ἥττωνται συμβαλόντες τοῖς Βυζαντίοις, ἐμπρησθέντων αὐτῶν τῶν
νηῶν τῷ σκευαστῷ πυρί. καὶ οἱ μὲν βυθίζονται περὶ τὸν λάκκον,
ἐν οἷς καὶ Ἀγαλλιανὸς ἔνοπλον ἑαυτὸν ἐπόντωσεν, οἱ δὲ ζῶντες τῷ
κρατοῦντι προσρύονται. καὶ ἀποτέμνονται τὰς κεφαλὰς Κοσμᾶς τε 624 B
καὶ Στέφανος, ‖ αὔξει δὲ τῇ κακίᾳ Λέων ὁ δυσσεβὴς καὶ οἱ τούτου
σύμφρονες τὸν κατὰ τῆς εὐσεβείας διωγμὸν ἐπιτείνοντες. ‖ κατὰ δὲ cf. Niceph. Brev. p. 58
τὴν θερινὴν τροπὴν ταύτης τῆς ι᾽ ἰνδικτιῶνος, μετὰ τὴν τῶν ὁμο-
φύλων κακὴν νίκην, κατὰ τῆς Βιθυνῶν Νικαίας παρατάττεται Σαρα-
κηνῶν δύο ἀμηραίων στῖφος, Ἄμερ ἐν χιλιάσι ιε᾽ μονοζώνων προ-
δραμὼν καὶ ἀπαρασκεύαστον κυκλώσας τὴν πόλιν, καὶ Μανῦας
ἐπακολουθῶν ἐν ἄλλαις ὀκτὼ ἥμισυ μυριάσιν, οἳ μετὰ πολιορκίαν 340 P

---

1 ὑπὲρ αὐτοῦ g. — 3 ἔχων] ἔχοντες y *om.* h. — 4 ἀμφοῖν g ἀμφῶν h. — γὰρ ἅπάσης ἀπαιδευσίας g. — ἀμαθείας em ἀλογίας xz. — 6 καιναῖς zA κεναῖς xy. — 8 μεγάλης *om.* z. — 9 τῆς *om.* g. — ὑπὲρ τῆς ἐξορίας c ἐξορισθέντας d. — 10 εὐσεβείᾳ xz. — 12 τὴν *add. ex* d *om. rell.* — 12. 13 μέχρι τοῦ νῦν g. — 13 καλῶν *om.* f. — καθηρέτης z. — 13. 14 ὁ σαρακ. οὗτος Λέων καθ. γεγένηται g. — 16 Κοσμᾶν efx. — 16 Κοσμᾶν — 17 στεφθῆναι *om.* A. — 18 ὃς ἡγεῖτο h. — στρατιᾶς g στρατίας x στρατείας hy. — 19 Ἀπριλλίου] Ὀκτωβρίῳ xz. — ιῃ *codd.* — 20 αὐτῶν *om.* d. — 23 Κοσμᾶς chm Κόσμᾶς e. — 24 αὔξει g. — 25 ὑπομείναντες g. — 26 τροπήν] προστήν f. — ταύτης τῆς *om.* m τῆς *om.* ef. — ιδ *codd.* — μετὰ τὴν ὁμόφυλον κακὴν νίκην y. — τῶν *om.* d. — 27 τῆς *om.* d. — 28 ἀμηρέων y. — προδραμὼν czA προσδραμὼν dy. — 29 Μανῦας y. — 30 παρακολουθῶν xz. — ὀκτὼ ἥμισυ] η᾽ em. — μυριάδες g. — πολιορκίαν] ἐπιορκίαν y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλὴν καὶ καθαίρεσιν τῶν τειχῶν μερικὴν τῷ τῶν τιμωμένων ἁγίων πατέρων αὐτόθι τεμένει ταύτης μὲν οὐ περιγεγόνασι ‖ διὰ τῶν εὐπροσδέκτων εὐχῶν πρὸς τὸν Θεόν, ἔνθα καὶ σεβάσμιοι αὐτῶν χαρακτῆρες ἀνεστήλωντο μέχρι νῦν ὑπὸ τῶν ὁμοφρόνων αὐτῶν τιμώμενοι. Κωνσταντῖνος δέ τις στράτωρ τοῦ Ἀρταυάσδου ἰδὼν εἰκόνα τῆς θεοτόκου ἑστῶσαν, λαβὼν λίθον ἔρριψε κατ' αὐτῆς καὶ συνέτριψεν αὐτὴν καὶ πεσοῦσαν κατεπάτησεν· καὶ θεωρεῖ ἐν ὁράματι παρεστῶσαν αὐτῷ τὴν δέσποιναν καὶ λέγουσαν αὐτῷ· "οἶδας ποῖον γενναῖον πρᾶγμα εἰργάσω εἰς ἐμέ; ὄντως κατὰ τῆς ἑαυτοῦ κεφαλῆς
625 B τοῦτο ἐποίησας." τῇ δὲ ἐπαύριον προσβαλόντων τῶν Σαρακηνῶν τῷ τείχει, καὶ πολέμου κροτηθέντος, δραμὼν εἰς τὸ τεῖχος ὡς γενναῖος στρατιώτης ὁ ταλαίπωρος ἐκεῖνος βάλλεται ὑπὸ λίθου τοῦ ἐκ τοῦ μαγγανικοῦ πεμφθέντος, καὶ συνέτριψεν αὐτοῦ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ἄξιον τῆς ἑαυτοῦ δυσσεβείας κομισάμενος ἀνταπόδομα. αἰχμαλωσίαν δὲ πλείστην καὶ λάφυρα συναγαγόντες ὑπέστρεψαν, δεικνύντος καὶ τοῦτο τοῦ Θεοῦ τῷ ἀσεβεῖ, ὅτι οὐ δι' εὐσέβειαν περιγέγονε τῶν ὁμοφύλων, ὡς ἐκεῖνος ἠΰχει, ἀλλὰ διά τινα αἰτίαν θείαν καὶ ἀπόρρητον κρίσιν, ἀποκρουομένης μὲν τὴν τοιαύτην Ἀραβικὴν ἰσχὺν τῆς τῶν ἁγίων πατέρων πόλεως ταῖς αὐτῶν πρεσβείαις, διὰ τῶν ἐν αὐτῇ τιμωμένων ἀκριβεστάτων αὐτῶν χαρακτήρων εἰς ἔλεγχον δὲ καὶ ἀναπολόγητον κρίσιν τοῦ τυράννου καὶ βεβαίωσιν τῶν εὐσεβούντων. οὐ μόνον γὰρ περὶ τὴν σχετικὴν τῶν σεπτῶν εἰκόνων ὁ δυσσεβὴς ἐσφάλλετο προσκύνησιν, ἀλλὰ καὶ περὶ τῶν πρεσβειῶν τῆς πανάγνου Θεοτόκου καὶ πάντων τῶν ἁγίων· καὶ τὰ λείψανα αὐτῶν ὁ παμμίαρος, ὡς οἱ διδάσκαλοι αὐτοῦ Ἄραβες, ἐβδελύττετο. ἐκ τοῦδε τοίνυν τοῦ χρόνου ἀναιδῶς τῷ μακαρίῳ Γερμανῷ, τῷ πατριάρχῃ Κωνσταντινουπόλεως, προσετρίβετο, μεμφόμενος πάντας τοὺς
626 B πρὸ αὐτοῦ βασιλεῖς καὶ ἀρχιερεῖς καὶ Χριστιανοὺς λαούς, ὡς εἰδωλολατρήσαντας ἐπὶ τῇ προσκυνήσει τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων, μὴ χωροῦντος αὐτοῦ δι' ἀπιστίαν καὶ πολλὴν ἰδιωτείαν τὸν περὶ σχετικῆς προσκυνήσεως λόγον.

---

1 et particularem eversionem murorum hanc quidem non optinuerunt, bene acceptis sanctorum precibus patrum ad deum directis et sanctificatione faciente venerabilis templi ubi e. q. s. A. *Equidem ἐν τῷ τῶν τιμ. ἁγ. πατ. αὐτόθι τεμένει post θεὸν collocandum esse censeo.* — 3 *εὐχῶν*] *αὐτῶν litῶν* xz. — *τὸν om.* g. — 4 *μέχρι τοῦ νῦν* xz. — *αὐτοῖς* xz. — 7 *ὁράμασι* h. — 9 *πρᾶγμα γενναῖον* y. — *εἰργάσω om.* em. — *ὄντως*] *οὕτος* g. — 11 *εἰς τό*] *ἐχτό* f. — 12 *τοῦ om.* h. — 13 *καὶ συνετρίβη αὐτοῦ ἡ κεφαλή* d. — 14 *ἑαυτοῦ*] *αὐτοῦ* d. — 16 *περιγέγονε*] *γέγονε* g. — 17 *ηὐχεῖτο* h. — 19 *πόλεως καὶ ταῖς* f. — 20 *αὐτῶν καὶ ἱερῶν χαρ.* d. — 27 *προετρίβετο* y. — 28 *λαοὺς om.* d. — 29 *ἐπὶ om.* xz. — 30 *αὐτῷ* h. — 31 *σχετ. καὶ προσκ.* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ια΄. δ΄. γ΄. ιγ΄. κβ΄. A. M. 6219 726/7.

Τούτῳ τῷ ἔτει Μανῖας παρέλαβε τὸ κάστρον Ἀτεοῦς καὶ ὑπέστρεψεν.

ιβ΄. ε΄. δ΄. ιδ΄. κγ΄. A. M. 6220 727/8.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν ὁ υἱὸς Χαγάνου, τοῦ δυνάστου 341 P
Χαζαρίας, τὴν Μηδίαν καὶ Ἀρμενίαν, καὶ εὑρὼν Γάραχον, τὸν τῶν Ἀράβων στρατηγόν, κατὰ τὴν Ἀρμενίαν ἀνεῖλεν αὐτὸν μετὰ τοῦ συνόντος αὐτῷ πλήθους· καὶ ληϊσάμενος τὴν τῶν Ἀρμενίων χώραν καὶ τὴν Μήδων ἀνέκαμψεν, φόβον μέγαν ἐμποιήσας τοῖς Ἄραψιν.

ιγ΄. ς΄. ε΄. ιε΄. κδ΄. A. M. 6221 728/9.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μασαλμᾶς τὴν τῶν Τούρκων γῆν, καὶ συναφθέντες ἀλλήλοις εἰς πόλεμον, πίπτουσιν ἐξ ἀμφοτέρων τῶν μερῶν· καὶ δειλανδρήσας ὁ Μασαλμᾶς φυγῇ χρησάμενος διὰ τῶν ὀρέων Χαζαρίας ὑπέστρεψεν.

Τῷ δ' αὐτῷ ἔτει ἀπομανεὶς Λέων, ὁ παράνομος βασιλεύς, κατὰ τῆς ὀρθῆς πίστεως καὶ ἐνέγκας τὸν μακάριον Γερμανὸν ἥρξατο αὐτὸν θωπευτικοῖς λόγοις δελεάζειν. ὁ δὲ μακάριος ἀρχιερεὺς ἔφη πρὸς αὐτόν· "τὴν μὲν καθαίρεσιν τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἀκούομεν ἔσεσθαι, ἀλλ' οὐκ ἐπὶ τῆς σῆς βασιλείας." τούτου δὲ ἐπαναγκάσαντος 627 B
εἰπεῖν ἐπὶ τίνος βασιλείας; ἔφη· "ἐπὶ Κόνωνος." ὁ δὲ ἔφη· "τὸ βαπτιστικόν μου ὄνομα ἐν ἀληθείᾳ Κόνων ἐστίν." ὁ δὲ πατριάρχης ἔφη· "μὴ γένοιτο, δέσποτα, διὰ τῆς σῆς βασιλείας τὸ κακὸν τοῦτο τελεσθῆναι· Ἀντιχρίστου γάρ ἐστι πρόδρομος ὁ τοῦτο πληρῶν καὶ τῆς ἐνσάρκου θείας οἰκονομίας ἀνατροπεύς." ἐπὶ τούτοις χαλεπήνας ὁ τύραννος ἐνεῖχε τῷ μακαρίῳ, ὡς Ἡρώδης ποτὲ τῷ προδρόμῳ. ἀνέμνησε δὲ αὐτὸν ὁ πατριάρχης καὶ τῶν πρὸ τῆς αὐτοκρατορίας αὐτοῦ συνθηκῶν, ὅπως αὐτῷ θεὸν ἐγγυητὴν δέδωκεν ἐν μηδενὶ σαλεῦσαι τὴν ἐκκλησίαν τοῦ θεοῦ τῶν αὐτῆς ἀποστολικῶν καὶ θεοπαραδότων θεσμῶν. ἀλλ' οὐδ' οὕτως ἠσχύνθη ὁ ἄθλιος. ἐπιτηρῶν δὲ καὶ καθυποβάλλων τινὰς ἠγωνίζετο λόγους, εἴ που τοῦτον εὕροι κατὰ τῆς βασιλείας αὐτοῦ ποιούμενον, ἵν' ὡς φατριαστήν, καὶ οὐχ

---

1 κβ΄] κγ΄ y. — *v. v.* 2. 3 *om.* d. — 2 Ἀτεοῦς cehm Ἀστεούς f. — 4 κγ΄] κδ΄ em. — 5 *δυνατοῦ* x. — 6 Ζαχαρίας fg. — *Μηδείαν* hy. — Gardachum A. — 7 *κατά*] εἰς xz. — *Ἀρμενίαν*] Arabiam A. — 8 *τὴν Ἀρμενίαν χώραν* x. — 9 *Μηδῶν* f *Μηδών* em. — 10 κδ΄] κε΄ em. — 11 *Μάσαλμας codd. praeter* g *item v.* 13. — 12 *συναχθέντες* f. — *τῶν om.* f. — 13 *δειλανδρίσας codd.* — 14 Ζαχαρίας f. — 16 *αὐτῷ* c. — 17 *θεοπνευστικοῖς* g. — 18 *καὶ σεπτῶν om.* A. — 19 *τούτου*] *τοῦ* h. — 19. 20 *ἐπαν. αὐτὸν εἰπεῖν ἐπὶ τίνος* (*om. βασιλείας*) d. — 20 *ἐπὶ ante Κόν. om.* cg. — *Κώνωνος* hx *Κώνονος* y. — *ὁ δὲ ἔφη om.* g. — *ἔφη om.* y. — 21 *Κώνων* hx *Κώνον* y. — 23 *τελέσθαι* em. — *γὰρ om.* f. — 24 *ἐπὶ τούτοις* — 25 *μακαρίῳ om.* g. — 25 *ἐνείχετο* h. — 26 *καὶ om.* xz. — 29 *ἄθλιος*] *μάταιος* d. — 30 *τινάς om.* x. — *λόγοις* y. — *ποι* cz *πως* d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς ὁμολογητὴν καθέλῃ τοῦ θρόνου, ἔχων εἰς τοῦτο σύμμαχον καὶ συμμέτοχον Ἀναστάσιον μαθητὴν καὶ σύγκελλον αὐτοῦ, συνταξάμενος αὐτῷ ὡς τῆς ἀσεβείας ὁμόφρονι, καὶ τοῦ θρόνου μοιχὸν διάδοχον ἔσεσθαι· ὃν ὁ μακάριος οὐκ ἀγνοῶν οὕτω στρεβλῶς διακείμενον, μιμούμενος τὸν ἑαυτοῦ δεσπότην, ὡς πρὸς ἄλλον Ἰσκαριώτην,
628 B σοφῶς καὶ πράως τὰ περὶ προδοσίας ἀνεμίμνησκεν. ἐπεὶ δὲ ἀνεπιστρόφως αὐτὸν ἑώρα πλανώμενον, ἐπιστραφεὶς πρὸς αὐτὸν πατήσαντά ποτε τὰ ὀπίσθια τῆς στολῆς αὐτοῦ, εἰσιόντος αὐτοῦ πρὸς τὸν βασιλέα, ἔφη· "μὴ σπεῦδε, φθάξεις γὰρ εἰσελθεῖν εἰς τὸ διΐππιν." ὁ δὲ ταραχθεὶς ἐπὶ τῷ λόγῳ σὺν ἄλλοις ἀκούσασιν ἠγνόει τὴν
342 Γ πρόρρησιν, ἥτις πέρας λαβοῦσα μετὰ ιε' ἔτη τῷ τρίτῳ ἔτει Κωνσταντίνου τοῦ διώκτου, ἰνδικτιῶνος ιβ', πάντας ἔπεισεν ἐκ θείας χάριτος προφητευθῆναι τῷ ἀγνώμονι. Κωνσταντῖνος γὰρ μετὰ τὴν τοῦ γαμβροῦ αὐτοῦ Ἀρταυάσδου ἀνασοβὴν τῆς βασιλείας ἐπικρατήσας Ἀναστάσιον τοῦτον τύψας σὺν ἄλλοις ἐχθροῖς ἐν ἱππικῷ διὰ τοῦ διϊππίου γυμνὸν ἐπ' ὄνου καθήμενον ἐξανάστροφα ἐπόμπευσεν, ὡς τοῖς ἐχθροῖς συναναισκάψαντα αὐτόν, καὶ τὸν Ἀρτάνασδον στέψαντα, ὡς δηλωθήσεται ἐν τῷ ἰδίῳ τόπῳ. καὶ ἐν μὲν τῷ Βυζαντίῳ πρόμαχος τῶν ὑπὲρ εὐσεβείας δογμάτων ὁ ἱερὸς οὗτος καὶ θεσπέσιος ἤκμαζε Γερμανὸς θηριομαχῶν πρὸς τὸν φερώνυμον Λέοντα καὶ τοὺς
629 B αὐτοῦ συνασπιστάς, ἐν δὲ τῇ πρεσβυτέρᾳ Ῥώμῃ Γρηγόριος, ὁ πανίερος ἀποστολικὸς ἀνὴρ καὶ Πέτρου τοῦ κορυφαίου σύνθρονος, λόγῳ καὶ πράξει διαλάμπων, ὃς ἀπέστησε Ῥώμην τε καὶ Ἰταλίαν καὶ πάντα τὰ ἑσπέρια τῆς τε πολιτικῆς καὶ ἐκκλησιαστικῆς ὑπακοῆς Λέοντος καὶ τῆς ὑπ' αὐτὸν βασιλείας. ἐν δὲ τῇ κατὰ Συρίαν Δαμασκῷ Ἰωάννης ὁ Χρυσορρόας, πρεσβύτερος καὶ μοναχός, ὁ τοῦ Μανσούρ, διδάσκαλος ἄριστος, βίῳ καὶ λόγῳ προέλαμπεν. ἀλλὰ Γερμανὸν μὲν ὡς ὑπ' αὐτὸν ὄντα ἐκβάλλει τοῦ θρόνου· Γρηγόριος δὲ αὐτὸν δι' ἐπιστολῶν ἀριδήλως ἐλέγχει τῶν τοῖς πολλοῖς ἐγνωσμένων, καὶ Ἰωάννης σὺν τοῖς τῆς ἀνατολῆς ἐπισκόποις τοῖς ἀναθέμασι τὸν ἀσεβῆ καθ-
730 cf. Niceph. Brev. p. 58 υποβάλλει. ‖ τῇ δὲ ζ' τοῦ Ἰαννουαρίου μηνὸς τῆς ιγ' ἰνδικτιῶνος, ἡμέρᾳ γ' τῆς ἑβδομάδος, Λέων ὁ δυσσεβὴς σελέντιον κατὰ τῶν ἁγίων

---

1 καθέλει dem καθελεῖ fz καθελει sine acc. c. — 2 σύγγελλον e σύγγελον m. — 3 μοιχόν om. d. — μοιχὸν καὶ διάδοχον z. — 4 γενέσθαι z. — οὗτος cf. — 8 ποτε] ἐν μιᾷ d. — εἰσιόντος γὰρ αὐτοῦ g. — 9 διΐππην xy. — 11 λαβοῦσα om. h. — 12 ἰνδικτιῶνος h ἰν̄ᵈ rell. — 16 ἐξανάστραφα g. — 17 συνασκάψαντα g. — αὐτὸν—στέψαντα om. f. — Ἀρτάβασδον em. — 18 ὡς] ὅς ef. — 19 Post δογμάτων dimidium fere versus vacuum relictum in f. — 20 Θηριώνυμον y. — 25 ὑπ' αὐτῶν yz. — ὑπ' αὐτὸν πάσης βασιλείας d. — κατὰ Συρίᾳ h. — 26 Χρυσορίας g Χρυσοῤῥόας rell. — Μανσοῦρ z sine acc. c. — 27 ἀλλὰ καὶ Γερμ. μέν yz. — 31 Ἰανουαρίου z. — ἰν̄ᵈ codd. praeter h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ σεπτῶν εἰκόνων ἐκρότησεν ἐν τῷ τριβουναλίῳ τῶν ιθ' ἀκουβίτων, προσκαλεσάμενος καὶ τὸν ἁγιώτατον πατριάρχην Γερμανόν, οἰόμενος πείθειν αὐτὸν ὑπογράψαι κατὰ τῶν ἁγίων εἰκόνων. ὁ δὲ γενναῖος τοῦ Χριστοῦ δοῦλος μηδ' ὅλως πεισθεὶς τῇ μυσαρᾷ κακοδοξίᾳ αὐτοῦ, τὸν λόγον τῆς ἀληθείας ὀρθοτομήσας ἀπετάξατο τὴν ἀρχιερωσύνην ἐπιδοὺς τὸ ὠμοφόριον καὶ εἰπὼν μετὰ πολλοὺς διδασκαλικοὺς λόγους· "ἐὰν ἐγώ εἰμι Ἰωνᾶς, βάλετέ με εἰς τὴν θάλασσαν. χωρὶς γὰρ οἰκουμενικῆς συνόδου καινοτομῆσαι πίστιν ἀδύνατόν μοι, ὦ βασιλεῦ." καὶ ἀπελθὼν ἐν τῷ λεγομένῳ Πλατανίῳ εἰς 630 B
τὸν γονικὸν αὐτοῦ οἶκον ἡσύχασεν, ἀρχιερατεύσας ἔτη ιδ' μῆνας ε' καὶ ἡμέρας ζ'. τῇ δὲ κβ' τοῦ αὐτοῦ Ἰαννουαρίου μηνὸς χειροτονοῦσιν Ἀναστάσιον τὸν ψευδώνυμον μαθητὴν καὶ σύγκελλον τοῦ αὐτοῦ μακαρίου Γερμανοῦ συνθέμενον τῇ Λέοντος δυσσεβείᾳ, διὰ φιλαρχίαν 343 P
κοσμικὴν προχειρισθεὶς Κωνσταντινουπόλεως ψευδεπίσκοπος. ‖ Γρηγόριος δέ, ὁ ἱερὸς πρόεδρος Ῥώμης, καθὼς καὶ προέφην, Ἀναστάσιον ἅμα τοῖς λιβέλλοις ἀπεκήρυξεν ἐλέγξας τὸν Λέοντα δι' ἐπιστολῶν ὡς ἀσεβοῦντα, καὶ τὴν Ῥώμην σὺν πάσῃ τῇ Ἰταλίᾳ τῆς βασιλείας αὐτοῦ ἀπέστησεν. ἐκμανεὶς οὖν ὁ τύραννος ἐπέτεινε τὸν κατὰ τῶν ἁγίων εἰκόνων διωγμόν, ‖ πολλοί τε κληρικοὶ καὶ μοναστὰι καὶ cf. Nicèph. Brev. p. 58
εὐλαβεῖς λαϊκοὶ ὑπερεκινδύνευσαν τοῦ ὀρθοῦ τῆς πίστεως λόγου τὸν μαρτυρικὸν ἀναδησάμενοι στέφανον. ‖

Κωνσταντινουπόλεως ἐπίσκοποι Ἀνστάσιος ἔτη κδ'. A. M. 6222 *729/30.*
ιδ'. ζ'. ς'. α'. κε'.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μασαλμᾶς τὴν Ῥωμανίαν καὶ ἐλθὼν εἰς Καππαδοκίαν παρέλαβε δόλῳ τὸ Χαρσιανὸν κάστρον.

ιε'. η'. ζ'. β'. κς'. A. M. 6223 *730/1.*

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μασαλμᾶς τὴν Τουρκίαν καὶ φθάσας τὰς Κασπίας πύλας φοβηθεὶς ἀνέστρεψεν.

ις'. θ'. η'. γ'. κζ'. A. M. 6224 *731/2.*

‖ *Τούτῳ τῷ ἔτει Λέων ὁ βασιλεὺς τὴν θυγατέρα Χαγάνου, τοῦ* 631 B
τῶν Σκυθῶν δυνάστου, τῷ υἱῷ Κωνσταντίνῳ ἐνυμφεύσατο, ‖ ποιή- cf. Niceph. Brev. p. 58

---

1 *τριβουναλλίῳ* g. — 2 *καὶ Γερμανὸν τὸν ἁγ. πατριάρχην* h. — 4 *μηδ' ὅλως* — 5 *αὐτοῦ om.* h. — *κακοδοξίᾳ* dA *κακοβουλίᾳ rell.* — 5. 6 *τὴν ἀρχιερ.*] *τὸν θρόνον* d *τῇ ἀρχιερωσύνῃ?* — 6 *ὁμοφόριον* efh. — 7 *Ἰωνᾶς* y. — *βάλλετε* z. — 8 *κενοτομῆσαι* y. — 8. 9 *ἀδύνατόν μοι* xzA *ἀδυνατῶ* y. — 9 impossibile mihi est secundum apostolicam et paternam traditionem A. — *Πλατανίῳ* czA *Πλατάνῳ* d *Πλατωνίῳ* em *Πλατονίῳ* f. — 10 *καὶ μῆνας* d. — 11 *καὶ ἡμέρας* yA *καὶ om.* xz. — *ζ'* yA *γ'* xz. — *Ἰαννουαρίου* z. — 12 *σύγγελλον* em. — 13 *συνθέμενος* y. — *ἀσεβείᾳ* xz. — 19 *ἁγίων om.* xz venerabiles (*σεπτῶν*) A. — *τε*] *οὖν* d. — 23 *ιδ'*] *ιε'* y. — *ς' om.* cy. — 24 *Μάσαλμας codd. praeter* g. — *τῇ Ῥωμανίᾳ* g. — 25 *τὸ Χαρσιανόν* efA *τὸν σιανόν* m *τὸ Χαρσιανοῦ* xz. — 27 *Μάσαλμας* ehmx *Μάλσαμας* f. — *τὴν om.* c. — 29 *η'*] *ζ'* cef. — 30 *θυγατέραν* h. — 31 *τῷ υἱῷ αὐτοῦ Κωνστ.* d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σας αὐτὴν Χριστιανὴν καὶ ὀνομάσας αὐτὴν Εἰρήνην· ἥτις ἐκμαθοῦσα τὰ ἱερὰ γράμματα διέπρεπεν ἐν εὐσεβείᾳ τὴν τούτων δυσσέβειαν ἐλέγχουσα. Μανῦας δέ, ὁ υἱὸς Ἰσάμου, ἐπεστράτευσε τὴν Ῥωμανίαν καὶ ἐλθὼν ἕως Παφλαγονίας ἀνέκαμψε μετὰ αἰχμαλωσίας πολλῆς. ὁ δὲ βασιλεὺς ἐμαίνετο κατὰ τοῦ πάπα καὶ τῆς ἀποστάσεως Ῥώμης καὶ Ἰταλίας, καὶ ἐξοπλίσας στόλον μέγαν ἀπέστειλε κατ' αὐτῶν Μάνην, τὸν στρατηγὸν τῶν Κιβυραιωτῶν, κεφαλὴν ποιήσας εἰς αὐτούς. ἠσχύνθη δὲ ὁ μάταιος ναυαγήσαντος τοῦ στόλου εἰς τὸ Ἀδριακὸν πέλαγος. τότε ὁ θεομάχος ἐπὶ πλεῖον ἐκμανεὶς Ἀραβικῷ τε φρονήματι κρατυνόμενος φόρους κεφαλικοὺς τῷ τρίτῳ μέρει Σικελίας καὶ Καλαβρίας τοῦ λαοῦ ἐπέθηκεν. τὰ δὲ λεγόμενα πατριμόνια τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων, τῶν ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ τιμω-
344 P μένων, ταῖς ἐκκλησίαις ἔκπαλαι τελούμενα χρυσίου τάλαντα τρία ἥμισυ τῷ δημοσίῳ λύγῳ τελεῖσθαι προσέταξεν, ἐποπτεύειν τε καὶ ἀναγράφεσθαι τὰ τικτόμενα κελεύσας ἄρρενα βρέφη, ὡς Φαραὼ ποτε
632 B τὰ τῶν Ἑβραίων· ὅπερ οὐδ' αὐτοί ποτε οἱ διδάσκαλοι αὐτοῦ Ἄραβες ἐποίησαν εἰς τοὺς κατὰ τὴν ἑῴαν Χριστιανούς.

732/3. A. M. 6225 ιζ'. ι'. θ'. δ'. κή'.

Τούτῳ τῷ ἔτει ἐγένετο θανατικὸν ἐν Συρίᾳ, καὶ πολλοὶ ἀπέθανον.

733/4. A. M. 6226 Ῥώμης ἐπίσκοπος Ζαχαρίας ἔτη κα'.
ιή'. ια'. α'. ε'. κθ'.

Τούτῳ τῷ ἔτει ἐξωρίσθη Θεόδωρος ὁ τοῦ Μανσοὺρ εἰς τὰ κλίματα τῆς ἐρήμου· καὶ γέγονε σημεῖον ἐν τῷ οὐρανῷ πυρῶδες καταυγάζον· καὶ Μανῦας τὴν Ἀσίαν ἐληΐσατο.

734/5. A. M. 6227 ιθ'. ιβ'. β'. ς'. λ'.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Σουλεϊμάν, ὁ τοῦ Ἰσάμ, τὴν τῶν Ἀρμενίων χώραν καὶ οὐδὲν ἤνυσεν.

735/6. A. M. 6228 κ'. ιγ'. γ'. ζ'.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μανῦας τὴν Ῥωμανίαν καὶ ἐπανελθὼν οὐ μετὰ πολλὰς ἡμέρας τοῦ ἵππου πεσὼν ἀπέψυξεν.

---

2 *διέπρεψεν* em *διέπρεψεν* f *sed ψ sec. m. in lit.* — 2. 3 *ἐλέγχουσα τὴν τούτων δυσσέβειαν* g. — 3 *Μάνῦας* em. — *Ἰσάμου* yA *Ἰσάμ* xz. — 4 *Παμφλαγωνίας* y. — 5 *πάππα* g. — *ἀποστέως pr. m.* g *ἀποστασίας* c. — 7 *τὸν om.* xz. — *τῶν*] *τὸν* cem. — *Κιβυρεωτῶν* em *Κυβερεωτῶν* f *Κιβυριωτῶν* x *Κιβυραιωτῶν* z. — *κεφαλήν*] *στρατηγόν* xz. — 8 *δὲ om.* h. — 9 *ἐμμανεὶς* g *om.* m. — 10. 11 *Σικελίας καὶ Καλαβρίας* yA *Καλαβρίας* (*Καλαυρίας* g) *καὶ Σικελίας* xz. — 13. 14 *τρία ἥμισυ*] *νζ'* em. — 15 *Φαραῶ* y. — 16 *τὰ om.* em. — *ὅπερ οὐν οὐδ'* h. — *ποτε om.* y. — *διδάσκαλοι αὐτοῦ om.* d. — *αὐτῶν* z. — 18 *ιζ'. ιθ'. δ'. κή'* f *ιζ'. θ'. δ'. κή'* e. — *v.* 22 *om.* y *numeros anni* 6225 *repetit* c. — 23 *τῷ δ' αὐτῷ ἔτει* d. — *Μανσοῦρ codd. praeter* m. — *κλήματα* dhy. — *v. v.* 27. 28 *om.* d. — 27 *Σουλειμᾶν* z. — *ὁ τοῦ Ἰσάμ om.* em. — 30 *Μάνῦας* em. — 31 *οὐ om.* x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κα'. ιδ'. δ'. η'. A. M. 6229 736/7.

Τούτῳ τῷ ἔτει Σουλεϊμάν, ὁ υἱὸς Ἰσάμ, αἰχμαλωτεύσας πολλοὺς ἐξ Ἀσίας συνηχμαλώτευσε καί τινα Περγαμηνόν, ὃς ἔλεγεν ἑαυτὸν Τιβέριον υἱὸν εἶναι Ἰουστινιανοῦ. τοῦτον Ἰσὰμ εἰς τιμὴν τοῦ ἰδίου παιδὸς καὶ τῶν βασιλέων ἐκφόβησιν μετὰ τῆς ἁρμοζούσης βασιλικῆς τιμῆς καὶ στρατευμάτων καὶ βάνδων καὶ σκήπτρων εἰς Ἱερουσαλὴμ ἐκπέμπει, καὶ ὅλην τὴν Συρίαν περιάγειν κελεύει μετὰ πολλῆς τιμῆς πρὸς θέαν πάντων καὶ κατάπληξιν.

κβ'. ιε'. ε'. θ'. A. M. 6230 737/8.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Σουλεϊμὰν τὴν Ῥωμανίαν ὁ υἱὸς 633 B
Ἰσάμ· καὶ ἐπόρθησε τὸ λεγόμενον Σιδηροῦν κάστρον, καὶ Εὐστάθιον, τὸν υἱὸν Μαριανοῦ τοῦ πατρικίου, αἰχμάλωτον ἔλαβεν.

κγ'. ις'. ς'. ι'. A. M. 6231 738/9.

Τούτῳ τῷ ἔτει μηνὶ Μαΐῳ ἰνδικτιῶνος η' ἐπεστράτευσε Σου- 345 P
λεϊμὰν τὴν Ῥωμανίαν ἐν μυριάσιν Θ', στρατηγοῖς τε δ', ὧν Γάμερ ἦγεῖτο λοχίζων ἐν μυρίοις μονοζώνοις τὰ τῆς Ἀσιάτιδος γῆς μέρη, καὶ τούτου ἐχόμενοι Μελὶχ καὶ Βατὰλ ἐν δισμυρίοις ἱππεῦσι περὶ τὸν Ἀκροϊνόν· καὶ μετὰ τούτους Σουλεϊμὰν ἐν ἑξακισμυρίοις περὶ τὴν τῶν Καππαδόκων Τύανον. ἀλλ' οἱ μὲν κατὰ τὴν Ἀσίαν καὶ Καππαδοκίαν πολλὴν ἅλωσιν ἀνδρῶν καὶ γυναικῶν καὶ κτηνῶν ποιησάμενοι ἀβλαβεῖς ἀνέστρεψαν, οἱ δὲ περὶ τὸν Μελὶχ καὶ Βατὰλ ἐν τῷ Ἀκροϊνῷ καταπολεμηθέντες ὑπὸ Λέοντος καὶ Κωνσταντίνου ἡττήθησαν. καὶ οἱ μὲν πλείους ὅπλοις ὥλοντο σὺν τοῖς δυσὶν ἄρχουσιν· ὀκτακόσιοι δέ που μαχηταὶ ἐξ αὐτῶν πρὸς ἓξ χιλιάδας ἐνστάντες εἰς Σύναδα καταφεύγουσι καὶ διασωθέντες συνήφθησαν τῷ Σουλεϊμὰν καὶ ἀνέκαμψαν εἰς Συρίαν. τῷ δ' αὐτῷ ἔτει καὶ κατὰ τὴν Ἀφρικὴν πολλοὶ παρ' αὐτῶν ὥλοντο σὺν τῷ στρατηγοῦντι 634 B
ὀνόματι Ἀαμασκηνῷ.

---

1 κα'. γ'. ιδ'. δ'. η' f. — 2 *Σουλεϊμᾶν* h. — *ὁ υἱὸς Ἰσάμ* y *ὁ τοῦ Ἰσάμ* x *ὁ υἱὸς τοῦ Ἰσάμ* z. — 3 *Περγάμιον* d *Περγαμινόν rell.* — 5 *ἐκφόβησεν* g. — 6 *καὶ βάνδων καὶ σκήπτρων* yA *καὶ σκήπτρων καὶ βάνδων* xz. — 9 *ιε'*] *ις'* cef. — *v. v.* 10—12 *om.* d. — 10 *Σουλεϊμᾶν* z *item v.* 18; 26. — *τὴν Ῥωμανίαν ὁ υἱὸς Ἰσάμ om.* h. — *ὁ υἱὸς Ἰσάμ om.* A. — 10 *ὁ υἱὸς Ἰσάμ* — 15 *Ῥωμανίαν om.* g. — 13 *ις'*] *ιζ'* cef. — 14 *ἐν* ð *codd.* — *Σουλεϊμᾶν* h. — 15 *τε om.* fm. — *Ἄμερ? cf. p.* 405, 28. — 17 *τοῦτον* ehm. — 18 *μετὰ τούτους* y. — 19 *Καππαδόκων* df *Καππαδοκῶν* emz *sine acc.* c. — *Τύανον* dy *Τύαναν* cz Tyanem A *cf. p.* 376, 31. — *ἄλλοι μέν* eh *ἄλλο μέν* m. — 20 *ἀνδρῶν τε καί* f. — *καὶ κτηνῶν καὶ γυναικῶν* g *καὶ γυναικῶν om.* x. — 21 *ἀβλαβῶς* y. — *ὑπέστρεψαν* xz. — *Μέλιχ* f. — *Κατάλ* y. — 22 *Ἀκρύνῳ* g. — 23 *πλείω* y. — 24 *ἑξακόσιοι* x. — *ὀκτ. δὲ ὁπλομαχῆται* y. — 25 *Συνάδα* fh. — 26 et in Syriam repedarunt inglorii A. — 27 *τῷ om.* f. — 28 *ὀνόματι om.* em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

739/40 A. M. 6232 κδ'. ιζ'. ξ'. ια'.

740/41 Τούτῳ τῷ ἔτει, κδ' τῆς βασιλείας Λέοντος τοῦ τυράννου καὶ παρανομωτάτου Σύρου ἐκάησαν ἀγοραὶ ἐν Δαμασκῷ ὑπὸ Ἱερακιτῶν, καὶ ἐφουρκίσθησαν, καὶ εἰσῆλθεν ὁ χείμαρρος ἐν Ἐδέσῃ μηνὶ Περιτίῳ κη'.

cf. Niceph. Brev. p. 59 ‖ Καὶ τῷ αὐτῷ ἔτει σεισμὸς γέγονε μέγας καὶ φοβερὸς ἐν Κωνσταντινουπόλει μηνὶ Ὀκτωβρίῳ κξ', ἰνδικτιῶνος θ', ἡμέρᾳ δ', ὥρᾳ η', καὶ ἐπτώθησαν ἐκκλησίαι καὶ μοναστήρια, λαός τε πολὺς τέθνηκεν. ἔπεσε δὲ καὶ ὁ ἀνδριὰς ὁ ἑστὼς ἐπὶ τῆς Ἀτάλου πόρτης τοῦ μεγάλου Κωνσταντίνου ἅμα τῷ αὐτῷ Ἀτάλῳ, καὶ ἡ στήλη Ἀρκαδίου, ἡ ἐπὶ τοῦ Ξηρολόφου κίονός ἑστῶσα, καὶ ὁ ἀνδριὰς τοῦ μεγάλου Θεοδοσίου, ὁ ἐπὶ τῆς Χρυσῆς πόρτης, τά τε χερσαῖα τῆς πόλεως τείχη καὶ πόλεις καὶ χωρία ἐν τῇ Θρᾴκῃ, καὶ ἡ Νικομήδεια ἐν Βιθυνίᾳ καὶ ἡ Πραίνετος καὶ ἡ Νίκαια, ἐν ᾗ μία ἐσώθη ἐκκλησία. ἀπέφυγε δὲ καὶ ἡ θάλασσα τῶν ἰδίων ὅρων ἔν τισι τόποις, καὶ ἐκράτησεν ὁ σεισμὸς μῆνας ιβ'. ‖ ὁ οὖν βασιλεὺς ἰδὼν τὰ τείχη τῆς πόλεως πτωθέντα διελάλησε τῷ λαῷ λέγων, ὅτι "ὑμεῖς οὐκ εὐπο-
635 B ρεῖτε κτίσαι τὰ τείχη, ἀλλ' ἡμεῖς προσετάξαμεν τοῖς διοικηταῖς, καὶ ἀπαιτοῦσιν εἰς τὸν κανόνα κατὰ ὁλοκοτίνιν μιλιαρίσιν, καὶ λαμβάνει αὐτὸ ἡ βασιλεία καὶ κτίζει τὰ τείχη." ἐντεῦθεν οὖν ἐπεκράτησεν ἡ
346 P συνήθεια δίδειν τὰ δικέρατα τοῖς διοικηταῖς. ἔτος ἦν ἀπὸ μὲν κτίσεως κόσμου κατὰ Ῥωμαίους ,ϛσμη' ἀπὸ Ἀδάμ, κατὰ δὲ Αἰγυπτίους ἦγουν Ἀλεξανδρεῖς ,ϛσλβ', ἀπὸ δὲ Φιλίππου τοῦ κατὰ Μακεδόνας ,αξγ'. ἐβασίλευσεν οὖν Λέων ἀπὸ κε' τοῦ Μαρτίου μηνὸς τῆς ιε' ἰνδικτιῶνος ἕως μηνὸς Ἰουνίου ιη' τῆς θ' ἰνδικτιῶνος, βασιλεύσας ἔτη κδ', μῆνας β', ἡμέρας κε'. ὁμοίως καὶ Κωνσταντῖνος, ὁ υἱὸς αὐτοῦ καὶ τῆς ἀσεβείας αὐτοῦ καὶ βασιλείας διάδοχος, ἀπὸ τῆς αὐτῆς ιη' τοῦ Ἰουνίου μηνὸς τῆς θ' ἰνδικτιῶνος ἕως τῆς ιδ' τοῦ Σεπτεμβρίου μηνὸς τῆς ιδ' ἰνδικτιῶνος, βασιλεύσας καὶ αὐτός, παραχωρή-

---

1 κδ'] κα' g κζ' h. — 3 a Racitensibus A. — 4 *Αἰδέσῃ* cg *Αἰδέσει* h. — *περετίῳ* em. — 7 ἰδ *codd. item v. v.* 25, 29. — *τοῦ ἁγίου Δημητρίου post* η' *add.* d. — 9 ὁ *ante* ἀνδριάς *om.* g. — 12 *Χρυσῆς om.* h. — 14 *διεσώθη* xz. — 16 *εἰδώς* y. — 17 ἐκπορεῖτε g. — 18 *κτίσαι τὰ τείχη* hx *τὰ τείχη κτίσαι* g *τὰ τείχη om.* y. — 18 ἀλλ' ἡμεῖς—20 *τείχη om.* h. — 19 *ὁλοκοτίνην* em *ὁλοκοτίνην* df *ολοκοτίνην sine spir.* c. — *μηλιαρίσιν* x *μιλιαρήσιν* y. — 21 *διδεῖν* cem. — *μὲν hic om. et v.* 22 *inter κατὰ et Ῥωμαίους inserit* d. — 22 Ῥωμαίοις dem. — *ἀπὸ Ἀδάμ om.* f. — 22. 23 *κατὰ δὲ τοὺς Αἰγ. Ἀλεξανδρεῖς (om. ἦγουν)* d. — 23 *Φιλίππου τοῦ*] *Φιλιππικοῦ* y. — 24 *τῆς et* 25 *μηνὸς om.* h. — 25 *βασιλεύσας om.* d. — 26 *ὁμοίως—p.* 413, 2 *Ἰουνίῳ ιη' om.* d. — 27 *καὶ ante βασιλείας om.* cf. — *αὐτῆς om.* em. — 28 θ'] ιθ' g. — *ἰνδικτιόνος* h ἰδ *rell.* — 29 *παραχωρήσας* em *παραχωρήση* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαντος τοῦ θεοῦ, ἔτη λδ', μῆνας γ', ἡμέρας β'. οὕτως οὖν, ὡς προέφημεν, τῷ αὐτῷ ἔτει τῆς θ' ἰνδικτιῶνος μηνὶ Ἰουνίῳ ιη' τέθνηκε Λέων σὺν τῷ ψυχικῷ καὶ τὸν σωματικὸν θάνατον, καὶ αὐτοκρατορεῖ Κωνσταντῖνος, ὁ υἱὸς αὐτοῦ. καὶ ὅσα μὲν ἐπὶ Λέοντος τοῦ ἀσεβοῦς κακὰ Χριστιανοῖς συνέβη περί τε τὴν ὀρθόδοξον πίστιν καὶ περὶ τῶν πολιτικῶν διοικήσεων αἰσχροῦ κέρδους καὶ φιλαργυρίας ἐπινοίᾳ κατά τε Σικελίαν καὶ Καλαβρίαν καὶ Κρήτην, ἥ τε τῆς Ἰταλίας 636 B ἀποστασία διὰ τὴν αὐτοῦ κακοδοξίαν, σεισμοί τε καὶ λιμοὶ καὶ λοιμοὶ καὶ ἐθνῶν ἐπαναστάσεις, ἵνα τὰ κατὰ μέρος σιγήσω, ἐν τοῖς προλαβοῦσι δεδήλωται κεφαλαίοις. ἄξιον δὲ λοιπὸν ἐφεξῆς καὶ τοῦ δυσσεβεστάτου καὶ παναθλίου παιδὸς αὐτοῦ τὰς ἀθεμίτους διεξελθεῖν πράξεις ἀνοσιουργοτέρας καὶ θεομισήτους οὔσας, φιλαλήθως δὲ ὅμως, ὡς ἐφορῶντος τοῦ παντεπόπτου θεοῦ, καὶ ἀπερίττως εἰς ὠφέλειαν τοῖς μετέπειτα καὶ τοῖς νῦν πλανωμένοις ἀθλίοις καὶ ἀτασθάλοις ἀνδραρίοις εἰς τὴν τοῦ παρανομωτάτου βδελυρὰν κακοδοξίαν, τὰ ἀπὸ τῆς ι' λέγοντας ἰνδικτιῶνος, ἔτους πρώτου τῆς αὐτοῦ βασιλείας, ⟨δυσσεβῶς πεπραγμένα ἕως τῆς ιδ' ἰνδικτιῶνος, ἔτους τῆς αὐτοῦ ἀπωλείας.⟩ αὐτὸς γὰρ ὁ πανώλης καὶ ἐμβρόντητος αἱμοβόρος τε καὶ ἀγριώτατος θὴρ τυραννικῶς καὶ οὐκ ἐννόμως τῷ κράτει χρησάμενος πρῶτον μὲν ἐκ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς ἀχράντου καὶ παναγίας μητρὸς αὐτοῦ καὶ πάντων τῶν ἁγίων διΐσταται, μαγείαις δὲ καὶ ἀσελγείαις καὶ αἱμοθυσίαις καβαλλίαις τε κύπροις καὶ οὔροις ἀπατώμενος, μαλακίαις τε μὴν καὶ δαιμόνων ἐπικλήσεσι χαίρων, [καὶ] πᾶσιν ἁπλῶς ψυχοφθόροις ἐπιτηδεύμασιν ἐκ νεαρᾶς 637 B ἡλικίας συνέζησεν. ἐπεὶ δὲ τὴν πατρικὴν ἀρχὴν σὺν τῇ κακίᾳ προσέλαβεν, τί δεῖ λέγειν, ὅσην ἐκ προοιμίων ὁ παμμίαρος τὴν κακίαν 347 P ἐκίσσησεν, καὶ εἰς προῦπτον ταύτην καὶ ἐναέριον ἀνερρίπισε φλόγα; οὐ μικρὰ γὰρ ταύτην βλέποντας τοὺς Χριστιανοὺς κατέλαβεν ἀθυμία, ὥστε πάντας ἐκ προοιμίων εὐθὺς δι' ἰταμότητα μισῆσαι αὐτόν, καὶ Ἀρταυάσδῳ κουροπαλάτῃ καὶ κόμητι τοῦ Ὀψικίου προστεθῆναι γαμ-

---

1 οὗτος eg. — 2 ἰν *codd. item v.* 16. — 3 καὶ *prius om.* xz. — 5 τοῖς Χριστιανοῖς d *om.* m. — περί τε τὴν ὀρθοδοξίαν τῆς πίστεως em. — περὶ τὴν πολιτικὴν διόρθωσιν d. — 6 ἐπίνοια y. — 7 Καλαυρίαν g. — 9 καὶ *om.* y. — 11 τὰς ἀθεμίτους] ἀθεμίτως g. — διελθεῖν h. — 13 ἐφοροῦντος y ἐφορῶντος καὶ ἐπιβλέποντος xz. — 14 ἀθλίοις *om.* f. — 15 ἀνδραδρίοις g. — βδελλυράν f. — 16 τῆς αὐτοῦ βασιλείας zA *om. rell.* — 17 δυσσεβῶς — 18 ἀπωλείας *add. ex* A: quae — usque ad quartam decimam indictionem mortis illius impie gessit. — 18 αἱμόβορος cy. — τε] δέ fm. — 19 ἄγριος d. — 20 καὶ πρῶτον y. — ἐκ *om.* d. — 21 καὶ *ante* παναγίας *om.* em. — καὶ παναγίας *om.* A. — 22 αἱμοχυσίαις xz. — καββαλλίαις g καβαλίαις d καβαλλίας f. — 24 καὶ *om.* d. — νέας f. — 25 συνεζήτησεν y. — 27 ἐκίσησεν d ἐκίνησεν h ἐκίσησεν *corr. ex* ἐκίνησεν c. — ἀνερρίπησε *codd. praeter* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βρῷ τε αὐτοῦ ὄντι ἐπ' ἀδελφῇ Ἄννῃ, καὶ τὴν βασιλείαν αὐτῷ ὡς ὀρθοδόξῳ παραδοῦναι.

Τῷ δ' αὐτῷ ἔτει ἀνεῖλεν Ἰσάμ, ὁ τῶν Ἀράβων ἀρχηγός, τοὺς κατὰ πᾶσαν πόλιν τῆς ὑπ' αὐτὸν ἀρχῆς αἰχμαλώτους Χριστιανούς, ἐν οἷς καὶ Εὐστάθιος, ὁ μακάριος υἱὸς Μαριανοῦ τοῦ περιβλέπτου πατρικίου, πολλὰ βιασθεὶς καὶ τὴν αὐτοῦ εἰλικρινῆ πίστιν μὴ ἀρνησάμενος μάρτυς ἀληθὴς ἀνεδείχθη εἰς Χαρράν, πόλιν οὖσαν τῆς Μεσοποταμίας ἐπίσημον, ἔνθα καὶ τὰ τίμια αὐτοῦ καὶ ἅγια λείψανα ἰάσεις παντοίας ἐπιτελοῦσι θεία χάριτι· καὶ πολλοὶ δὲ ἕτεροι διὰ μαρτυρίου καὶ αἵματος ἐν Χριστῷ ἐτελειώθησαν.

	Κόσμου ἔτη ,ξσλγ'.	Τῆς θείας σαρκώσεως ἔτη ψλγ'.	Ῥωμαίων βασιλεὺς Κωνσταντῖνος ἔτη λε'. α'.	Ἀράβων ἀρχηγὸς Ἰσὰμ ἔτη ιθ'. ιη'.	Ῥώμης ἐπίσκοπος Ζαχαρίας ἔτη κα'. η'.	Κωνσταντ. ἐπίσκοπος Ἀναστάσιος ἔτη κδ'. ιβ'.

γμθ/ι. A. M. 6233

638 B Τούτῳ τῷ ἔτει ὁ διώκτης τῶν πατροπαραδότων θεσμῶν Κωνσταντῖνος ἐβασίλευσε θείοις κρίμασι καὶ πλήθει πταισμάτων ἡμῶν.

cf. Niceph. Brev. p. 59. ‖ τῷ οὖν Ἰουνίῳ μηνὶ κζ' τῆς ἐπέκεινα ι' ἰνδικτιῶνος ἐξελθὼν ἐν τοῖς μέρεσι τοῦ Ὀψικίου κατὰ τῶν Ἀράβων ἦλθεν ἐν τῇ λεγομένῃ Κρασῷ. τοῦ δὲ λεχθέντος Ἀρταυάσδου ἐν τῷ Δορυλαίῳ μετὰ τοῦ Ὀψικίου λαοῦ ὄντος, ὑπεβλέποντο ἀλλήλοις. ἀποστείλας δὲ Κωνσταντῖνος πρὸς αὐτὸν ἠτεῖτο τοὺς υἱοὺς αὐτοῦ πεμφθῆναι αὐτῷ, ὡς ἅτε ἀνεψιοὺς αὐτοῦ ποθῶν ἰδεῖν αὐτούς. σκοπὸς δὲ ἦν αὐτῷ κατασχεῖν αὐτοὺς καὶ φρουρῆσαι. ὁ δὲ τὸν δόλον νοήσας καὶ ἀπογνοὺς ἑαυτοῦ γινώσκων τε τὴν ἄμετρον πονηρίαν αὐτοῦ διαλαλήσας τε τῷ λαῷ καὶ πείσας ὥρμησε κατ' αὐτοῦ σὺν παντὶ τῷ πλήθει, καὶ τὸν μὲν πατρίκιον Βησὴρ τὸν σαρακηνόφρονα προϋπαντήσαντα ῥομφαίᾳ ἀνεῖλεν· ὁ δὲ Κωνσταντῖνος παρίππιν εὑρὼν ἐστρωμένον καὶ ἐπιβὰς
348 P αὐτοῦ ἔφυγεν εἰς τὸ Ἀμῶριν, καὶ προσδραμὼν τῷ θέματι τῶν ἀνατολικῶν στρατηγουμένῳ τότε ὑπὸ τοῦ Λαγκίνου περισώζεται ὑπ' αὐτῶν, δεξιοῦταί τε τούτους μεγάλαις ὑποσχέσεσιν· καὶ πρὸς Σισιννάκιον ἀποστέλλει εὐθὺς στρατηγὸν ὄντα τὸ τηνικαῦτα τοῦ θέματος τῶν Θρακησίων, καὶ πείθει αὐτοὺς συμμαχήσειν αὐτῷ. ἐντεῦθεν

---

1 τε *om.* d. — αὐτῷ h. — 4 κατὰ (κα c) πόλιν πᾶσαν xz. — ὑπ' αὐτῶν cfg. — 5 Μαριανοῦ fA *Μαρίνου rell. cf. p.* 411, 12. — 9 δὲ *om.* g. — 13[1] ,ξσογ' h. — 13[2] ψλδ' c ψγ' d. — 13[4] Ἡσάμ ef. — 16 πρωπαραδότων em. — 18 οὖν *om.* f. — ἰνδικτιόνος h $\overset{\delta}{\text{ἰν}}$ *rell.* — 20 Κράσῳ dz. — 21 ἀλλήλους d. — 23 αὐτοῦ *om.* em. — 25 γιγνώσκων τε g γιγνώσκονται em. — 27 Βίσηρον Niceph. — 29 αὐτοῦ] εἰς αὐτό y. — Ἀμώριν cy Ἀμώριον dg. — 30 στρατηγουμένου z. — Λαγκίνου d Λαγκινοῦ y Λαγκινου *sine acc.* c Λογγίνου z (Λαγκηνόν Zon. XV, 5). — 31 τε *om.* y. — Σισιννάκιον egxA Σισινάκιον fhm Zon. Σισίννιον Niceph. *cf. p.* 419, 9. — 33 συμμαχήσειν *sec. m.* f συμμαχήσιν y συμμαχῆσαι xz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν μάχαι δεινόταται καὶ ἀνθοπλισμοὶ γίνονται τοῖς ὑπηκόοις, ἑκα- 639 B
τέρων βασιλέων ἀναγορευομένων. Ἀρτάνασδος δὲ γράφει πρὸς Θεοφάνην τὸν πατρίκιον καὶ μάγιστρον ἐκ προσώπου ὄντα ἐν τῇ πόλει διὰ Ἀθανασίου σιλεντιαρίου τὰ πραχθέντα. ὁ δὲ προσκείμενος τῷ Ἀρταυάσδῳ, σωρεύσας τὸν λαὸν ἐν τοῖς κατηχουμενίοις τῆς μεγάλης ἐκκλησίας, καὶ διὰ τῶν γραμμάτων καὶ τοῦ λεχθέντος Ἀθανασίου πείθει πάντας, ὡς ὁ βασιλεὺς τέθνηκεν, Ἀρτάνασδος δὲ ὑπὸ τῶν θεμάτων ἀνηγορεύθη βασιλεύς. τότε πᾶς ὁ λαὸς σὺν Ἀναστασίῳ τῷ ψευδωνύμῳ πατριάρχῃ ἀναθέματι καὶ ἀνασκαφῇ ἔβαλον αὐτὸν ὡς ἀλάστορα καὶ ἀντίθεον, καὶ ἀστείως τὴν αὐτοῦ ἐδέξαντο σφαγὴν ὡς μεγίστου κακοῦ λυτρωθέντες, Ἀρτάνασδον δὲ ἀνεκήρυττον βασιλέα ὡς ὀρθόδοξον καὶ θείων δογμάτων ὑπέρμαχον. εὐθέως οὖν ἀποστέλλει ὁ Μονώτης ἐν τοῖς Θρᾳκῴοις μέρεσι πρὸς Νικηφόρον, τὸν ἴδιον υἱόν, στρατηγοῦντα τῆς Θρᾴκης, τοῦ συνελάσαι τὸ ἐκεῖσε στρατόπεδον πρὸς φυλακὴν τῆς πόλεως. κλείσας οὖν τὰς τῶν τειχέων πύλας καὶ βίγλας θέμενος τοὺς φίλους τε Κωνσταντίνου χειρωσάμενος, τύψας καὶ κουρεύσας εἰς φυλακὰς ἀπέθετο. τοῦ δὲ Ἀρταυάσδου μετὰ τοῦ Ὀψικίου λαοῦ ἐν τῇ πόλει εἰσελθόντος, κατέλαβε καὶ Κωνσταντῖνος ἐν Χρυσοπόλει μετὰ τῶν δύο θεμάτων, Θρᾳκησίων 640 B
τε, φημί, καὶ ἀνατολικῶν, καὶ μηδὲν ἰσχύσας ὑπέστρεψε καὶ ἐχείμασεν εἰς τὸ Ἀμῶριν. ὁ δὲ Ἀρτάνασδος κατὰ πᾶσαν τὴν πόλιν τὰς ἱερὰς εἰκόνας ἀνεστήλωσεν. ‖ οἱ δὲ Ἄραβες αἰσθόμενοι τὴν τούτων κατ' ἀλλήλων μάχην πολλὴν αἰχμαλωσίαν ἐποιήσαντο εἰς Ῥωμανίαν, τοῦ Σουλεϊμὰν στρατηγοῦντος αὐτοῖς. Ἀναστάσιος δέ, ὁ ψευδώνυμος πατριάρχης, κρατήσας τὰ τίμια καὶ ζωοποιὰ ξύλα ὤμοσε τῷ λαῷ, ὅτι "μὰ τὸν προσηλωθέντα ἐν αὐτοῖς, οὕτω μοι εἶπε Κωνσταντῖνος ὁ βασιλεύς, ὅτι μὴ λογίσῃ υἱὸν θεοῦ εἶναι ὃν ἔτεκε Μαρία, τὸν λεγόμενον Χριστόν, εἰ μὴ ψιλὸν ἄνθρωπον. ἡ γὰρ Μαρία αὐτὸν ἔτεκεν, ὡς ἔτεκεν ἐμὲ ἡ μήτηρ Μαρία." καὶ τοῦτο ἀκούσαντες οἱ λαοὶ ἀνέσκαψαν αὐτόν.

Ἀντιοχείας ἐπίσκοπος Στέφανος ἔτη β'. A. M. 6234 741/2
β'. ιθ'. θ'. ιγ'. α'.

Τούτῳ τῷ ἔτει τέθνηκεν Ἰσάμ, ὁ τῶν Ἀράβων ἀρχηγός. οὗτος 349 P

1 *δεινότατοι* fm. — 3 *μαγίστρον* deh *sine acc.* c. — *ἐκ προσώπου τε ὄντα εἰς τὴν πόλιν* d. — 4 *Ἀθανασίου* A *Θαλασσίου codd.* — *σηλεντιαρίου* h. — 5 *τῷ λαῷ* h. — *κατηχουμενίοις* dA *κατηχουμένοις rell.* — 6 *Ἀθανασίου* yA *Θαλασσίου* xz. — 7 *Ἀρτάβασδος* m. — 9 *ἔβαλλον* gy. — 10 *ἐδέξατο* g. — 11 *λυτρωθέντος* g. — 13 *Μονώτης* A Niceph. *Μονούτης* xz *Μωνούτης* y. — 14 *τὸ ἐκεῖσε om.* h. — 16 *φίλους*] filios A. — 19 *Θρᾳκησιῶν* f. — 21 *Ἀμώριν* cy *Ἀμώριον* d. — *τὴν om.* em. — 22 *Ἄραβες*] barbari A. — 24 *Σουλεϊμᾶν* z. — 27 *ἡ Μαρία* gm. — 29 *ἡ μήτηρ μου ἡ* (*ἡ om.* h) *Μαρία* z. — 29. 30 *καὶ τοῦτον ἀνέσκαψαν οἱ λαοὶ τοῦτο* (*ταῦτα* d) *ἀκούσαντες* x. — 31 *ἔτη β'* cm *β' om. rell.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν ἁγιωτάτην ἐκκλησίαν τῆς Ἀντιοχείας ἐπὶ μ' χρόνους χηρεύουσαν, κωλυόντων τῶν Ἀράβων γενέσθαι πατριάρχην ἐν αὐτῇ, ἔχων τινὰ προσφιλῆ μονάζοντα Σύρου, ὀνόματι Στέφανον, ἀγροικότερον μέν, εὐλαβῆ δέ, ⟨ἐπέτρεψε⟩ τοὺς κατὰ τὴν ἑῴαν Χριστιανούς, εἴπερ θέλοιεν συγχωρηθῆναι αὐτοῖς πατριάρχην ἔχειν, ψηφίσασθαι αὐτὸν
641 B Στέφανον· οἳ θεόθεν τοῦτο νομίσαντες γενέσθαι χειροτονοῦσιν αὐτὸν ἐν τῷ θρόνῳ Θεουπόλεως. κἀκεῖθεν ἕως νῦν διέδραμε τὸ ἀκώλυτον.

Τούτῳ τῷ ἔτει ἐκράτησεν Οὐαλίδ, υἱὸς Ἰσάμ, τῆς Ἀράβων ἀρχῆς· πρὸς ὃν Κωνσταντῖνος Ἀνδρέαν σπαθάριον, Ἀρτάνασδος δὲ Γρηγόριον λογοθέτην ἐξέπεμψαν, τὰ πρὸς συμμαχίαν ζητοῦντες ἀμφότεροι, ἀβροχίας τε πολλῆς γενομένης καὶ σεισμοῦ κατὰ τόπους, ὡς ἐνωθῆναι ὄρη πρὸς ἄλληλα κατὰ τὴν ἔρημον Σαβᾶ, καὶ κώμας ὑπὸ γῆν καταποθῆναι. τῷ δ' αὐτῷ ἔτει Κοσμᾶς ὁ πατριάρχης Ἀλεξανδρείας ὠρθοδόξησε σὺν τῇ πόλει αὐτοῦ ἐκ τῆς τῶν Μονοθελητῶν κακοδοξίας, κρατησάσης ἀπὸ Κύρου, τοῦ ἐπὶ Ἡρακλείου ἐπισκόπου Ἀλεξανδρείας. ἐπεστράτευσε δὲ Γάμερ τὴν Ῥωμανίαν μετὰ πλήθους Ἀράβων καὶ πολλοὺς αἰχμαλωτεύσας ὑπέστρεψεν. ἐφάνη δὲ σημεῖον ἐν τῷ οὐρανῷ κατὰ βορρᾶν μηνὶ Ἰουνίῳ. Οὐαλὶδ δὲ Πέτρου, τὸν ἁγιώτατον μητροπολίτην Δαμασκοῦ, γλωττοτομηθῆναι ἐκέλευσε ὡς ἀναφανδὸν ἐλέγχοντα τὴν τῶν Ἀράβων καὶ Μανιχαίων δυσσέβειαν ἐξώρισέ τε αὐτὸν κατὰ τὴν εὐδαίμονα Ἀραβίαν, ἔνθα καὶ τελειοῦται μαρτυρήσας ὑπὲρ Χριστοῦ καὶ τρανῶς ἐκφωνήσας τὴν θείαν λειτ-
642 B ουργίαν, ὡς οἱ διηγησάμενοί φασιν ἰδίαις ἀκοαῖς τοῦτο πεπληροφορῆσθαι. τούτου ζηλωτὴς καὶ ὁμώνυμος Πέτρος, ὁ κατὰ τὸν Μαϊουμᾶν, ἐν τοῖς αὐτοῖς ἀνεδείχθη χρόνοις μάρτυς ὑπὲρ Χριστοῦ αὐτόμολος. νόσῳ γὰρ συσχεθεὶς προσεκαλέσατο τοὺς τῶν Ἀράβων προύχοντας, ἅτε συνήθεις αὐτῷ ὄντας χαρτουλαρίῳ τελοῦντι τῶν δημοσίων φόρων, καί φησι πρὸς αὐτούς· "τὸν μὲν ὑπὲρ τῆς ἐπι-
350 P σκέψεώς μου μισθὸν παρὰ θεοῦ λάβοιτε, κἂν ἄπιστοι τυγχάνητε

---

1 τῆς τῶν Ἀντιοχέων d. — μ' om. g. — 4 ἐπέτρεψε add. ex A om. codd. — 5 αὐτοῖς καὶ πατριάρχην ἔχ. h. — 5. 6 τὸν αὐτὸν Στ. g ταὐτὸν Στ. em αὐτόν om. d. — 6 οἳ δὲ θεόθεν c. — τοῦτον h τοῦτο* f. — 7 ἕως τοῦ νῦν d. — τὸ om. y. — 8 Οὐάλιδ f. — τῆς τῶν Ἀρ. d. — 9 Ἀρτάβασδος m. — 12 Σαβά f sine acc. x Σάββα m. — 13 καταπωθῆναι g. — 13 Κοσμᾶς— 16 Ἀλεξανδρείας om. d. — 13 Κοσμάς f. — 14 ὀρθοδόξησε codd. praeter c. — αὐτῇ c. — 15 ἀπό] ἐπί y. — 16 Γάμερ xzA Ἄμερ y cf. p. 411, 15. — 17 Σαρακηνῶν καὶ Ἀράβων g. — 18 Οὐάλιδ cfm sine acc. e. — 20 τῶν om. f. — δυσσέβειαν] cognationem (συγγένειαν) A. — 25 Μαϊουμᾶν y. — αὐτοῖς] αὐτόθι y. — 26 αὐτομόλος df αὐτομόλως gm. — 27 προύχοντας] ἄρχοντας z. — ὄντας ἄρχοντας χαρτουλάριόν τε τελοῦντι τῶν c ὄντας ἄρχοντάς τε καὶ χαρτουλάριον τῶν d ὄντας χαρτουλαρίου τε τελοῦντι τῶν h ὄντας χαρτουλαρίους τε τελοῦντι τῶν g. — cum chartularius esset et publica tributa facta ratione conferret A. — 28 ὑπὲρ om. d. — 29 μου add. ex dA om. rell. — κἂν] καί f. — τυγχάνετε em τυγχάννεται f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φίλοι. τῆς διαθήκης δέ μου μάρτυρας ὑμᾶς εἶναι βούλομαι τοιαύτης οὔσης· πᾶς ὁ μὴ πιστεύων εἰς πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον, τὴν ὁμοούσιον καὶ ζωαρχικὴν ἐν μονάδι τριάδα, πεπήρωται τὴν ψυχὴν καὶ τῆς αἰωνίου κολάσεώς ἐστιν ἄξιος. τοιοῦτός ἐστι καὶ ὁ Μουάμεδ, ὁ ψευδοπροφήτης ὑμῶν, καὶ τοῦ Ἀντιχρίστου πρόδρομος· ἀπόστητε οὖν, εἰ ἐμοὶ πείθεσθε μαρτυρομένῳ ὑμῖν σήμερον τὸν οὐρανὸν καὶ τὴν γῆν, τῆς ἐκείνου μυθολογίας (εὐνοῶ γὰρ ὑμῖν), ἵνα μὴ σὺν ἐκείνῳ κολασθῆτε." ταῦτα καὶ ἄλλα πλεῖστα θεολογοῦντος αὐτοῦ ἀκούσαντες, θάμβει τε καὶ μανίᾳ συσχεθέντες μακροθυμεῖν ἔδοξαν, ὡς ἐκ τῆς νόσου παραφρονοῦντα τοῦτον οἰόμενοι· μετὰ δὲ τὸ διαγενέσθαι αὐτὸν ἐκ τῆς νόσου ἤρξατο μεγαλοφωνότερον ἀνακράζειν· "ἀνάθεμα Μουάμεδ καὶ τῇ μυθογραφίᾳ αὐτοῦ καὶ πᾶσι 643 B
τοῖς πιστεύουσιν αὐτῇ." τότε τὴν διὰ ξίφους τιμωρίαν ὑποστὰς μάρτυς ἀνεδείχθη. τοῦτον ἐγκωμίοις λόγων τετίμηκεν ὁ ὅσιος πατὴρ ἡμῶν Ἰωάννης, ὁ καλῶς ἐπικληθεὶς Χρυσορρόας διὰ τὴν ἐπανθοῦσαν αὐτῷ τοῦ πνεύματος ἔν τε λόγῳ καὶ βίῳ χρυσαυγῆ χάριν, ὃν Κωνσταντῖνος ὁ δυσσεβὴς βασιλεὺς ἐτησίῳ καθυπέβαλεν ἀναθέματι διὰ τὴν ὑπερβάλλουσαν ἐν αὐτῷ ὀρθοδοξίαν, καὶ ἀντὶ τοῦ παππικοῦ αὐτοῦ ὀνόματος Μανσούρ, ὃ ἑρμηνεύεται λελυτρωμένος, Μάνζηρον Ἰουδαϊκῷ φρονήματι μετωνόμασε τὸν νέον τῆς ἐκκλησίας διδάσκαλον. τῷ δ' αὐτῷ ἔτει ⟨Οὐαλὶδ τοὺς Κυπρίους μετῴκισεν εἰς Συρίαν.

‖ Ὁ δὲ Ἀρτάνασδος Νικήταν, τὸν υἱὸν αὐτοῦ, μονοστράτηγον προβαλόμενος εἰς τὸ τῶν Ἀρμενιάκων θέμα ἐξέπεμψεν, ὁμοίως δὲ Νικηφόρον, τὸν υἱὸν αὐτοῦ, ἔστεψε διὰ Ἀναστασίου τοῦ πατριάρχου. τῷ δ' αὐτῷ ἔτει⟩ μηνὶ Μαΐῳ Ἀρτάνασδος ἐπὶ τὰ μέρη τοῦ Ὀψικίου ἐξελθών, τὴν Ἀσίαν στρατολογήσας κατέλαβεν, ἐκπορθῶν αὐτήν. Κωνσταντῖνος δὲ τοῦτο μαθὼν ἐκίνησε κατ' αὐτοῦ. καταλαβὼν δὲ αὐτὸν εἰς τὰ μέρη Σάρδεων ἀπὸ τοῦ Κελβιανοῦ ἀνερχόμενον καὶ συμβαλὼν μετ' αὐτοῦ πόλεμον τρέπει αὐτὸν καὶ καταδιώκει μέχρι Κυζίκου. ὁ δὲ τὴν Κύζικον καταλαβὼν καὶ εἰς δρόμωνα εἰσελθὼν διασώζεται ἐν τῇ πόλει. μηνὶ δὲ Αὐγούστῳ τῆς αὐτῆς ια' ἰνδικτιῶνος cf. Niceph. Brev. p. 61

6 μαρτυρουμένῳ z. — σήμερον ὑμῖν y. — 7 ἐννοῶ h. — ὑμῖν σήμερον cyz σήμερον om. dA. — 9 θάμβῳ chy. — 10 παραφρονοῦντα — 11 νόσου om. f. — 11 μεγαλοφωνέστερον em. — 13 ὑπομείνας h. — 15 Χρυσορρώας f Χρυσορόας xz Χρυσορώας em. — ἐπανθοῦσαν] οὖσαν y. — 18 ἐν om. gy. — παπικοῦ h. — 19 Μανσοῦρ fh Μαρσοῦρ g. — τὸ Μανσούρ d. — Μανζηρόν g sine acc. c. — 20 μετωνόμασε A μετωνομάσας em μετονομάσας fxz. — ἐκκλησίας] ἡλικίας g. — 21 Οὐαλὶδ — 26 τῷ δ' αὐτῷ ἔτει add. ex A cf. Niceph. p. 61 om. codd. — 29 Σάρδεων] Sardeorum A πρὸς τὰς Σάρδεις Niceph. Σάρδης xy τῆς Σάρδης z. — καὶ om. dz. — 30 μετ' αὐτοῦ] δὲ αὐτῷ c αὐτῷ d. — 31 δρόμονα codd. praeter g. — 32 αὐτῆς om. d. — ια' om. y. — ἰν codd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

644 B *Νικήτας ὁ μονοστράτηγος, υἱὸς Ἀρταυάσδου, συμβαλὼν Κωνσταντίνῳ εἰς πόλεμον πρὸς τῇ Μοδρινῇ φεύγει τραπείς, καὶ τὸν μὲν πατρίκιον Τηριδάτην τὸν Ἀρμένιον, στρατιώτην γενναῖον ὑπάρχοντα καὶ ἐξάδελφον Ἀρταυάσδου, σὺν ἄλλοις ἐπιλέκτοις ἄρχουσιν ἀνεῖλον, ἑκατέρων δὲ τῶν μερῶν πτῶσις οὐ μικρὰ γέγονεν, Ἀρμενίων τε καὶ Ἀρμενιάκων μαχησαμένων πρὸς ἀνατολικοὺς καὶ Θρᾳκησίους, τοὺς ὑπερμάχους Κωνσταντίνου. ὁ δὲ ἀρχέκακος διάβολος τοιαύτην κατὰ*
351 P *τῶν Χριστιανῶν ἐν τοῖς χρόνοις τούτοις ἤγειρε μανίαν καὶ ἀλληλοσφαγίαν, ὥστε τέκνα κατὰ γονέων καὶ ἀδελφοὺς κατὰ ἀδελφῶν συγκινεῖσθαι ἀφειδῶς εἰς σφαγήν, καὶ ἀνηλεῶς ἐμπυρίζειν τὰς ἀλλήλοις ὑπαρχούσας στάσεις τε καὶ οἰκίας.* ‖

742/3. A. M. 6235 *Ἀράβων ἀρχηγὸς Οὐαλὶδ ἔτος α'.*

γ'. α'. ι'. ια'. β'.

Τούτῳ τῷ ἔτει κατὰ βορρᾶν ἐφάνη σημεῖον, καὶ κόνις κατῆλθεν εἰς τόπους. γέγονε δὲ καὶ σεισμὸς εἰς τὰς Κασπίας πύλας· καὶ ἀνῃρέθη Οὐαλὶδ ὑπὸ τῶν Ἀράβων μηνὶ Ἀπριλλίῳ ις', ἡμέρᾳ ε', ἄρξας ἔτος α', καὶ κρατεῖ τῆς ἀρχῆς Ἰζὶδ ὁ Λειψός. οὗτος χρήματα πολλὰ σκορπίσας ἐκράτησε τὴν Δαμασκὸν καὶ δεξιὰς ἔλαβε τοῦ ἄρχειν ἐκ τῶν κατὰ τὴν Δαμασκὸν καὶ Περσίδα καὶ Αἴγυπτον Ἀράβων. Μαρουάμ, υἱὸς Μουάμεδ, τὴν Ἀρμενίαν διέπων, ἀκούσας
645 B *ταῦτα καταλαμβάνει τὴν Μεσοποταμίαν, ὑπερμαχῶν, τὸ δοκεῖν, τῶν τέκνων τοῦ Οὐαλὶδ καὶ ἐναντιούμενος τῷ Ἰζίδ. καὶ μετὰ μῆνας ε' θνήσκει ὁ Ἰζὶδ καταλείψας Ἀβραΐμ, τὸν ἑαυτοῦ ἀδελφόν, ἐπὶ τῆς Δαμασκοῦ διάδοχον. τούτῳ παραταξάμενος Μαρουὰμ ἔχων τοὺς τῆς Μεσοποταμίας ἔρχεται εἰς Ἔδεσαν κἀκεῖθεν εἰς τὰ μέρη Δαμασκοῦ καὶ Ἀντιλιβάνου, εἰς κάμπον λεγόμενον Γάρις, κἀκεῖ συμβαλὼν τῷ Σουλεϊμὰν [θνήσκει] παρὰ τῷ ποταμῷ Λιτᾷ, τοῦτ' ἔστι Κακῷ, τρέπει αὐτὸν καὶ ἀναιρεῖ χιλιάδας κ', καὶ μόνος Σουλεϊμὰν μετ' ὀλίγων φυγὰς κατὰ τὴν Δαμασκὸν διασώζεται. εἰσελθὼν δὲ ἐν αὐτῇ ἀνεῖλε*

---

1 *Κωνσταντῖνος* em *Κωνσταν* τ g. — 2 *Μοδρίνῃ* em *sine acc.* c *Μωδρινῇ* Niceph. — apud Modrinem et Cisseum A. *De* Cisseo *nihil in codd. et Niceph.* — 3 *Θηριδάτην* ch. — *τῶν Ἀρμενίων* f *τὸν Ἀρμενίον* e. — 4 *ἀνεῖλεν* fA. — 5 *δὲ om.* g. — 7 *κατὰ om.* c. — 8 *τοιαύτην post Χριστιανῶν repetit* g. — *ἤγειρε μανίαν κατὰ* (*sic*) *τοῖς χρόνοις τούτοις* g. — *ἀλληλοφαγίαν* c. — 12 *Οὐάλιδ* f. — 13 *β'*] *ιβ'* g. — 15 *Τόπους* Combefis. — 16 *Οὐάλιδ* cf. — *Ἀπρηλίῳ* h. — 17 *Ἰζιδ* f. — *οὗτος*] *αὐτός* y. — 19 *ἐκ τῶν mg. edit. Paris. ἐκ τοῦ codd.* — *καὶ Περσίδα καὶ Αἴγυπτον v.* 18 *post Δαμασκὸν inserunt* em. — *τῷ δοκεῖν* cg. — 22 *τοῦ οὐαλίδ* d *τοῦ ἀλίδ* m *τοῦ ἄλιδ* f *τοῦαλιδ* e *τοῦ ἀλιδ sine acc.* c *Οὐαλίδ* z. — *Ἰζιδ* f *item v.* 23. — 23 *ὁ om.* h. — 25 *Αἴδεσαν* x *Ἔδεσσαν* fm. — 26 *κάμπον*] *τόπον* y. — *Γαρίς* de *sine acc.* c *Βάρις* f. — 27 *Σουλεϊμᾶν* dz *sine acc.* c. — 27 *θνήσκει*—28 *Σουλεϊμὰν om.* f. — *θνήσκει uncis inclusit* Classen *φθάσας coni.* Combefis. — *Λιτᾷ* ehm. — 27. 28 *τρέπει γὰρ αὐτοὺς Μαρουὰμ καὶ ἀναιρεῖ* d. — 28 *αὐτός* c. — *Σουλεϊμᾶν* z *sine acc.* c. — *μετ' ὀλίγον* ef.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς υἱοὺς Οὐαλίδ, ὧν ὑπερμαχεῖν ἐδόκει Μαρουάμ, καὶ ἐξῆλθε τῆς Δαμασκοῦ χρήματα σφετερισάμενος ἱκανά. καταλαβὼν δὲ καὶ Μαρουὰμ τὴν Δαμασκὸν ἀνεῖλε πολλοὺς τῶν ὑπερεχόντων καὶ τοὺς συνεργήσαντας τῷ φόνῳ τοῦ Οὐαλὶδ καὶ τῶν τέκνων αὐτοῦ, καὶ ἄλλους ἠκρωτηρίασεν. τὰ δὲ χρήματα καὶ τοὺς θησαυροὺς ἅπαντας μετέστησεν εἰς Χαρρὰν τὴν πόλιν Μεσοποταμίας.

‖ Τῷ δὲ Σεπτεμβρίῳ μηνί, ιβ′ ἰνδικτιῶνος, κατελθὼν Κωνσταντῖνος ἐπὶ τὰ μέρη Χαλκηδόνος ἀντεπέρασεν ἐν τοῖς Θρᾳκῴοις μέρεσιν, Σισιννίου τοῦ στρατηγοῦ τῶν Θρᾳκησίων διὰ τῆς Ἀβύδου περάσαντος καὶ τῷ χερσαίῳ τείχει παρακαθίσαντος. καὶ ἐλθὼν ἐπὶ 646 B τὴν Χαρσίου πόρταν διέδραμεν ἕως τῆς Χρυσῆς πόρτης ἑαυτὸν τοῖς ὄχλοις ἐπιδεικνύων, καὶ πάλιν ὑπέστρεψε καὶ ἠπλήκευσεν εἰς τὸν ἅγιον Μάμαντα. οἱ δὲ τῆς πόλεως ἤρξαντο στενοῦσθαι εἰς τὰς 352 P δαπάνας, καὶ ἀποστείλας Ἀθανάσιον τὸν ἀσηκρήτην καὶ Ἀρτάνασδον, τὸν δομέστικον αὐτοῦ, πρὸς τὸ κομίσαι δαπάνας διὰ σκαφῶν, εὗρε τούτους ὁ στόλος τῶν Κιβυραιωτῶν ἔξω τῆς Ἀβύδου, καὶ τούτους κατασχὼν πρὸς τὸν βασιλέα ἀνήγαγεν· καὶ τὸν μὲν σῖτον τοῖς ἰδίοις λαοῖς ἐδωρήσατο, Ἀθανάσιον δὲ καὶ Ἀρτάνασδον παραυτὰ ἐτύφλωσεν. μετὰ ταῦτα ἐδοκίμασεν Ἀρτάνασδος ἀνοῖξαι τὰς τοῦ χερσαίου τείχους πόρτας καὶ συμβαλεῖν πόλεμον μετὰ τοῦ Κωνσταντίνου. καὶ γενομένης συμβολῆς, ἐτράπησαν οἱ τοῦ Ἀρταυάσδου, καὶ πολλοὶ ἀπέθανον, ἐν οἷς καὶ ὁ Μουώτης· κατασκευάσας δὲ ὁ Ἀρτάνασδος διήρεις κακκαβοπυρφόρους ἀπέστειλεν εἰς τὸν ἅγιον Μάμαντα κατὰ τοῦ στόλου τῶν Κιβυραιωτῶν, ὧν ἀπελθόντων, ἐξῆλθον οἱ τῶν Κιβυραιωτῶν καὶ ἀπήλασαν αὐτούς. ἐγένετο δὲ λιμὸς ἰσχυρὰ ἐν τῇ πόλει, ὥστε πραθῆναι τὸν μόδιον τῆς κριθῆς νομισμάτων ιβ′, τοῦ δὲ ὀσπρίου ιθ′, τοῦ δὲ κέγχρου καὶ τοῦ λουπίνου νομισμάτων η′, τὸ δὲ ἔλαιον ε′ λίτραι τοῦ νομίσματος, καὶ ὁ ξέστης τοῦ οἴνου 647 B σημισίου. τοῦ δὲ λαοῦ θνήσκοντος, ἠναγκάσθη Ἀρτάνασδος ἀπο-

cf. Niceph. Brev. p. 61

1 *Οὐάλιδ* f *Ἀλίδ* m. — 4 *τοῦ ἀλίδ* (*sine acc.* c) cyz. — 7 *ιβ′*] *β′* xz. — *ἰνδικτιόνι* h *ἰν* δ *rell.* — *κατ. δὲ Κωνσταντ.* g. — 9 *Σισινίου* h. — *Θρᾳκῴων* g. — 10 *τείχη* y. — *παρακαθήσαντος* dhy *παρακαθίσαντι* c. — 12 *ἐπέστρεψεν* y. — *ἠπλίκευσεν* dem. — 14 *ἀσικρίτην* d *ἀδσικρήτην* em *ἀσικρη* τ f *ἀσικρίτιν* c *ἀσηκρῆτις* g *ἀσικρίτης* h. — 16 *αὐτούς* x. — *Κιβυρεωτῶν* em *Κιβυριωτῶν* x *Κυβερεωτῶν* f *Κιβυρραιωτῶν* g *Κηβυρραιωτῶν* h *item v.* 24. — et classis Abydi (*καὶ ὁ τῆς Ἀβύδου*) A. — 17 *ἀνήγαγεν om.* g. — 22 *Μονούτης* emxzA *Μουνούτης* f. — *Ἀρτάβασδος* em. — 23 *κακκαβοπυρφόρους* d *κακκαβοπορφύρους* f. — 24 *ὧν ἀπελθόντων*—25 *Κιβυραιωτῶν om.* fz. — 25 *Κιβυρεωτῶν* em *Κιβυριωτῶν* x. — *ἀπήλασεν* ef. — *ἰσχυρά* x *et ut vid.* f *ἰσχυρός* z *sec. m.* f *ἰσχυρῶς* em. — 27 *ιθ′*] quindecim A. — *κένχρου* y *κέχρου* g. — *λουπήνου* em *λουπηνοῦ* f. — 28 *λίτρας* efh *λίτ* ρ gm. — 29 *σημισίου* d *σημισσίου* c *σιμισίου* z *σιμισσίου* y. — *ὁ Ἀρτάνασδος* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λύειν αὐτοὺς πρὸς τὸ ἐξέρχεσθαι τῆς πόλεως. ἐπιτηρῶν δὲ τὰ πρόσωπα τοὺς μὲν ἐκώλυεν. ὅθεν τινὲς ἐκώλυσαν τὰ ἑαυτῶν πρόσωπα καὶ γυναικείαν στολὴν περιεβάλοντο, οἱ δὲ μοναδικὸν σχῆμα καὶ τριχίνην στολήν· καὶ οὕτως ἠδύναντο λαθεῖν καὶ ἐξελθεῖν. Νικήτας δὲ ὁ μονοστράτηγος ἐπισωρεύσας τὸν ἴδιον λαόν, τὸν ἀπὸ Μοδρινῆς σκορπισθέντα, ἦλθεν ἕως Χρυσοπόλεως, καὶ ὑποστρέφοντος αὐτοῦ, περάσας ὁ βασιλεὺς κατεδίωξεν ὀπίσω αὐτοῦ, καὶ καταλαβὼν αὐτὸν ἐν Νικομηδείᾳ ἐχειρώσατο αὐτὸν σὺν τῷ ἀπὸ ἐπισκόπων κουράτορι Μαρκελλίνῳ, ὃν παραυτὰ ἀποτμηθῆναι ἐκέλευσεν. τὸν δὲ μονοστράτηγον πεδήσας διὰ τοῦ τείχους τῷ πατρὶ ἐπεδείκνυεν. τῇ δὲ β' τοῦ Νοεμβρίου μηνὸς ἄφνω παραταξάμενος τῇ δείλῃ διὰ τοῦ χερσαίου τείχους τὴν πόλιν παρέλαβεν. ὁ δὲ Ἀρτάνασδος ἅμα τῷ πατρικίῳ Βακταγγίῳ εἰς χελάνδιν εἰσελθὼν πρὸς τὸ παρὸν ἐξῆλθεν εἰς τὸ Ὀψίκιν, καὶ ἀπελθὼν εἰς τὸ κάστρον Πουξάνης ἑαυτὸν ἐνέκλεισεν. οὓς χειρωσάμενος ὁ βασιλεὺς τὸν μὲν Ἀρτάνασδον σὺν
648 B τοῖς δυσὶν υἱοῖς ἐτύφλωσεν, τὸν δὲ Βακτάγγιον ἐν τῷ Κυνηγίῳ ἀπεκεφάλισε καὶ τὴν τούτου κεφαλὴν ἐν τῷ Μιλίῳ ἐκρέμασεν ἐπὶ ἡμέρας τρεῖς. μετὰ δὲ λ' ἔτη ὁ μνησίκακος καὶ ἄσπλαγχνος βασιλεὺς προσέταξεν ἀπελθεῖν τὴν αὐτοῦ γυναῖκα ἐν τῇ μονῇ τῆς Χώρας,
353 P ἐκεῖσε γὰρ ἦν ταφείς, καὶ ἀνασκάψαι αὐτοῦ τὰ ὀστᾶ καὶ ἐν τῷ ἰδίῳ παλλίῳ βαστάσαι καὶ εἰς τὰ λεγόμενα Πελαγίου μνήματα μετὰ τῶν βιοθανάτων ῥίψαι. ὢ τῆς ἀπανθρωπίας. πολλοὺς δὲ καὶ ἄλλους συμμαχήσαντας Ἀρτανάσδῳ τῶν προυχόντων ἀνεῖλεν, ἀναριθμήτους δὲ ἐτύφλωσεν, καὶ ἄλλους ἐχειροκόπησε καὶ ἐποδοκόπησεν. ἐπέτρεψε δὲ τοῖς σὺν αὐτῷ εἰσελθοῦσιν ἐξωτικοῖς ἄρχουσιν εἰσελθεῖν εἰς τοὺς οἴκους καὶ διαρπάσαι τὰς οὐσίας τῶν πολιτῶν, πολλά τε καὶ ἄλλα ἀναρίθμητα δεινὰ ἐπεδείξατο τῇ πόλει. ἱππικὸν δὲ ποιήσας εἰσήγαγε τὸν Ἀρτάνασδον σὺν τοῖς υἱοῖς αὐτοῦ καὶ τοῖς φίλοις δεδεμένους διὰ τοῦ διϊππίου ἅμα Ἀναστασίῳ τῷ ψευδωνύμῳ πατριάρχῃ τυφθέντι δημοσίως καὶ ἐπὶ ὄνου ἐξανάστροφα καθημένῳ, ὃν

2 ἐκώλυσαν τὰ ἑαυτῶν πρόσωπα xz τὰ ἑαυτῶν πρόσωπα ἐκάλυπτον z emundaverunt vultus suos A ἐκαλλώπισαν? — 3 περιεβάλλοντο g. — 3. 4 καὶ τριχίνην στολήν] atque cilicino vestimento contegebantur A καὶ γυναικείαν στολήν cz om. dy. — 4 ἠδύνατο ef. — 5 ἴδιον] ἑαυτοῦ d. — 7 post terga ipsorum A. — 8 ἀπὸ ἐπισκόπων d ἀποεπισκόπῳ c ἀπὸ ἐπισκόπῳ z ἀπὸ τοῦ ἐπισκόπων y. — κουράτωρι d. — 9 Μαρκελλίῳ g Μαρκέλλῳ h. — cum curatore qui fuerat dudum Marcellianorum episcopus A *sed cf.* Niceph. p. 62. — 10 ὑπεδείκνυεν c. — δὲ *om.* h. — 11 μηνὸς μόνος ἄφνω y. — 12 Ἀρτάβασδος m. — 13 Βακταγίῳ h Βακταγείῳ g. — ἦλθεν y. — 14 Ὀψίκην y. — 16 Βακτάγιον g Βακταγάγιον h. — 17 μηλίῳ *codd.* — ἐκρέμμασεν fg. — 19 ἑαυτοῦ dy. — 20 τὰ ὀστᾶ αὐταῦ em. — 25 ἄρχουσι] militibus A. — 27 ἄλλα *om.* g. — ἱππικόν] hippodromium A. — 28 δεδεμένους fm ligatum A. — 29 διϊππίου gxA ἱππικοῦ cy. — per dihippium in circum A. — 30 τυφθέντι A Zonaras XV, 5 τυφλωθέντι *codd.* — καὶ *om.* y. — quos omnes per dihippium intromissos in circum pompavit, verum Anastasium utpote consentaneum A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς τὸ ἱππικὸν εἰσαγαγὼν ἐπόμπευσεν, πάλιν δὲ ὡς ὁμόφρονα αὐτοῦ ἐκφοβήσας καὶ δουλώσας ἐν τῷ θρόνῳ τῆς ἱερωσύνης ἐκάθισεν. Σισίννιον δέ, τὸν πατρίκιον καὶ στρατηγὸν τῶν Θρᾳκησίων, πολλὰ συνδραμόντα αὐτῷ καὶ συναγωνισάμενον, ἐξάδελφόν τε αὐτοῦ ὄντα 649 B
μετὰ μ΄ ἡμέρας ἐτύφλωσε τῇ τοῦ θεοῦ δικαίᾳ κρίσει. ὁ γὰρ βοηθῶν τῷ ἀσεβεῖ ἐμπεσεῖται εἰς τὰς χεῖρας αὐτοῦ κατὰ τὸ γεγραμμένον.

Κόσμου	*Τῆς θείας*	*Ῥωμαίων*	*Ἀράβων*	A. M. 6236 743/4.
ἔτη	*σαρκώσεως*	*βασιλεὺς*	*ἀρχηγὸς*	
,ϛσλϛ΄.	*ἔτη ψλϛ΄.*	*Κωνσταντῖνος*	*Μαρουὰμ*	
		ἔτη λέ΄.	*ἔτη ϛ΄.*	
		δ΄.	*α΄.*	

Ῥώμης	*Κωνσταντ.*	*Ἀντιοχείας*
ἐπίσκοπος	*ἐπίσκοπος*	*ἐπίσκοπος*
Ζαχαρίας	*Ἀναστάσιος*	*Θεοφύλακτος*
ἔτη κα΄.	*ἔτη κδ΄.*	*ἔτη ζ΄.*
ια΄.	*ιε΄.*	*α΄.*

Τούτῳ τῷ ἔτει κομήτης μέγας κατὰ τὴν Συρίαν ἐφάνη. καὶ ἐστασίασε Θεβὶτ κατὰ τοῦ Μαρουὰμ καὶ Δαχὰκ ὁ τῶν Ἀρουριτῶν· οὓς χειρωσάμενος Μαρουὰμ ἀνεῖλεν ἐν τοῖς ὁρίοις Ἐμέσης μετὰ πλήθους πολεμιστῶν χιλιάδων ιβ΄. τῷ δ' αὐτῷ ἔτει παρακλήσει τῶν Χριστιανῶν τῆς ἐῴας συνεχώρησε χειροτονηθῆναι Θεοφύλακτον, πρεσβύτερον Ἐδεσηνόν, πατριάρχην Ἀντιοχείας, κοιμηθέντος Στεφάνου, καὶ τοῦτον γράμμασι καθολικοῖς τιμᾶσθαι προσέταξε παρὰ τῶν Ἀράβων. χαρίσμασι γὰρ πνευματικοῖς ἐκεκόσμητο, καὶ μάλιστα τῇ σωφροσύνῃ. ἐν Ἐμέσῃ δὲ ρκ΄ Χαλβενοὺς ἐφούρκισεν, τὸν δὲ Ἄβας, τὸν πολλὰ τῶν Χριστιανῶν αἵματα ἐκχύσαντα καὶ πολλοὺς τόπους πορθήσαντα καὶ αἰχμαλωτίσαντα ἀναιρεῖ ἐν τῇ φυλακῇ. σταλέντος γὰρ πρὸς αὐτόν τινος Αἰθίοπος ὑπὸ Μαρουὰμ ἐπὶ τούτῳ, θύλακα πλήσας ἀσβέστου ζώσης εἰσῆλθε πρὸς αὐτόν, καὶ τοῦτον τῇ κεφαλῇ καὶ ταῖς αὐτοῦ ῥισὶ περιθεὶς ἀπέπνιξεν αὐτόν, δικαίαν 650 B
ἐφευρόμενος τῷ γόητι τιμωρίαν. μαγείαις γὰρ καὶ δαιμόνων ἐπι- 354 P
κλήσεσι πολλὰ κατὰ Χριστιανῶν κακὰ ἐτεκτήνατο. οὗτος καὶ τῷ αἵματι Οὐαλὶδ ἐκοινώνησεν.

---

3 *Σισίνιον* h. — 4 *ἐξάδ. αὐτοῦ τε ὄντα* yz *τε om.* x. — 6 *τὰς om.* xy. — 14³—16³ *om.* h. — *v.* 11 *et* 16 *om.* g. — 18 *καὶ Δαχὰκ* — 19 *Μαρουὰμ om.* y. — et Dachat Aruritensem A. — *Ἀρουριτῶν* h *Ἀρουρητῶν rell.* — 19 *ὁρίοις* g *ὀρίοις* h *ὅροις* e *ὅροις* cfm *ὄρεσιν* d. — 20 *ιβ΄*] decem A. — 21 *τῆς ἑῴας om.* g. — 22 *Ἐδεσινόν* g *Αἰδεσινόν* dh *Αἰδεσηνῶν* c *Ἐδεσινῶν* y. — 25 *τῆς σωφροσύνης* y. — 25 *ἐν Ἐμέσῃ* — 33 *ἐκοινώνησεν om.* d. — 25 *ἐν Ἐμέσῃ*] apud enimetzi A. — *Χαλβενούς* ch *Χαλβένους* y *Χαλβανούς* g. — 25. 26 *τὸν δὲ Ἄβας* (*sine acc.*) *τὸν* c *τὸν δὲ Ἄβαστον* z *om.* y. — 26 *αἱμάτων* g. — 27 *ἀναιρεῖν* em. — 29. 30 *τῇ τε κεφαλῇ* ch. — 30 *ταῖς ῥισὶν αὐτοῦ* c. — 31 *ἐφευράμενος* y. — *τῷ γόῃ* g. — *μαγείας* g. — 32 *ἐπεκτείνατο* h. — 33 *Οὐάλιδ* fm *sine acc.* ce.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

744/5. A. M. 6237 ε'. β'. ιβ'. ις'. β'.

Τούτῳ τῷ ἔτει Σουλεϊμὰν ἐπισυνάξας τὰ στρατεύματα αὐτοῦ αὖθις τῷ Μαρουὰμ συμβάλλει καὶ ἡττᾶται ἀποβαλὼν τοῦ λαοῦ χιλιάδας ζ' καὶ φυγὰς εἰς Παλμύραν διασώζεται, κἀκεῖθεν εἰς Περσίδα. ἐστασίασαν δὲ καὶ Ἐμεσηνοὶ καὶ Ἡλιουπολῖται καὶ Δαμασκηνοὶ τὰς πόλεις τῷ Μαρουὰμ ἀποκλείσαντες· ὃς τὸν μὲν ἑαυτοῦ υἱὸν κατὰ τοῦ Δαχὰκ ἀποστείλας μετὰ δυνάμεως αὐτὸς ἐπὶ τὴν Ἔμεσαν ἦλθεν, ἣν ἐν τέτρασι μησὶ παρέλαβεν. ὁ δὲ Δαχὰκ ἀπὸ Περσίδος μετὰ πλείστης δυνάμεως ἤρχετο. ὁ δὲ Μαρουὰμ συμβαλὼν αὐτῷ κατὰ τὴν Μεσοποταμίαν μετὰ τὸ πολλοὺς ἀναιρεθῆναι τῶν σὺν αὐτῷ

cf. Niceph. Brev. p. 62 *τοῦτον συλλαβὼν κτείνει. ἐν τούτοις Κωνσταντῖνος Γερμανίκειαν παρέλαβεν ἐπιστρατεύσας τὴν Συρίαν καὶ Δουλιχίαν ἄδειαν εὑρὼν διὰ τὴν τῶν Ἀράβων πρὸς ἀλλήλους μάχην. λόγῳ δὲ τοὺς ἐν αὐταῖς Ἄραβας ἐξαποστείλας ἀόπλους προσελάβετο καὶ τοὺς πρὸς μητρὸς*

651 B *συγγενεῖς καὶ ἐν Βυζαντίῳ μετῴκισεν, σὺν καὶ πολλοῖς Σύροις Μονοφυσίταις αἱρετικοῖς, ὧν οἱ πλείους εἰς τὴν Θράκην οἰκοῦντες μέχρι τοῦ νῦν καὶ ἐν τῷ τρισαγίῳ τὴν τριάδα σταυροῦντες κατὰ Πέτρου τὸν Κναφέα διήρκεσαν. ἀπὸ δεκάτης δὲ τοῦ Αὐγούστου μηνὸς ἕως πεντεκαιδεκάτης σκότος ἐγένετο ὁμιχλῶδες. τότε Μαρουὰμ ἐκνικήσας καὶ ἀπολαβὼν Ἔμεσαν ἀναιρεῖ πάντας τοὺς συγγενεῖς καὶ ἀπελευθέρους Ἰσάμ, καθαιρεῖ δὲ καὶ τὰ τείχη Ἡλιουπόλεως καὶ Δαμασκοῦ καὶ Ἱεροσολύμων, ἀναιρῶν πολλοὺς δυνατοὺς καὶ ἀκρωτηριάσας τοὺς ἐν αὐταῖς ταῖς πόλεσι περιλειφθέντας.*

745/6. A. M. 6238 ς'. γ'. ιγ'. ιζ'. γ'.

Τούτῳ τῷ ἔτει ἐγένετο σεισμὸς μέγας ἐν Παλαιστίνῃ καὶ τῷ Ἰορδάνῃ καὶ πάσῃ τῇ Συρίᾳ μηνὶ Ἰαννουαρίῳ ιή, ὥρᾳ δ', καὶ πολλαὶ μυριάδες καὶ ἀναρίθμητοι τεθνήκασιν, ἐκκλησίαι τε καὶ μοναστήρια πεπτώκασιν, καὶ μάλιστα κατὰ τὴν ἔρημον τῆς ἁγίας πόλεως.

cf. Niceph. Brev. p. 62 *Τῷ δ' αὐτῷ ἔτει λοιμώδης θάνατος ἀπὸ Σικελίας καὶ Καλαβρίας ἀρξάμενος οἷόν τι πῦρ ἐπινεμόμενον ἐπὶ τὴν Μονοβασίαν καὶ Ἑλλάδα*

---

2 *Σουλεϊμᾶν* dz. — 3 *τοῦ ἰδίου λαοῦ* z. — 4 *Παλμυράν* em *sine acc.* c. — 5 *δὲ καὶ οἱ Ἐμ.* g. — *Ἐμεσινοί codd. praeter* c Metsini A. — *καὶ Ἡλ. καὶ Δαμασκηνοί om.* g. — *Ἰλιουπολῖται* y. — *Δαμασκινοί* d. — 6 *τῷ*] *τοῦ* h. — *τὸν μὲν τὸν ἑαυτ.* em. — 7 *Δαχᾶκ* g. — Emetsan A. — 8 *ἐν τέτρασι—Δαχὰκ ἀπὸ om.* f. — *ἀπὸ Περσίδος om.* g. — 10 *τὸ om.* hy. — 11 *συμβαλών* em *συλλαβών* f *sec. m. in lit.* — *Γερμανικίαν* y. — 12 *Δολιχείαν* h. — 13 *Ἀράβων*] *βαρβάρων* y. — *δέ*] *γε* g. — 14 *μητρός*] *πατρός* g. — 15 *μετῴκησεν codd. praeter* g. — 18 *τὸν om.* em. — *ἀπὸ δὲ τοῦ Αὐγ. μηνὸς δεκ.* xz. — *δεκάτην* yz *ι'* x. — 19 *πεντεκαιδεκάτην* gy *ιε'* hx octavo kalendas Septembrias (κε') A. — 20 *ἀπολαβών* xzA *καταλαβών* y. — Emetsan A. — 21 *καθαίρει* fA. — *Ἰλιουπόλεως* em. — 23 *περιληφθέντας* y. — 25. 26 *καὶ ἐν τῷ Ἰορδ. καὶ ἐν πάσῃ τῇ Σ.* z *καὶ τὸν Ἰορδάνην καὶ πᾶσαν τὴν Συρίαν* y. — 26 *Ἰανουαρίῳ* z. — 29 *Καλαυρίας* f. — 30 *Μονεμβασίαν* m *et sec. m.* f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τὰς παρακειμένας νήσους ἦλθε δι' ὅλης τῆς ιδ' ἰνδικτιῶνος προ-
μαστίζων τὸν ἀσεβῆ Κωνσταντῖνον καὶ ἀναστέλλων τῆς κατὰ τῶν 355 P
ἁγίων ἐκκλησιῶν καὶ τῶν σεπτῶν εἰκόνων μανίας, εἰ καὶ ἀδιόρθω- 652 B
τος ἔμεινεν, ὡς Φαραὼ τὸ πάλαι. ἡ δὲ αὐτὴ λοιμικὴ νόσος τοῦ
βουβῶνος ἀνέδραμε τῇ ε' ἐπινεμήσει ἐν τῇ βασιλίδι πόλει. ἤρξατο
δὲ αἴφνης ἀοράτως γίνεσθαι ἔν τε τοῖς τῶν ἀνθρώπων ἱματίοις καὶ
εἰς τὰ τῶν ἐκκλησιῶν ἱερὰ ἐνδύματα ⟨καὶ εἰς τὰ βῆλα⟩ σταυρία
ἐλαιώδη πλεῖστα. ἐγένετο οὖν ἐντεῦθεν τοῖς ἀνθρώποις λύπη καὶ
ἀθυμία πολλὴ τῇ τοῦ τοιούτου σημείου ἀπορίᾳ· κατέλαβε δὲ καὶ
θεομηνία ἀφειδῶς ὁλοθρεύουσα οὐ μόνον τοὺς ἐν τῇ πόλει, ἀλλὰ
καὶ τοὺς ἐν πάσῃ τῇ περιχώρῳ αὐτῆς. ἐγένοντο δὲ καὶ φαντασίαι
εἰς πολλοὺς τῶν ἀνθρώπων, καὶ ἐν ἐκστάσει γενόμενοι ἐνόμιζον
ξένοις τισίν, ὡς ἐδόκουν, καὶ βριαροῖς προσώποις συνοδεύειν, καὶ
τοὺς ἀπαντῶντας αὐτοῖς ὡς δῆθεν φίλους προσαγορεύοντας καὶ δια-
λεγομένους. σημειούμενοι δὲ τὰ παρ' αὐτῶν λαλούμενα ἔσχατον ἐξ-
ηγοῦντο. ἑώρων δὲ τοὺς αὐτοὺς καὶ εἰς οἴκους εἰσερχομένους, καὶ
τοὺς μὲν τοῦ οἴκου ἀναιροῦντας, τοὺς δὲ ξίφει τιτρώσκοντας. συν-
έβαινε δὲ τὰ πλεῖστα τῶν παρ' αὐτοῖς λεγομένων γίνεσθαι οὕτως,
καθὼς εἶδον. τῷ δὲ ἐαρινῷ καιρῷ τῆς α' ἰνδικτιῶνος ἐπέτεινε μει-
ζόνως, καὶ τῷ θερινῷ ἐξεκαύθη εἰς ἄπαξ, ὥστε καὶ ὁλοκλήρους
οἴκους κλεισθῆναι παντελῶς, καὶ μὴ εἶναι τοὺς ὀφείλοντας θάπτειν 653 B
τοὺς νεκρούς. ἐκ πολλῆς οὖν περιστάσεως ἐπενοήθη διὰ ζώων σαγμα-
τουμένων ὑποτετρακανθήλους σανίδας ἐπιτίθειν, καὶ οὕτως ἐκφέρειν
τοὺς νεκρούς, ὁμοίως δὲ καὶ εἰς ἁμάξας ἐπάνω ἀλλήλων τούτους
ἐπιτίθειν. ἐν δὲ τῷ πληρωθῆναι πάντα τά τε ἐνάστεια καὶ προ-
άστεια μνήματα, ἔτι μὴν καὶ κιστέρνας ἀνύδρους καὶ λάκκους, καὶ
πλείστους ἀμπελῶνας διασκαφῆναι, οὐ μὴν ἀλλὰ καὶ τοὺς ἔνδον τῶν
παλαιῶν τειχῶν κήπους εἰς τὴν τοιαύτην προχωρῆσαι τῶν ἀνθρω-
πίνων σωμάτων ταφήν, καὶ οὕτω μόλις ὑπαντῆσαι εἰς τὴν τοιαύτην

---

1 *ἰνδικτιόνος* h ἰν δ *rell.* — 3 *εἰ om.* em. — 4 *Φαραῶ* yz. — *λοίμη τῆς νόσου* z. — 5 *βομβῶνος* em. — *ἤρξαντο* x. — 6 *δὲ καὶ αἴφνης* d. — *γίγνεσθαι* dh. — 7 *καὶ εἰς τὰ βῆλα add. ex* A *om. codd.* Georg. Mon. p. 647. — 8 *ἐλαιώδη*—p. 680, 2 B *Θαυμαστὸν καὶ interierunt in* d. — 10 *τοῖς ἐν τῇ πόλει* g. — 11 *τοὺς ἐν ante πάσῃ om.* em. — 11. 12 *φαντασίαι πολλαὶ εἰς τοὺς ἀνθρώπους* h. — 13 *βριεροῖς* em *βριαροῖς sed α sec. m. in lit.* f. — 15 *λαλούμενα* cz *λεγόμενα* y. — *ἀναιροῦντας* z *ἑωρῶντας* (*sine acc. et spir.* c) cy *αἰωροῦντας*? alios ex domo deserere A. — 19 *καθὼς καὶ ἴδον* h. — ἰν *codd.* — 20 *καὶ om.* y. — 22 *σαγματουμένων* f *sed γμ sec. m. in lit. σακματουμένων* g *σαυματουμένων* ch *σαυτουμένων* em. — 23 *ὑποτετρακανθηλούς* f *ὑπὸ τετρακανθήλους* cem *ὑπὸ τετρακανθήλου* h *ὑποτετρακανθίλου* g. — *ἐπιτιθεῖν* h *sine acc.* c. — 25 *ἐπιτιθεῖν* ehm *sine acc.* c. — *ἐνάστεια* m *ἐναστεία* e *ἀνάστεια pr. m.* f *ἐναστει sine acc.* c *ἐν ἄστυ* h *ἐν ἄστοις* g. — *προαστεία* e *προαστείοις* ch *προαστίοις* g. — 26 *κινστέρνας* m *γιστέρνας* g *γηστέρνας* ch.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρείαν. παντὸς δὲ οἴκου ἐκ τῆς τοιαύτης συμφορᾶς διαφθαρέντος διὰ τὴν ἀσεβῶς γενομένην εἰς τὰς ἱερὰς εἰκόνας ὑπὸ τῶν κρατούντων κατένεξιν, αὐτίκα ὁ τῶν Ἀγαρηνῶν στόλος κατέλαβεν ἀπὸ Ἀλεξανδρείας ἐν Κύπρῳ, ἔνθα ἦν καὶ ὁ Ῥωμαϊκὸς στόλος. ὁ δὲ στρατηγὸς τῶν Κιβυραιωτῶν ἐπιπεσὼν αὐτοῖς αἴφνης ἐν τῷ λιμένι τῶν Κεραμαία καὶ κρατήσας τὸ στόμιον τοῦ λιμένος, χιλίων δρομώνων ὄντων τρεῖς μόνους ἐξειλῆσαί φασιν. ‖

746/7 A. M. 6239 ζ'. δ'. ιδ'. ιή'. δ'.

654 B 356 P Τούτῳ τῷ ἔτει κτείνεται Γρηγόριος ὑπὸ τῶν Ἀρουριτῶν, καὶ ἐξενίκησε Μαρουάμ, ὁ τῶν Ἀράβων ἀρχηγός, ὡς προέφην.

747/8 A. M. 6240 η'. ε'. ιε'. ιθ'. ε'.

Τούτῳ τῷ ἔτει ἐκινήθησαν ἐκ τῶν ἀνατολικωτέρων μερῶν τῆς Περσίδος λαοὶ οἱ λεγόμενοι Χωροσανῖται Μαυροφόροι κατὰ τοῦ Μαρουὰμ καὶ πάσης τῆς συγγενείας τῶν προαρξάντων ἀπὸ Μουάμεδ τοῦ ψευδοπροφήτου ἕως τοῦ αὐτοῦ Μαρουάμ, τοῦτ' ἔστι κατὰ τὸ λεγόμενον τέκνον τοῦ Οὐμαΐα. τούτων γὰρ μετὰ τὴν ἀναίρεσιν τοῦ Οὐαλὶδ ἀλλήλους πολεμούντων καὶ ἀπασχολουμένων, οἱ λεγόμενοι υἱοὶ τοῦ Ἐχὶμ καὶ τοῦ Ἀλίμ, συγγενεῖς μὲν καὶ αὐτοὶ τοῦ ψευδοπροφήτου τυγχάνοντες, κεκρυμμένοι δὲ καὶ φυγάδες ὄντες κατὰ τὴν μικρὰν Ἀραβίαν, ἀθροισθέντες, πρωτεύοντος ἐν αὐτοῖς Ἀβραΐμ, ἐκπέμπουσιν ἀπόδουλον αὐτῶν τινα λεγόμενον Ἀβουμουσλὶμ εἰς τὸ Χωροσὰν πρός τινας τῶν αὐτόθι προυχόντων, αἰτούμενοι συμμαχῆσαι αὐτοῖς κατὰ Μαρουάμ. οἱ δὲ συναχθέντες πρὸς Χακταβάν τινα βουλεύονται καὶ ἐπανιστῶσι τοὺς δούλους κατὰ τῶν ἰδίων δεσποτῶν καὶ ἀναιροῦσι πολλοὺς ἐν μιᾷ νυκτί, ὧν τοῖς ἅρμασι καὶ ἵπποις καὶ χρήμασι καθοπλισθέντες ἐγένοντο εἰς δυνατούς. διαιροῦνται δὲ
655 B εἰς φυλὰς δύο, Καϊσινοὺς καὶ Ἰμανίτας. ὧν δυνατωτέρους σκοπήσας τοὺς Ἰμανίτας ὁ Ἀβουμουσλὶμ διεγείρει κατὰ τῶν Καϊσινῶν, καὶ

---

1 *διαφθαρέντων* ch. — 2 *γεγενημένων* g. — 3 *Ἀγαρινῶν* cem. — 3. 4 *ἀπὸ Ἀλεξάνδρειαν* c. — 5 *Κιβυρεωτῶν* em *Κιβερεωτῶν* f *Κιβυριωτῶν* c *Κιβυραιωτῶν* g. — 6 *Καιραμαία* y *Κεραμαμαία* g. — 6 *χιλίων*] triginta A. — *δρομόνων* hy. — 7 *ἐξηλῆσαι* cg *ἐξηλῖσαι* h. — 8 *ζ'. α'. ιδ'. ιή'. δ'.* cef. — 9 *Ἀρουρητῶν* cf ab Arirutensibus A. — 12 *ἐκίνησαν* y. — 13 *οἱ om.* g. — *Χουροσανίται* f *Χουρουσανῖται* e *Χουρασανῖται* m *Χοροσανίται* h *Χωρασανίται* g *Χουσαρονίται* c. — *Χ. καὶ Μαυρ.* z. — *Μαυρόφοι* g. — 13. 14 *κατὰ τὸν M.* g. — 16 *τέκον* g. — *Οὐνοία* cg *Μαία* em. — *τοῦτον* efg *τούτω* m. — 16. 17 *τοῦ Ἀλίδ* cy. — 17 *ἀποσχολουμένων* em. — 18 *Ἐχίμ* g Echim A *Ἐχίν rell.* — *Ἀλίν* y. — 20 *καὶ ἀθροισθέντες* cz. — 21 *λεγόμενον*] *ὀνόματι* c. — *Ἀβουμουσλίμ* c *Ἀβουμουσαλίμ* y *Ἀβουμουσουλίμ* z Amuslim A. — 22 *Χοροσάν* hy *Χωρασᾶν* g *Χωρασαν sine acc.* c. — 23 Cactaban A *Χατταβάν* hy *Χάτταβάν* g *Χατταβαν sine acc.* c. — 25 *ἅρμασι* cfz. — 27 *καὶ Σινούς* h *καὶ Καισινούς* g. — *Ἰμανίτας* gm *sine spir.* cf Hiamanitas A. — 28 *Ἰμανίτας* g *sine spir.* ce. — Abumuslim A *Ἀβουμλίμ* e *Ἀβουλίμ* m *Ἀβουμίλιδ* f *Ἀμουμιλίμ* (*-λήμ* h) z *Ἀμουμι λίμ* (*sic*) c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνελὼν αὐτοὺς παραγίνεται ἐν Περσίδι σὺν τῷ Χακταβάν, καὶ πολεμήσας τὸν Ἰβινδάρα παραλαμβάνει μετὰ νίκης ἅπαντας, ὡς ρ′ που χιλιάδας ἀνδρῶν. καὶ ἐλθὼν ἐπὶ τὸν Ἰβινουβεηρᾶ στρατοπεδεύοντα σὺν χιλιάσι σ′ κἀκεῖνον ἐξέλυσεν, καὶ καταλαβὼν τὸν Μαρουὰμ εἰς τὸν Ζάβαν ποταμὸν ἔχοντα τ′ χιλιάδας πολεμεῖ αὐτὸν καὶ πλῆθος ἄπειρον ἀναιρεῖ ἐξ αὐτῶν. καὶ ἦν ἰδεῖν κατὰ τὴν γραφὴν τότε ἕνα διώκοντα χιλίους, καὶ δύο μετακινοῦντας μυριάδας. οὓς οὕτω κατὰ κράτος νικῶντας ὁρῶν ὁ Μαρουὰμ ἔρχεται εἰς Χαρρὰν καὶ περάσας τὸν ποταμὸν ἔκοψε τὴν γέφυραν ἀπὸ πλοίων οὖσαν. καὶ συμπαραλαβὼν πάντα τὰ χρήματα καὶ τὸν οἶκον αὐτοῦ μετὰ γ ἀνδρῶν οἰκογενῶν αὐτοῦ ἔφυγεν ἐπὶ Αἴγυπτον.

θ′. ς′. ις′. κ′. ς′. A. M. 6241 748/9.

Τούτῳ τῷ ἔτει καταδιώκεται Μαρουὰμ ὑπὸ τῶν Μαυροφόρων 357 P
καὶ καταληφθεὶς ὑπ' αὐτῶν κτείνεται, βαρυτάτου πολέμου κροτηθέντος. ἦρχε δὲ αὐτῶν Σαλίμ, υἱὸς Ἀλίμ, εἷς ὢν τῶν προλεχθέντων φυγάδων, τῶν καὶ ἐξαποστειλάντων τὸν Ἀβουμουσλίμ. οἱ δὲ 656 B
λοιποὶ ἀθροισθέντες κατὰ τὴν Σαμάρειαν καὶ Τραχωνίτιδα χώραν κλήρῳ τὴν ἀρχὴν ἀπένειμαν τῷ Ἀβουλαβᾶς, καὶ μετ' ἐκεῖνον τῷ ἀδελφῷ αὐτοῦ Ἀβδελᾶ, καὶ μετὰ τοῦτον τῷ Ἰσὲ Ἰβινμουσέ· καὶ τῆς μὲν Συρίας στρατηγεῖν ἔταξαν Ἀβδελᾶν, τὸν υἱὸν τοῦ Ἀλὶμ καὶ ἀδελφὸν τοῦ Σαλίμ, τὸν δὲ αὐτὸν Σαλὶμ τῆς Αἰγύπτου ἄρχειν, τὸν δὲ Ἀβδελᾶν, τοῦ Ἀβουλαβᾶς ἀδελφὸν ἀπ' ἐκείνου ἔχοντα τὸν κλῆρον τῆς ἀρχῆς ἐπὶ τῆς Μεσοποταμίας ἔταξαν. ὁ δὲ αὐτὸς Ἀβουλαβᾶς, ὁ καὶ πάντων ἐξάρχων, ἐν Περσίδι κεκάθικεν, μετατεθείσης ὑπ' αὐτοῦ καὶ τῶν συμμαχησάντων Περσῶν ἀπὸ Δαμασκοῦ τῆς ἀρχῆς, καὶ πάντων τῶν συλληφθέντων θησαυρῶν, ὧν ὁ Μαρουὰμ ἐπεφέ-

---

1 *Χακταβᾶν* g cum Chactaban A *Χακταβά* y *Χακταβᾶ* h *Χακταβα sine acc.* c. — *πολεμήσαντες* cz. — 2 Hibindabarem A. — 3 Hibinubehera A *Ἰβινουβεϊρᾶ* (*-ρά* e *sine acc.* m) y *Ἰβινουβεϊρα sine acc.* c *Ἰβινβεϊρᾶ* h *Ἰβινβειραῖ* g. — *στρατοπεδεύονται* y. — 5 *Ζαβᾶν* z *sine acc.* c. — *ἔχων* z. — *τ′*] *τρεῖς* f. — 7 *οὕτως* ch *et* m *manu corr. οὗτος* gy. — 8 *Χαρρᾶν* g. — 10 *μετὰ γ*] *μετὰ τρισχιλίων* z cum quattuor milibus A. — 11 *ἐπὶ τὴν Αἴγυπτον* g. — 15 *Σαλίμ*] *Σαλίχ codd.* A *cf. v.* 21; p. 428, 20. — *Ἀλίμ*] *Σαλίμ* y. — 16 *Ἀβουμουσλίμ*] Bumuslim A *Μουμουσουλίμ* h *Μουμουσλίμ rell.* — 18 *Ἀβουλαβᾶν* g *Ἀβουλαβάν rell.* — *μετεκείνωι* g. — 19 *Ἀβδελᾶ* g Abdela A *Ἄβδελλα* hy *Ἀβδελλα sine acc.* c. — *μετὰ τοῦτο* y. — *τῷ* c *τόν rell.* — *Ἰσεβινμοῦσε* m *Ἰσεβινμούσε* e *Ἰσέβιν Μούσε* f *Νισεβημωυσέ* c *Ἰβινμουσέ* h *Ἰβινμουσαί* g Isehidinmusae A. — 20 *Ἀβδελλάν* em *Ἄβδελλαν* h *Ἄβδελλαν sine acc.* c Abdelan A *item v.* 22. — 20 *τὸν υἱὸν*—22 *Ἀβδελᾶν om.* f. — 20. 21 Abd. filium Halim, fratrem vero Salim, ipsum autem Salim A *Ἀβδ. τὸν υἱὸν τοῦ Ἀλί* (*sic*) (*om. καὶ ἀδ.*—*αὐτὸν Σαλίμ*) em *Ἀβδ. τὸν ἀδελφὸν τοῦ Ἀλ. καὶ υἱὸν τοῦ Ἀλίμ* (*sic*), *τὸν δὲ αὐτὸν Ἀλίμ* (*sic*) cz. — 22 *τοῦ*] *τόν*? — *Ἀβουλασβάς* (*-βᾶς* g *sine acc.* c) *codd. item v.* 23. — 22 *ἀδελφὸν*—23 *Ἀβουλαβᾶς om.* f. — 24 *κεκάθηκε* hm *καὶ καθήκε* f. — 24. 25 *ὑπ' αὐτόν* c. — 26 *Βαρουάμ* z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρετο. οἱ δὲ περισωθέντες υἱοί τε καὶ συγγενεῖς τοῦ Μαρουὰμ ἐλθόντες ἀπ' Αἰγύπτου εἰς Ἀφρικὴν κἀκεῖθεν ἀντιπεράσαντες τὸ διορίζον μεταξὺ Λιβύης καὶ Εὐρώπης τῆς κατὰ τὸν Ὠκεανὸν στενῆς θαλάσσης, τὸ λεγόμενον Σέπται, τὴν τῆς Εὐρώπης Σπανικὴν ᾤκησαν μέχρι τοῦδε τοῦ χρόνου, ἔχοντές τινας προκατοικήσαντας αὐτόθι τῶν ἀπὸ Μαυΐου διὰ πλοὸς ἐκριφέντων ἐκεῖσε, συγγενεῖς αὐτῶν ὄντας καὶ τῆς αὐτῆς θρησκείας. ἐκράτησε δὲ ἡ ἐπὶ Μαρουὰμ ἄλωσις
657 B ἔτη ϛ', ἐν ᾗ πᾶσαι μὲν αἱ κατὰ τὴν Συρίαν περιφανεῖς πόλεις ἀπετειχίσθησαν, ἄτερ Ἀντιοχείας, διότι καταφύγιον αὐτὴν ἔχειν ἐμελέτα, ἀναρίθμητοί τε τῶν Ἀράβων ὑπ' αὐτοῦ ὤλοντο. λίαν γὰρ ὑπῆρχε διεσκεμμένος περὶ τὰ πολεμικά. ἐτύγχανε δὲ τῆς τῶν Ἐπικουρείων ἤτοι Αὐτοματιστῶν αἱρέσεως, ἐκ τῶν οἰκούντων τὴν Χαρρὰν Ἑλλήνων μεταλαβὼν τὴν ἀσέβειαν.

cf. Niceph. Brev. p. 64 ‖ Τῇ δὲ κε' τοῦ Ἰαννουαρίου μηνὸς τῆς αὐτῆς γ' ἰνδικτιῶνος ἐτέχθη τῷ βασιλεῖ Κωνσταντίνῳ υἱός, ὃν ἐπωνόμασε Λέοντα, ἐκ τῆς τοῦ Χαγάνου τῆς Χαζαρίας θυγατρός. ἐν δὲ τῷ αὐτῷ χρόνῳ γέγονε σεισμὸς ἐν Συρίᾳ καὶ μεγάλη καὶ φοβερὰ πτῶσις, ὅθεν αἱ μὲν τῶν πόλεων ὁλοκλήρως ἠφανίσθησαν, αἱ δὲ μέσως πως, ἑτέραι δὲ ἀπὸ τῶν ὀρεινῶν εἰς τὰ ὑποκείμενα πεδία σὺν τῶν τειχέων καὶ τῶν οἰκημάτων αὐτῶν ὁλόκληροι μετέστησαν σῶαι ὡς ἀπὸ μιλίων
358 P ἓξ ἢ καὶ μικρὸν πρός. ἔφησαν δὲ οἱ αὐτοψὶ θεασάμενοι τὴν γῆν Μεσοποταμίας εἰς μῆκος ῥαγῆναι ἐπὶ μίλια δύο, καὶ ἐκ τοῦ βυθοῦ αὐτῆς ἀναχθῆναι ἑτέραν γῆν λευκοτάτην καὶ ἀμμώδη, ἧς ἐκ μέσου, ὥς φασιν, ἀνῆλθε ζῶον μουλικόν, ἄσπιλον, λαλοῦν ἀνθρωπίνῃ φωνῇ προμηνύον τε ἔθνους ἐπιδρομὴν ἐκ τῆς ἐρήμου κατὰ τῶν Ἀράβων,
658 B ὃ καὶ γέγονεν. τῷ δὲ ἐρχομένῳ χρόνῳ τῆς δ' ἰνδικτιῶνος, τῇ ἑορτῇ τῆς ἁγίας πεντηκοστῆς, ἔστεψε Κωνσταντῖνος ὁ δυσσεβὴς βασιλεὺς τὸν ἑαυτοῦ υἱὸν Λέοντα εἰς βασιλέα δι' Ἀναστασίου, τοῦ ψευδωνύμου πατριάρχου καὶ σύμφρονος αὐτοῦ. ‖

---

1 Βαρουάμ g. — 2 ἐπ' Αἰγύπτου h ἀπ' Αἴγυπτον g. — 3 τῆς om. c. — 4 Σέπτε e Σεπτέ fm Σεπτε sine acc. c. — 5 ἔχοντας cem. — 6 τὸν ch. — Μάυια em. — ἐκριφθέντων c. — αὐτῶν] eius A. — 7 ἐπὶ Μαρουάμ] sub Mauhia A. — 9 ἔχειν αὐτήν g. — 11 περὶ τὰ πολεμικά] circa civilia (πολιτικά) A. — Ἐπικορίων g Ἐπικουρίων rell. — 12 Automatistarum A Αὐτοματιτῶν cg Αὐτοματητῶν h Αὐτομαχητῶν y. — 14 Ἰανουαρίου z. — ἰν codd. item v. 26. — 16 Χαγάνου] Χαρανώ g. — 19 δὲ om. cz. — σύν] fort. μετά Classen σὺν etiam Georg. Mon. p. 653. — 20 σῶσαι g. — μηλίων codd. praeter g. — 21 αὐτοψὶ zA αὐτόθι y αὐτόθει c. — 22 μήλια cf. — 25 τε] τοῦ y. — ἐπιδρομὴν καὶ ἐκ y. — 26 ἐρχομένῳ cez. — τῆς ἑορτῆς g. — 27 δυσσεβὴς om. A — βασιλεὺς om. z. — 28 Λέοντα υἱόν g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀράβων ἀρχηγὸς Μουάμεδ ἔτη ε'. A. M. 6242 749/50

ι'. α'. ιζ'. κα'. ζ'.

Τούτῳ τῷ ἔτει ἐστασίασαν οἱ Χαλκιδεῖς τοῖς Μαυροφόροις Πέρσαις καὶ ἀνῃρέθησαν ὑπ' αὐτῶν ἐν τοῖς ὁρίοις Ἐμέσης χιλιάδες δ'. τὸ αὐτὸ δὲ γέγονε καὶ κατὰ τὴν Ἀραβίαν εἰς τοὺς Καϊσινοὺς ὑπὸ τῶν αὐτῶν Περσῶν. ἐλθούσης δὲ τῆς κεφαλῆς τοῦ Μαρουὰμ ἐσμυρνισμένης, ἐπαύσαντο αἱ πλείους τῶν στάσεων. καὶ τῷ αὐτῷ ἔτει ἐκοιμήθη ὁ ἁγιώτατος πατριάρχης Ἀντιοχείας Θεοφύλακτος μηνὶ Δαισίῳ κθ'.

Ἀντιοχείας ἐπίσκοπος Θεόδωρος ἔτη ς'. A. M. 6243 750/1

ια'. β'. ιη'. κβ'. α'.

Τούτῳ τῷ ἔτει τοὺς πλείους τῶν Χριστιανῶν ὡς συγγενεῖς τῶν προαρξάντων ἀνεῖλον οἱ προσφάτως κρατήσαντες, δόλῳ τούτους χειρωσάμενοι εἰς Ἀντιπατρίδα τῆς Παλαιστίνης. καὶ τῷ αὐτῷ χρόνῳ cf. Niceph. Brev. p. 65
Κωνσταντῖνος τὴν Θεοδοσιούπολιν παρέλαβεν ἅμα τῇ Μελιτηνῇ, καὶ ᾐχμαλώτευσε τοὺς Ἀρμενίους. Θεόδωρος δέ, ὁ υἱὸς τοῦ Βικαρίου, τῆς μικρᾶς Ἀραβίας ὁρμώμενος ἐχειροτονήθη πατριάρχης Ἀντιοχείας.

ιβ'. γ'. ιθ'. κγ'. β'. A. M. 6244 751/2

Τούτῳ τῷ ἔτει ἀρθεὶς τῷ φρονήματι Κωνσταντῖνος ὁ δυσσεβὴς 659 B
πολλὰ κατὰ τῆς ἐκκλησίας καὶ ὀρθοδόξου πίστεως μελετῶν, σιλέντια καθ' ἑκάστην ποιῶν τὸν λαὸν ἔπειθε πρὸς τὸ ἴδιον αὐτοῦ φρόνημα δολίως ἕπεσθαι, προοδοποιῶν τὴν μέλλουσαν αὐτῷ ἔσεσθαι τελείαν ἀσέβειαν.

ιγ'. δ'. κ'. κδ'. γ'. A. M. 6245 752/3

‖ Τούτῳ τῷ ἔτει Ἀναστάσιος ὁ ἀνιέρως τοῦ θρόνου Κωνσταν- cf. Niceph. Brev. p. 65
τινουπόλεως ἡγησάμενος τέθνηκε σὺν τῇ ψυχῇ καὶ τῷ σώματι οἰκτίστῳ 359 P
πάθει, τῷ λεγομένῳ χορδαψῷ, κόπρον διὰ στόματος ἐμέσας, ἀξίαν ἔτισε δίκην ὑπὲρ τῆς κατὰ θεοῦ καὶ τοῦ διδασκάλου τόλμης. τῷ δ' αὐτῷ ἔτει καὶ Κωνσταντῖνος ὁ δυσσεβὴς κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων παράνομον συνέδριον τλὴ ἐπισκόπων συνέλεξεν ἐν τῷ τῆς Ἱερείας παλατίῳ, ὧν ἐξῆρχε Θεοδόσιος ὁ Ἐφέσου, υἱὸς Ἀψιμάρου, καὶ Παστιλλᾶς ὁ Πέργης· οἳ καθ' ἑαυτοὺς τὰ δόξαντα δογματίσαντες, μηδενὸς παρόντος ἐκ τῶν καθολικῶν θρόνων, Ῥώμης, φημί, καὶ Ἀλεξανδρείας καὶ Ἀντιοχείας καὶ Ἱεροσολύμων, ἀπὸ

---

1 ε' Ae *sec. m. in lit.* θ' *rell.* — 3 *Χαλκηδεῖς* ch. — 4 *ὅροις* e *ὄροις* cfm in montanis A. — Hemetsae A. — 5 *Καϊσιανούς* zm *Κασαϊνούς* c. — 7 plures a simultatibus cessaverunt A. — 8 *δεσίῳ codd.* — 12 *πλείστους* f. — 15 *Θεοδοσίου πόλιν* f *Θεοδοσόπολιν* zA. — *Μελιτινῇ codd.* — 16 *ᾐχμαλώτευσαν* cz *et ut vid. pr. m.* f. — *δέ*] *γάρ* g. — 17 *Ἀντιοχείας om.* y. — 20 *σηλέντια* h. — 21 *ἔπειθε τὸν λαόν* c. — 22 *τελείως* y. — 25 *ἀνιέρως*] sceleste A *ἀνίερος codd.* — 27 *δορδαψῷ* f *δορδάψῳ* em. — 28 *θεόν* g. — 32 *Ἀψιμάρου* h. — *Παστιλλάς* em. — 33. 34 Romana scilicet vel Antiochena, Alexandrina sive Hierosolymitana A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ι' τοῦ Φεβρουαρίου μηνὸς ἀρξάμενοι διήρκεσαν ἕως ἡ τοῦ Αὐγούστου τῆς αὐτῆς ζ' ἰνδικτιῶνος. καθ' ἣν ἐν Βλαχέρναις ἐλθόντες οἱ τῆς θεοτόκου πολέμιοι, ἀνῆλθε Κωνσταντῖνος ἐν τῷ ἄμβωνι κρατῶν
660 B Κωνσταντῖνον μοναχόν, ἐπίσκοπον γενόμενον τοῦ Συλλαίου, καὶ ἐπευξάμενος ἔφη μεγάλῃ τῇ φωνῇ· "Κωνσταντίνου οἰκουμενικοῦ πατριάρχου πολλὰ τὰ ἔτη." καὶ τῇ κζ' τοῦ αὐτοῦ μηνὸς ἀνῆλθεν ὁ βασιλεὺς ἐν τῷ Φόρῳ σὺν Κωνσταντίνῳ τῷ ἀνιέρῳ προέδρῳ καὶ τοῖς λοιποῖς ἐπισκόποις, καὶ ἐξεφώνησαν τὴν ἑαυτῶν κακόδοξον αἵρεσιν ἐνώπιον παντὸς τοῦ λαοῦ ἀναθεματίσαντες Γερμανὸν τὸν ἁγιώτατον καὶ Γεώργιον τὸν Κύπριον καὶ Ἰωάννην τὸν Χρυσορρόαν Δαμασκηνὸν τὸν Μανσούρ, ἄνδρας ἁγίους καὶ αἰδεσίμους διδασκάλους. ‖

753/4. A. M. 6246 Κωνσταντινουπόλεως ἐπίσκοποι Κωνσταντῖνος ἔτη ιβ'.
ιδ'. ε'. κα'. α'. δ'.

Τούτῳ τῷ ἔτει Μουάμεδ, ὁ καὶ Ἀβουλαβᾶς, τέθνηκε κρατήσας ἔτη ε'. ἦν δὲ Ἀβδελᾶς, ὁ ἀδελφὸς αὐτοῦ, εἰς τὸν τόπον τῆς βλασφημίας αὐτῶν τὸ Μάκχα. γράφει οὖν πρὸς τὸν Ἀβουμουσλὶμ ὄντα κατὰ τὴν Περσίδα φυλάξαι αὐτῷ τὸν τόπον τῆς ἀρχῆς, καθὼς ἐκληρώθη αὐτῷ. ὁ δὲ μαθὼν Ἀβδελᾶν, τὸν υἱὸν Ἀλίμ, ἀδελφὸν δὲ Σαλίμ, τὸν μονοστράτηγον Συρίας, τὴν ἀρχὴν αὐτῷ περιποιούμενον καὶ ἐρχόμενον κρατῆσαι τῆς Περσίδος, ἐναντιούμενον δὲ τοῖς Πέρ-
360 P σαις καὶ προσκείμενον τοῖς τῆς Συρίας, οἳ καὶ συνεμάχουν αὐτῷ,
661 B διεγείρας τὰ σὺν αὐτῷ στρατόπεδα συμβάλλει αὐτῷ κατὰ τὴν Νιτσίβιν καὶ νικήσας αὐτὸν ὁ Ἀβουμουσλὶμ πολλοὺς ἔκτεινεν. ἦσαν γὰρ οἱ πλείους Σκλάβοι καὶ Ἀντιοχεῖς. ὁ δὲ Ἀβδελᾶς μόνος περισωθεὶς μετ' ὀλίγας ἡμέρας ᾐτήσατο λόγον λαβεῖν παρὰ τοῦ ἄλλου Ἀβδελᾶ, τοῦ ἀδελφοῦ Μουάμεδ, καταλαβόντος σπουδῇ πολλῇ τὴν Περσικὴν ἐκ τοῦ Μάκχα· ὅν τινα φρουρήσας ἐν οἰκίσκῳ σαθρῷ καὶ κατορυχθῆναι

---

1 *δεκάτην* (*sic*) z. — *Φευρουαρίου* mz. — *τοῦ om.* cz. — 2 *ἰν* ^{δ} *codd.* — 4 *Συλαίου* zA. — 6 *κζ'*] *κ'* fh. — 7 *σὺν τῷ Κωνστ.* em. — 7. 8 *προέδρῳ σὺν τοῖς λ.* c. — 8 *κακοδοξίαν αἵρ.* c. — 10 *Χρυσορόαν codd. praeter* m. — 11 *Δαμασκινόν* z. — *Μανσοῦρ* z *sine acc.* c. — nepotem Mansur A. — 15 *Ἀβουλασβᾶς* f *Βουλαβές* em. — 16 *Ἀβδελάς* y *Ἀβδελας sine acc.* c *Ἄβδελλας* h. — 17 *τὸ Μάκχα*] in Machca A *τιμαχην sine acc.* c *τῇ μάχῃ* h *τί μάχηι* g *om.* y. — *Βουμουσλίμ* emA. — 19 *Ἀβδελλάν* em *Ἄβδελλαν* h *Ἀβδελλαν sine acc.* c *Ἀβδελλάν corr. ex Ἀβδελάν nescio qua manu* f Abdelam A. — *Ἀλίμ*] Halim A *Ἀλί codd.* — 20 Salim A *Σαλήμ* g *Σαλί rell.* — *τὸν μονοστράτηγον* cA *τοῦ μανοστρατήγου rell. cf. p.* 425, 20. — 20 *τὴν ἀρχὴν* — 22 *Συρίας om.* h. — 22 *προκείμενον* em. — *τοῖς*] *τῆς* c. — 23 *συμβάλει* f *συμβαλεῖν* em. — *τὴν om.* h. — Nitzibin A *Τσίβην* (*Τύβην* g) *codd.* — 24 Abumuslim A *Ἀβουσαλίμ* cfz *Βουσαλίμ* em. — 25 *πλεῖοις* e *πλειοι* m. — *Ἀβδελάς* f *Ἄβδελας* em *Ἀβδελας sine acc.* c *Ἄβδελλας* h Abdelas A. — 26 *Ἀβδελα sine acc.* c *Ἀβδελλά* f *Ἀβδέλλα* em *Ἄβδελλα* h Abdela A. — 27 *καταλαβόντι* yz. — 28 *Μάκκα* f *Μέκκα* e *Μέκα* m *Βάκχα* h Machca A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προστάξας τὰ θεμέλια λάθρα τοῦτον ἀπέκτεινεν. τὸν δὲ Ἀβουμουσλὶμ μηνιῶντα κατὰ τῆς Συρίας Ἀράβων ὡς ἐπαναστάντων τοῖς Μαυροφόροις καὶ πολλοὺς κατὰ τὴν Παλαιστίνην καὶ Ἔμεσαν καὶ τὴν παραλίαν ἑλόντων, ἐπελθεῖν τε αὐτοῖς μελετῶντα μετὰ τῶν στρατευμάτων ἐκώλυσεν. ὁ δὲ ὀργισθεὶς τῷ Ἀβδελᾷ πρὸς τὴν ἐνδοτέραν Περσικὴν ὥρμησε σὺν τῷ πλήθει, ὃν δειλιάσας σφόδρα μεταστέλλεται αὐτὸν πιθανολογίαις καὶ παρακλήσεσι καὶ αὐτοῖς δὲ τοῖς μυσαροῖς συμβόλοις τῆς ἀρχῆς αὐτῶν, φημὶ δὴ τῇ ῥάβδῳ καὶ τοῖς σανδαλίοις τοῦ ψευδοπροφήτου Μουάμεδ, ἐξαιτῶν ὁδὸν ἡμέρας μιᾶς ἐκκλῖναι πρὸς αὐτόν, ὅπως αὐτῷ τὴν πατρὶ πρέπουσαν εὐχαριστίαν ἀπονείμῃ. ὁ δὲ ἀπατηθεὶς παραγίνεται σὺν χιλιάσιν ἱππέων ρ', ἑνωθείς τε αὐτῷ κτείνεται ὑπ' αὐτοῦ χερσὶν ἰδίαις. οἱ δὲ ὄχλοι σκεδασθέντες αὐθημερὸν 662 B
ᾤχοντο φιλοτιμίαις οὐκ εὐαριθμήτοις ἐφοδιασθέντες. καὶ οὕτω τὰ τῆς ἀρχῆς τῷ Ἀβδελᾷ διευθύνεται.

Ἀράβων ἀρχηγὸς Ἀβδελᾶς ἔτη κα'. A. M. 6247 754/5.
Ῥώμης ἐπίσκοπος Παῦλος ἔτη ζ'.
ιε'. α'. α'. β'. ε'.

‖ Τούτῳ τῷ ἔτει Νικήτας ὁ Ἡλιουπόλεως ἀνεθεματίσθη ὑπὸ τῆς ἐκκλησίας πάσης. ὁ δὲ βασιλεὺς Κωνσταντῖνος Σύρους τε καὶ Ἀρμενίους, οὓς ἤγαγεν ἀπὸ Θεοδοσιουπόλεως καὶ Μελιτηνῆς, εἰς τὴν Θρᾴκην μετῴκισεν, ἐξ ὧν καὶ ἐπλατύνθη ἡ αἵρεσις τῶν Παυλικιάνων. ὁμοίως καὶ ἐν τῇ πόλει, ὀλιγωθέντων τῶν οἰκητόρων αὐτῆς ἐκ τοῦ θανατικοῦ, ἤνεγκε συμφαμίλους ἐκ τῶν νήσων καὶ Ἑλλάδος καὶ τῶν κατωτικῶν μερῶν, καὶ ἐποίησεν οἰκῆσαι τὴν πόλιν καὶ κατεπύκνωσεν αὐτήν. τῷ δ' αὐτῷ χρόνῳ ἐζήτησαν οἱ Βούλγαροι πάκτα διὰ τὰ κτισθέντα κάστρα· καὶ τοῦ βασιλέως ἀτιμάσαντος τὸν ἀποκρισιάριον αὐτῶν, ἐξῆλθον φωσατικῶς, καὶ ἦλθον ἕως τοῦ 361 P
Μάκρου τείχους κατὰ τῆς βασιλίδος πόλεως τὴν ὁρμὴν ποιησάμενοι. ‖ πολλὴν οὖν ἅλωσιν ἐργασάμενοι καὶ αἰχμαλωσίαν λαβόντες ὑπέστρεψαν ἀβλαβεῖς εἰς τὰ ἴδια.

cf. Niceph. Brev. p. 66

---

1 Ἀβουσμουλίμ cehm Ἀβουσβουλίμ fg. — 2 κατὰ τῶν τῆς? — 3 Emetsa A. — 4 ἑλόντας y. — ἐπελθεῖν ἑαυτοῖς f. — μελετῶντας ef μελετώντων cx om. m. — 5 Ἀβδελα sine acc. c Ἀβδελλᾶ f Ἄβδελλα ehm Abdelae A. — 6 Περσίδα z. — ὅν] ὁ δέ c. — 7 πειθανολογίαις yz. — συμβούλοις y. — 8 δή] δέ c. — 9 μιᾶς om. f. — ἐγκλῖναι c. — 12 σχεδασθέντες em. — αὐθήμερον codd. praeter g. — 13 οὐκ om. g. — ἐναριθμήτοις g εὐαρίθμοις c. — 13 καὶ οὕτω — 14 διευθύνεται om. c. — 14 Ἀβδελλά y Ἄβδελλα h. — διεύθυνεν g. — 15 Ἀβδελας sine acc. c Ἀβδελλᾶς f Ἀβδελλάς em Ἄβδελλας h. — ἔτη κδ' g. — 16 ἔτη ιζ' codd. — 18 Ἡλιουπολίτης c Ἰλιουπόλεως g Ἰλιουπόλεως y Ἡλιουπο h. — 20 Θεοδοσίου πόλεως efg Theodosopoli A. — Μελετινῆς em Μελιτινῆς rell. — 21 μετῴκησεν codd. — 22 ὀλιγωσθέντων g ὀλιγοσθέντων h. — 23 ἤνεγκαν em. — συμφαμήλους codd. praeter g. — 27 αὐτόν m om. g. — ἐξῆλθεν—ἦλθεν y. — φωσατικῶς g φοσατικῶς h φουσατικῶς cy. — 30 ἀβλαβῶς h

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

755/6. A. M. 6248 ις΄. β΄. β΄. γ΄.

663 B Τούτῳ τῷ ἔτει σεισμὸς γέγονε κατὰ τὴν Παλαιστίνην καὶ Συρίαν οὐ μικρὸς μηνὶ Μαρτίῳ θ΄. καὶ ἐξωρίσθη Θεόδωρος, ὁ πατριάρχης Ἀντιοχείας, φθόνῳ τῶν Ἀράβων διαβληθείς, ὅτι συχνῶς τῷ βασιλεῖ Κωνσταντίνῳ δηλοποιεῖ τὰ τῶν Ἀράβων διὰ γραμμάτων· καὶ λοιπὸν ὁ αὐτὸς Σαλὶμ ὑπερόριον τίθησιν εἰς τὴν Μωαβῖτιν χώραν πατρίδα τε αὐτοῦ. καὶ ἐπέτρεψεν ὁ αὐτὸς Σαλὶμ μὴ κτίζεσθαι νέας ἐκκλησίας, μηδὲ φανῆναι σταυρόν, μηδὲ δογματίσαι περὶ πίστεως Χριστιανὸν μετὰ Ἀράβων. ἐπεστράτευσε δὲ κατὰ Ῥωμανίας σὺν χιλιάσιν π΄ καὶ ἐλθὼν εἰς τὴν Καππαδοκίαν ἤκουσε Κωνσταντῖνον κατ' αὐτοῦ ὁπλιζόμενον, καὶ φοβηθεὶς ὑπέστρεψεν ἄπρακτος μηδὲν λυμηνάμενος· μόνον δὲ ὀλίγους Ἀρμενίους προσρυέντας αὐτῷ λαβὼν ὑπέστρεψεν.

756/7. A. M. 6249 ιζ΄. γ΄. γ΄. δ΄.

Τούτῳ τῷ ἔτει Ἀβδελᾶς τὴν φορολογίαν ἐπέτεινε Χριστιανοῖς, ὥστε ἅπαντας μοναχούς τε καὶ ἐγκλείστους καὶ κιονίτας τοὺς τῷ θεῷ εὐαρεστοῦντας φορολογῆσαι· ἐσφράγισε δὲ καὶ τὰ τῶν ἐκκλησιῶν κειμηλιαρχεῖα, καὶ ἤνεγκεν Ἑβραίους πρὸς τὸ πωλῆσαι αὐτά, καὶ ἠγόρασαν αὐτὰ οἱ ἀπελεύθεροι.

757/8. A. M. 6250 ιή΄. δ΄. δ΄. ε΄.

Τούτῳ τῷ ἔτει Κωνσταντῖνος τὰς κατὰ τὴν Μακεδονίαν Σκλαυινίας ἠχμαλώτευσε καὶ τοὺς λοιποὺς ὑποχειρίους ἐποίησεν.

664 B Ἐν αὐτῷ δὲ τῷ χρόνῳ τινὲς ἐκ τῶν Μαυροφόρων Περσῶν τῆς μαγικῆς ὄντες θρησκείας, ἀπάτῃ τοῦ διαβόλου κρατούμενοι, πωλήσαντες τὴν ὕπαρξιν αὐτῶν καὶ γυμνοὶ ἀνελθόντες εἰς τὰ τείχη ἔρριπτον ἑαυτούς, ὥστε πετασθῆναι εἰς τὸν οὐρανόν, ὡς ἐνόμιζον. οἱ δὲ μηδὲν ἀξιόλογον τῆς ἐκεῖσε κληρουχίας ἔχοντες πρὸς γῆν ἀνθυπέστρεφον τὰ μέλη συντριβέντες, ὧν τοὺς ἐξάρχοντας τῆς πλάνης Ἀβδελᾶς ἀνεῖλε διὰ τοῦ Σαλὶμ κατὰ τὴν Βέροιαν καὶ Χαλκίδα ὄντας τὸν ἀριθμὸν ις΄.

758/9. A. M. 6251 ιθ΄. ε΄. ε΄. ς΄.

362 P Τούτῳ τῷ ἔτει φθόνῳ τοὺς Χριστιανοὺς ἐκώλυσαν Ἄραβες ἐκ

---

1 γ΄ *om.* cef. — ς΄ *add.* m. — 2 τῷ δ΄ αὐτῷ ἔτει g. — 3 οὐ *om.* y. — 4 ὁ φθόνῳ c. — καὶ διαβληθείς z. — 6 ὁ αὐτὸς *om.* A. — Σαλήμ g Σαλί cy *item v.* 7. — 6 τίθησιν — 7 ἐπέτρεψεν *om.* f. — Μωαβίτην chm Μοαβίτην e. — χῶρα g. — 7 Alim A. — 9 Χριστιανόν cA Χριστιανῶν yz. — Χρ. δὲ μετὰ g. — 10 τὴν *om.* y. — 15 Ἀβδέλας e Ἀβδελας *sine acc.* c Ἄβδελλας hm. — 16 ἐγκλείστους egm ἐγκλειστούς cfh. — κιωνίτας hy. — τοὺς *om.* f. — 18 κειμηλιαρχία hy. — πληρῶσαι em. — 19 ἠγόρακαν c. — 21 τάς] τά y. — Σκλαβινίας cg. — 29 Ἀβδελάς cy Ἄβδελλας h. — Σαλήμ g Σαλί *vell.* — Βεροιάν em. — Χαλκήδα em Χαλκηδόνα c. — 30 τῶν ἀριθμῶν y ἀριθμῶν g. — ις΄ cA ς΄ yz. — 31 ιθ΄] ιε΄ c.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν δημοσίων χαρτοθεσίων πρὸς ὀλίγον χρόνον, αὖθις ἀναγκασθέντες ἐγχειροῦσιν αὐτοῖς τὰ αὐτὰ διὰ τὸ μὴ δύνασθαι αὐτοὺς γράφειν τοὺς ψήφους. καὶ ἐπεστράτευσαν τὴν Ῥωμανίαν καὶ ἠχμαλώτευσαν πολλοὺς καὶ Παῦλον τὸν στρατηγὸν τῶν Ἀρμενιάκων πολεμήσαντες εἰς τὸν Μέλαν ἀνεῖλον μετὰ πλήθους στρατοῦ καὶ μβ' ἐπισήμους ἄνδρας δεσμίους ἤγαγον καὶ κεφαλὰς πολλάς. ὁ δὲ βασιλεὺς ἐπεστράτευσε τὴν Βουλγαρίαν, καὶ ἐλθὼν εἰς Βερέγαβαν εἰς τὴν κλεισοῦραν, ὑπήντησαν αὐτῷ οἱ Βούλγαροι, καὶ πολλοὺς τῶν αὐτοῦ ἀνεῖλον, ἐν οἷς καὶ Λέοντα, πατρίκιον καὶ στρατηγὸν τῶν Θρᾳκησίων, καὶ Λέοντα ἕτερον, λογοθέτην τοῦ δρόμου καὶ λαὸν πολύν, 665 B καὶ ἔλαβον τὰ ἅρματα αὐτῶν. καὶ οὕτως ἀδόξως ὑπέστρεψαν.

κ'. ς'. ς'. ζ'. A. M. 6252 759/760.

Τούτῳ τῷ ἔτει γέγονε πλάνη τῆς πασχαλίας, καὶ οἱ μὲν ὀρθόδοξοι κατὰ τὴν ἑῴαν ς' τοῦ Ἀπριλλίου μηνὸς ἐπάσχασαν, οἱ δὲ πεπλανημένοι αἱρετικοὶ ιγ'.

Τῷ δ' αὐτῷ ἔτει μετετέθη ἡ κάρα τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ ἐκ τῆς μονῆς τοῦ Σπηλαίου εἰς τὸν ναὸν αὐτοῦ, κατὰ τὴν Ἐμεσηνῶν πόλιν περιφανῆ ὖντα, καὶ ἡ κατάβασις ἐκτίσθη, ἔνθα μέχρι τῆς σήμερον ὑπὸ τῶν πιστῶν προσκυνουμένη εὐωδίᾳ σωματικῇ τε καὶ πνευματικῇ τιμᾶται, βλύζουσα πᾶσι τοῖς πίστει προστρέχουσι τὰ ἰάματα. καὶ τῷ αὐτῷ ἔτει δοκίτης ἐδείχθη λαμπρότατος κατὰ τὴν ἑῴαν ἐπὶ ί ἡμέρας, καὶ αὖθις πρὸς δύσιν ἡμέρας κά. Θεόδωρος δέ τις ὀνόματι Σύρος Λιβανίτης κατὰ τὴν περίχωρον Ἡλιουπόλεως τῆς πρὸς Λίβανον ἐπανέστη τοῖς Ἄραψιν, καὶ πολεμήσας αὐτούς, ἔπεσον ἐξ ἀμφοτέρων πολλοί. ἔσχατον δὲ τραπεὶς ἔφυγεν, καὶ οἱ συνόντες αὐτῷ Λιβανῖται πάντες ἀνηρέθησαν. ἐγένοντο δὲ καὶ ἐν Ἀφρικῇ ἀκαταστασίαι καὶ πόλεμοι, ἡλιακῆς γεγονυίας ἐκλείψεως μηνὶ Αὐγούστῳ ιε', ἡμέρᾳ ς', ὥρᾳ ί. ἀνέστη- 666 B σαν δέ τινες τῶν Μαυροφόρων ἐν τῷ Δαβεκῷ λέγοντες τὸν υἱὸν τοῦ πρωτοσυμβούλου θεὸν ὡς τροφέα αὐτῶν, καὶ ἐξήνεγκαν δόγμα 363 P τοιοῦτον. καὶ εἰσῆλθον οἱ Μαυροφόροι εἰς τὸν οἶκον τῆς πλάνης αὐτῶν καὶ ἀπέκτειναν τοὺς κλειδούχους ὀνόματα ξ'. καὶ ἐξῆλθόν τινες ἐπὶ τὸ Βασρασὸν καὶ ἠχμαλώτευσαν πολλοὺς καὶ χρήματα ἔλαβον πολλά.

---

2 ἐγχειρίζουσιν? — αὐτούς] αὐτοῖς g. — 4 Παῦλον τον Ἀρμ. στρατηγὸν πολεμήσαντα c. — Ἀρμενιακῶν f *sine acc.* ch. — 5 μ' h. — 5. 6 ἄνδρας ἐπισήμους g. — 7 καὶ ἐλθὼν — 8 οἱ Βούλγαροι *om.* y. — 8 τῶν αὐτῶν h. — 9 καὶ *ante* Λέοντα *om.* h. — 11 ἅρματα cez. — ὑπέστρεψεν y. — 14 ἑῴαν *om.* h. — Ἀπριλλίου h. — 18 Ἐμεσινῶν hy. — 20 σωματικῇ *et* καὶ *om.* g. — 20 βλύζουσα — 21 ἰάματα *om.* em. — 24 Ἡλιουπόλεως h Ἱλιουπόλεως efg Ἰλιουπόλεως m. — τῆς] τήν ch. — 25 πωλήσας h. — αὐτοῖς g. — 27 ἐγένοντο — ἀκαταστασίαι zA ἐγένετο — ἀκαταστασία cy. — 28 γενομένης c. — 30 πρωτοσυμβόλου h. — 33 Βασρᾶσον h *sine acc.* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

760/61 A. M. 6253 *κά. ξ'. ξ'. η'.*

Τούτῳ τῷ ἔτει ἐστασίασαν οἱ Κασιῶται κατὰ τῶν Μαυροφόρων διὰ γυναῖκας. ἔμειναν γὰρ ἐξ αὐτῶν εἰς οἶκον, ἐν ᾧ ἔμενον ἀδελφοὶ τρεῖς, καὶ ἠθέλησαν τὰς γυναῖκας αὐτῶν ποντίσαι. ἐγερθέντες δὲ οἱ τρεῖς ἀδελφοὶ ἀπέκτειναν καὶ ἔχωσαν αὐτούς. οἱ δὲ συναχθέντες ἀπέκτειναν καὶ τοὺς λοιπούς. καὶ πέμψας ὁ Σέλιχος τὰ στρατεύματα διὰ δόλου ἦλθον ἄνωθεν αὐτῶν, καὶ πιάσαντες αὐτοὺς ἐφούρκισαν τοὺς τρεῖς ἀδελφοὺς καὶ πολλοὺς ἀπέκτειναν. καὶ τῇ ἑορτῇ τοῦ πάσχα εἰσῆλθεν ἐν τῇ ἁγίᾳ συνάξει εἰς τὴν καθολικήν, καὶ τοῦ μητροπολίτου παρισταμένου καὶ ἐκφωνήσαντος τό· "ὁ γὰρ λαός σου καὶ ἡ ἐκκλησία σου ἱκετεύει σε," ἐξήνεγκαν αὐτὸν καὶ
667 B *ἀπέκλεισαν ἐν φυλακῇ, καὶ ἄλλος ἐπλήρωσε τὴν ἁγίαν σύναξιν· καὶ ἐγένετο φόβος μέγας. καὶ εἰ μὴ ὁ μητροπολίτης κατεπράϋνεν αὐτὸν ἠθικότητι καὶ ταπεινοῖς λόγοις, κακὸν μέγα ἂν ἀπετελέσθη τῇ ὥρᾳ ἐκείνῃ. ἦν δὲ ὁ μακαριώτατος Ἀναστάσιος.*

Τῷ δ' αὐτῷ ἔτει Κωνσταντῖνος ὁ διώκτης Ἀνδρέαν, τὸν ἀοίδιμον μοναχόν, τὸν λεγόμενον Καλυβίτην, ἐν Βλαχέρναις διὰ μαστίγων ἐν τῷ ἱππικῷ τοῦ ἁγίου Μάμαντος ἀπέκτεινεν ἐλέγχοντα αὐτοῦ τὴν ἀσέβειαν καὶ Οὐάλεντα νέον καὶ Ἰουλιανὸν ἀποκαλοῦντα αὐτόν· ὃν καὶ ἐν τῷ ῥεύματι ῥιφῆναι προσέταξεν, εἰ μὴ αἱ ἀδελφαὶ αὐτοῦ τοῦτον ἁρπάσασαι ἐν τῷ ἐμπορίῳ τῶν Λευκαδίου ἔθαψαν.

761/2 A. M. 6254 *Ῥώμης ἐπίσκοπος Κωνσταντῖνος ἔτη ε'.*
κβ'. η'. α'. Θ'.

Τούτῳ τῷ ἔτει ἐφάνη δοκίτης κατὰ τὴν ἑῴαν· καὶ ἀνῃρέθη ὁ
cf. Niceph. Brev. p. 68. 69 *υἱὸς τῆς Φατίμας. ‖ οἱ δὲ Βούλγαροι ἐπαναστάντες ἐφόνευσαν τοὺς*
364 P *κυρίους αὐτῶν τοὺς ἀπὸ σειρᾶς καταγομένους, καὶ ἔστησαν ἄνδρα κακόφρονα, ὀνόματι Τελέτζην, ἐτῶν ὑπάρχοντα λ'. Σκλάβων δὲ πολλῶν ἐκφυγόντων, προσερρύησαν τῷ βασιλεῖ, οὓς κατέστησεν ἐπὶ τὸν Ἀρτάναν. τῇ δὲ ις' τοῦ Ἰουνίου μηνὸς ἐξῆλθεν ὁ βασιλεὺς ἐπὶ τὴν Θρᾴκην ἀποστείλας καὶ πλῴϊμον διὰ τοῦ Εὐξείνου Πόντου ἕως*

---

2 Cassiotae A. — *Κασιῶται καθ' ὅ φησιν Ἄραβες* (Ἄρβες e) *καλοῦσιν υἱὸν τοῦ Καής ὡς γενεαλογοῦνται* em. — 5 *καὶ ἔχωσαν* — 6 *ἀπέκτειναν om.* f. — 5 *ἐχώρησαν* h. — 6 Selichus A *Ἔλιχος* em *Ἐλιχός* f *Σαλήμ* g *Σαλί* ch. — 7 *βόλου* g. — 9 *εἰσῆλθον* y. — 10. 11 *ὁ γὰρ ὁ λαός* em. — *ὁ γὰρ λαός σου δυσωπεῖ σε καὶ ἱκετεύει σε* cz. — 11 *καὶ ἐξήν.* y. — 17 *Καλυβήτην* c. — 19 *καὶ ante Οὐάλεντα om.* y. — *Οὐάλεντα νέοντα νέον* em. — et Valentinianistam ac Iulianum A. — 21 *ἁρπάσαι* c. — *ἐμπορείῳ* ch. — *Λευκαδίου* em. — 22 *Κωνσταντῖνος om.* y. — *ad annum sequentem Constantinum papam commemorat* A. — 23 *κβ'*] *κς'* f. — *α' om.* h. — 24 *τῷ δ' αὐτῷ ἔτει* g. — 25 *Σφατίμας* h. — 27 *Τελέτζιν* c *Τελετζήν* f Zeletzin A. — 27 *δὲ πολλῶν* — *p.* 434, 18 *πάγους om.* f. — 28 *κατέστησαν* ch. — 29 *Ἀρτανᾶν* g *Ἀρτανάν* h *Ἀρταναν sine acc.* c *Ἀρταμάν* em. — 30 *πλόϊμον* h. — *διά*] *ἐπί* g. — *Εὐξίνου* ehm. — *ποταμοῦ* em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ω′ χελανδίων ἐπιφερομένων ἀνὰ ιβ′ ἵππων. ὁ δὲ Τελέτζης ἀκούσας 668 B
τὴν διὰ γῆς καὶ θαλάσσης κατ' αὐτοῦ κίνησιν, λαβὼν εἰς συμμαχίαν
ἐκ τῶν προσπαρακειμένων ἐθνῶν χιλιάδας κ′ καὶ τούτους εἰς τὰ
ὀχυρώματα στήσας ἠσφαλίσατο ἑαυτόν. ὁ δὲ βασιλεὺς ἐλθὼν ἠπλή-
κευσεν εἰς τὸν κάμπον Ἀγχιάλου· καὶ τῇ λ′ τοῦ Ἰουνίου μηνὸς τῆς
α′ ἰνδικτιῶνος, ἡμέρᾳ ε′, ἐφάνη Τελέτζης μετὰ πλήθους ἐθνῶν
ἐρχόμενος, καὶ συμβαλόντες πόλεμον κόπτουσιν ἀλλήλους ἐπὶ πολύ,
καὶ τραπεὶς Τελέτζης ἔφυγεν. ἐκράτησε δὲ ἡ μάχη ἀπὸ ὥρας ε′ ἕως
ὀψέ, καὶ πολλὰ πλήθη Βουλγάρων ἀνηλώθησαν, πολλοὶ δὲ καὶ ἐχει-
ρώθησαν, ἄλλοι δὲ καὶ προσερρύησαν. ὁ δὲ βασιλεὺς ἀρθεὶς τῇ
τοιαύτῃ νίκῃ ἐθριάμβευσε ταύτην ἐπὶ τῆς πόλεως, ἁρματωμένος σὺν
τῷ στρατῷ εἰσελθών, εὐφημούμενος ὑπὸ τῶν δήμων καὶ ξυλοπαν-
δούροις σύρων τοὺς χειρωθέντας Βουλγάρους, οὓς ἔξω τῆς Χρυσῆς
πόρτης ἀποτμηθῆναι ἐκέλευσεν ὑπὸ τῶν πολιτῶν. τὸν δὲ Τελέτζην
στασιάσαντες οἱ Βούλγαροι ἀπέκτειναν σὺν τοῖς ἄρχουσιν αὐτοῦ καὶ
ἔστησαν Σαβῖνον, γαμβρὸν ὄντα Κορμεσίου τοῦ πάλαι κυρίου αὐτῶν.
τοῦ δὲ Σαβίνου εὐθέως ἀποστείλαντος πρὸς τὸν βασιλέα καὶ ζητοῦν-
τος ποιῆσαι εἰρήνην, κομβέντον ποιήσαντες οἱ Βούλγαροι ἀντέστησαν
στερρῶς τῷ Σαβίνῳ λέγοντες, ὅτι "διὰ σοῦ ἡ Βουλγαρία μέλλει 669 B
δουλοῦσθαι τοῖς Ῥωμαίοις." στάσεως δὲ γενομένης, φεύγει Σαβῖνος
ἐν τῷ κάστρῳ Μεσημβρίας καὶ προσερρύη τῷ βασιλεῖ. ἔστησαν δὲ
οἱ Βούλγαροι ἕτερον κύριον ἑαυτῶν, ὀνόματι Παγάνον. ‖

κγ′. θ′. β′. ι′. A. M. 6255 762/3.

Τούτῳ τῷ ἔτει ἀντῆραν οἱ τῆς ἐρήμου καὶ τοῦ Βασραθὼν τῷ
Ἀβδελᾷ, δύο ἀδελφοί, οὓς ἀποστείλας ἀνεῖλε σὺν χιλιάσιν π′
στρατοῦ. τῷ δ' αὐτῷ ἔτει ἐξῆλθον Τοῦρκοι ἐκ τῶν Κασπίων πυλῶν
καὶ ἀνεῖλον πολλοὺς εἰς Ἀρμενίαν καὶ ἔλαβον αἰχμαλωσίαν πολλὴν
καὶ ὑπέστρεψαν. Κοσμᾶς δέ τις ἐπίσκοπος Ἐπιφανείας τῆς κατὰ
Ἀπάμειαν τῆς Συρίας, Κομανίτης ἐπιλεγόμενος, τῶν πολιτῶν Ἐπι-
φανείας πρὸς Θεόδωρον, τὸν πατριάρχην Ἀντιοχείας, ἔγκλησιν ποιη- 365 P
σαμένων κατὰ τοῦ αὐτοῦ Κοσμᾶ περὶ μειώσεως ἱερῶν, καὶ αὐτοῦ
μὴ δυναμένου ταῦτα συστῆσαι, ἀπέστη τῆς ὀρθοδόξου πίστεως καὶ
ὁμόφρων τῆς αἱρέσεως Κωνσταντίνῳ κατὰ τῶν ἁγίων εἰκόνων γέ-

1 ω′ *ut vid.* c *assentientibus* A *et* Niceph. *δισχιλίων rell.* — 2 θαλάττης cem. — 3 *ἐθνῶν om.* ch. — *χιλ. κ′ καί* A *χιλ. κ͵ (om. καί)* c *χιλ. κ͵ καί* z *χιλ. ς͵ καί* em. — 4 ἠπλίκευσεν h. — 6 *ἐν codd.* — 8 ὥραν ehm. — 10 ἀρθεὶς ἐπὶ τῇ g. — 11 ἐθριάμβευσαν g. — ἁρματωμένος e ἁρματωμένος cgm ἁρματομένος h. — 13 ἔξωθεν z. — 15 Βούλγαρεις z. — 16 Comersii A. — 18 κομβένδον z. — 19 τῷ Σαβίνῳ στερρῶς g. — 22 ἑαυτόν m αὐτῶν g *om.* h. — Παγανόν z *sine acc.* c. — 24 Βασραθῶν h Βασραθόν e Βαραθών g Βασρασόν? *coll. p.* 431, 33. — 25 Ἀβδελα *sine acc.* c Ἀβδελλα ehm. — 26 Τούρκοι ehm. — 28 Κοσμάς ehm. — 29 Κωμανίτης cz. — 30 ποιησάμενος cem. — 32 στῆσαι h. — 33 Κωνσταντίνου em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γονεν. ὃν κοινῇ γνώμῃ Θεόδωρος, ὁ πατριάρχης Ἀντιοχείας, καὶ Θεόδωρος Ἱεροσολύμων, καὶ Κοσμᾶς Ἀλεξανδρείας σὺν τοῖς ὑπ' αὐτοὺς ἐπισκόποις τῇ ἡμέρᾳ τῆς ἁγίας πεντηκοστῆς μετὰ τὴν ἀνάγνωσιν τοῦ ἁγίου εὐαγγελίου ὁμοφρόνως ἀνεθεμάτισαν ἕκαστος κατὰ τὴν ἑαυτοῦ πόλιν.

cf. Niceph. Brev. p. 67 ‖ Τῷ δ' αὐτῷ ἔτει ἀπὸ ἀρχῆς τοῦ Ὀκτωβρίου μηνὸς γέγονε κρύος μέγα καὶ πικρότατον, οὐ κατὰ τὴν ἡμετέραν γῆν μόνον, ἀλλὰ
670 B πολλῷ μᾶλλον κατὰ ἀνατολὴν καὶ ἄρκτον καὶ δύσιν, ὥστε τὴν ἀρκτῴαν τοῦ Πόντου παραλίαν ἐπὶ ρ' μίλια τὸ πέλαγος ἀπολιθωθῆναι ἐκ τοῦ κρύους ἐπὶ λ' πήχεις τὸ βάθος, καὶ ἀπὸ Ζιγχίας μέχρι τοῦ Δανουβίου καὶ τοῦ Κοῦφι ποταμοῦ τοῦ Δάναστρί τε καὶ Δάναπρι καὶ τῶν Νεκροπήλων καὶ τῆς λοιπῆς ἀκτῆς μέχρι Μεσημβρίας καὶ Μηδείας τὰ ὅμοια πεπονθότων. τοῦ δὲ τοιούτου πάγους ἐπιχιονηθέντος ηὐξήθη ἐπὶ ἄλλας κ' πήχεις, ὥστε συμμορφωθῆναι τὴν θάλασσαν τῇ ξηρᾷ, καὶ πεζοβατεῖσθαι ὑπερθεν τοῦ κρύους ἀπό τε Χαζαρίας, Βουλγαρίας καὶ τῶν λοιπῶν παρακειμένων ἐθνῶν, ὑπό τε ἀνθρώπων ἀγρίων τε καὶ ἡμέρων ζώων. τῷ δὲ Φεβρουαρίῳ μηνὶ τῆς αὐτῆς δευτέρας ἰνδικτιῶνος τοῦ τοιούτου πάγους κατὰ θεοῦ κέλευσιν εἰς πλεῖστα καὶ διάφορα ὀροφανῆ τμήματα διαιρεθέντος, καὶ τῇ τῶν ἀνέμων βίᾳ ἐπὶ Δαφνουσίαν καὶ τὸ Ἱερὸν κατενεχθέν-
20 των, οὕτω διὰ τοῦ Στενοῦ ἐπὶ τὴν πόλιν ἔφθασαν μέχρι τῆς Προποντίδος καὶ τῶν νήσων καὶ Ἀβύδου πᾶσαν τὴν παραλίαν ἀκτὴν ἐπλήρωσαν, ὧν αὐτόπται καὶ ἡμεῖς γεγόναμεν ἐπιβάντες ἐπὶ ἑνὸς αὐτῶν σὺν καί τισιν ὁμήλιξι λ' καὶ παίζοντες ἐπάνω αὐτοῦ. εἶχον δὲ καὶ ζῶα ἄγρια τε καὶ ἥμερα τεθνεῶτα. πᾶς δὲ ὁ βουλόμενος
25 ἀπὸ Σοφιανῶν ἕως τῆς πόλεως, καὶ ἀπὸ Χρυσοπόλεως ἕως τοῦ ἁγίου
671 B Μάμαντος καὶ τῶν Γαλάτου ἐκωλύτως διὰ ξηρᾶς ἐβάδιζον. ἓν δὲ ἐξ αὐτῶν προσραγὲν τῇ τῆς Ἀκροπόλεως σκάλᾳ συνέτριψεν αὐτήν. ἕτερον δὲ παμμέγεθες τῷ τείχει προσραγὲν τοῦτο μεγάλως ἐδόνησεν, ὡς καὶ τοὺς ἔνδοθεν οἴκους συμμετασχεῖν τοῦ σάλου. εἰς τρία δὲ
30

---

2 ὁ Ἱεροσ. cz. — ὁ Ἀλεξ. g. — 2. 3 ὑπ' αὐτοῖς ehm. — 4 consonanter (ὁμοφώνως) A. — 9 μήλια ch. — κατὰ τὸ πέλαγος? *cf.* Niceph. p. 67. — 10 Ζηχίας g Licchia A. — 11 Δανοβίου g. — Κοῦφι *scr. e coni.* Κοῦφη g Κούφη hy *sine acc.* c. — τοῦ Δάναπρί τε καὶ Δάναστρι c. — καὶ τοῦ Δάναπρι h. — 14 συμμορφοῦσθαι h. — 15 τὴν ξηράν em. — 16 Βουλγαρίας Χαζαρίας c. — τε *om.* em. — 17 Φευρουαρίου mz. — 18 αὐτῆς *om.* z. — δευτέρας cA δ' *rell.* — ἰν *codd.* — 19 διαιρεθέντα c. — 21 οὗτος ef. — ἔφθασεν fm. — 24 ὁμίλιξι z ὁμηλίκοις y. — καὶ παίζων τε ἐπ. g. — 25 τε *om.* c. — 26 Χρυσόπολιν m Χρυσόπο e Χρυσοπόλεως *sed* εως *in lit. sec. m.* f. — 28 προσραγέντι τῆς h. — συνέτριβεν f. — 29 παμμέγεθές f παμμεγεθὲς g παμμεγέθες em *sine acc.* c. — 30 οἴκους chyA οἰκοῦντας g Niceph.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διαρραγὲν ἔξωσε τὴν πόλιν ἀπὸ τῶν Μαγγάνων ἕως τοῦ Βοοσφόρου, οὗ τινος τὸ ὕψος ὑπερεῖχε τὰ τείχη· πάντες δὲ οἱ τῆς πόλεως ἄνδρες τε καὶ γυναῖκες καὶ παῖδες ἀδιαλείπτως τῇ θέᾳ τούτων προσεκαρτέρουν καὶ μετὰ θρήνων καὶ δακρύων οἴκοι ἀνέκαμπτον, ἀπο- 366 P
ροῦντες τί εἰπεῖν πρὸς τοῦτο. ‖ τῷ δ' αὐτῷ ἔτει μηνὶ Μαρτίῳ cf. Niceph. Brev p. 65
ἀστέρες ἀθρόως ἐκ τοῦ οὐρανοῦ πίπτοντες ὤφθησαν, ὡς πάντας τοὺς ὁρῶντας τὴν τοῦ παρόντος αἰῶνος ὑπολαμβάνειν εἶναι συντέλειαν· αὐχμός τε πολὺς γέγονεν, ὡς ξηρανθῆναι καὶ πηγάς. ἀγαγὼν δὲ ὁ βασιλεὺς τὸν πατριάρχην λέγει αὐτῷ· "ἄρτι τί ἡμᾶς βλάπτει, ἐὰν λέγωμεν τὴν θεοτόκον χριστοτόκον;" ὁ δὲ περιπτυξάμενος αὐτὸν λέγει· "ἐλέησον, δέσποτα, μηδὲ εἰς ἔννοιάν σου ἔλθῃ οὗτος ὁ λόγος· οὐχ ὁρᾷς ὅσα στηλιτεύεται καὶ ἀναθεματίζεται Νεστόριος ὑπὸ πάσης τῆς ἐκκλησίας;" καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπεν· "ἐγὼ μαθεῖν 672 B
θέλων ἠρώτησα· ἕως δὲ σοῦ ὁ λόγος."

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	Ῥώμης	Κωνσταντ.	A. M. 6256 763/4.
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	ἐπίσκοπος	ἐπίσκοπος	
ϛσνϛ'.	ἔτη ψνϛ'.	Κωνσταντῖνος	Ἀβδελᾶς	Κωνσταντῖνος	Κωνσταντῖνος	
		ἔτη λέ.	ἔτη κά.	ἔτη έ.	ἔτη ιβ'.	
		κδ'.	ί.	γ'.	ιά.	

Τούτῳ τῷ ἔτει ἐξῆλθον πάλιν οἱ Τοῦρκοι εἰς τὰς Κασπίας πύλας καὶ εἰς Ἰβηρίαν, καὶ πολεμήσαντες μετὰ τῶν Ἀράβων, ἐξ ἀμφοτέρων ἀπώλοντο πολλοί. ὁ δὲ Ἀβδελᾶς πανουργίᾳ τοιαύτῃ καθεῖλε τῆς ἀρχῆς τὸν Ἰσὲ Ἰβινμουσέ, εἰς ὅν, ὡς ἀνωτέρω εἴρηται, ὁ τρίτος κλῆρος τοῦ κρατεῖν μετ' αὐτὸν ἔπεσεν. κεφαλαλγούμενον γὰρ ἡμικρανικῶς αὐτὸν ὁρῶν καὶ σκοτοματικῶς πληρούμενον πείθει θεραπευθήσεσθαι μέλλειν, εἰ ταῖς ῥισὶν ἐμφυσηθῇ πταρμικῷ τινι σκευαζομένῳ τῷ αὐτοῦ ἰατρῷ, Μωσεῖ τινι τοὔνομα, διακόνῳ τῆς Ἀντιοχέων ἐκκλησίας, ὃν ἤδη δωρεαῖς ἦν πεπεικὼς δριμύτατον κατασκευάσαι φάρμακον μετὰ τοῦ καὶ ναρκῶδες εἶναι σφύδρα. καὶ δὴ πεισθεὶς ὁ αὐτὸς Ἰσὲ τῷ Ἀβδελᾷ, καίπερ ἀσφαλιζόμενος τοῦ συμφαγεῖν αὐτῷ διὰ τὴν ἐπιβουλήν, ἐδέξατο διάρρινον. καὶ πληρωθεὶς τὰ περὶ τὴν

1 καὶ ἔξωσε y. — τὴν ἀκρόπολιν Goar. — Βοοσφόρου chA Βοωσφορίου y Βοοσφορίου Georg. Mon. p. 652 Βοσφόρου g. — 2 ὑπερεῖχε τῆς πόλεως τὰ τείχη cz. — 6 ἀθρόως om. gm. — 10 λέγομεν ehm. — 12 πόσα y. — 17[1] ϛσμζ' codd. — 17[2] ψμζ' codd. — 17[4] Ἀβδελάς ef Ἀβδελας sine acc. c Ἀβδελλάς m Ἄβδελλας h. — 20 Τούρκοι ehm. — 21 cum Avaribus A. — 22 Ἄβδελας em Ἀβδελας sine acc. c Ἀβδελλάς f Ἄβδελλας h. — 23 Ἰσέϊβι μουσαί g Ἰσέϊβι μουσέ h Ἰσσειβιμουσε sine acc. c Ἰσεβινμούσε e Ἰσσεβινμούσε fm Hiseibinmusae A. — 24. 25 κεφαλ. αὐτὸν ἡμικραν. ὁρῶν g. — 25 σκοτομανικῶς h. — 26 μέλλειν] μέλι g. — τρισίν em. — ἐνσκευαζομένῳ z. — 27 αὐτῷ z. — ἰητρῷ yz. — Μωσῆ h Μωυσεῖ c. — ὄνομα h. — 28 τὸ φάρμακον cy τι φάρμακον? — 29 μετὰ καὶ τοῦ emz μετὰ τὸ καὶ τοῦ f. — πλησθεὶς f. — 30 Ἰστέ f Εἰσέ g. — Ἀβδελά m Ἀβδελα sine acc. ce Ἀβδελλᾶ f Ἄβδελλα h. — τοῦ μὴ συμφαγεῖν h. — διάρινον codd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κεφαλὴν πάσας τε τὰς αἰσθήσεις μετὰ τῶν ἡγεμονικῶν ἐνεργειῶν στερηθεὶς ἄφωνος προύκειτο. προσκαλεσάμενος δὲ τοὺς ἡγεμόνας καὶ προύχοντας τοῦ γένους ὁ Ἀβδελᾶς ἔφη· "τί ὑμῖν δοκεῖ περὶ
673 B τοῦ μελλοβασιλέως ὑμῶν;" οἱ δὲ ὁμοφρόνως ἀρνησάμενοι αὐτὸν
367 P δεξιὰς ἔδωκαν τῷ υἱῷ τοῦ αὐτοῦ Ἀβδελᾶ Μουάμεδ, τῷ ἐπικληθέντι Μαδί· τὸν δὲ Ἰσὲ ἀναίσθητον μετήνεγκαν οἴκαδε. τοῦτον δὲ μετὰ τρίτην ἡμέραν ἀναλαβόμενον ἀπολογίαις ἐπιπλάστοις παρεμυθήσατο, ταλάντοις χρυσίου ρ' τὴν ὕβριν ἀνταμειψάμενος.

cf. Niceph. Brev. p. 70 ‖ Τῷ δ' αὐτῷ ἔτει ἀπέστειλε Παγάνος, ὁ κῦρις Βουλγαρίας, πρὸς τὸν βασιλέα αἰτούμενος συνοψισθῆναι αὐτῷ. καὶ λαβὼν λόγον κατῆλθε πρὸς αὐτὸν μετὰ τῶν βοϊλάδων αὐτοῦ, καὶ καθεσθέντος τοῦ βασιλέως, καὶ τοῦ Σαβίνου συγκαθεζομένου αὐτῷ, ἐδέξατο αὐτοὺς καὶ ὠνείδισε τὴν ἀταξίαν αὐτῶν καὶ τὸ κατὰ Σαβίνου μῖσος· καὶ ἐποίησαν τὸ δοκεῖν εἰρήνην. ‖ ἀποστείλας δὲ ὁ βασιλεὺς λάθρα εἰς Βουλγαρίαν ἐπίασε τὸν Σεβέρων ἄρχοντα Σκλαβοῦνον, τὸν πολλὰ κακὰ ἐν τῇ Θράκῃ ποιήσαντα. κατεσχέθη δὲ καὶ Χριστιανός, ἀπὸ Χριστιανῶν μαγαρίτης καὶ πρῶτος τῶν Σκαμάρων, ὃν ἐν τῷ μώλῳ τοῦ ἁγίου Θωμᾶ χειροκοπήσαντες καὶ ποδοκοπήσαντες ἤνεγκαν τοὺς ἰατροὺς καὶ τοῦτον ἀνέτεμον ζῶντα ἀπὸ ἤβης ἕως τοῦ θώρακος πρὸς
674 B τὸ κατανοῆσαι τὴν τοῦ ἀνθρώπου κατασκευήν· καὶ οὕτως αὐτὸν τῷ
cf. Niceph. Brev. p. 70 πυρὶ παρέδωκαν. ‖ ἄφνω δὲ ὁ βασιλεὺς ἐξελθὼν τῆς πόλεως καὶ ἀφυλάκτους εὑρὼν τὰς κλεισούρας διὰ τὴν ἀπατηλὴν εἰρήνην εἰσῆλθεν εἰς Βουλγαρίαν ἕως τοῦ Τζίκας. καὶ βαλὼν πῦρ εἰς τὰς αὐλάς, ἃς εὗρεν, μετὰ φόβου ὑπέστρεψε μηδὲν γενναῖον ποιήσας.

764/5 A. M. 6257 κε'. ια'. δ'. ιβ'.

cf. Niceph. Brev. p. 72 ‖ Τούτῳ τῷ ἔτει, τῇ κ' τοῦ Νοεμβρίου μηνὸς ἰνδικτιῶνος δ', ἐκμανὴς γενόμενος ὁ δυσσεβὴς καὶ ἀνόσιος βασιλεὺς κατὰ παντὸς φοβουμένου τὸν Θεόν, Στέφανον τὸν νέον πρωτομάρτυρα συρθῆναι προσέταξεν ἔγκλειστον ὄντα εἰς τὸν ἅγιον Αὐξέντιον εἰς τὸ πλησίον

---

1 τε om. g. — 3 Abdelas A ὁ ἀδελφός codd. — 4 μέλλω βασιλέως ef μέλλων βασιλέως m μέλλοντος βασιλέως h. — 5 δεξιά g. — Ἀβδελα sine acc. c Ἀβδελλά fm Ἄβδελλα h Ἀβδελλα sine acc. e. — Μουάμεδ A Μουάμεδ δέ h Μουὰμ δέ gy Μουὰν δέ c. — 6 Ἰσαί g. — ἀνεύθητον g. — 7 ἐπιπλάστοις] fictis A ἐπιπλείστοις y ἐπὶ πλείστοις cz. — 8 ταλαντίοις y. — χρυσοῦ em. — 9 Παγανος sine acc. c. — κύριος m κύρις corr. ex κύριος h. — 11 κατῆλθε y descendit A ἐξῆλθε cz. — βοϊλάδων em. — 12 αὐτοῦ g. — 13 Σαβῖνον y. — 14 λάθρα ὁ βασιλεύς h. — 15 Σεβέρων yA Σέβερον z Σεβερον sine acc. c. — Σκλαβουνῶν f. — 16 Χριστιανός chA Χριστῖνος rell. — 17 μόλῳ h μούλῳ cfg βούλῳ em. — 19 ἀπὸ ἤβης—20 κατανοῆσαι τήν om. f. — 22 ἀφυλάκτως m ἀφύλακτος f. — 23 ἕως τοῦ Τζίκας] usque ad Tzicas A ἕως Τούνζας (Τοῦνζας h) cz ἕως τὸ βύζας y. — 25 κε'] κδ' ef. — 26 ἰν$^{\delta}$ codd. — 27 ἐμμανής z. — 29 ἐγκλειστόν h sine acc. c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὄρος τοῦ Δαματρῦ· ὃν λαβόντες οἱ τῆς ἀπαιδευσίας αὐτοῦ μετέχοντες [ἐχθροὶ] καὶ ὁμόφρονες αὐτῷ γεγονότες σχολάριοί τε καὶ τῶν λοιπῶν ταγμάτων, καλωδίῳ δήσαντες αὐτοῦ τὸν πόδα εἵλκον αὐτὸν ἀπὸ τοῦ πραιτωρίου ἕως τῶν Πελαγίου, ἔνθα καὶ διασπάσαντες ἔρριψαν τὰ τίμια αὐτοῦ λείψανα ἐν τῷ τῶν βιοθανάτων λάκκῳ ὡς πολλοὺς νουθετοῦντα πρὸς τὸν μονήρη βίον καὶ καταφρονεῖν πείθοντα βασιλικῶν ἀξιωμάτων καὶ χρημάτων. αἰδέσιμος γὰρ ὁ ἀνὴρ πᾶσιν ὑπῆρχε διὰ τὸ περὶ ξ' χρόνους ποιῆσαι αὐτὸν ἐν τῇ ἐγκλείστρᾳ καὶ ἀρεταῖς πολλαῖς διαλάμπειν. πολλῶν τε ἀρχόντων καὶ στρατιωτῶν διαβληθέντων προσκυνεῖν εἰκόνας διαφόροις τιμωρίαις καὶ πικρο- 675 B
τάταις αἰκίαις τούτους παρέδωκεν. ὅρκον δὲ καθολικὸν πάντας τοὺς 368 P
ὑπὸ τὴν αὐτοῦ βασιλείαν ἀπήτησεν εἰκόνι μὴ προσκυνῆσαί τινα, μεθ' ὃν καὶ Κωνσταντῖνον τὸν ψευδώνυμον πατριάρχην ἐπὶ ἄμβωνος ἀνελθεῖν καὶ ὑψῶσαι τὰ τίμια καὶ ζωοποιὰ ξύλα καὶ ὁμόσαι πεποίηκεν, ὡς οὐκ ἔστι τῶν προσκυνούντων τὰς εἰκόνας. καὶ τοῦτον παραυτὰ στεφανίτην ἀντὶ μοναχοῦ ἔπεισε γενέσθαι καὶ κρεῶν μεταλαμβάνειν καὶ κιθαρῳδῶν ἀνέχεσθαι ἐν τῇ βασιλικῇ τραπέζῃ. ἀλλ' οὐκ εἰς μακρὰν ἡ δίκη τοῦτον ταῖς τοῦ μιαιφόνου παραδέδωκε χερσίν. τῇ δὲ κα' τοῦ Ἰουνίου μηνὸς τῆς δ' ἰνδικτιῶνος ἐκίνησε κατὰ Βουλγάρων καὶ ἀπέστειλεν ἐπὶ Ἀχελὸν βχ' χελάνδια ἐξοπλίσας αὐτὰ ἐκ πάντων τῶν θεμάτων. τούτων δὲ ἐν ταῖς ἀκταῖς προσορμισθέντων, καὶ τοῦ βορρᾶ πνεύσαντος, συνετρίβησαν μικροῦ δεῖν ἅπαντα, καὶ ἐπνίγη λαὸς πολύς, ὥστε τὸν βασιλέα κελεῦσαι γρίπους ἐκτείνειν καὶ τοὺς νεκροὺς ἀναλέγεσθαι καὶ θάπτειν. καὶ τῇ ιζ' τοῦ Ἰουλίου μηνὸς εἰσῆλθεν ἀδόξως ἐν τῇ πόλει. καὶ τῇ κα' τοῦ Αὐγούστου μηνὸς τῆς αὐτῆς δ' ἰνδικτιῶνος ἐστηλίτευσε καὶ ἠτίμασε τὸ σχῆμα τῶν μοναχῶν ἐπὶ τοῦ ἱπποδρομίου παρακελευσάμενος ἕνα ἕκαστον ἀββᾶν κρατεῖν γυναῖκα τῇ χειρὶ καὶ οὕτω παρελθεῖν αὐτοὺς 676 B

---

1 *Δάματρυ* em *Δαματρύ rell.* — *ἀπαιδευσίας*] eruditionis A. — 1. 2 *αὐτοῦ μετέχοντες ἐχθροὶ* z *ἐχθροὶ αὐτοῦ μετέχοντες* cy *ἐχθροὶ non vertit* A. — 2 *αὐτοῦ* cem. — 5 *βιωθανάτων* em. — 6 *πείθειν* y. — 7 *ὑπῆρχε πᾶσιν* ch. — 8 *περὶ om.* g. — *αὐτὸν ποιῆσαι* g. — 9 *τε om.* em. — 10 *πικροτάτοις* c. — 11 *τοῦτοις* g. — *παρέδωκαν* ef. — *δὲ om.* h. — 11. 12 *τοὺς ὑπὸ τὴν αὐτοῦ* h *τοὺς τὴν ὑπ' αὐτοῦ* cy *τοὺς ὑπ' αὐτῶν* g. — 12 *τῷ εἰκόνι* y. — 13 *μεθ' ὧν* cA. — 14 *καὶ ὑψῶσαι—καὶ ὁμόσαι* y *καὶ ὑψώσαντα—ὁμόσαι* cz. — *καὶ ζωοποιὰ om.* hA. — 15 *ὡς*] *ὃς* y. — 16 *ἀντὶ μοναχόν* gy *ἀντὶ μοναχῶν* ch. — 17 *κιθαροδῶν* yA *κιθαρῳδιῶν* cz. — 18 *ταῖς μιαιφονίαις τοῦ παρανόμου παρ. χερσίν* h. — *παρέδωκε* c. — 19 *κα'*] *κ'* m *εἰκάδι* h. — *Ἰουνίου scr. e coni. δ Ἰαννουαρίου* cy *Ἰανουρίου* z duodecimo kalendarum Februariarum A. — *ἰν codd. item v.* 26. — 20 Achelon A *Ἀχελῶν* Georg. Mon. p. 651; 653 *Ἀχίαλον* f *Χίαλον* em *Ἀγχίαλον* cz Niceph. Brev. p. 73. — 21 *ἀκταῖς*] *αὐταῖς* y. — 23 *κελεῦσαι add. ex* cA *om.* yz. — 25 *κδ'* c. — 27 *ἱπποδρομείου* c. — *παρακελευόμενος* c. — 28 *ἀββάν* m *ἀββαν sine acc.* c *ἀβᾶν* ef.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ ἱπποδρόμιον ἐμπτυομένους καὶ ὑβριζομένους ὑπὸ παντὸς τοῦ λαοῦ. ὁμοίως καὶ τῇ κε' τοῦ αὐτοῦ μηνὸς ἤχθησαν ἐπὶ ἱπποδρομίας ἐπίσημοι ἄρχοντες ιθ' καὶ ἐπόμπευσαν ὡς κατὰ τοῦ βασιλέως πονηρὰ βουλευσάμενοι, συκοφαντηθέντες οὐκ ἐν ἀληθείᾳ, ἀλλὰ φθονῶν αὐτοῖς διὰ τὸ εἶναι αὐτοὺς εὐειδεῖς καὶ ῥωμαλέους καὶ παρὰ πάντων ἐπαινουμένους, τινὰς δὲ αὐτῶν καὶ δι' εὐλάβειαν καὶ ὡς εἰς τὸν προρρηθέντα ἔγκλειστον ἀπερχομένους, καὶ τὰ πάθη αὐτοῦ θριαμβεύοντας, οὓς καὶ ἀπέκτεινεν, ὧν εἰσιν οἱ πρωτεύοντες· Κωνσταντῖνος ὁ πατρίκιος καὶ λογοθέτης τοῦ δρόμου γενόμενος, ὃν ἐπωνύμασε Ποδοπάγουρον, καὶ ὁ τούτου ἀδελφὸς Στρατήγιος σπαθάριος καὶ δομέστικος τῶν ἐκσκουβίτων, Ἀντίοχός τε λογοθέτης τοῦ δρόμου γεγονὼς καὶ στρατηγὸς Σικελίας, Λαβὶδ σπαθάριος κατὰ τὸν Βησὴρ καὶ κόμης τοῦ Ὀψικίου, Θεοφύλακτος ὁ Ἰκονιάτης πρωτο-
369 P σπαθάριος καὶ στρατηγὸς τῆς Θρᾴκης, Χριστοφόρος ὁ κατὰ τὸν πατρίκιον Ἰμέριον σπαθάριος, Κωνσταντῖνος σπαθάριος καὶ βασιλικὸς πρωτο-
677 B στράτωρ, υἱὸς τοῦ πατρικίου Βαρδάνους, Θεοφύλακτος κανδιδάτος ὁ κατὰ τὸν Μαρινάκην, καὶ ἕτεροι· τούτους ἐπὶ τῆς ἱπποδρομίας στηλιτεύσας καὶ ὑπὸ παντὸς τοῦ λαοῦ ἐμπτυσθῆναι καὶ ἀνασκαφῆναι ποιήσας ἔδωκεν ἀπόφασιν. καὶ τοὺς μὲν δύο ἀδελφοὺς Κωνσταντῖνον, φημί, καὶ Στρατήγιον ἐν τῷ Κυνηγίῳ ἀπεκεφάλισεν, πολλοῦ θρήνου γενομένου ἐπ' αὐτοῖς παντὶ τῷ λαῷ· ὥστε μαθόντα τοῦτο τὸν βασιλέα ἀγανακτῆσαι, καὶ τὸν ἔπαρχον Προκόπιον τύψαι καὶ διαδέξασθαι ὡς τοῦτο καταδεξάμενον. τοὺς δὲ λοιποὺς πάντας τυφλώσας ἐξώρισεν, οὓς καὶ καθ' ἕκαστον ἔτος ἀποστέλλων ὁ ἀπονοίας
+ ἀνάμεστος ἐν οἷς ὑπῆρχον τόποις ἀνὰ ρ' βουνεύρων ἐκέλευσε τύπτεσθαι. τῇ δὲ λ' τοῦ αὐτοῦ Αὐγούστου μηνὸς τῆς αὐτῆς ⟨δ'⟩ ἰνδικτιῶνος ἐμάνη ὁ δυσώνυμος κατὰ τοῦ συνωνύμου αὐτοῦ καὶ σύμφρονος πατριάρχου· καὶ εὑρών τινας κληρικούς τε καὶ μοναχοὺς καὶ λαϊκοὺς μύστας αὐτοῦ καὶ φίλους παρεσκεύασεν εἰπεῖν αὐτούς, ὅτι "ἠκούσαμεν τοῦ πατριάρχου λαλοῦντος μετὰ τοῦ Ποδοπαγούρου κατὰ τοῦ βασιλέως." καὶ ἀπέστειλεν αὐτοὺς πρὸς αὐτὸν ἐν τῷ πατρι-

---

1 ἱπποδρομεῖον cy. — 2 ἱπποδρομείας y. — 4 βουλευόμενοι ch. — συκοφαντιθέντες cfh συκοφαντισθέντες em. — οὐκ om. codd. add. sec. m. f. — 5 ῥωμαλαίους cz ῥωμαίους y. — 7 ἐγκλειστόν chy. — αὐτῶν z. — 8 οὓς καὶ — πρωτεύοντες om. f. — 8. 9 Κωνστ. καὶ πατρ. g. — 10 στρατηγός f. — σπαθάριος] πατρίκιος ch om. g. — 11 ἐκσκουβήτων c ἐκσουβίτων f ἐκσκουβιτόρων h ἐξκουβιτόρων g. — 11. 12 τοῦ δρόμου γεγονὼς λογοθέτης g. — 12 τῶν f. — 13 Βησῆρ g. — Ἰκωνιάτης c Εἰκονιάτης y. — 15 Ἡμέριον y Ἡμέριν h Ἰμέρι v (sic) c. — Κωνστ. σπαθάρις em. — 16 ὁ υἱός z. — τοῦ om. em. — 17 Μαρινάκιν h. — ἱπποδρομείας y. — 20 κυνηγείῳ f. — 21 ἐν παντὶ τ. λ. g. — 22 ὕπαρχον cz. — τύψαι τε καί cg. — 26 δ' add. ex A om. codd. — ἰν codd. — 28 ὁρῶν c. — 30 Ποδοπαγούρου fA Ποδομαγούλου vell. — 31 πατριαρχίῳ z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀρχείῳ, ἵνα ἐλέγξωσιν αὐτόν. ἐν δὲ τῷ ἐκεῖνον ἀρνεῖσθαι ἐποίησεν αὐτοὺς ὀμόσαι εἰς τὰ τίμια ξύλα, ὅτι "ἐκ τοῦ πατριάρχου ἠκούσαμεν τὰς λοιδορίας ταύτας." ἐν τούτοις οὖν ἀποστείλας ἐβούλλωσε 678 B τὸ πατριαρχεῖον· καὶ τοῦτον ἐξώρισεν ἐν τῇ Ἱερείᾳ καὶ πάλιν ἐν τῇ Πριγκίπῳ. ‖

Κωνσταντινουπόλεως ἐπίσκοποι Νικήτας ἔτη ιδ'. Α. Μ. 6258 765/6.
ις'. ιβ'. ε'. α'.

Τούτῳ τῷ ἔτει Ἀβδελᾶς Ἰβιναλὶμ τέθνηκεν, πτωθέντος ἐπ' αὐτὸν τοῦ πύργου, ἐν ᾧ ἐφρουρεῖτο· ὁ δὲ Ἀβδελᾶς ἀμηρεύων πολλὰ κακὰ τοῖς ὑπὸ τὴν ἀρχὴν αὐτοῦ Χριστιανοῖς ἐνεδείξατο. τούς τε γὰρ σταυροὺς τῶν ἐκκλησιῶν ἀφεῖλεν, καὶ πανυχεύειν ἐκώλυσε καὶ ἐκμανθάνειν τὰ ἑαυτῶν γράμματα. οἱ δὲ λεγόμενοι παρ' αὐτοῖς Ἀρουρῖται, ὃ ἑρμηνεύεται ζηλωταί, κατὰ τὴν Παλμυρηνὴν ἐπανέστησαν ἔρημον. ἀλλ' ἐκείνων μὲν ἡ κακία πρὸς τὰς τοῦ θεοῦ ἐκκλησίας ὡς ἀπίστων προφανής. ὁ δὲ Χριστιανῶν βασιλεύων ἀφάτοις θεοῦ κρίμασιν ἴσως, ὡς τοῦ Ἰσραὴλ ὁ μανιώδης Ἀχαάβ, πολλῷ χείρονα τῆς τῶν Ἀράβων μανίας τοῖς ὑπὸ τὴν βασιλείαν αὐτοῦ 370 P ὀρθοδόξοις ἐπισκόποις καὶ μοναχοῖς καὶ λαϊκοῖς, ἄρχουσί τε καὶ ἀρχομένοις ἐπεδείξατο, πανταχοῦ μὲν τὰς πρεσβείας τῆς ἁγίας παρθένου καὶ θεοτόκου καὶ πάντων τῶν ἁγίων ἐγγράφως ὡς ἀνωφελεῖς καὶ ἀγράφως ἀποκηρύττων, δι' ὧν ἡμῖν πηγάζει πᾶσα βοήθεια, καὶ τὰ ἅγια λείψανα αὐτῶν κατορύττων καὶ ἀφανῆ ποιῶν, εἴ πού τινος ἐπισήμου ἠκούετο, πρὸς ὑγείαν ψυχῶν καὶ σωμάτων ἀνακείμενον 679 B καί, ὡς ἔθος, ὑπὸ τῶν εὐσεβούντων τιμώμενον· αὐτίκα γοῦν θάνατος κατὰ τῶν τοιούτων ὡς ἀσεβούντων ἠπειλεῖτο, δημεύσεις τε καὶ ἐξορίαι καὶ βάσανοι, τὸ δὲ θεοχαρίτωτον λείψανον, οἷά τις θησαυρὸς τῶν ἐχόντων, ἐπαίρετο ἀφανὲς τοῦ λοιποῦ γενόμενον. τοιοῦτον γοῦν τι καὶ εἰς τὸ τιμαλφέστατον λείψανον τῆς πανευφήμου μάρτυρος Εὐφημίας ὁ ἀνόσιος βασιλεὺς διεπράξατο βυθίσας αὐτὸ σὺν τῇ λάρνακι, μὴ φέρων ὁρᾶν μυροδοτοῦσαν αὐτὴν ἐπὶ παντὸς τοῦ λαοῦ καὶ ἐλέγχουσαν αὐτοῦ τὰ κατὰ τῶν πρεσβειῶν ⟨τῶν ἁγίων⟩ ληρήματα. ἀλλ' ὁ θεὸς ὁ φυλάσσων τὰ ὀστᾶ τῶν εὐαρεστούντων αὐτῷ, κατὰ τὰ λόγια, ἀσινὲς τοῦτο διεφύλαξε πάλιν ἀναδείξας αὐτὸ

---

2 εἰς τὰ τίμια ξύλα ὀμόσαι g. — 3 ἐβούλλοσεν em ἐβούλωσεν z. — 4 πατριαρχίον g. — 5 Πριγκήπῳ codd. — 8 Ἀβδελάς e Ἀβδελας sine acc. c Ἀβδελλάς m Ἄβδελλας h. — Ibinalim A Ἰβιναλί cy Ἰβιναλῆ g Ἰβιναλή h. — 9 Ἀβδελάς e Ἀβδελας sine acc. c Ἀβδελλάς fm Ἄβδελλας h. — 10 κακά] κατά f. — 13 Ἀρουρῆται c. — Παλμυρινήν codd. — 15 ὁ δέ γε Χρ. z. — 16 τοῦ θεοῦ g. — 23 ὑγίαν em ὑγιείαν c ὑγίειαν h. — 23 ἀνακειμένων et 24 τιμωμένων cz. — 26 τῷ δὲ θεοχαρίτῳ τῶν λειψάνων h. — 30 αὐτήν] αὐτό c. — 31 τῶν ἁγίων add. ex A om. codd. — 32 ῥήματα f. — 33 αὐτό] αὐτά g et ut vid. pr. m. f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν τῇ Λήμνῳ νήσῳ. διὰ γὰρ νυκτερινῆς ὁράσεως κείμενον ἀρθῆναι προσέταξε καὶ φυλάττεσθαι. ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης τῶν εὐσεβῶν βασιλέων, ἰνδικτιῶνι δ', μετὰ τῆς πρεπούσης τιμῆς ἐπανῆλθεν ἐν τῷ τεμένει αὐτῆς, ὃ αὐτὸς μὲν ὡς τῶν ἐκκλησιῶν ἐχθρὸς κοινώσας ἀρμαμέντον καὶ κοπροθέσιον ἐποίησεν, αὐτοὶ δὲ ἀνακαθή-
680 B ράντες τοῦτο πάλιν καθιέρωσαν πρὸς ἔλεγχον μὲν τῆς τούτου ἀθεότητος, ἔνδειξιν δὲ τῆς τούτων θεοσεβείας. τοῦτο δὲ τὸ θαυμαστὸν καὶ ἀξιύγραφον θαῦμα μετὰ χρόνους κβ' τῆς τοῦ παρανόμου τελευτῆς σὺν τοῖς εὐσεβεστάτοις βασιλεῦσι καὶ Ταρασίῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ ἡμεῖς τεθεάμεθα καὶ σὺν αὐτοῖς κατησπασάμεθα ὡς ἀνάξιοι
cf. Niceph. Brev. p. 75 μεγάλης ἀξιωθέντες χάριτος. τῇ δὲ ις' τοῦ Νοεμβρίου μηνὸς τῆς αὐτῆς ε' ἰνδικτιῶνος ψήφῳ τοῦ βασιλέως χειροτονεῖται Νικήτας ὁ ἀπὸ Σκλάβων εὐνοῦχος ἀθέσμως πατριάρχης Κωνσταντινουπόλεως. ||
cf. Niceph. Brev. p. 75 καὶ ἐγένετο ἀβροχία, ὥστε μηδὲ δρόσον πεσεῖν ἐκ τοῦ οὐρανοῦ· καὶ ἐξέλιπε παντελῶς τὸ ὕδωρ ἐκ τῆς πόλεως, καὶ ἤργησαν τά τε δοχεῖα
371 P καὶ τὰ λουτρά, οὐ μὴν δὲ καὶ τὰ πηγαῖα νάματα τὰ ἀενναόως ῥέοντα πρότερον· τοῦτο ἰδὼν ὁ βασιλεὺς ἤρξατο ἀνακαινίζειν τὸν Οὐαλεντινιανοῦ ἀγωγὸν μέχρι Ἡρακλείου χρηματίσαντα καὶ ὑπὸ τῶν Ἀβάρων καταστραφέντα, ἐπιλεξάμενος δὲ ἐκ διαφόρων τόπων τεχνίτας ἤγαγεν ἀπὸ μὲν Ἀσίας καὶ ἀπὸ τοῦ Πόντου οἰκοδόμους ,α καὶ χρίστας σ', ἀπὸ δὲ τῆς Ἑλλάδος καὶ τῶν νησίων ὀστρακαρίους φ', ἐξ αὐτῆς δὲ
681 B τῆς Θρᾴκης ὀπέρας ,ε καὶ κεραμοποιοὺς σ'· καὶ ἐπέστησεν αὐτοῖς ἄρχοντας ἐργοδιώκτας καὶ ἕνα τῶν πατρικίων. καὶ οὕτω τελεσθέντος τοῦ ἔργου εἰσῆλθε τὸ ὕδωρ ἐν τῇ πόλει. || τῇ δ' αὐτῇ ε' ἰνδικτιῶνι προβάλλεται στρατηγοὺς ὁμόφρονας αὐτοῦ καὶ τῆς κακίας αὐτοῦ ἐπαξίους ἐργάτας, Μιχαὴλ μὲν τὸν Μελισσηνὸν ἐν τῷ θέματι τῶν ἀνατολικῶν, καὶ Μιχαὴλ τὸν Λαχανοδράκοντα εἰς Θρᾳκησίους, εἰς δὲ Βουκελλαρίους Μάνην, τὸν τῆς κακίας ἐπώνυμον. καὶ τίς ἱκανὸς διηγεῖσθαι τὰ τούτων ἀνοσιουργήματα, ἃ μερικῶς ἐν τοῖς ἰδίοις τόποις συγγράψομεν; πάντα γὰρ κατὰ μέρος συγγράφειν τὰ τούτων ἔργα πρὸς θεραπείαν τοῦ κρατοῦντος γινόμενα οὐδ' αὐτὸν

---

1 *Λίμνῳ* yz. — *τῇ νήσῳ* cz. — *κεινούμενον* y. — 3 *ἰν* codd. — 10 *κατησπασόμεθα* c *κατησπασώμεθα* m *κατησπασάμεθα sed ά in lit.* f. — *ἀνάξιοι*] *ἄξιον* y. — 12 *αὐτῆς om.* em. — *ιε'* h. — *ἰνδικτιῶνος om.* h *ἰν rell.* — 12. 13 *ὁ ἀπὸ Σκλάβων om.* f. — 17 *τοῦ Οὐαλεντινιανοῦ* f *τὸν Οὐαλεντινιανὸν* g. — 18 ab Avaribus A Niceph. *ὑπὸ τῶν Ἀράβων* codd. — 19 *δὲ* d ergo A *om. rell.* — 20 *καὶ ἀπὸ* (*ἀπὸ om.* g) *τοῦ Π. οἰκοδόμους* gx *οἰκοδόμους καὶ ἀπὸ τοῦ* (*τοῦ om.* f) *Πόντου* hy. — 21 *νήσων* xz. — *ὀστρακαρίους* ce. — 22 *ὀπέρας* f *ὀπέρας* em *ὅπερας* dg *ὅπερας* ch. — 24 *ἰν* gxy. — 26 *Μελισσινόν* gy *Μελισινόν* h *Μελισηνῶν* c *Μελησινόν* d. — 28 *κακίας*] *μανίας*? a mania id est insania nominatum A. — 30 *συγγράψωμεν* dgy.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

οἶμαι τὸν κόσμον χωρήσειν τὰ γραφόμενα βιβλία, εὐαγγελικῶς εἰπεῖν οἰκειότερον.

Ῥώμης ἐπίσκοπος Στέφανος ἔτη γ'. A. M. 6259 766/7.
κξ'. νγ'. α'. β'.

‖ Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ ς', ἰνδικτιῶνος ς', ἦχθη Κωνσταντῖνος ὁ ψευδώνυμος πατριάρχης ἀπὸ τῆς Πριγκίπου νήσου· καὶ ἔδειρεν αὐτὸν ὁ τύραννος Κωνσταντῖνος, ὡς μὴ ἰσχύειν αὐτὸν βαδίσαι. ἐκέλευσε δὲ αὐτὸν εἰς φορεῖον βασταχθῆναι, καὶ ἀπελθόντα καθίσαι ἐν τῇ σολαίᾳ τῆς μεγάλης ἐκκλησίας. καὶ ἀσηκρήτης ἦν σὺν αὐτῷ βαστάζων τόμον χάρτου, ἐν ᾧ ἦν γεγραμμένα τὰ τούτου αἴτια. παντὸς δὲ τοῦ λαοῦ τῆς πόλεως ἐκ διαταγῆς βασιλικῆς ἐκεῖσε ἀθροισθέντος καὶ ὁρῶντος, ὑπανεγινώσκετο ὁ χάρτης εἰς ἐπήκοον παντὸς 682 B
τοῦ λαοῦ. καὶ κατὰ ἓν κεφάλαιον ἔπαιεν αὐτοῦ τὸ πρόσωπον ὁ ἀσηκρήτης, τοῦ πατριάρχου Νικήτα ἐν τῷ συνθρόνῳ καθεζομένου καὶ θεωροῦντος. μετὰ δὲ τοῦτο ἀναβιβάσαντες αὐτὸν ἐν τῷ ἄμβωνι καὶ στήσαντες ὄρθιον, ἔλαβε Νικήτας τὸν χάρτην, καὶ ἀποστείλας ἐπισκόπους καὶ λαβὼν τὸ ὠμοφόριον αὐτοῦ ἀνεθεμάτισεν αὐτόν· καὶ ἐπονομάσαντες Σκοτίοψιν ἐξέωσαν αὐτὸν ὀπισθοφανῶς τῆς ἐκκλησίας. τῇ δὲ ἑξῆς ἡμέρᾳ ἱπποδρομίας οὔσης, ἐψίλωσαν αὐτοῦ τὴν 372 P
ὄψιν καὶ ἐγύμνωσαν αὐτοῦ τὴν γενειάδα καὶ τὰς τῆς κεφαλῆς τρίχας καὶ τῶν ὀφρύων, καὶ ἐνδύσαντες αὐτὸν σηρικὸν καὶ ἀμανίκωτον κονδὺν ἐκάθισαν αὐτὸν ἐπὶ ὄνου σαγματωμένου ἐξανάστροφα κρατοῦντα τὴν οὐρὰν αὐτοῦ, καὶ ἐξήνεγκαν διὰ τοῦ διϊππίου εἰς τὸ ἱπποδρόμιον, τοῦ λαοῦ παντὸς καὶ τοῦ δήμου ἀνασκάπτοντος καὶ ἐμπτύοντος αὐτόν. ἔσυρε δὲ τὸν ὄνον Κωνσταντῖνος ὁ ἀνεψιὸς αὐτοῦ ῥινοκοπημένος. ἐλθόντος δὲ αὐτοῦ ἐν τοῖς δήμοις, κατῆλθον καὶ ἐνέπτυσαν καὶ κόνιν ἐπέρριπτον ἐπ' αὐτόν. ἐνέγκαντες δὲ αὐτὸν εἰς τὸ στάμα ἔρριψαν αὐτὸν ἐκ τοῦ ὄνου καὶ ἐπάτησαν τὸν τράχηλον αὐτοῦ· καὶ καθίσαντες αὐτὸν ἀπέναντι τῶν δήμων, ἤκουε παρ' αὐτῶν σκωπτικοὺς λόγους ἕως τῆς ἀπολύσεως τοῦ ἱππικοῦ. καὶ τῇ

cf. Niceph. Brev. p. 75

---

1 *χωρῆσαι* h. — 5 nonis Octobribus (*Ὀκτωβρίῳ ζ'*) A. — *ἰδ codd.* — 6 *Πριγκήπου codd. praeter* d. — a principe in insulam A. — 9 *ἀσηκρίτης* d *ἀσικρίτης* h *ἀδσικρήτης* e *et ut vid. pr. m.* f *ἀδσικρίτης* m *ἀσηκριτις sine acc.* c *ἀσηκρῆτις* g. — 10 *γεγραμμένα* — 11 *παντὸς δὲ τοῦ om.* y. — 12 *ὑπανεγνώσκετο* ef. — *ἐπήκοον* d *ὑπήκοον rell.* — 13 *κατὰ ἕν*] *καθ' ἕκαστον* f *sec. m. in lit.* — 14 *ἀσηκρίτης* d *ἀσικρίτης* h *ἀδσηκρήτης ut vid. pr. m.* f *ἀδσικρήτης* e *ἀδσικρίτης* m *ἀσηκρίτις* c *ἀσηκρῆτις* g. — *ἐν τῷ θρόνῳ* h. — 15 *θεοροῦντος* em *ὁρῶντος* xz. — *ἀναβιβάσαντος* c. — 17 *ἐπίσκοπον* x. — anathematizaverunt A. — 18 *σκοτιόψιν* cf. — 21 *σιρικόν* hy *σειρικόν* c laneo vestimento (*ἐρίνεον*) A. — *καὶ post σηρικόν om.* d. — 22 *σανματωμένου* emx *σανματουμένου* h *σακματωμένου* g *σαματωμένου ut vid.* f. — 23 *ἑξήν. διὰ ἱππίου* y. — 24 *ἱπποδρομεῖον* xy. — 27 *ἐπέρριπτον* — 28 *στάμα om.* em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

683 B ιε' τοῦ αὐτοῦ μηνὸς ἀποστέλλει πρὸς αὐτὸν τοὺς πατρικίους καὶ δηλοῖ αὐτῷ, ὅτι· "τί λέγεις περὶ τῆς πίστεως ἡμῶν καὶ τῆς συνόδου ἧς ἐποιήσαμεν;" ὁ δὲ ματαιωθεὶς τὰς φρένας ἀπεκρίθη, ὅτι "καλῶς καὶ πιστεύεις καὶ τὴν σύνοδον πεποίηκας," οἰόμενος διὰ τούτου πάλιν ἐξευμενίσασθαι αὐτόν· οἱ δὲ εὐθυβόλως ἀποκριθέντες εἶπον· "ἡμεῖς τοῦτο ἠθέλομεν ἀκοῦσαι ἐκ τοῦ μιαροῦ σου στόματος· ἀπὸ δὲ τοῦ νῦν ἄπελθε εἰς τὸ σκότος καὶ εἰς τὸ ἀνάθεμα." καὶ οὕτω λαβὼν τὴν ἀπόφασιν ἀπεκεφαλίσθη εἰς τὸ Κυνήγιον. καὶ τὴν μὲν κεφαλὴν αὐτοῦ ἐκ τῶν ὤτων δήσαντες ἐπὶ τρισὶν ἡμέραις ἐν τῷ Μιλίῳ ἐκρέμασαν εἰς ἔνδειξιν τοῦ λαοῦ. τὸ δὲ σῶμα αὐτοῦ δήσαντες καλωδίῳ τὸν πόδα, ⟨διὰ τῆς Μέσης σύραντες εἰς τὰ Πελαγίου⟩ μετὰ τῶν βιοθανάτων ἔρριψαν· ‖ ὁμοίως καὶ τὴν κεφαλὴν αὐτοῦ μετὰ τὰς τρεῖς ἡμέρας ἐκεῖσε ἀπαγαγόντες ἔρριψαν. ὦ τῆς ἀλογίας καὶ ὠμότητος καὶ ἀσπλαγχνίας τοῦ ἀνημέρου θηρός. οὐκ ᾔδεσθη τὴν ἁγίαν κολυμβήθραν ὁ ἄθλιος; δύο γὰρ τέκνα αὐτοῦ τῆς τρίτης γυναικὸς ἐν ταῖς ἀγκάλαις αὐτοῦ δεξάμενος ἦν. πάντοτε μὲν οὖν θηριώδης τὸν τρόπον καὶ ἀνήμερος ἦν. ἀπὸ δὲ τούτου τοῦ χρόνου πλείονι μανίᾳ κατὰ τῶν ἁγίων ἐκκλησιῶν ἐχρήσατο. ἀποστείλας γὰρ κατήνεγκε Πέτρον τὸν ἀοίδιμον στυλίτην ἀπὸ πέτρας,
684 B καὶ μὴ ὑπείξαντα τοῖς δόγμασιν αὐτοῦ ζῶντα δήσας τῶν ποδῶν ἐν τοῖς Πελαγίου καὶ τοῦτον διὰ τῆς Μέσης συρόμενον ἐκέλευσε ῥιφῆναι, ἄλλους ἐν σάκκοις δεσμῶν καὶ λίθοις προσαρτίζων ἐν τῷ πελάγει ῥίπτεσθαι προσέταττεν, τυφλόνων, ῥινοκοπῶν, μάστιξι ξαίνων, καὶ πᾶν εἶδος κολάσεως κατὰ τῶν εὐσεβούντων ἐπινοῶν· καὶ ἐν μὲν τῇ πόλει δι' ἑαυτοῦ ταῦτα ἔδρα καὶ τῶν ὁμοφρόνων αὐτοῦ, Ἀντωνίου,
373 P φημί, πατρικίου καὶ δομεστίκου τῶν σχολῶν καὶ Πέτρου μαγίστρου καὶ τοῦ ἐκπαιδευθέντος ὑπ' αὐτοῦ λαοῦ τῶν ταγμάτων, ἐν δὲ τοῖς ἔξω θέμασι διὰ τῶν προρρηθέντων στρατηγῶν. αὐτὸς δὲ κιθαρῳδίαις ἔχαιρε καὶ συμποσιασμοῖς, αἰσχρολογίαις τε καὶ ὀρχησμοῖς ἐκπαιδεύων τοὺς περὶ αὐτόν. καὶ εἴ πού τις συμπίπτων ἢ ἀλγῶν τὴν συνήθη Χριστιανοῖς ἀφῆκε φωνήν, τὸ "θεοτόκε βοήθει," ἢ πανυχεύων ἐφωράθη ἢ ἐκκλησίαις προσεδρεύων ἢ εὐλαβείᾳ συζῶν ἢ μὴ ὅρκοις χρώμενος ἀφειδῶς, ὡς ἐχθρὸς τοῦ βασιλέως ἐκολάζετο

---

1 αὐτοῦ hxA *Αὐγούστου* gy. — 2 ὅτι *om.* y. — 3 ἧς] ἣν g. — ἀπεκρίθη] εἶπεν x. — 6 ἠθέλαμεν em ἠθέλομεν *sed* o *sec. m. in lit.* f. — 7 δὲ *om.* c. — 8 κυνήγειν em κυνήγιον *sed* ιον *sec. m. in lit.* f. — 10 μηλίῳ fxz. — ἐκρέμασαν f. — 11 διὰ τῆς Μέσης—Πελαγίου *add. ex* A Niceph. Georg. Mon. p. 650 *om. codd.* — 13 τὰς *om.* y. — ἐκεῖσε *om.* g. — 16 αὐτοῦ *om.* z. — 18 πλέον μανίαν y. — 20 ὑπάρξαντα em ὑπείξαντα *sed* ει *sec. m. in lit.* f. — 21 Πελαγίοις xy. — 22 ἄλλοις gy. — 23 τυφλώνων *codd.* — ξένων em ξέων fz. — 25 δι' ἑαυτόν h. — αὐτῷ d. — 29 αἰσχρολογίαις τε] κιθαρῳδίαις τε c *om.* d. — 30 τούς] τοῖς z. — που *om.* h. — ἤ] καί f. — 33 imperatorum A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἀμνημόνευτος ὠνομάζετο. μοναστήρια δὲ τὰ εἰς δόξαν θεοῦ καὶ τῶν σωζομένων καταφύγια οἴκους κοινοὺς καθίστα τῶν ὁμοφρόνων αὐτῷ στρατιωτῶν. τὴν γοῦν Δαλμάτου πρώτιστον οὖσαν ἐν τοῖς κοινοβίοις τοῦ Βυζαντίου στρατιώταις εἰς κατοικίαν δέδω- 685 B
κεν, τὰ Καλλιστράτου τε λεγόμενα καὶ τὴν Δίου μονὴν καὶ τὰ Μαξιμίνου ἄλλους τε μοναστῶν ἱεροὺς οἴκους καὶ παρθενῶνας ἐκ βάθρων κατέλυσεν. τοὺς δὲ μοναχικὸν βίον ἀναλαβέσθαι ἐπιτηδεύσαντας ἐκ τῶν ἐπισήμων ἐν στρατείᾳ ἢ ἐν τέλει, καὶ μάλιστα τοὺς ἐγγίζοντας αὐτῷ καὶ μύστας γεγονότας τῶν αὐτοῦ ἀσελγειῶν καὶ ἀρρητοποιΐῶν θανάτῳ καθυπέβαλεν ὑπονοούμενος τὴν ἐκ τῶν ἐξαγορεύσεων προσγινομένην αὐτῷ αἰσχύνην· διά τοι τοῦτο καὶ Στρατήγιον, τὸν τοῦ Ποδοπαγούρου ⟨ἀδελφόν⟩, ἀστεῖον ὄντα τῷ εἴδει προσλαβόμενος, (ἐφίλει γὰρ προσοικειοῦσθαι τοῖς τοιούτοις διὰ τὰς ἀκολασίας αὐτοῦ) αἰσθόμενός τε αὐτὸν ἀηδῶς ἔχοντα πρὸς τὰς ἀθεμίτους ἀνδρομανίας αὐτοῦ καὶ τῷ μακαρίῳ Στεφάνῳ, τῷ ἐγκλείστῳ τοῦ ἁγίου Αὐξεντίου, ταύτας ἐξαγορεύοντα σωτηρίας τε φάρμακα λαμβάνοντα, ὡς ἐπίβουλον αὐτοῦ τοῦτον διαφημίσας σὺν τῷ ἐγκλείστῳ, ὡς προλέλεκται, ἀνεῖλεν. ‖ ἐποίησε δὲ εὐθηνῆσαι τὰ εἴδη cf. Niceph. Brev. p. 76
ἐν τῇ πόλει τῷ χρόνῳ τούτῳ. νέος γὰρ Μίδας γενόμενος τὸν χρυσὸν ἀπεθησαύρισε καὶ τοὺς γεωργοὺς ἐγύμνωσεν, καὶ διὰ τὴν τῶν φόρων ἀπαίτησιν ἠναγκάζοντο οἱ ἄνθρωποι τὰς τοῦ θεοῦ χορη- 686 B
γίας εὐώνως πιπράσκειν. τῷ δ' αὐτῷ ἔτει Νικήτας, ὁ ψευδώνυμος πατριάρχης, τὰς ἐν τῷ πατριαρχείῳ εἰκόνας τοῦ μικροῦ σεκρέτου διὰ μουσείου οὔσας ἔξεσεν, καὶ τοῦ μεγάλου σεκρέτου τῆς τροπικῆς ἐξ ὑλογραφίας οὔσας κατήνεγκεν, καὶ τῶν λοιπῶν εἰκόνων τὰ πρόσωπα ἔχρισεν· καὶ ἐν τῷ Ἀβραμιαίῳ δὲ ὁμοίως πεποίηκεν. ‖

κη'. ιδ'. β'. γ'. A. M. 6260 767/8. 374 P. cf. Niceph. Brev. p. 77

‖ Τούτῳ τῷ ἔτει ἔστεψεν ὁ βασιλεὺς τὴν ἑαυτοῦ γυναῖκα Εὐδοκίαν ὁ τρίγαμος τρίτην οὖσαν αὐγούσταν ἐν τῷ τριβουναλίῳ τῶν ιθ' ἀκουβίτων τῇ α' τοῦ Ἀπριλλίου μηνός, ἰνδικτιῶνος ζ', ἡμέρᾳ σαββάτῳ, καὶ τοὺς ἐξ αὐτῆς δύο υἱοὺς αὐτοῦ, Χριστοφόρον καὶ

---

2 καθιστᾶ y. — 3 Δαλμάτου] Dalmati A Δαλμάτον ehmx Δαλμάτων fg. — 4 στρατιώταις om. y. — 5 τε] τά yz. — 6 ἱερῶν h. — παρθένων ᾶς e. — 10 ἀρρητοποιῶν c ἀρρητοποιῶν rell. — καθυπέβαλλεν zA. — ἐκ om. gx sed pr. m. adscr. in dg. — 11 τοι om. f. — 12 ἀδελφόν add. ex A om. codd. — 13 τοῖς τοιούτοις προσοικειοῦσθαι x. — 14 πρός] διά x. — 15 Στεφάνῳ hA om. rell. — τῷ om. x. — ἐγκλειστῷ codd. praeter g item v. 18. — 17 ὡς om. y. — διαφημήσας fx. — 19 Μήδας codd. praeter g. — 23 πατριαρχίῳ mz. — σαικρέτου x σεκραίτου yz. — 24 μουσείου — σεκρέτου om. y. — μουσείου cg μουσίου dh. — σαικρέτου x σεκραίτου z. — 24. 25 ἐξ ὑλογραφίας dg ἐξυλογραφίας em ἐκξυλογραφίας cfh. — 25 οὔσας d οὔσης rell. — 29 αὐγοῦσταν cg. — 30 ἀκουβήτων f. — Ἀπριλίου h. — ἰν codd. — 31 σαββᾶ gm. — αὐτοῦ om. y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νικηφόρου, τῇ ἐπαύριον, ἥτις ἦν β΄ τοῦ Ἀπριλλίου μηνὸς ἡμέρα κυριακὴ τοῦ ἁγίου πάσχα, προεβάλετο καίσαρας ἐν τῷ αὐτῷ τριβουναλίῳ, τοῦ πατριάρχου ποιήσαντος τὴν εὐχήν, καὶ τοῦ βασιλέως ἐπιθέντος αὐτοῖς τάς τε χλαίνας καὶ τὰ καισαρίκια περικεφάλαια· ὡσαύτως καὶ Νικήταν, τὸν ἔσχατον ἀδελφὸν αὐτῶν, ποιήσας νοβελίσιμον ἐπέθηκεν αὐτῷ χλαῖναν χρυσῆν καὶ τὸν στέφανον. καὶ οὕτω προῆλθον ῥίπτοντες οἱ βασιλεῖς ὑπατείαν τριμίσια καὶ σημίσια καὶ νομίσματα καινούργια ἕως τῆς μεγάλης ἐκκλησίας. ‖

768/9. A. M. 6261 *κθ΄. ιε΄. γ΄. δ΄.*

687 B *Τούτῳ τῷ ἔτει ἐγένετο καταλλαγὴ ἐν Συρίᾳ, ἄνθρωπον πρὸς ἄνθρωπον καὶ γυναῖκα πρὸς γυναῖκα καὶ παιδίον, ὁμοίως πρὸς παιδίον· καὶ ἐπέτρεψεν ὁ Ἀβδελᾶς τοὺς πώγωνας αὐτῶν ξυρισθῆναι καὶ γενέσθαι καμηλαύκια πήχεος μιᾶς ἥμισυ. παρεκάθισε δὲ ὁ Ἀβδελᾶς τὸ Κάμαχον μετὰ π΄ χιλιάδων ὅλον τὸ θέρος καὶ μηδὲν* cf. Niceph. Brev. p. 77 *ἀνύσας ὑπέστρεψε κατηῤῥυμμένος. ‖ τῇ δὲ α΄ τοῦ Νοεμβρίου μηνὸς τῆς ἡ΄ ἰνδικτιῶνος εἰσῆλθεν Εἰρήνη ἐξ Ἀθηνῶν ἐλθοῦσα ἀπὸ τῆς Ἱερείας ἐν τῇ βασιλευούσῃ πόλει δρομώνων καὶ χελανδίων πλείστων ἐστολισμένων σηρικοῖς παλλίοις, καὶ τῶν τῆς πόλεως προυχόντων σὺν γυναιξὶ προσαπαντώντων καὶ προαγόντων αὐτῆ. καὶ τῇ γ΄ τοῦ αὐτοῦ Νοεμβρίου μηνὸς τοῦ πατριάρχου ἐλθόντος ἐν τῷ παλατίῳ ἐν τῇ ἐκκλησίᾳ τοῦ Φάρου ἐγένετο τὰ πρὸς τὴν αὐτὴν Εἰρήνην τοῦ βασιλέως Λέοντος σπόνζα· καὶ τῇ ιζ΄ τοῦ Δεκεμβρίου μηνὸς ἐστέφθη ἐν τῷ τρικλίνῳ τοῦ Αὐγουστέως ἡ βασίλισσα Εἰρήνη, καὶ ἀπελθοῦσα ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Στεφάνου ἐν τῇ Δάφνῃ ἔλαβε τὰ τοῦ γάμου στέφανα σὺν τῷ τοῦ Κωνσταντίνου υἱῷ Λέοντι τῷ βασιλεῖ. ‖*

769/70. A. M. 6262 *Ῥώμης ἐπίσκοπος Ἀδριανὸς ἔτη κ΄.*
λ΄. ις΄. α΄. ε΄.

688 B *Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Βανάκας τὴν Ῥωμανίαν καὶ πολλοὺς ἠχμαλώτευσεν· καὶ Ῥωμαῖοι εἰσῆλθον εἰς τὴν τετάρτην Ἀρμενίαν καὶ*

---

1 ἦν] *ἐστι* y. — 2 *κυριακῆ* dfh. — *προεβάλλετο* z. — 3 et imperatoribus—imponentibus A. — 5 *ποιήσας νοβελίσιμον* h *ποιήσας νοβελήσιμον* fgx *ποιησάμενος βελήσιμον* em. — 7 *προῆλθεν* ef. — *ὑπατίαν* y. — *τριμήσια* y *τριμίσσια* c. — *σημίσια* dh *σιμίσια* g *σημίσσια* c *ἡμίσια* yA. — 8 *καὶ νομίσματα* om. y. — *καινούργεια* c *κηνούργια* em *κινούργια* d. — 9 *κθ΄*] *κε΄* f. — *versus* 10—13 *ἥμισυ post v.* 25 *inserit* A *v.* 13 *παρεκάθισε*—15 *κατηῤῥυμμένος idem om.* — 11 *ὁμοίως* om. em. — 13 *Ἄβδελας* d *Ἀβδελας sine acc.* c *Ἀβδελλάς* f *Ἀβδέλλας* em *Ἄβδελλας* h. — 13 *καμελαύκια* em. — *πηχός codd.* — *μιᾶς* om. f. — *δὲ* om. g. — *ὁ* om. c. — 14 *Ἀβδελάς* e *Ἄβδελας* d *Ἀβδελας sine acc.* c *Ἀβδελλᾶς* f *Ἀβδελλάς* m *Ἄβδελλας* h. — 15 *Σεπτεμβρίου* g *item v.* 20. — 16 *ἰν* ^{δ} *codd.* — *Εἰρήνα* c. — *ἐξ*] *ἀπό* d. — 17 *δρομόνων* dehm. — 18 *σειρικοῖς* x. — 19 *προσυπαντώντων* d. — *αὐτῆς* x. — 20 *ἀνελθόντος* y. — 21 *ἐγένοντο* x. — 22 *σπόνζα* emz *πόνζα* f *σπόντζα* x. — 25 *Λέοντος* c. — *τῷ βασιλεῖ om.* d. — 27 *ι΄*] *α΄* ef. — 28 *Βάνακας codd. praeter* g.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἐσκύλευσαν αὐτήν. τελευτᾷ δὲ ὁ Σάλεχ, καὶ μετεποιήθη Γερμανίκεια εἰς Παλαιστίνην.

Τῷ δ' αὐτῷ ἔτει μιμησάμενος ὁ Λαχανοδράκων τὸν διδάσκαλον αὐτοῦ πάντα μοναχὸν καὶ μονάστριαν τοὺς ὑπὸ τὸ θέμα τῶν Θρᾳκησίων ὄντας συνῆξεν εἰς Ἔφεσον καὶ ἐξαγαγὼν αὐτοὺς εἰς πεδίον λεγόμενον Τζουκανιστῆριν ἔφη πρὸς αὐτούς, ὅτι "ὁ μὲν βουλόμενος τῷ βασιλεῖ πειθαρχεῖν καὶ ἡμῖν ἐνδυσάσθω στολὴν λευκὴν καὶ λαβέτω γυναῖκα τῇ ὥρᾳ ταύτῃ, οἱ δὲ τοῦτο μὴ ποιοῦντες τυφλούμενοι εἰς Κύπρον ἐξορισθήσονται." καὶ ἅμα τῷ λόγῳ τὸ ἔργον ἐτελέσθη, καὶ πολλοὶ μάρτυρες ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀνεδείχθησαν, πολλοὶ δὲ καὶ λειποτακτήσαντες ἀπώλοντο, οὓς καὶ ᾠκειοῦτο ὁ Δράκων. τῇ δὲ αὐτῇ θ' ἰνδικτιῶνι, Ἰαννουαρίῳ μηνὶ ιδ', ἐτέχθη Λέοντι τῷ βασιλεῖ καὶ Εἰρήνῃ υἱός, καὶ ὠνομάσθη Κωνσταντῖνος, ζῶντος ἔτι Κωνσταντίνου τοῦ πάππου αὐτοῦ.

λα'. ιζ'. β'. ς'. A. M. 6263 770/771.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Βανάκας τὴν Ῥωμανίαν καὶ κατελθὼν ἀπὸ Ἰσαυρίας εἰς τὸ κάστρον Συκῆς παρεκάθισεν αὐτό. ἀκούσας δὲ ὁ βασιλεὺς ἔγραψε πρὸς Μιχαήλ, τὸν στρατηγὸν τῶν ἀνατολικῶν, καὶ πρὸς Μάνην, τὸν τῶν Βουκελλαρίων καὶ Βαρδάνην 689 B τὸν τῶν Ἀρμενιάκων. καὶ ἐλθόντες ἐκράτησαν τὴν ἔξοδον αὐτῶν κλεισοῦραν οὖσαν δύσβατον πάνυ. ὁ δὲ στόλος τῶν Κιβυραιωτῶν καταλαβὼν μετὰ Πετρωνᾶ [πρωτο]σπαθαρίου καὶ στρατηγοῦ αὐτῶν ὥρμησεν ἐν τῷ λιμένι τοῦ κάστρου. ὁ δὲ Βανάκας ἰδὼν καὶ ἀπογνοὺς ἑαυτοῦ παραθαρρύνει καὶ προθυμοποιεῖ τοὺς ἑαυτοῦ, καὶ ἀνελθὼν πρὸς τὰ καβαλλαρικὰ θέματα ἠλάλαξε καὶ τρέπει αὐτούς, καὶ ἀποκτείνας πολλοὺς καὶ αἰχμαλωτεύσας πάντα τὰ περίχωρα ἐκεῖνα ὑπέστρεψε μετὰ σκύλων πολλῶν.

Τῷ δ' αὐτῷ ἔτει ὁ τῶν Θρᾳκησίων στρατηγὸς Μιχαὴλ ὁ Λαχανοδράκων ἀποστείλας Λέοντα τὸν νοτάριον αὐτοῦ, τὸν ἐπιλεγόμενον Κουλούκην, καὶ Λέοντα ἀπὸ ἀββάδων τὸν Κουτζοδάκτυλον, ἔπρασε

---

1. 2 *Γερμανίκειαν εἰς τὴν Παλ.* h. — 6 *Τζουκανιστήριν* by *Τζουκανιστήριον* x. — 8 *γυναῖκας* f. — 10 *ἐν ἐκ. τῇ ἡμέρᾳ om.* em. — 11 *λιποτακτήσαντες* xy. — *οἰκειοῦτο codd.* — 12 *ἰνδ. θ'* g. — *ἰνδικτιόνι* h *ἰν vell.* — *Ιανουαρίῳ* z. — 16 *Βάνακας codd. praeter* g *item v.* 23. — 17 *αὐτῷ* gy. — 18 *τὸν om.* h. — 19 *Βάνην* y. — *στρατηγὸν post Βουκελλαρίων add.* f. — 20 *τὸν τῶν Ἀρμ. edd. τὸν om. codd.* — 21 *Κιβυρεῶτων* em *Κιβυριωτῶν* x *Κυβερεωτῶν* f *Κιβυρραιωτῶν* g. — 22 *Πέτρωνος* f cum Pretona A. — *σπαθαρίου* xA *πρωτοσπαθαρίου* yz. — 23 *ὥρμισεν* h. — 25 *καβαλαρικά* d *καββαλλαρικά* g. — *ἠλάλαξε καὶ τρέπει αὐτούς*] magnis et repentinis vocibus cum omnibus suis clamorem dedit sicque illos territos fugat A. — 26 *αἰχμαλωτίσας* h. — 29 *ἀποστείλας ante στρατηγός v.* 28 *collocant* z. — 30 *κουλούκιν* h. — *ἀβάδων* y. — *καὶ ἔπρασε* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάντα τὰ μοναστήρια ἀνδρεῖά τε καὶ γυναικεῖα καὶ πάντα τὰ ἱερὰ σκεύη καὶ βιβλία καὶ κτήνη, καὶ ὅσα ἦν εἰς ὑπόστασιν αὐτῶν, καὶ τὰς τούτων τιμὰς εἰσεκόμισε τῷ βασιλεῖ. ὅσα δὲ εὗρε μοναχικὰ καὶ πατερικὰ βιβλία πυρὶ κατέκαυσεν. καὶ εἴ που λείψανον ἁγίου ἐφάνη τις ἔχων εἰς φυλακτήριον, καὶ τοῦτο τῷ πυρὶ παρέδωκεν, τὸν δὲ
690 B ἔχοντα αὐτὸ ὡς ἀσεβοῦντα ἐκόλαζεν. καὶ πολλοὺς μὲν τῶν μοναχῶν
376 P διὰ μαστίγων ἀνήλωσεν, ἔστι δὲ οὓς διὰ ξίφους, ἀναριθμήτους δὲ ἐτύφλωσεν. καὶ τῶν μὲν τὰς ὑπήνας κηρελαίῳ ἀλείφων ὑφῆπτε πῦρ καὶ οὕτω τά τε πρόσωπα αὐτῶν καὶ τὰς κεφαλὰς κατέκαιεν, τοὺς δὲ μετὰ πολλὰς βασάνους ταῖς ἐξορίαις παρέπεμπεν. καὶ τέλος οὐκ εἴασεν εἰς ὅλον τὸ ὑπ' αὐτὸν θέμα ἕνα ἄνθρωπον μοναδικὸν περιβεβλημένον σχῆμα. ὃ καὶ μαθὼν ὁ μισάγαθος βασιλεὺς ἔγραψεν αὐτῷ εὐχαριστίας λέγων, ὅτι "εὗρόν σε ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιεῖς πάντα τὰ θελήματά μου." τοῦτον οὖν μιμησάμενοι καὶ οἱ λοιποὶ τὰ ὅμοια διεπράττοντο.

771/2. A. M. 6264 λβ'. ιή'. γ'. ζ'.

Τούτῳ τῷ ἔτει ἀπέστειλεν ὁ Ἀβδελᾶς εἰς Ἀφρικὴν τὸν Μουαλάβιτον μετὰ πολλοῦ στρατοῦ, καὶ εἰσῆλθεν ὁ Ἀλφαδὰλ Βαδινὰρ εἰς Ῥωμανίαν καὶ ἔλαβεν αἰχμαλώτους πεντακοσίους. οἱ δὲ Μομψουεστεῖς συναντηθέντες αὐτοῖς καὶ πολεμήσαντες ἀπέκτειναν ἐκ τῶν Ἀράβων χιλίους. ὁ δὲ Ἀβδελᾶς ἀπελθὼν εἰς τὰ Ἱεροσόλυμα ἐπενήστευσε καὶ ἐπέτρεψε γραφῆναι τοὺς Χριστιανοὺς καὶ τοὺς Ἑβραίους εἰς τὰς χεῖρας. καὶ πολλοὶ τῶν Χριστιανῶν διὰ θαλάσσης ἔφυγον εἰς Ῥωμανίαν. ἐκρατήθη δὲ ὁ Κούρικος Σέργιος ἔξωθεν Συκῆς, καὶ ὁ Λαχέρβαφος [Σέργιος] εἰς Κύπρον ἐκ προσώπου ὢν τῶν ἐκεῖσε.

772/3. A. M. 6265 λγ'. ιθ'. δ'. ή'.
691 B

Τούτῳ τῷ ἔτει μηνὶ Μαΐῳ ἰνδικτιῶνος ιβ' ἐκίνησε Κωνσταντῖνος στόλον χελανδίων β κατὰ Βουλγαρίας καὶ εἰσελθὼν καὶ αὐτὸς εἰς τὰ Ῥούσια χελάνδια ἀπεκίνησε πρὸς τὸ εἰσελθεῖν εἰς τὸν Δανοῦβιν ποταμὸν καταλιπὼν καὶ τοὺς τῶν καβαλλαρικῶν θεμάτων στρατηγοὺς ἔξω τῶν κλεισουρῶν, εἴ πως δυνηθῶσι τῶν Βουλγάρων

---

1 ἀνδρῶα f. — 2 βιβλία] βῆλα? — 4 ἅγιον z. — 5 παρεδίδου d. — 6 τῶν μοναχῶν om. y. — 7 ἔστι δὲ οὓς καὶ διά d οὓς δὲ διά y. — 8 ὑπήνας f ὑπήνεις rell. — 11 ἔασεν y. — 13 ἄνδρα om. y. — 15 διέπραττον y. — v. v. 16—25 om. d. — 17 ὁ om. cz. — Ἀβδελάς ce Ἀβδελλάς fm Ἄβδελλας h. — Μουαλάβητον hy. — 18 Βαδινάρ fm Βαδίναρ e Βαρινάρ (sine acc. c) cg Μαρινάρ h Badinar A. — 19 Μομψοεστεῖς c Μομψιστεῖς (-ῆς f) yA. — 20 αὐτῷ cz. — 21 Ἀβδελλᾶς f Ἀβδελλάς cem Ἄβδελλας h Abdelas A. — 24 δὲ om. f. — 25 Λαχέρφαβος ch. — Σέργιος om. y. — ὢν τῶν] ὄντων f. — 27 ἐν codd. — 29 ἐλθεῖν f. — Δανοῦβιν h Δανούβιν fm Δάνουβιν g Δανούβην de Δανούβιον c. — 30 καβαλαρικῶν d καββαλλαρικῶν g. — 31 κλεισούρων codd. praeter h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς αὐτὸν ἀσχολουμένων εἰσελθεῖν εἰς Βουλγαρίαν. ἐλθόντος δὲ αὐτοῦ ἕως τῆς Βάρνας, ἐδειλίασε καὶ ἐμελέτα ὑποστρέψαι. ἰδόντες δὲ οἱ Βούλγαροι καὶ δειλιάσαντες ἀπέστειλαν βοϊλᾶν καὶ Τζιγάτον, αἰτούμενοι εἰρήνην γενέσθαι. οὓς ἰδὼν ὁ βασιλεὺς καὶ περιχαρὴς γενόμενος ἐποίησεν εἰρήνην· καὶ ὤμοσαν ἀλλήλοις, μήτε Βουλγάρους ἐξελθεῖν κατὰ Ῥωμανίας, μήτε τὸν βασιλέα ἐπιτηδεῦσαι εἰσελθεῖν εἰς Βουλγαρίαν. καὶ ἐποίησαν ἔγγραφα ἐπὶ τούτῳ πρὸς ἀλλήλους. καὶ ὑποστρέψας ὁ βασιλεὺς εἰσῆλθεν ἐν τῇ πόλει ταξάτους ἀφεὶς ἐκ πάντων τῶν θεμάτων καὶ εἰς τὰ κάστρα ἅπερ ἔκτισεν. τῷ δὲ Ὀκτωβρίῳ μηνὶ τῆς ια΄ ἰνδικτιῶνος ἐδέξατο μανδάτον ὁ βασιλεὺς ἀπὸ Βουλγαρίας ἐκ τῶν κρυπτῶν φίλων αὐτοῦ, ὅτι ἀποστέλλει ὁ κῦρις Βουλγαρίας ιβ΄ χιλιάδας λαὸν καὶ βοϊλάδας πρὸς τὸ αἰχμαλωτίσαι τὴν Βερζιτίαν καὶ μεταστῆσαι αὐτοὺς εἰς Βουλγαρίαν. ὁ δὲ 692 B 377 P πρὸς τὸ μὴ γνωσθῆναι αὐτόν, ὅτι κατὰ Βουλγάρων κινεῖ· ἦσαν γὰρ ἐλθόντες πρὸς αὐτὸν ἀποκρισιάριοι τοῦ κυροῦ Βουλγαρίας, καὶ ἔτι τούτων ὄντων ἐν τῇ πόλει ἐσχηματίσατο κατὰ Ἀράβων κινεῖν· καὶ ἐπέρασαν τά τε φλάμουλα καὶ ἡ ὑπηρεσία. ἀπολύσας δὲ τοὺς ἀποκρισιαρίους καὶ μαθὼν διὰ κατασκόπων τὴν ἔξοδον αὐτῶν, ἐπάρας τὸν στρατὸν ἐν σπουδῇ ἀπεκίνησεν. καὶ ἐπισωρεύσας τοὺς ταξάτους τῶν θεμάτων καὶ τοὺς Θρᾳκησιάνους καὶ ἑνώσας τοῖς τάγμασι τοὺς ὀπτιμάτους ἐποίησεν αὐτοὺς π΄ χιλιάδας. καὶ ἀπελθὼν ἐν τόπῳ λεγομένῳ τὰ Λιθοσώρια ἐπέπεσεν αὐτοῖς ἀπερισαλπίγκτως καὶ τρέψας αὐτοὺς ἐποίησε νῖκος μέγα. καὶ μετὰ πολλῶν λαφύρων καὶ αἰχμαλώτων ὑπέστρεψε θριαμβεύσας ἐν τῇ πόλει, καὶ ἔμπρακτος εἰσελθὼν τὸν πόλεμον τοῦτον ἐπωνόμασεν εὐγενῆ, ὡς μηδενὸς αὐτῷ ἀντιστάντος, μηδὲ σφαγῆς ἢ ἐκχύσεως Χριστιανῶν αἱμάτων γενομένης.

λδ΄. κ΄. ε΄. θ΄. A. M. 6266 773/4.

Τούτῳ τῷ ἔτει εἰσῆλθον κεφαλαὶ σπ΄ ἀπὸ Ἀφρικῆς καὶ ἐπόμπευσαν ἐν Συρίᾳ. ὁ δὲ βασιλεὺς ὡς λύσας τὴν πρὸς τοὺς Βουλγάρους εἰρήνην ἐξώπλισε πάλιν στόλον πολύν. καὶ εἰσαγαγὼν εἰς αὐτὸν καβαλλαρικὸν χιλιάδας ιβ΄ ἀπέλυσε τοὺς στρατηγοὺς τῶν πλωϊ-

---

1 εἰς αὐτὸν *om.* y. — 2 usque ad Barnas A. — 3 βόϊλαν *codd. praeter* c *sine acc.* c. — τζίγατον h. — 5 ἀλλήλους g. — Βούλγαροι y. — 6 κατὰ Ῥωμανίαν g. — 7 ἐπὶ τοῦτο h. — 10 ια΄] ιβ΄ d. — ἰν *codd.* — 12 κύριος g κύρις *rell.* — βόϊλαν y. — πρός] εἰς y. — 13 Βερζιτίαν hx Βερζητίαν gy Verzitiam A. — καὶ μεταστῆσαι — Βουλγαρίαν *om.* h. — 17 ἐπέρασεν hx. — φλάμουλα z φλάμουρα xy. — ἀπολύσας δὲ zA καὶ ἀπολύσας x ἀπολύσας y. — 19 ἐπισορέξας g. — ταξάτας g τάτους em. — 20 Θρᾳκησιανούς df. — 21 π΄] ιγ΄ g. — 22 λεγομένῳ τά] τὰ λεγόμενα g. — Λιθοσόρια y. — ἐπ᾽ αὐτοῖς y αὐτούς d. — ἀπερισαλπίκτως *codd. praeter* g. — 23 μετὰ *om.* y. — 24 ἔμπρακτος em ἔμπρακτως f ἐμπράκτως gx ἐμπράκτους h. — 25 μηδενί em. — 27 θ΄ *om.* ef. — 30 πάλιν *et* καὶ *om.* g. — 31 καββαλλαρικόν g καβαλαρικόν d. — πλοϊμάτων d πλωΐμων cg πλοΐμων h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

693 B μάτων πάντας σὺν αὐτῷ. αὐτὸς δὲ φοβηθεὶς ἔμεινεν εἰς τὸ καβαλλαρικόν. εἰσελθόντων δὲ αὐτῶν ἕως τῆς Μεσημβρίας, καὶ ἀνέμου σφοδροῦ βορρᾶ πνεύσαντος, πάντα μικροῦ δεῖν συνετρίβησαν, καὶ πολλοὶ ἀπώλοντο· καὶ ὑπέστρεψε μηδὲν ποιήσας. ὁ δὲ Τελέριγος, ὁ κῦρις Βουλγαρίας, γνοὺς ὅτι ἐκ τῶν οἰκείων αὐτοῦ τὰς βουλὰς αὐτοῦ ὁ βασιλεὺς μανθάνει, γράφει αὐτῷ, ὅτι "βουλῆς εἰμι τοῦ ἐκφυγεῖν καὶ ἐλθεῖν πρός σε. ἀλλὰ πέμψον μοι λόγον ἀπαθείας μου, καὶ τίνας φίλους ἔχεις ἐνταῦθα, ἵνα θαρρήσω αὐτοῖς, καὶ συνδράμωσί μοι." ὁ δὲ κουφότητι ἔγραψεν αὐτῷ, κἀκεῖνος μαθὼν ἐκούρασε πάντας. ὅπερ ἀκούσας Κωνσταντῖνος πολλὰ τὰς πολιὰς αὐτοῦ ἔτιλλεν.

714/5. A. M. 6267 λε'. κα'. ς'. ί'.

Τούτῳ τῷ ἔτει τῆς ιγ' ἰνδικτιῶνος μηνὶ Αὐγούστῳ ἐξῆλθεν ὁ βασιλεὺς Κωνσταντῖνος κατὰ Βουλγάρων. καὶ δεινῶς κατὰ τῶν σκελῶν θεηλάτῳ πληγῇ ἀνθρακωθεὶς κἀντεῦθεν πυρετῷ σφοδροτάτῳ
378 P καὶ ἰατροῖς ἀγνώστῳ δι' ὑπερβάλλουσαν ἔκκαυσιν συσχεθεὶς κατὰ τὴν Ἀρκαδιούπολιν ὑπέστρεψεν, ἐπ' ὤμων ἐν κραββάτῳ φερόμενος κατὰ τῶν ὑπηκόων. καὶ ἐλθὼν ἐν Σηλυμβρίᾳ καὶ ἐμπλωίσας τῇ ιδ' τοῦ Σεπτεμβρίου μηνὸς τῆς ιδ' ἰνδικτιῶνος φθάσας ἐν τῷ Στρογγύλῳ καστελλίῳ οἰκτρῶς ἐν τῷ χελανδίῳ θνήσκει βοῶν καὶ λέγων, ὅτι
694 B "ζῶν ἔτι πυρὶ ἀσβέστῳ παρεδόθην," τήν τε ἁγίαν παρθένον καὶ θεοτόκον ὑμνεῖσθαι ἐξαιτῶν ὁ ἄσπονδος αὐτῆς ἐχθρός. ἐβασίλευσε δὲ αὐτοκράτωρ μετὰ τὴν τοῦ πατρὸς αὐτοῦ τελευτὴν ἔτη λδ', μῆνας β', ἡμέρας κς'. καὶ οὕτω κατέλυσε τὸν βίον αἵμασι πολλοῖς Χριστιανῶν μεμολυσμένος καὶ δαιμόνων ἐπικλήσεσι καὶ θυσίαις διωγμοῖς τε τῶν ἁγίων ἐκκλησιῶν καὶ τῆς ὀρθῆς τε καὶ ἀμωμήτου πίστεως ἔτι τε μοναχῶν ἀναιρέσεσι καὶ κοινώσεσι μοναστηρίων καὶ παντοίοις ὑπερακμάσας κακοῖς οὐχ ἧττον Διοκλητιανοῦ καὶ τῶν πάλαι τυράννων. ἐν δὲ τῷ αὐτῷ μηνὶ θνήσκει καὶ Ἀβδελᾶς, ὁ τῶν Ἀράβων ἀρχηγός. οὗτοι οἱ δύο δεινότατοι θῆρες χρονίως καὶ κατὰ ταὐτὸ τὸ ἀνθρώπινον φῦλον κατανεμόμενοι τεθνήκασι θεοῦ προνοίᾳ, καὶ

---

1 καβαλαρικόν d καββαλλαρικόν g. — 2 ἐλθόντων g. — 4 Τελέριγος czA Τελέριχος dy Zon. XV, 8. — ὁ κύριος g κύρις *rell.* — αὐτοῦ *om.* y. — 6 τοῦ *om.* y. — 8 ἔχεις φίλους dz. — 12 ἰνδικτιόνος h ἰν *rell.* — 14 πληγῇ yA ὀργῇ xz. — 16 ἐπ' ὤμον g. — κραβάτῳ d κραβάττῳ c. — 17 Συλυμβρίᾳ emx Georg. Mon. p. 655 Συλυβρίᾳ h Σιλυβρίᾳ g Μεσημβρίᾳ *sed* Μεση *in lit. sec. m.* f. — ἐμπλοΐσας hx ἐμπλοήσας y εὐπλοήσας g. — 17 ιδ' — 18 τῆς *om.* h. — 18 τῆς *om.* f. — ἰν *codd.* — Στρογγυλῷ dg *sine acc.* c. — 19 καὶ οἰκτρῶς g. — 19 βοῶν — 20 παρεδόθην *om.* em. — 20 τε *om.* h. — 21 ὁ ἀσπόνδως f ὡς ἄσπονδος g. — 26 κοινώσεσι] violationibus A κοινώσει *codd.* — 28 praeterea eodem anno et eodem mense A. — Ἀβδελᾶς cem Ἄβδελας d Ἀβδελλᾶς f Ἄβδελλας h. — 29 κατ' αὐτό xz κατ' αὐτῶν y. — 30 κατατεμνόμενοι d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρατοῦσι Λέων καὶ Μαδί, οἱ υἱοὶ αὐτῶν. τῷ δ' αὐτῷ ἔτει καὶ ὁ τῶν Λογγιβάρδων ῥὴξ Θεόδοτος ἐν τῇ βασιλίδι ἐληλυθὼς πόλει τῷ βασιλεῖ προσέφυγεν.

Κόσμου ἔτη ,ςσξή'.	Τῆς θείας σαρκώσεως ἔτη ψξή'.	Ῥωμαίων βασιλεὺς Λέων ἔτη ε'. α'.	Ἀράβων ἀρχηγὸς Μαδὶ ἔτη θ'. α'.	Ῥώμης ἐπίσκοπος Ἀδριανὸς ἔτη κζ'. ζ'.	Κωνσταντ. ἐπίσκοπος Νικήτας ἔτη ιδ'. ια'.	A. M. 6268 775/6. 776/7

Τούτῳ τῷ ἔτει ἀποστείλας Μαδὶ τὸν Ἀβασβαλὶ κατὰ Ῥωμανίας μετὰ δυνάμεως πολλῆς, ἤνοιξε τὸ σπήλαιον τὸ ἐπιλεγόμενον Κάσιν ἀπὸ καπνοῦ, καὶ λαβὼν τοὺς ἐν αὐτῷ αἰχμαλώτους ὑπέστρεψεν. ὁ 695 B δὲ βασιλεὺς Λέων ἤρξατο ἁπλοῦσθαι εἰς τὰ καταλειφθέντα αὐτῷ ὑπὸ τοῦ πατρὸς χρήματα καὶ ἐξευμενίσατο τὸν λαὸν καὶ τοὺς ἐν τῇ πόλει· καὶ ἔδοξεν εὐσεβὴς εἶναι πρὸς ὀλίγον χρόνον καὶ φίλος τῆς ἁγίας θεοτόκου καὶ τῶν μοναχῶν· ὅθεν καὶ μητροπολίτας ἐκ τῶν ἀββάδων ἐν τοῖς πρωτίστοις θρόνοις προεβάλετο· στρατεύματά τε ἐποίησε κατὰ θέμα πολλὰ καὶ τὰ τάγματα ἐπηύξησεν· ὅθεν κινηθέντες οἱ τῶν θεμάτων ἄρχοντες εἰσῆλθον πάντες σὺν πολλῷ πλήθει λαοῦ αἰτούμενοι Κωνσταντῖνον τὸν υἱὸν αὐτοῦ εἰς βασιλέα. ὁ δέ, 379 P ὡς ἔθος τοῖς βασιλεῦσιν, ἀντεδήλου αὐτοῖς, ὅτι "ὁ υἱός μου μονογενής μοί ἐστιν, καὶ φοβοῦμαι τοῦτο ποιῆσαι, μήπως συμβῇ μοι τὸ ἀνθρώπινον, καὶ νηπίου αὐτοῦ ὄντος θανατώσητε αὐτὸν καὶ ἄλλον προβάλησθε. οἱ δὲ μεθ' ὅρκων ὡμολόγουν πληροφορεῖν αὐτὸν μὴ βασιλευθῆναι ἐκτὸς τοῦ υἱοῦ αὐτοῦ, εἰ καὶ θανεῖν αὐτὸν θελήσῃ ὁ θεός. τοῦτο δὲ ἀπὸ τῆς κυριακῆς τῶν βαΐων ἕως τῆς μεγάλης πέμπτης τοῦ λαοῦ ἐνοχλοῦντος καὶ ἐν τῷ ἱπποδρομίῳ σωρευομένου καὶ αἰτουμένου, τῇ ἁγίᾳ παρασκευῇ ἐκέλευσεν ὀμόσαι αὐτούς. καὶ ὤμοσε πᾶς ὁ λαὸς εἰς τὰ τίμια καὶ ζωοποιὰ ξύλα, οἵ τε τῶν θεμά- 696 B των καὶ τῆς συγκλήτου καὶ τῶν ἔσω ταγμάτων καὶ τῶν πολιτῶν πάντων καὶ ἐργαστηριακῶν, τοῦ μὴ δέξασθαι βασιλέα ἐκτὸς Λέοντος καὶ Κωνσταντίνου καὶ τοῦ σπέρματος αὐτῶν, καὶ ἐποίησαν ἔγγραφα καθὼς ὤμοσαν ἰδιόχειρα αὐτῶν· καὶ τῇ ἐπαύριον, ἥ τις ἦν τὸ ἅγιον σάββατον, ἐξῆλθεν ὁ βασιλεὺς εἰς τὸ τριβουνάλιον τῶν ιθ' ἀκουβί-

1 *Μαδίς* h. — *οἱ om.* yz. — *αὐτοῦ* c. — *καὶ om.* f. — 2 *βασιλευούσῃ* g. — 6[4] Madi A *Μαδίς* cemz *Μαδής* f. — 8[5] *ζ' om.* ef. — 9 *ἀποστέλλει — καὶ ἤνοιξε* y. — *Ἀβασβαλή* g *Βασβαλί* f. — 10 *Κάπνισιν* Combefis. — 12 *καταληφθέντα* hy. — 13 *τοὺς ἐν τέλει?* tam optimates quam populum A. — 15 *ἁγίας om.* z. — *μοναχῶν*] *ἁγίων* h. — 16 *ἀβάδων* chy. — *πρωτείοις* em. — *προεβάλλετο* g. — 17 *τὰ om.* gy. — et ordines in urbe amplificavit A. — *ὅθεν om.* y. — 22 *θανατώσετε* y. — 23 *προβάλεσθε* em *προβάλεσθαι* h *προβάλλεσθε* g *προβάλλεσθαι* f. — *μεθ' ὅρκου* h *μετ' ὅρκων* em. — *ὡμολόγουν om.* g. — 24 *αὐτῷ* g. — *θελήσει* yz. — 25 *τῆς κυρ. τῆς βαϊοφόρου* y. — 26 *τοῦ λαοῦ ἐνοχλ. καὶ om.* y. — *ἱπποδρομείῳ* xy. — 30 *καὶ τῶν ἐργαστ.* h.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των καὶ προεβάλετο νοβελίσιμον Εὐδόκιμον, τὸν ἀδελφὸν αὐτοῦ. τὸν γὰρ Ἄνθιμον ζῶν ὁ πατὴρ προεβάλετο. καὶ προῆλθεν ὁ βασιλεὺς σὺν τοῖς δυσὶ καίσαρσι καὶ τρισὶ νοβελισίμοις καὶ τῷ νέῳ Κωνσταντίνῳ εἰς τὴν μεγάλην ἐκκλησίαν, καὶ ὑπαλλάξας τὴν ἐνδυτήν, ὡς ἔθος ἐστὶ τοῖς βασιλεῦσιν, ἀνῆλθεν ἐν τῷ ἄμβωνι σὺν τῷ υἱῷ αὐτοῦ καὶ τῷ πατριάρχῃ· καὶ εἰσελθὼν πᾶς ὁ λαὸς ἀπέθεντο τὰ ἔγγραφα αὐτῶν ἐν τῇ ἁγίᾳ τραπέζῃ. ὁ δὲ βασιλεὺς διελάλησεν οὕτως· "ἰδού, ἀδελφοί, τὴν αἴτησιν ὑμῶν πληρῶ καὶ δωροῦμαι ὑμῖν τὸν υἱόν μου εἰς βασιλέα. ἰδοὺ ἐκ τῆς ἐκκλησίας καὶ τῆς χειρὸς τοῦ Χριστοῦ αὐτὸν παραλαμβάνετε." οἱ δὲ μεγάλῃ τῇ φωνῇ ἐβόησαν, λέγοντες· "ἀντιφώνησον ἡμᾶς, υἱὲ τοῦ θεοῦ, ὅτι ἐκ τῆς χειρός σου παραλαμβάνομεν τὸν κῦριν Κωνσταντῖνον βασιλέα τοῦ φυλάττειν αὐτὸν καὶ ὑπεραποθνήσκειν αὐτοῦ." καὶ τῇ ἐπαύριον, ἥτις ἦν ἡ μεγάλη κυριακὴ τοῦ πάσχα, ⟨μηνὶ Ἀπριλλίῳ κδ'⟩
697 B ἰνδικτιῶνος ιδ', ὥρᾳ αὐγῆς, ἐξελθὼν ὁ βασιλεὺς σὺν τῷ πατριάρχῃ ἐν τῷ ἱπποδρομίῳ, καὶ ἐνεχθέντος ἀντιμισσίου, παντὸς τοῦ λαοῦ ὁρῶντος, ἐποίησεν ὁ πατριάρχης τὴν εὐχήν, καὶ ἔστεψεν ὁ βασιλεὺς τὸν υἱὸν αὐτοῦ· καὶ οὕτω προῆλθον ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ οἱ δύο βασιλεῖς σὺν τοῖς δυσὶ καίσαρσι καὶ τρισὶ νοβελισίμοις. προῆλθε δὲ καὶ ἡ βασίλισσα Εἰρήνη μετὰ τὸ προελθεῖν τοὺς βασιλεῖς ὀψικευομένη ὑπὸ τῶν σκήπτρων διὰ τῶν σχολῶν, καὶ ἀνῆλθε διὰ τοῦ ἀναβασίου τῆς Χαλκῆς εἰς τὰ κατηχούμενα τῆς ἐκκλησίας μὴ ἐξ-
380 P ελθοῦσα εἰς τὴν μέσην τοῦ ἐμβόλου. τῷ δὲ Μαΐῳ μηνὶ τῆς αὐτῆς ἰνδικτιῶνος διεβλήθη Νικηφόρος, ὁ καῖσαρ καὶ ἀδελφὸς τοῦ βασιλέως, τῷ βασιλεῖ ὡς ἐπιβουλὴν σκευάζων κατ' αὐτοῦ μετὰ σπαθαρίων τινῶν καὶ στρατόρων καὶ ἑτέρων βασιλικῶν ἀνθρώπων· καὶ ποιήσας ὁ βασιλεὺς σιλέντιον ἐν τῇ Μαγναύρᾳ ἀνέθετο τῷ λαῷ τὰ περὶ αὐτοῦ ῥηθέντα. οἱ δὲ ὁμοθυμαδὸν ἀνεβόησαν τοῦ παραστα-
λῆναι ἀμφοτέρους ἐκ τοῦ μέσου, μὴ μνησθέντες οἱ ἀεὶ ἐπίορκοι ἃ ὤμοσαν τῷ πατρὶ αὐτῶν, μὴ καταδέχεσθαι μετὰ θάνατον αὐτοῦ ἀδικηθῆναι τὰ τέκνα αὐτοῦ. ὁ δὲ βασιλεὺς τοὺς μὲν νεωτερίσαντας

---

1 προεβάλλετο g *item v.* 2. — νοβελίσιμον h νοβελήσιμον fgx νοβελήσιον em. — 3 δυσί] reliquis A. — νοβελισίμοις (*om.* τρισὶ) g τρισὶν ὀβελισίμοις h τρισὶ νοβελησίμοις emx τρισὶν ὀβελησίμοις f. — 8 ὑμῶν *om.* y. — 10 καὶ ἐκ τῆς χ. f. — 11 ἀνεβόησαν d. — 14 μηνὶ Ἀπριλλίῳ κδ' *add. ex* A *om. codd.* — 15 ἰν ιδ' dy ιά' ἰν cz. — 16 ἱπποδρομείῳ xy. — ἀντμισσίου d ἀντιμισίου cz. — 17 ἐποίησεν εὐχὴν ὁ πατρ. z. — 18 προῆλθεν g. — 19 τρισὶν ὀβελισίμοις h τρισὶ νοβελησίμοις emx τρισὶν ὀβελησίμοις fg. — 20 ὀψηκευομένη h ὀψικευμένη m. — 22 Catechumenia A. — 24 ἰν *codd.* — καίσαρ dhy. — 26 ἑτέρων *om.* g. — 27 σηλέντιον h. — 28 περὶ αὐτῶν c. — τοῦ *om.* x. — 30. 31 ἀδικηθῆναι τὰ τέκνα αὐτοῦ μετὰ θ. αὐτοῦ x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δείρας τε καὶ κουρεύσας ἐξώρισεν εἰς Χερσῶνα καὶ τὰ κλίματα ὑπὸ παραφυλακὴν καὶ ἀσφάλειαν.

β'. β'. η'. ιβ'. A. M. 6269 776/7.

Τούτῳ τῷ ἔτει εἰσῆλθε Θουμάμας ὁ τοῦ Βάκα εἰς Ῥωμανίαν 698 B καὶ λαβὼν αἰχμαλωσίαν ὑπέστρεψεν. καὶ προσέφυγε Τελέριγος, ὁ τῶν Βουλγάρων κύριος, εἰς τὸν βασιλέα· καὶ ἐποίησεν αὐτὸν πατρίκιον ζεύξας αὐτῷ καὶ τὴν τῆς γυναικὸς αὐτοῦ Εἰρήνης ἐξαδέλφην. δεξάμενος δὲ αὐτὸν βαπτισθέντα ἐκ τῆς ἁγίας κολυμβήθρας μεγάλως αὐτὸν ἐτίμησε καὶ ἠγάπησεν.

γ'. γ'. θ'. ιγ'. A. M. 6270 777/8.

Τούτῳ τῷ ἔτει ἐκάθισε Θουμάμας εἰς τὸ Δάβεκον καὶ ἐστασίασεν. Λέων δὲ ὁ βασιλεὺς ἀπέλυσε τὰ στρατεύματα τῶν Ῥωμαίων, καὶ εἰσῆλθον ἐν Συρίᾳ χιλιάδες ρ', ὧν ἡγοῦντο Μιχαὴλ ὁ Λαχανοδράκων τῶν Θρᾳκησίων, καὶ Ἀρτάνασδος ὁ Ἀρμένιος τῶν ἀνατολικῶν, καὶ Τατζάτης τῶν Βουκελλαρίων καὶ Καριστερότζης τῶν Ἀρμενιάκων, καὶ Γρηγόριος ὁ τοῦ Μουσουλακίου τῶν Ὀψικιάνων, καὶ ἐκύκλωσαν τὴν Γερμανίκειαν. καὶ ἦν ἐκεῖ Ἰσβααλί, ὁ θεῖος τοῦ Μαδί, καὶ ἔλαβον πάσας τὰς καμήλους αὐτοῦ, καὶ ἤμελλον παραλαμβάνειν καὶ τὴν Γερμανίκειαν, εἰ μὴ διὰ δώρων ἔπεισε τὸν Λαχανοδράκοντα ὁ Ἰσβααλί, καὶ ἀνεχώρησε τοῦ κάστρου καὶ ἐξῆλθεν εἰς πραῖδαν τῆς χώρας, καὶ αἰχμαλωτεύσας τοὺς αἱρετικοὺς Ἰακωβίτας Σύρους πάλιν ὑπέστρεψεν ἐν τῷ κάστρῳ. καὶ πέμψας Θουμάμας στρατὸν ἐκ τοῦ Δαβέκου καὶ ἀμηράδας, ἐπολέμησαν μετὰ τῶν Ῥωμαίων, καὶ ἔπεσον 699 B πέντε ἀμηράδες καὶ δύο χιλιάδες Ἄραβες, ὥς φασιν· καὶ τῇ παρασκευῇ ὑπέστρεψαν. ἦσαν γὰρ εἰσελθόντες τῇ κυριακῇ. ὁ δὲ βασιλεὺς ποιήσας Μαϊουμᾶν ἐν Σοφιαναῖς ἐκάθισεν ἐπὶ σένζου μετὰ τοῦ υἱοῦ αὐτοῦ, καὶ οὕτως ἐθριάμβευσαν οἱ στρατηγοὶ τὰ ἐπινίκια.

---

1 τε *om.* dm. — εἰς Χερσῶνα καὶ τὰ κλίματα xA εἰς Χερσῶνα τοῖς κλίμασιν y εἰς Χερσῶνος τὰ κλίματα z. — 3 ιβ'] ιη' f. — 4 Θουμάμας em Θουμαμας *sine acc.* c Θουμανάς f Θουμανᾶς (*ν pr. m. corr. ex* μ *et* Θου *pr. m. in lit.*) d Οὐτθμᾶς g Οὐτθμάς h. — Βάκα y Κάκα xz. — 5 Τελέριγος dA Τελέγυρος cy Τέλερος z. — 7 τὴν *om.* f. — 8 ἐκ *om.* y. — 11 Θουμάμας y Θουμαμᾶς d Θουμαμας *sine acc.* c Οὐτθμᾶς g Οὐτθμάς h Ithimamas A. — τό] τά em. — Δαβέκον em. — 12 ἀπέστειλε y. — 14 τῶν Θρᾳκησίων — 15 τῶν Ἀρμενιάκων *om.* f. — 14 Ἀρτάβαστος h. — ὁ *ante* Ἀρμένιος *om.* g. — 15 Τατζ. ὁ τῶν emz. — Κριστερότζης em Καρτερότζης d Basterotzes A. — 17 Γερμανικείαν f Γερμανίκιαν em. — 17 καὶ ἦν — 19 Γερμανίκειαν *om.* g. — 17 Ἰσβααλί *om.* d. — 19 καὶ *om.* h. — Γερμανικίαν f. — 20 Ἰσβαλί em Βασβαλί d. — πραῖδα y. — 20. 21 τῆς χώρας] τοῦ κάστρου c *om.* d. — 21 τοὺς Ἰακωβίτας αἱρετικοὺς Σύρους y. — 22 εἰς τὸ κάστρον x. — Θουμάμας ce Θουμαμᾶς d Ὀθουμάμας f Ἰθουμάμας mA Οὐτθμᾶς g Οὐτθμάς h. — 23 Δαβέκου A *cf. v.* 11 Δεβέκου (-κοῦ c) *codd.* — ἐπολέμησεν z. — 24 δύο] sex A. — 25 ἐλθόντες d. — 26 μαϊμάν em. — σένζου z σέντζου x *et ut vid.* f σένσου em. — 27 οἱ στρατηγοί] τῶν σαρακινῶν c *om.* d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπέρασε δὲ καὶ τοὺς αἱρετικοὺς Σύρους ἐν τῇ Θρᾴκῃ καὶ κατῴκισεν αὐτοὺς ἐκεῖ.

778/9. A. M. 6271 δ'. δ'. ι'. ιδ'.

381 P Τούτῳ τῷ ἔτει θυμωθεὶς ὁ τῶν Ἀράβων ἀρχηγὸς Μαδὶ πέμπει τὸν Ἄσαν μετὰ δυνάμεως πολλῆς Μαυροφόρων τε καὶ τῶν τῆς Συρίας καὶ Μεσοποταμίας, καὶ κατῆλθεν ἕως τοῦ Δορυλαίου. ὁ δὲ βασιλεὺς διετάξατο τοῖς στρατηγοῖς μὴ πολεμῆσαι αὐτοὺς δημόσιον πόλεμον, ἀλλ' ἀσφαλίσασθαι τὰ κάστρα καὶ λαὸν εἰσενεγκεῖν πρὸς παραφυλακὴν αὐτῶν, ἀπολύσας καὶ ἄρχοντας μεγάλους κατὰ κάστρον, αὐτοὺς δὲ ἐπᾶραι ἐπιλέκτους στρατιώτας ἀνὰ τριῶν χιλιάδων καὶ παρακολουθεῖν αὐτοῖς πρὸς τὸ μὴ σκορπίσαι κοῦρσα καὶ προκαίειν πυρὶ τάς τε νομὰς τῶν ἀλόγων, καὶ εἴ που εὑρίσκοιτο δαπάνη. καθεσθέντων δὲ αὐτῶν ἐν τῷ Δορυλαίῳ ἡμέρας ιε' καὶ λειφθέντων αὐτῶν τὰ πρὸς τὴν χρείαν, ἐπτώχευσαν τὰ ἄλογα αὐτῶν· καὶ πολλὴ ἄλωσις ἐγένετο
700 B εἰς αὐτά. καὶ ὑποστρέφοντες παρεκάθισαν τὸ Ἀμῶριν ἡμέραν μίαν, καὶ ἰδόντες αὐτὸ ὠχυρωμένον καὶ πολλὴν ἐξόπλισιν ἔχον ὑπέστρεψαν μηδὲν ἀνύσαντες.

779/80. A. M. 6272 Κωνσταντινουπόλεως ἐπίσκοπος Παῦλος ἔτη ε'.

ε'. ε'. ια'. α'.

Τούτῳ τῷ ἔτει ἔρχεται Μαδί, ὁ τῶν Ἀράβων ἀρχηγός, εἰς τὸ Δάβεκον μετὰ πολλῆς δυνάμεως καὶ ἐξοπλίσεως καὶ ἀποστέλλει τὸν υἱὸν αὐτοῦ Ἀαρὼν ἐπὶ τὴν Ῥωμανίαν, καὶ αὐτὸς ὑποστρέφει ἐπὶ τὴν ἁγίαν πόλιν. καὶ πέμπει Μουχεσίαν, Ζηλωτὴν λεγόμενον, καὶ δίδει αὐτῷ ἐξουσίαν ἀποστατεῖν τοὺς δούλους τῶν Χριστιανῶν καὶ ἐρημοῦν τὰς ἁγίας ἐκκλησίας· καὶ ἔρχεται ἕως Ἐμέσης καὶ ἐπαγγέλλεται μὴ ἀναγκάζειν εἰ μὴ τοὺς ἀπὸ ἀπίστων εἰς τὸ μαγαρίσαι, ἕως ἂν ἐφανερώθησαν οἱ Ἑβραῖοι καὶ Χριστιανοί. καὶ εὐθέως ἤρξατο ἀθέως βασανίζειν, ὡς οὐδὲ Δυσίας καὶ Ἀγρικόλαός ποτε, καὶ πολλοὺς ἀπώλεσεν. γυναῖκες δὲ ἐνίκησαν αὐτοῦ τὴν μανίαν χάριτι Χριστοῦ τοῦ θεοῦ ἡμῶν, καὶ αὐταὶ νουβίτισσαι, ἡ τοῦ ἀρχιδιάκονος Ἐμέσης, καὶ ἡ τοῦ υἱοῦ τοῦ Ἡσαΐου, πολλὰ βασανισθεῖσαι καὶ μὴ ὑπείξασαι τῇ ἀσεβείᾳ. ἀπὸ γὰρ χιλιάδος βουνεύρων λαβοῦσαι καὶ ἄλλων

---

1 κατῴκησεν codd. — 3 ιδ'] δ' c α' f. — 4 Μαδή f. — 5 Ἄσαν g sine acc. c. — 6 Δωρυλαίου d. — 7 αὐτούς] αὐτόν x. — 8. 9 πρὸς φυλακήν h εἰς φυλακήν x. — 9 ἀπολ. δὲ καί h. — 10 ἐπιλέκτους στρατιώτας om. g. — 11 αὐτούς d. — κοῦρσον g. — 12 εὑρίσκετο y. — 13 ιε'] ιζ' c. — ληφθέντων y. — 15 ὑποστρέφοντες xz ὑποστρέψαντες y. — Ἀμώριον g. — 16 ὀχυρωμένον yz. — v. 18 om. h. — 19 ε'. ε'. ε'. ια' c. — 21 Δύβεκον x Δυσέβεκτον (Δυσσ. f) y. — 22 τὴν om. d. — 23 Μαχεσίαν g Mucthesian vel Muchthesian A. — 24 αὐτοῦ h. — 27 οἱ Χριστ. h. — 28 ὡς] οὗς g. — 30 αὗται g. — νουβήτισσαι f νουβίτησαι h. — ἀρχιδιακόνου d. — 31 τοῦ Ἡσ.] αὐτοῦ Ἡσαΐου z. — ὑπήρξασαι em. — 32 ἀπό] ἀνά? — χιλίων d ,α c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλῶν κολαστηρίων πειραθεῖσαι τὸν στέφανον τῆς νίκης παρὰ 701 B
Χριστοῦ ἐκομίσαντο. ἔφθασε δὲ καὶ ἕως Δαμασκοῦ καὶ πολλὰς ἐκ- 382 P
κλησίας ἠρήμωσε μὴ προσχὼν τῷ δοθέντι λόγῳ τοῖς Χριστιανοῖς
ὑπὸ τῶν Ἀράβων. τῇ δὲ ϛ' τοῦ Φεβρουαρίου μηνὸς τῆς γ' ἰνδικτιῶνος
ἡμέρᾳ κυριακῇ τῆς Τυροφάγου τέθνηκε Νικήτας ὁ ἀπὸ Σκλάβων
εὐνοῦχος πατριάρχης Κωνσταντινουπόλεως. καὶ τῇ δευτέρᾳ κυριακῇ
τῶν νηστειῶν Παῦλος ὁ τίμιος, ἀναγνώστης ὑπάρχων, Κύπριος τῷ
γένει, λόγῳ καὶ πράξει διαλάμπων, μετὰ πολλὴν παραίτησιν διὰ τὴν
κρατοῦσαν αἵρεσιν βίᾳ πολλῇ χειροτονεῖται πατριάρχης Κωνσταντι-
νουπόλεως. τῇ δὲ μέσῃ ἑβδομάδι τῶν νηστειῶν ἐκρατήθη Ἰάκωβος
πρωτοσπαθάριος καὶ Παπίας καὶ Στρατήγιος καὶ Θεοφάνης οἱ κου-
βικουλάριοι καὶ παρακοιμώμενοι, Λέων τε καὶ Θωμᾶς, κουβικουλά-
ριοι καὶ οὗτοι, σὺν καὶ ἑτέροις εὐλαβέσιν ἀνδράσιν ὡς προσκυνοῦντες
τὰς [ἁγίας καὶ] σεπτὰς εἰκόνας. τότε ἀπογυμνώσας τὴν ἑαυτοῦ
ἐγκεκρυμμένην κακίαν Λέων, ὁ τοῦ διώκτου υἱός, τούτους ἀνηλεῶς
δείρας τε καὶ κουρεύσας διὰ τῆς Μέσης τε δεδεμένους πομπεῦσαι
ποιήσας εἰς τὸ πραιτώριον ἀπέκλεισεν, ἐν οἷς καὶ ἀποθνήσκει ὁ
προρρηθεὶς Θεοφάνης ὁμολογητὴς γενόμενος καὶ τὸν στέφανον τοῦ
μαρτυρίου κομισάμενος· οἱ δὲ λοιποὶ πάντες μετὰ τὴν τούτου τελευ-
τὴν δόκιμοι μοναχοὶ ἀνεδείχθησαν. ὁ δὲ Ἀαρὼν εἰσελθὼν εἰς τὸ 702 B
τῶν Ἀρμενιάκων θέμα παρεκάθισε τὸ Σημαλοῦος κάστρον ὅλον τὸ
θέρος καὶ τῷ Σεπτεμβρίῳ μηνὶ παρέλαβεν αὐτὸ ὑπὸ λόγον. ἦν δὲ
πέμψας τὸν Θουμάμαν ἐπὶ Ἀσίαν μετὰ ν' χιλιάδων, καὶ συναντήσας
Μιχαὴλ ὁ Δαχανοδράκων κούρσῳ αὐτοῦ μικρῷ ἐπολέμησεν αὐτὸ καὶ
ἔκτεινε τὸν ἀδελφὸν τοῦ Θουμάμα. τῇ δὲ ἡ' τοῦ Σεπτεμβρίου μηνὸς
τῆς δ' ἰνδικτιῶνος τέθνηκε Λέων, ὁ υἱὸς Κωνσταντίνου, τρόπῳ
τοιούτῳ. λιθομανὴς ὑπάρχων λίαν ἠράσθη τοῦ στέμματος τῆς με-
γάλης ἐκκλησίας καὶ λαβὼν ἐφόρεσεν αὐτό. καὶ ἐξῆλθον ἄνθρακες
ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ληφθεὶς σφοδρῷ πυρετῷ τέθνηκε βασι-
λεύσας παρὰ ἓξ ἡμέρας ἔτη πέντε.

1 πειραθῆσαι y πειρασθεῖσαι z κολασθεῖσαι c πεῖραν δεξάμεναι d. — 3 ἐρήμωσε yz. — τῷ om. f. — Φευρουαρίου dfmz. — 4 γ'] ιγ' g. — ἰν codd. item v. 26. — 5 τῆς τυροφάγου om. x. — Νικήτας] εὐνοῦχος g om. m. — Σκλαβῶν f. — 11 Παππίας g. — Θεοφάνιος cy item v. 18. — οἱ κουβικουλάριοι yA ὁ κουβικουλάριος xz. — 12 καὶ παρακ. — κουβικουλάριοι om. y. — παρακοιμώμενοι A παρακοιμώμενος xz. — 13 καὶ ante ἑτέροις om. h. — 14 ἁγίας καὶ om. yA. — 16 τε om. y. — καὶ διὰ τῆς M. δεδ. d. — τε om. f. — πομπεῦσαι om. h. — 17 ἐν ᾧ d. — 19 πάντες om. x. — 20 Ἀαρῶν gy. — 21 παρεκ. εἰς τὸ yz. — Σημαλούος f Σιμαλούος d. — 22 ὑπὸ λόγου g. — 23 Θουμάμαν y Θουμαμᾶν d Θουμαμαν sine acc. c Οὐτθμᾶν z Thumaman A. — 24 αὐτό] αὐτῷ g. — 25 τοῦ] αὐτοῦ z. — Θουμάμα y Θουμαμᾶ d Θουμαμα sine acc. c Οὐτθμᾶν z Theumamae A. — 26 τῆς om. f. — δ'] ιδ' d. — 27 τοιῷδε g. — 30 ἡμέρας xA μῆνας yz.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

780/81. Α. Μ. 6273 Κόσμου ἔτη ,ξσογ'. Τῆς θείας σαρκώσεως ἔτη ψογ'. Ῥωμαίων βασιλεὺς Κωνσταντῖνος σὺν τῇ μητρὶ αὐτοῦ ἔτη ι'. α'. Ἀράβων ἀρχηγὸς Μαδὶ ἔτη θ'. ς'. Ῥώμης ἐπίσκοπος Ἀδριανὸς ἔτη κζ'. ιβ'. Κωνσταντ. ἐπίσκοπος Παῦλος ἔτη ε'. β'.

Τούτῳ τῷ ἔτει Εἰρήνη ἡ εὐσεβεστάτη ἅμα τῷ υἱῷ αὐτῆς Κωνσταντίνῳ παραδόξως θεόθεν τὴν βασιλείαν ἐγχειρίζεται μηνὶ Σεπτεμβρίῳ η', ἰνδικτιῶνος δ', ὡς ἂν θαυμαστωθῇ ὁ θεὸς καὶ ἐν τούτῳ διὰ γυναικὸς χήρας καὶ παιδὸς ὀρφανοῦ μέλλων καθαίρειν τὴν ἄμετρον κατ' αὐτοῦ καὶ τῶν αὐτοῦ θεραπόντων δυσσέβειαν καὶ πασῶν τῶν
703 B *ἐκκλησιῶν τυραννίδα τοῦ θεομάχου Κωνσταντίνου, ὡς πάλαι τοῦ διαβόλου τῇ ἀσθενείᾳ τῶν ἁλιέων καὶ ἀγραμμάτων. μετὰ δὲ μ' ἡμέρας τοῦ κρατῆσαι αὐτήν, τοῦ υἱοῦ αὐτῆς δεκαετοῦς ὑπάρχοντος, συμβούλιον ποιήσαντές τινες τῶν ἐν τέλει ἠθέλησαν ἐξαγαγεῖν Νικηφόρον, τὸν ἀπὸ καισάρων, καὶ στῆσαι εἰς βασιλέα. διαγνωσθείσης δὲ τῆς ὑποθέσεως, ἐκρατήθησαν Γρηγόριος, ὁ λογοθέτης τοῦ δρόμου, καὶ Βάρδας, ὅ ποτε στρατηγὸς τῶν Ἀρμενιάκων, Κωνσταντῖνός τε, ὁ τοῦ βικαρίου σπαθάριος καὶ δομέστικος τῶν ἐκσκουβιτόρων, καὶ Θεοφύλακτος, ὁ τοῦ Ῥαγγαβέ, δρουγγάριος τῆς Δωδεκανήσου, καὶ πολλοὶ ἕτεροι· οὓς δείρασα καὶ κουρεύσασα ἐξώρισεν εἰς διαφόρους τόπους. τοὺς δὲ ἀνδραδέλφους αὐτῆς καίσαράς τε καὶ νοβελισίμους ἀποκείρασα ἱερατεῦσαι καὶ μεταδοῦναι τῷ λαῷ πεποίηκεν ἐν τῇ ἑορτῇ τῆς Χριστοῦ γεννήσεως, ἐν ᾗ καὶ προελθοῦσα βασιλικῶς δημοσίᾳ σὺν τῷ παιδὶ προσήνεγκε τῇ ἐκκλησίᾳ τὸ ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς ἀρθὲν στέμμα ἐπικαλλωπισθὲν διὰ μαργαριτῶν. προ-*
704 B *εβάλετο δὲ Ἐλπίδιον τὸν πατρίκιον στρατηγὸν ἐν Σικελίᾳ, ὡς καὶ προστρατηγήσαντα τῶν ἐκεῖσε, καὶ ἀπέλυσε τῷ Φεβρουαρίῳ μηνί. ἐν δὲ τῷ Ἀπριλλίῳ μηνὶ ιε' διεβλήθη ὁ αὐτὸς Ἐλπίδιος, ὡς τὰ τῶν καισάρων φρονῶν, καὶ ἀποστείλασα Θεόφιλον τὸν σπαθάριον παρήγγειλεν, ἵνα συντόμως ἁρπάσῃ καὶ φέρῃ αὐτόν. τοῦ δὲ ἀπελθόντος οὐκ ἀπέδωκαν αὐτὸν οἱ Σικελοί. ἡ δὲ τὴν τούτου γυναῖκα δείρασα*

---

v. 1^{6}—5^{6} *om.* h. — 3^{3} *σὺν Εἰρήνῃ τῇ μ.* h. — *αὐτοῦ om.* c. — *v.* 5 *om.* g. — 5^{5} *ια'* cy. — 7 *θεόθεν om.* h. — *μ. Σεπτεμβρ. η'* ehmA *η' om.* fgx. — 8 *ἰν codd.* — *ιδ'* d. — *ὁ om.* cz. — 9 *καθαιρεῖν* h. — 13 *ἡμερῶν* em. — 15 *τὸν om.* em *τῶν* f. — 16 *ἐκρατήθη* c. — *ὁ τοῦ δρόμου λογοθέτης* em *τοῦ δρ. ὁ λογοθέτης* fz. — 18 *ἐκσκουβίτων* cy *ἐξκουβιτ*$^{\omega}$ g. — 19 *Ῥαγγαδέ* g. — *δρογγάριος* d. — 21 *νοβελησίμους codd.* — 23 *τῆς om.* g. — 25 pulcherrime fabrefactum et pretiosis lapidibus venustatum A. — *προεβάλλετο* z. — 26 *δὲ καὶ Ἐλπίδ.* y. — *ἐν Σικελλίᾳ* g *Σικελίας* c. — *ὅς* em *ὡς sec. m. in lit.* f. — 27 *πρωστρατηγήσαντα* y *πρῶτον στρατηγήσαντα* z. — *τῶν om.* z. — *Φευρουαρίῳ* demz. — 29 *ἀποστείλας* cem. — *ἀποστ. σπαθάριον Θεόφιλον* g. — 30 *φέρει* dfhm. — 31 *ἐπέδωκαν* xy. — *Σικελλοί* g *Σεκελοί* m. — *ἡ*] *οἱ* c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ κουρεύσασα σὺν τοῖς υἱοῖς τῷ πραιτωρίῳ παρέπεμψε φυλάττεσθαι. τῷ δὲ Ἰουνίῳ μηνὶ ἀπέστειλε πάντα τὰ περατικὰ θέματα εἰς τὰς κλεισούρας φυλάττειν καὶ ἐπιτηρεῖν τὴν ἔξοδον τῶν Ἀράβων, ἐπιστήσασα αὐτοῖς κεφαλὴν Ἰωάννην τὸν σακελλάριον, εὐνοῦχον ὄντα καὶ οἰκειακὸν αὐτῆς. ὁ δὲ Μαδὶ ἀπέστειλε Κεβὴρ μετὰ δυνάμεως πολλῆς, καὶ συναντῶσιν ἀλλήλοις ἐν τόπῳ λεγομένῳ Μήλῳ. καὶ κροτηθέντος πολέμου, ἡττῶνται οἱ Ἄραβες, καὶ κτείνονται ἐξ αὐτῶν πολλοί, καὶ ὑπέστρεψαν μετ' αἰσχύνης. ἤρξαντο δὲ οἱ εὐσεβεῖς παρρησιάζεσθαι, καὶ ὁ λόγος τοῦ θεοῦ πλατύνεσθαι, καὶ οἱ θέλοντες σωθῆναι ἀκωλύτως ἀποτάσσεσθαι, καὶ ἡ δοξολογία τοῦ θεοῦ ὑψοῦσθαι, καὶ τὰ μοναστήρια ἀναρρύεσθαι, καὶ πᾶν ἀγαθὸν φανεροῦσθαι. ἐν γοῦν τούτῳ τῷ χρόνῳ ἐν τοῖς Μακροῖς τείχεσι 384 P
τῆς Θράκης ἄνθρωπός τις ὀρύγων εὗρε λάρνακα, καὶ τοῦτον ἀποκαθάρας καὶ ἀποσκεπάσας εὗρεν ἄνδρα κείμενον, καὶ γράμματα κεκολαμμένα ἐν τῷ λάρνακι περιέχοντα τάδε· "Χριστὸς μέλλει γεννᾶσθαι ἐκ Μαρίας τῆς παρθένου, καὶ πιστεύω εἰς αὐτόν. ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης τῶν βασιλέων, ὃν ἥλιε, πάλιν με ὄψει."

β'. ζ'. ιγ'. γ'. A. M. 6274 781/2.

Τούτῳ τῷ ἔτει ἀπέστειλεν Εἰρήνη Κωνστάνην τὸν σακελλάριον 705 B
καὶ Μάμαλον τὸν πριμικήριον πρὸς Κάρουλον τὸν ῥῆγα τῶν Φράγγων, ὅπως τὴν αὐτοῦ θυγατέρα, Ἐρυθρὼ λεγομένην, νυμφεύσηται τῷ βασιλεῖ Κωνσταντίνῳ, τῷ υἱῷ αὐτῆς. καὶ γενομένης συμφωνίας καὶ ὅρκων ἀναμεταξὺ ἀλλήλων, κατέλιπον Ἐλισσαῖον τὸν εὐνοῦχον καὶ νοτάριον πρὸς τὸ διδάξαι αὐτὴν τά τε τῶν Γραικῶν γράμματα καὶ τὴν γλῶσσαν, καὶ παιδεῦσαι αὐτὴν τὰ ἤθη τῆς Ῥωμαίων βασιλείας. ἐξοπλίσασα δὲ στόλον πολὺν καὶ λαὸν ἐπίλεκτον ἐκ τῶν θεμάτων καὶ ἄρχοντας ἱκανοὺς προεβάλετο Θεόδωρον τὸν πατρίκιον, εὐνοῦχον, ἄνδρα δραστήριον, καὶ ἀπέλυσεν ἐν Σικελίᾳ κατὰ τοῦ Ἐλπιδίου. πολλῶν δὲ πολέμων γεγονότων, ἀπενίκησαν οἱ περὶ Θεόδωρον. ἰδὼν δὲ Ἐλπίδιος καὶ φοβηθείς, λαβὼν ὅσα εἶχε χρήματα καὶ Νικηφόρον τὸν δοῦκα ἐπέρασεν εἰς Ἀφρικὴν καὶ λαβὼν λόγον ἀπαθείας προσερρύη τοῖς Ἄραψιν. ὃν δεξάμενοι ὡς βασιλέα Ῥωμαίων κατεῖχον,

---

2 μηνὶ om. x. — 4 ἐπιστήσας f. — 5 Κεβῆρ g. — 6 Μίλῳ y. — 8 οἱ εὐσεβεῖς] piissimi principes A. — 9 τοῦ θεοῦ] domini A. — 9 καὶ οἱ θέλοντες—12 φανεροῦσθαι om. y. — 11 ἀναγορεύεσθαι h. — 13 ὀρύττων g. — *Ad v.* 13 *in mg.* d *adscr.*: οὗτος Διοσκορίδης ἦν ὁ φιλόσοφος καὶ ταῦτα προεφήτευσεν. — 17 τῶν εὐσεβῶν βασιλέων Georg. Mon. p. 662. — 19 Κωνστά*ην f. — 20 πριμηκήριον emx πρημηκήριον f. — Καροῦλον h Κάρουλλον degm. — τῶν (τὸν c) Φράγγων τὸν ῥῆγα x. — 21 θυγατέραν f. — Ἐρυθρῶ codd. — 23 κατέλιπεν f. — 24 Γρηκῶν h γυναικῶν dy. — 26 ἐξοπλίσας c. — 27 προεβάλλετο z. — τὸν om. fg. — 28 τοῦ om. d. — 29 ἐνίκησαν g *sed pr. m. in mg.*: γρ. καὶ ἀπενίκησαν. — 31 δούκαν d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στέψαντες αὐτὸν εἰς μάτην καὶ περιθέντες τζαγγίον καὶ στέφανον. τοῦ δὲ λαοῦ τῶν Ῥωμαίων ἀσχολουμένου ἐν τούτοις, ἐξέρχεται Ἀαρών, υἱὸς Μαδί, μετὰ δυνάμεως καὶ ἐξοπλίσεως ὑπερβαλλούσης
706 B ἀπό τε Μαυροφόρων καὶ πάσης Συρίας καὶ Μεσοποταμίας καὶ τῆς ἐρήμου, καὶ ἔρχεται ἕως Χρυσοπόλεως, καταλιπὼν τὸν Βούνουσον πολιορκεῖν τὴν Νακώλειαν καὶ φυλάττειν τὰ νῶτα αὐτοῦ. ἀπέστειλε δὲ καὶ τὸν Βουρνιχὲ εἰς Ἀσίαν μετὰ λ' χιλιάδων, ὃς καὶ πολεμήσας τὸν Λαχανοδράκοντα σὺν τῷ θέματι τῶν Θρᾳκησίων ἐν τόπῳ λεγομένῳ Λαρηνῷ, καὶ αὐτῶν λ' χιλιάδων ὄντων ιε' χιλιάδας ἀπέκτεινεν. ἡ δὲ βασίλισσα πέμψασα Ἀντώνιον τὸν δομέστικον σὺν τοῖς τάγμασιν ἐκράτησε τὴν Βανὴν καὶ ἀπέκλεισεν αὐτούς. προσέφυγε δὲ αὐτοῖς Τατζάτιος, ὁ τῶν Βουκελλαρίων στρατηγός, μίσει τῷ πρὸς Σταυράκιον, τὸν πατρίκιον καὶ λογοθέτην τοῦ δρόμου, τὸν εὐνοῦχον, πρωτεύοντα πάντων τῶν τηνικαῦτα ὄντων καὶ τὰ πάντα διοικοῦντα. καὶ δοὺς αὐτοῖς βουλήν, ᾐτήσαντο εἰρήνην. ἐξελθόντων δὲ ἐπὶ τοῦτο Σταυρακίου καὶ Πέτρου μαγίστρου καὶ Ἀντωνίου δομεστίκου, οὐκ
385 P ἠκριβολογήσαντο λόγον λαβεῖν καὶ τέκνα τῶν πρωτευόντων, ἀλλὰ ἀσκόπως ἐξελθόντες ἐκρατήθησαν ὑπ' αὐτῶν καὶ ἐπεδήθησαν, καὶ ἐβιάσθησαν ἀμφότερα τὰ μέρη τοῦ ποιῆσαι εἰρήνην· καὶ ἐδωρήσαντο ἀλλήλοις ἥ τε Αὐγούστα καὶ ὁ Ἀαρὼν ξένια πολλά, στοιχήσαντες καὶ ⟨φόρους⟩ κατὰ καιρὸν τελεῖν αὐτοῖς· καὶ γενομένης εἰρήνης
707 B ἀνεχώρησαν ἀφήσαντες καὶ τὸ κάστρον Νακωλείας. ἐπῆρε δὲ καὶ ὁ Τατζάτης τὴν γυναῖκα ἑαυτοῦ καὶ πᾶσαν ὑπόστασιν.

782/3. A. M. 6275 γ'. η'. ιδ'. δ'.

Τούτῳ τῷ ἔτει εἰρηνεύσασα Εἰρήνη μετὰ τῶν Ἀράβων καὶ ἄδειαν εὑροῦσα ἀποστέλλει Σταυράκιον τὸν πατρίκιον καὶ λογοθέτην τοῦ ὀξέος δρόμου μετὰ δυνάμεως πολλῆς κατὰ τῶν Σκλαυινῶν ἐθνῶν. καὶ κατελθὼν ἐπὶ Θεσσαλονίκην καὶ Ἑλλάδα ὑπέταξε πάντας καὶ ὑποφόρους ἐποίησε τῇ βασιλείᾳ. εἰσῆλθε δὲ καὶ ἐν Πελοποννήσῳ

---

1 τζαγγία? — 2 ἀσχολουμένων c χολουμένου m. — 3 Ἀαρῶν ef. — ὁ υἱὸς h. — ὑπερβαλούσης gm. — 5 ἕως τῆς Χρ. d. — Βουνοῦσον emz Βουνουσόν f. — 6 Νακολίαν codd. praeter g. — 7 Βουριχέ f. — πολεμήσαντα y. — 9 Λαρινῷ codd. praeter g. — αὐτόν h. — ιε'] quinque A. — ἀπέκτειναν cg. — 10 τὸν om. em. — 11 Βανῆν g Βανην sine acc. c Βαανήν h Barim A τὴν λίμνην Βανῆς Zonar. XV, 10. — concluserunt A. — 12 Τατζάτιος yA Τατζάτης hx om. g. — τῶν Βουλγάρων y. — 13 τῶν εὐνούχων πρωτεύοντα πάντων y. — 14 διοικούντων em διοικοῦντα sed a sec. m. in lit. f. — 15 αὐτῷ d. — ᾐτήσατο ef. — ἐπὶ τούτοις d. — 17 ἠκριβολόγησαν τὸν λόγον y. — λαβεῖν κ. τέκνα τῶν πρωτ. om. y. — καὶ om. x. — 20 αὐγοῦστα fg. — ὁ om. fx. — 21 φόρους add. ex A: ut per singulos annos eis censum tribueret. om. codd. — αὐτούς f. — γενομένης y. — 22 Νακολείας fm Νακολίας dh Ἀκολείας e Ἀκολίας c. — 23 αὐτοῦ xz. — πᾶσαν αὐτοῦ τὴν ὑπόστασιν d. — 27 ὀξέον codd. corr. sec. m. f. — Σκλαβηνῶν g. — 28 ἐπὶ Θεσσαλονίκῃ g ἐπὶ Σαλονίκην cm ἐπὶ Σαλωνίκην ef. — 29 εἰσῆλθον d. — Πελοποννήσῳ fh Πελοποννήσσῳ em Πελονήσῳ c.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ πολλὴν αἰχμαλωσίαν καὶ λάφυρα ἤγαγε τῇ τῶν Ῥωμαίων βασιλείᾳ.

δ'. θ'. ιε'. ε'. A. M. 6276 783/4.

Τούτῳ τῷ ἔτει μηνὶ Ἰαννουαρίῳ, ἰνδικτιῶνος ζ', κατέλαβε Σταυράκιος ὁ προρρηθεὶς ἐκ τῶν Σκλαυινῶν καὶ ἐθριάμβευσε τὰ ἐπινίκια ἐπὶ ἱπποδρομίας. τῷ δὲ Μαΐῳ μηνὶ τῆς αὐτῆς ζ' ἰνδικτιῶνος ἐξῆλθεν ἡ βασίλισσα Εἰρήνη σὺν τῷ υἱῷ αὐτῆς καὶ δυνάμεως πολλῆς ἐπὶ τὴν Θρᾴκην ἐπιφερομένη ὄργανα καὶ μουσικά, καὶ ἀπῆλθεν ἕως Βεροίας, καὶ ταύτην οἰκοδομηθῆναι κελεύσασα ἐπωνόμασεν αὐτὴν Εἰρηνούπολιν. κατῆλθε δὲ ἕως Φιλιππουπόλεως μετὰ πάσης ἀπαθείας καὶ ὑπέστρεψεν ἐν εἰρήνῃ κτίσασα καὶ τὴν Ἀγχίαλον. τῷ δ' αὐτῷ ἔτει καὶ ὁ τῶν Ἀράβων ἀρχηγὸς Μαδί, ὁ καὶ Μουάμεδ, τέθνηκεν, καὶ ἐκράτησε Μωσῆς, ὁ υἱὸς αὐτοῦ. τῇ δὲ λα' τοῦ 798 B
Αὐγούστου μηνὸς τῆς αὐτῆς ζ' ἰνδικτιῶνος Παῦλος, ὁ ὅσιος καὶ ἁγιώτατος πατριάρχης, ἀσθενήσας κατέλιπε τὸν θρόνον, καὶ κατελθὼν ἐν τῇ μονῇ τῶν Φλώρου ἔλαβε τὸ μοναχικὸν σχῆμα χωρὶς εἰδήσεως τῆς βασιλείας. μαθοῦσα δὲ τοῦτο ἡ βασίλισσα παραγίνεται πρὸς αὐτὸν σὺν τῷ υἱῷ λυπουμένη καὶ καταβοῶσα αὐτοῦ, ὅτι "διὰ τί τοῦτο ἐποίησας;" ὁ δὲ μετὰ θρήνων πολλῶν ἔφη πρὸς αὐτήν· "εἴθοις μηδὲ ποταπὸν ἐκάθισα ἐν τῷ τῆς ἱερωσύνης θρόνῳ, τῆς ἐκκλησίας τοῦ θεοῦ τυραννουμένης καὶ ἐσχισμένης οὔσης ἐκ τῶν λοιπῶν καθολικῶν θρόνων καὶ ἀναθεματιζομένης." ἡ δὲ προσκαλεσαμένη τούς τε πατρικίους καὶ τοὺς τῆς συγκλήτου λογάδας ἀπέστειλε πρὸς αὐτὸν 386 P
ἀκοῦσαι τὰ παρ' αὐτοῦ λεγόμενα. ὁ δὲ εἶπε πρὸς αὐτούς· "ἐὰν μὴ σύνοδος οἰκουμενικὴ γένηται, καὶ τὸ σφάλμα τὸ ὂν εἰς τὴν μέσην ὑμῶν διορθωθῇ, οὐκ ἔχετε σωτηρίαν." οἱ δὲ εἶπον αὐτῷ· "καὶ ἵνα τί ὑπέγραψας ἐν τῷ χειροτονεῖσθαί σε τοῦ μὴ προσκυνεῖν εἰκόνας;" ὁ δὲ ἔφη ὅτι "διὰ τοῦτο γὰρ θρηνῶ καὶ πρὸς τὴν μετάνοιαν κατέφυγον δεόμενος τοῦ θεοῦ, ὅπως μὴ ὡς ἱερέα με κολάσῃ σιγήσαντα ἕως τοῦ νῦν καὶ μὴ κηρύξαντα τὴν ἀλήθειαν τῷ φόβῳ τῆς μανίας

---

1 τῶν om. z. — 4 μηνὶ Ἰαννουαρίῳ z. — ἰνδικτιῶνος om. c ἰνδ yz. — 5 Σκλαβίνων g a Sclavis A. — 6 ἱπποδρομείας dem in Hippodromio A. — ἰνδ codd. item v. 14. — 7 καί] μετὰ d et f sed sec. m. in lit. — δυνάμει πολλῇ? — 8 ὄργ. τε καὶ μουσ. z ὄργανα μουσικά Zonar. XV, 10 organa et cetera genera musicorum A. — 9 Βεροίης em Βερό*ας f. — 10 Φιλίππου πόλεως dg. — 11 Ἀχίαλον ef Ἀχελόν Georg. — 13 Μωϋσῆς h Μουσῆς g. — 14 τῆς αὐτῆς ζ' ἰνδ. om. d. — 16 Φλόρου dhy. — μοναδικόν x. — 18 αὐτῷ yz. — 20 εἴθε g. — ποταπόν] ποτε h πρότερον f sed οτερ in lit. sec. m. — 24 ὁ δὲ εἶπεν] τῶν δὲ ἀπελθόντων καί τινων ἀναμεταξὺ ῥηθέντων εἶπεν d. — 24. 25 μὴ σύνοδος om. h. — 25 τὸ ὂν σήμερον εἰς d. — 26 ἔχεται hy. — 28 ἔφη δὲ ὁ αὐτός y. — γὰρ add. ex xA Georg. Mon. p. 664 om. yz. — κατέφυγα em. — 29 κολάσει y. — 30 τῷ φ. τ. μανίας ὑμῶν om. x.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμῶν." ἐν τούτοις ἐκοιμήθη ἐν εἰρήνῃ καταλιπὼν θρῆνον πολὺν
709 B τῇ τε βασιλείᾳ καὶ τοῖς εὐσεβέσιν ἀνθρώποις τῆς πολιτείας. σεβάσμιος γὰρ ἦν ὁ ἀνὴρ καὶ ἐλεήμων ὑπὲρ μέτρον καὶ πάσης αἰδοῦς ἄξιος, καὶ πίστιν πολλὴν ἐκέκτητο ἥ τε πολιτεία καὶ ἡ βασιλεία πρὸς αὐτόν. ἔκτοτε λοιπὸν ἤρξατο λαλεῖσθαι καὶ ἀμφιβάλλεσθαι ὁ περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων λόγος παρρησίᾳ ὑπὸ πάντων.

784/5. A. M. 6277 Ἀράβων ἀρχηγὸς Μωσῆς ἔτος α΄.
Κωνσταντινουπόλεως ἐπίσκοπος Ταράσιος ἔτη κα΄.
ε΄. α΄. ις΄. α΄.

Τούτῳ τῷ ἔτει συναγαγοῦσα ἡ βασίλισσα Εἰρήνη πάντα τὸν λαὸν εἰς τὴν Μαγναῦραν ἔφη πρὸς αὐτούς· "γινώσκετε, ἀδελφοί, τί πεποίηκε Παῦλος ὁ πατριάρχης· καὶ εἰ μὲν ἔζη, οὐκ ἂν κατεδεξάμεθα τοῦτον ἀφῆσαι τὸν τῆς ἱερωσύνης θρόνον, εἰ καὶ μοναδικὸν σχῆμα περιεβάλετο. ἐπεὶ δέ, ὡς τῷ Θεῷ ἀρεστὸν ἦν, τοῦ βίου μετέστη, φροντίσωμεν ἄνθρωπον, ὅς τις δύναται ποιμᾶναι ἡμᾶς καὶ τὴν ἐκκλησίαν τοῦ Θεοῦ ἐπιστηρίξαι λόγοις διδασκαλικοῖς." πάντες δὲ ὁμοφρόνως εἶπον μὴ εἶναι ἄλλον, εἰ μὴ Ταράσιον τὸν ἀσηκρήτην. ἡ δὲ ἔφη πρὸς αὐτούς· "καὶ ἡμεῖς τὸν αὐτὸν ψηφιζόμεθα, ἀλλ' ἀπειθεῖ. καὶ εἶπε δι' ἣν αἰτίαν οὐ δέχεται τὴν ψῆφον τῆς
710 B βασιλείας καὶ παντὸς τοῦ λαοῦ." ὁ δὲ ἀπελογήσατο τῷ λαῷ λέγων· "οἱ τῆς ἀμωμήτου ἡμῶν πίστεως τῶν Χριστιανῶν φύλακες καὶ ζηλωταὶ τῶν εἰς δόξαν Θεοῦ γινομένων πιστοὶ βασιλεῖς ἡμῶν, πάντων τῶν εἰς ἀρέσκειαν αὐτοῦ καὶ συμφέρον ἡμῶν τὴν φροντίδα ποιούμενοι, καὶ μάλιστα τῶν ἐκκλησιαστικῶν καὶ νῦν ἐπιμελῶς διαμεριμνήσαντες καὶ διανοηθέντες τοῦ ἀρχιερέα προχειρισθῆναι ἐν ταύτῃ τῇ
387 P βασιλίδι αὐτῶν πόλει ἐπὶ τὸν εὐσεβῆ αὐτῶν νοῦν με ἀνέλαβον, καὶ φανερῶς μοι τὸ βεβουλευμένον αὐτοῖς ἐξεῖπεῖν ἐκέλευσαν. ἐμοῦ δὲ πρὸς τοῦτο ἀνάξιον ἑαυτὸν ἀποφηναμένου καὶ μηδεμίαν συγκατάθεσιν ποιησαμένου ὡς τὸν ζυγὸν τοῦ φορτίου μὴ δυναμένου μου βαστάσαι ἢ ὑπενεγκεῖν, ἐκέλευσάν με προαγαγεῖν κατὰ πρόσωπον ὑμῶν, διότι καὶ σύμψηφοι γεγόνατε τῇ βουλῇ ταύτῃ. καὶ νῦν, ὦ

---

3 καὶ ἐλεήμων—αἰδοῦς om. f. — 4 βασίλισσα h. — 6 ὑπὸ τῶν πάντων c. — 7 Μωϋσῆς h. — 8 ἔτη ε΄ ef. — 9 α΄. ις΄. α΄. κα΄ (κε΄ f) ef. — 10 Εἰρήνη om. em. — 11 Μαγναύραν dy *sine acc.* c. — 12 κατεδεξόμεθα em. — 13 ἀρχιερωσύνης z. — καὶ εἰ x. — 14 περιεβάλλετο g. — ἐπειδὴ δέ x. — 15 φροντίσομεν h. — ποιμᾶναι om. y. — 16 διδασκαλίας x. — 17 ὁμοφρόνως hx ὁμοφώνως gy unanimiter A. — εἰ μή] ἤ xz. — ἀ*σηκρήτην f ἀδσικρήτην em ἀσηκρίτης x ἀσικρίτης h ἀσηκρῆτις g. — 19 ἀπιθεῖ c. — τὸν ψῆφον y. — 20 ὁ δὲ om. y. — 21 ἡμῶν τῶν Χρ. πίστεως d. — 23 αὐτῶν h. — τὴν φροντίδα ποιούμενοι om. c *in mg. habet* d. — 24 καὶ μάλιστα xA μάλιστα δέ yz. — 27 ἐξαυτοῖς εἰπεῖν y. — 28 ἑαυτόν om. m. — 29 δυνάμενόν με g δυνάμενον (om. με) y. — 30 προαγάγαι (-γε g) yz. — 31 σύμψηφοι] unanimes et comprobatores A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄνδρες φοβούμενοι τὸν θεὸν καὶ ἔχοντες αὐτὸν ἀεὶ ἐν ταῖς καρδίαις ὑμῶν, οἱ τῇ τοῦ Χριστοῦ κλήσει, τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ὀνομαζόμενοι, Χριστιανοὶ λέγω, ἀκούσατε βραχὺν λόγον ἀπολογίας παρὰ τῆς ἡμετέρας εὐτελείας καὶ οὐθενότητος. ἐγὼ μέν, εἴ τι τοῖς εὐσεβέσιν ἡμῶν βασιλεῦσι καὶ κατὰ πάντα ὀρθοδόξοις ἀπελογησάμην, καὶ ἐνώπιον ὑμῶν προσαπολογοῦμαι, φόβῳ συνέχομαι συγκαταθέσθαι ἐπὶ τῇ ψήφῳ ταύτῃ, καὶ εὐλαβοῦμαι ἀπὸ προσώπου τοῦ θεοῦ προσδραμεῖν οὕτω καὶ ὡς ἔτυχεν ἀπερισκέπτως, ἵνα μὴ ὑποπέσω φοβερῷ κατακρίματι. εἰ γὰρ ὁ θείων φωνῶν ἀκροασάμενος οὐρανόν τε ἐσχηκὼς παιδευτήριον καὶ παραδείσου θεωρὸς γενόμενος ἀκούσας τε ἄρρητα ῥήματα καὶ βαστάσας τὸ ὄνομα τοῦ θεοῦ ἐνώπιον ἐθνῶν καὶ βασιλέων, Παῦλος ὁ θεῖος ἀπόστολος, Κορινθίοις γράφων ἔλεγεν· "μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι," πῶς ἐγώ, ὁ τῷ κόσμῳ συναναστρεφόμενος καὶ μετὰ λαϊκῶν ἠριθμημένος καὶ στρατευόμενος ἐν βασιλικαῖς ὑπηρεσίαις, οὕτω χωρὶς ἀνακρίσεως καὶ περισκέψεως δύναμαι εἰσπηδῆσαι εἰς τὸ τῆς ἱερωσύνης μέγεθος; φοβερὸν τὸ ἐγχείρημα πρὸς τὴν ἐμὴν σμικρότητα· θρασὺ τὸ ἐπιτήδευμα. ἡ δὲ αἰτία τοῦ φόβου καὶ τῆς ἐμῆς παραιτήσεως ἐστιν αὕτη. ὁρῶ καὶ βλέπω τὴν ἐπὶ τὴν πέτραν Χριστὸν τὸν θεὸν ἡμῶν τεθεμελιωμένην ἐκκλησίαν αὐτοῦ διεσχισμένην νῦν καὶ διῃρημένην, καὶ ἡμᾶς ἄλλοτε ἄλλως λαλοῦντας, καὶ τοὺς τῆς ἀνατολῆς ὁμοπίστους ἡμῶν Χριστιανοὺς ἑτέρως, καὶ συμφωνοῦντας αὐτοῖς τοὺς τῆς δύσεως, ἀλλοτριουμένους δὲ ἡμᾶς ἐκείνων ἁπάντων καὶ καθ' ἑκάστην ὑπ' αὐτῶν ἀναθεματιζομένους. δεινόν ἐστι τὸ ἀνάθεμα· πόρρω τοῦ θεοῦ βάλλει καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐκδιώκει ἀπάγον εἰς τὸ σκότος τὸ ἐξώτερον. οὐκ οἶδεν ὁ τῆς ἐκκλησίας ὅρος καὶ νόμος ἔριν ἢ φιλονεικίαν, ἀλλ' 712 B
ὥσπερ οἶδεν ὁμολογεῖν ἓν βάπτισμα, μίαν πίστιν, οὕτω καὶ συμφωνίαν μίαν ἐπὶ παντὸς πράγματος ἐκκλησιαστικοῦ. οὐδὲν γάρ ἐστιν 388 P
ἀπόδεκτον καὶ εὐάρεστον ἐνώπιον τοῦ θεοῦ, ὡς τὸ ἑνωθῆναι ἡμᾶς καὶ γενέσθαι μίαν καὶ καθολικὴν ἐκκλησίαν, καθὰ καὶ ἐν τῷ συμβόλῳ τῆς εἰλικρινοῦς ἡμῶν πίστεως ὁμολογοῦμεν καὶ αἰτοῦμεν, ἀδελφοί, (οἶμαι δὲ καὶ ὑμεῖς, ἐπειδὴ γινώσκω τὸν φόβον τοῦ θεοῦ ἔχειν ὑμᾶς,) παρὰ τῶν εὐσεβεστάτων καὶ ὀρθοδόξων βασιλέων ἡμῶν σύν-

---

2 τοῦ *Χριστοῦ* x *Χριστοῦ* y τοῦ *θεοῦ* z. — 4 *ὑμετέρας* c. — 5 *ὑμῶν* c. — *βασιλ. κατὰ πάντα οὕσιν ὀρθοδ.* z. — 6 *ἡμῶν* eg. — 8 *καὶ om.* d. — 9 *ὁ om.* h. — 12 *πρὸς Κορινθίοις* m. — *εἴ πως ut vid. pr. m.* f. — 13 *γένομαι* dhy. — *πῶς*] *μήπως* f. — 15 *ἐν om.* m. — 19 *ἐπὶ πέτραν* y. — 20 *ὑμᾶς* d. — *ἄλλως*] *ἄλλο* y. — 21 *ὑμῶν* c. — 22 *αὐτοὺς τοῖς* c. — 23 *ὑμᾶς* c. — 25 *ἀπάγων* dehm. — 26 *ἥ*] *καὶ* f *sec. m. in lit.* — *φιλονεικείαν* f *φιλονικίαν* dh *φιλονικείαν* cem. — 27 *ὁμολογεῖν om.* g. — *ἓν om* y. — 28 *ἐπὶ πάντως πρ. ἐκκλ.* c *ἐπὶ πάντων πραγμάτων ἐκκλησιαστικῶν* d. — 30 *μίαν καθολ.* (*om. καί*) gA. — 33 *ὑμῶν* em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οδον οἰκουμενικὴν συναθροισθῆναι, ἵνα γενώμεθα οἱ τοῦ ἑνὸς θεοῦ ἕν, καὶ οἱ τῆς τριάδος ἡνωμένοι καὶ ὁμόψυχοι καὶ ὁμότιμοι, οἱ τῆς κεφαλῆς ἡμῶν Χριστοῦ σῶμα ἓν συναρμολογούμενον καὶ συμβιβαζόμενον, οἱ τοῦ ἁγίου πνεύματος, οὐ κατ' ἀλλήλων, ἀλλὰ σὺν ἀλλήλοις, οἱ τῆς ἀληθείας τὸ αὐτὸ φρονοῦντες καὶ λέγοντες, καὶ μὴ ᾖ ἔρις καὶ διχοστασία ἐν ἡμῖν, ὅπως ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσῃ πάντας ἡμᾶς· καὶ εἰ μὲν κελεύουσιν οἱ τῆς ὀρθοδοξίας πρόμαχοι βασιλεῖς ἡμῶν ἐπὶ τῇ ἐμῇ αἰτήσει ἐπινεῦσαι, συγκατατίθεμαι κἀγὼ καὶ τὴν κέλευσιν αὐτῶν ἐκπληρῶ καὶ ὑμῶν τὴν ψῆφον ἀσπάζομαι· εἰ δὲ μή γε, ἀδυνάτως ἔχω τοῦτο ποιῆσαι, ἵνα μὴ ὑποβληθῶ τῷ ἀναθέματι καὶ εὑρεθῶ καταδεδικασμένος ἐν
713 B *τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν καὶ κριτοῦ τῆς δικαιοσύνης, ἔνθα οὔτε βασιλεύς, οὔτε ἱερεύς, οὔτε ἄρχοντες, οὔτε πλῆθος ἀνθρώπων δύναταί με ἐξελέσθαι. καὶ εἴ τί ἐστιν ἀρεστὸν ὑμῖν, ἀδελφοί, δότε τῆς ἐμῆς ἀπολογίας, φράσαι δὲ μᾶλλον αἰτήσεως, ἀπόκρισιν." καὶ ἀσμένως ἠκροάσαντο πάντες τῶν λαληθέντων συμφωνήσαντες τοῦ γενέσθαι σύνοδον. ὁ δὲ Ταράσιος πάλιν πρὸς τὸν λαὸν διαλεγόμενος ἔφη, ὅτι "Λέων ὁ βασιλεὺς κατέστρεψε τὰς εἰκόνας, καὶ ἡ σύνοδος, ὅτε ἐγένετο, κατεστραμμένας αὐτὰς εὗρεν· καὶ διότι διὰ βασιλικῆς χειρὸς κατεστράφησαν, πάλιν ζήτησιν ἔχει τὸ κεφάλαιον, ὅτι ἀρχαίαν συνήθειαν παραδεδομένην ἐν τῇ ἐκκλησίᾳ κατετόλμησαν, ὡς ἔδοξεν αὐτοῖς, ἀφανίσαι· ἀλλ' ἡ ἀλήθεια τοῦ θεοῦ οὐ δέδεται, ἀποστολικῶς εἰπεῖν." τῇ δὲ κε' τοῦ Δεκεμβρίου μηνὸς τῆς αὐτῆς ἰνδικτιῶνος ἐχειροτονήθη ὁ ὅσιος πατὴρ ἡμῶν Ταράσιος πατριάρχης Κωνσταντινουπόλεως, καὶ ἀποστείλας ἐν Ῥώμῃ τὰ συνοδικὰ αὐτοῦ καὶ τὸν λίβελλον τῆς πίστεως αὐτοῦ ἀπεδέχθη παρὰ τοῦ πάπα Ἀδριανοῦ. ἀποστείλασα δὲ καὶ ἡ βασίλισσα πρὸς τὸν αὐτὸν πάπαν ᾐτήσατο πεμφθῆναι γράμματά τε αὐτοῦ καὶ ἀνθρώπους πρὸς τὸ*
714 B *εὑρεθῆναι ἐν τῇ συνόδῳ. καὶ ἀπέστειλε Πέτρον, τὸν οἰκονόμον τῆς ἐκκλησίας αὐτοῦ, καὶ ⟨Πέτρον⟩, τὸν ἡγούμενον τοῦ ἁγίου Σάβα, ἄνδρας τιμίους καὶ πάσῃ ἀρετῇ κεκοσμημένους. ἀπέλυσε δὲ καὶ ἐν Ἀντιοχείᾳ καὶ ἐν Ἀλεξανδρείᾳ ἥ τε βασίλισσα καὶ ὁ πατριάρχης·*

---

1 *γενώμεθα* dy. — 1. 2 *θεοῦ ἡμῶν ἕν* d. — 2 *καὶ οἱ vertit* A *item v.* 4. 5. — 5 *ᾖ om.* y. — 6 *διχοστασίαι* em. — 7 *φρουρήσει* hy. — 9 *συγκατατίθεμαι* x *συγκατατίθημι* emz *συγκατατίθη μοι* f. — *ἐγὼ* y. — 9. 10 *τὴν ψ. ὑμῶν* c *τὴν ὑμετέραν ψῆφον* d. — 12 *ἡμῶν Ἰησοῦ Χριστοῦ* xz *Ἰησοῦ Χριστοῦ om.* yA. — 13 *οὔτε ante πλῆθος om.* cy. — 14 *με om.* y. — *ἡμῖν* g. — 15 *φράσατε* z. — *αἰτήσεων* g. — 19 *διό* c *δι' ὧν* y. — 22 *ἔδοξαν* em. — 23. 24 *τῆς αὐτ. ἡ ἰνδικτιῶνος om.* d. — 24 *ἰν* ^{δ} *codd.* — *ὁ ὅσιος ἡμῶν πατήρ* d. — 26 *λίβελον* h. — 26 *πάππα et* 27 *πάππαν* g. — 27 *τὸν om.* f. — *αὐτὸν om.* em. — 28 *γράμματα* — 29 *εὑρεθῆναι om.* h. — 28 *γράμμα* d. — 30 *Πέτρον add. ex* A *om. codd.* — *Σάββα* gm. — 31 *πάσης ἀρετῆς* y. — 32 *ἐν om.* z.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀκμὴν γὰρ ἡ πρὸς τοὺς Ἄραβας εἰρήνη οὐκ ἦν λυθεῖσα. καὶ ἤνεγκαν 389 P
ἐκ μὲν Ἀντιοχείας Ἰωάννην τὸν μέγαν καὶ περιβόητον λόγῳ καὶ ἔργῳ ἁγιωσύνης μετέχοντα καὶ σύγκελλον τοῦ πατριάρχου Ἀντιοχείας γεγονότα, καὶ Θωμᾶν Ἀλεξανδρείας, ἄνδρα ζηλωτὴν καὶ εὐλαβέστατον, ὅστις καὶ ἀρχιεπίσκοπος τῆς ἐν τῷ Ἰλλυρικῷ μεγαλοπόλεως Θεσσαλονίκης γενόμενος διέπρεψεν.

Ἀράβων ἀρχηγὸς Ἀαρὼν ἔτη κγ'. A. M. 6278 785/6.
ς'. α'. ιξ'. β'.

Τούτῳ τῷ ἔτει Μωσῆς, ὁ τῶν Ἀράβων ἀρχηγός, τέθνηκεν, καὶ ἐκράτησεν Ἀαρών, ὁ ἀδελφὸς αὐτοῦ, ἀντ' αὐτοῦ τὴν ἀρχήν· ὃς καὶ πολλὰ κακὰ τοῖς Χριστιανοῖς ἐνεδείξατο.

Τῷ δ' αὐτῷ ἔτει ἀποστείλαντες οἱ βασιλεῖς προσεκαλέσαντο πάντας τοὺς ὑπὸ τὴν ἐξουσίαν αὐτῶν ἐπισκόπους, καταλαβόντων καὶ τῶν ἀπὸ τῆς Ῥώμης πεμφθέντων ὑπὸ τοῦ πάπα Ἀδριανοῦ γραμμάτων τε καὶ ἀνθρώπων, ὡς προέφημεν, καὶ τοῦ Ἀντιοχείας καὶ Ἀλεξανδρείας. καὶ τῇ ζ' τοῦ Αὐγούστου μηνὸς τῆς θ' ἰνδικτιῶνος προκαθίσαντες ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν τῇ βασιλίδι πόλει ἤρξαντο τὰς ἁγίας γραφὰς ὑπαναγινώσκειν καὶ ἀντιβάλλειν 715 B
πρὸς ἀλλήλους, τῶν βασιλέων ἐν τοῖς κατηχουμένοις ὁρώντων. ὁ δὲ λαὸς τῶν σχολαρίων τε καὶ ἐκσκουβιτόρων καὶ τῶν λοιπῶν ταγμάτων ὑποβληθεὶς ἐκ τῶν οἰκείων ἀρχόντων, ἔχοντες καὶ τὴν διδασκαλίαν τοῦ πονηροῦ αὐτῶν διδασκάλου, γυμνώσαντες τὰ ξίφη ἐπῆλθον αὐτοῖς, ἀπειλοῦντες θανατοῦν τόν τε ἀρχιερέα καὶ τοὺς ὀρθοδόξους ἐπισκόπους τε καὶ ἡγουμένους. τῆς δὲ βασιλείας διὰ τῶν παρεστώτων αὐτῇ οἰκειακῶν ἀνθρώπων ἀναστέλλειν τούτους πειρωμένης, οὐκ ἐπείσθησαν, ἀλλ' ἢ μᾶλλον προσητίμασαν. ἐγερθέντος δὲ τοῦ πατριάρχου καὶ ἐν τῷ βήματι εἰσελθόντος μετὰ τῶν ὀρθοδόξων ἐπισκόπων τε καὶ μοναχῶν, οἱ τοῦ πονηροῦ φρονήματος αὐτῶν ὄντες ἐπίσκοποι ἐξῆλθον πρὸς αὐτοὺς βοῶντες τό, "νενικήκαμεν τὸν πατριάρχην καὶ τοὺς ὀρθοδόξους· ἐκβάλωμεν αὐτοὺς ἐκ τοῦ ναοῦ."

---

1 διαλυθεῖσα z. — ἤνεγκεν h. — 3 δικαιωσύνης c. — σύγκελον h σύγγελλον m. — 4 ἐκ δὲ Ἀλεξ. Θωμᾶν d. — 5 τῆς om. g. — μεγάλης πόλεως xy. — 7 ἔτη γ' e. — 8 ς'. (γ'. e) α'. ιξ'. α'. efz. — v. v. 9 Τούτῳ — 11 ἐνεδείξατο anno M. 6277 inserit A. — 10 ἀντ' αὐτοῦ] In haec verba desinit cod. c. — 10 καὶ et 11 τοῖς om. m. — 11 ἐπεδείξατο d ἀνεδείξατο em ἐνεδείξατο sed ε sec. m. in lit. f. — 12 ἀποστείλαντες οἱ βασιλεῖς om. m. — 13 πάντας om. f. — 13. 14 καταλ. καὶ τῶν ἀπὸ τοῦ πάπα Ἀδριανοῦ πεμφθέντων γραμμάτων d. — 16 ιξ' d. — ἰν codd. — 18 ἀμφιβάλλειν g. — 19 κατηχουμενίοις dh. — 20 καὶ τῶν ἐκσκ. d. — ἐκσκουβητόρων d ἐκσουβιτόρων f ἐξκουβιτόρων excubituum (ἐκσκουβίτων) A. — 22 διδασκάλου αὐτῶν d. — 23 Θανατεῖν em Θανατοῖν d et ut vid. pr. m. f. — 24 βασιλείσης h γρ. καὶ βασιλίσσης mg. g. — 25 αὐτοῖς d. — αὐτούς d. — 26 πειρωμένη em. — καὶ προσητίμωσαν f καὶ προσητιτίμωσαν em. — 26. 27 τοῦ δὲ πατρ. ἀναστάντος καὶ ἐν τῷ Φυσιαστηρίῳ εἰσελθ. d. — 28 τε om. g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καμεν·" καὶ τοῦ θεοῦ τῇ χάριτι οὐδένα ἠδίκησαν οἱ μανιώδεις ἐκεῖνοι καὶ ἀπάνθρωποι, καὶ οὕτω διαλυθείσης τῆς συνόδου ἀπῆλθεν ἕκαστος εἰς τὰ ἴδια.

786/7. A. M. 6279 ζ'. β'. ιη'. γ'.

Τούτῳ τῷ ἔτει ἀποστείλασα ἡ βασίλισσα Σταυράκιον τὸν πατρίκιον καὶ λογοθέτην ἐν τῇ Θρᾴκῃ τῷ Σεπτεμβρίῳ μηνί, ἀρχῇ τῆς ⟨ι'⟩ ἰνδικτιῶνος, πρὸς τὰ περατικὰ θέματα ἐκεῖσε τηνικαῦτα ὄντα, ἔπεισεν αὐτοὺς συνεργῆσαι αὐτῇ καὶ ἐξεῶσαι τῆς πόλεως τὸν δυσ-
716 B 390 P σεβῆ λαόν, ὃν ὁ ἀλάστωρ Κωνσταντῖνος ἐστράτευσέ τε καὶ ἐπαίδευσεν. καὶ πλασαμένη φωσατεύειν μέλλειν ἐπὶ τὰ ἀνατολικὰ μέρη, ὡς τῶν Ἀράβων ἐξελθόντων, ἐξῆλθε πᾶσα ἡ βασιλικὴ ὑπουργία καὶ ἡ κόρτη ἕως τῶν Μαλαγίνων. καὶ εἰσελθόντες οἱ τῶν ἔξω θεμάτων ἐκράτησαν τὴν πόλιν. ἀποστείλασα δὲ πρὸς αὐτοὺς δηλοῖ αὐτοῖς, ὅτι "πέμψατέ μοι τὰ ἅρματα ὑμῶν, χρείαν γὰρ ὑμῶν οὐκ ἔχω." οἱ δὲ ὑπὸ θεοῦ ματαιωθέντες ἔδωκαν αὐτά. τότε βαλοῦσα τὰς φαμιλίας αὐτῶν ἐν πλοίοις ἐξώρισεν αὐτοὺς τῆς πόλεως, κελεύσασα ἐν τῇ ἰδίᾳ χώρᾳ ἕκαστον ἀπελθεῖν, ἐν ᾗ ἐγεννήθη. καὶ ποιήσασα στρατὸν ἴδιον καὶ ἄρχοντας πειθηνίους αὐτῇ, τῷ Μαΐῳ μηνὶ πάλιν ἀποστείλασα κατὰ παντὸς τόπου προσεκαλέσατο τοὺς ἐπισκόπους παραγενέσθαι ἐν τῇ Νικαέων πόλει τῆς Βιθυνίας πρὸς τὸ ἐκεῖ γενέσθαι τὴν σύνοδον. καὶ διὰ τοῦ καλοκαιρίου ὅλου συνήχθησαν πάντες ἐν Νικαίᾳ. τοὺς δὲ Ῥώμης καὶ ἀνατολικοὺς ἐκ προσώπου οὐκ ἦν ἀπολύσασα, ἀλλ' εἶχεν αὐτούς. τῇ δὲ θ' τοῦ Σεπτεμβρίου μηνὸς τῆς ια' ἰνδικτιῶνος, ἡμέρᾳ κυριακῇ, ἔκλειψις γέγονεν ἡλίου, ὥρᾳ ε' τῆς ἡμέρας, τῆς θείας λειτουργίας ἐπιτελουμένης, μεγίστη.

787/8 A. M. 6280 η'. γ'. ιθ'. δ'.

Τούτῳ τῷ ἔτει ἐξῆλθε Ταράσιος, ὁ ἁγιώτατος ἀρχιεπίσκοπος
717 B Κωνσταντινουπόλεως, ἐν τῇ Νικαέων πόλει· καὶ ἐκροτήθη ἡ ἁγία καὶ οἰκουμενικὴ ζ' σύνοδος τν' ἐπισκόπων· καὶ ἀπέλαβεν ἡ καθολικὴ ἐκκλησία τὸν ἀρχαῖον κόσμον αὐτῆς, οὐδὲν καινὸν δογματίσασα, ἀλλὰ τὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων δόγματα ἀσάλευτα φυ-

---

1 καὶ τῇ τοῦ θ. χάρ. d. — οὐδέν dh. — 1. 2 οἱ μαν. ἐκ. καὶ ἀπάνθρωποι om. y. — 2 ἀπῆλθον z. — 5 τὸν Σταυράκιον τὸν y. — τὸν πατρίκιον om. h. — 6 λογοθέτην τοῦ δρόμου dz τοῦ δρόμου om. yA. — τῷ om. y. — 7 ι' add. A om. codd. — ἰνδίκτου deh ἰνδ^{ου} m ἰν^{δ} fg. — 8 καὶ ἐξ.] τοῦ ἐξ. d. — 10 καὶ δὴ πλασ. ὡς φ.—μέλλει d. — φωσατεύειν h φουσατεύειν y φωσσατεύειν dg. — 12 κόρτι f κόρτις g. — Μαλαγγίνων m. — 14 ἅρματα d ἅρματα rell. — γὰρ om. yz. — 15 φαμηλίας codd. — 17 ἐγενήθη h. — 18 πειθηνίους, αὐτῇ d sibi obtemperantes, ipsa (πειθ. αὐτῇ, αὐτῇ) A. — 20 Νικαίων em. — 22 τοὺς δὲ—23 αὐτούς om. d. — 22 Ῥωμῆς f. — 24 ἰν^{δ} codd. — 26 ιθ'] ιε' f. — 27 ἐπίσκοπος g πατριάρχης d. — 29 τν' scr. e coni. τῶν codd. A. — 31 τὰ om. hy.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λάξασα καὶ τὴν νέαν αἵρεσιν ἀποκηρύξασα τούς τε τρεῖς ψευδωνύμους πατριάρχας ἀναθεματίσασα, Ἀναστάσιον, φημί, καὶ Κωνσταντῖνον καὶ Νικήταν καὶ πάντας τοὺς ὁμόφρονας αὐτῶν. ἐγένετο δὲ ἡ πρώτη συνέλευσις καὶ καθέδρα τῶν ἐπισκόπων ἐν τῇ καθολικῇ ἁγίᾳ Σοφίᾳ τῆς Νικαίας μηνὶ Ὀκτωβρίῳ ια', ἰνδικτιῶνος ια'. καὶ τῷ Νοεμβρίῳ μηνὶ εἰσῆλθον πάντες ἐν τῇ βασιλευούσῃ πόλει· καὶ προκαθίσαντες οἱ βασιλεῖς σὺν τοῖς ἐπισκόποις ἐν τῇ Μαγναύρᾳ, ὑπανεγνώσθη ὁ τόμος, καὶ ὑπέγραψεν ὅ τε βασιλεὺς καὶ ἡ μήτηρ αὐτοῦ κυρώσαντες τὴν εὐσέβειαν καὶ τὰ τῶν ἁγίων πατέρων ἀρχαῖα δόγματα, καὶ φιλοτιμησάμενοι τοὺς ἱερεῖς ἀπέλυσαν. καὶ εἰρήνευσεν ἡ τοῦ θεοῦ ἐκκλησία, εἰ καὶ ὁ ἐχθρὸς τὰ ἑαυτοῦ ζιζάνια ἐν τοῖς ἰδίοις ἐργάταις σπείρειν οὐ παύεται· ἀλλ' ἡ τοῦ θεοῦ ἐκκλησία πάντοτε πολεμουμένη νικᾷ.

Θ'. δ'. κ'. ε'. A. M. 6281 788/9

Τούτῳ τῷ ἔτει ἐξῆλθε κοῦρσον τῶν Ἀράβων κατὰ Ῥωμανίας 391 P
μηνὶ Σεπτεμβρίῳ, καὶ εἰσῆλθεν εἰς τὸ τῶν ἀνατολικῶν θέμα, εἰς τόπον λεγόμενον Κοπιδνάδον. καὶ ἐπισυναχθέντες οἱ τῶν Ῥωμαίων στρατηγοὶ ἐπολέμησαν μετ' αὐτῶν, καὶ ἡττήθησαν, καὶ ἀπέθανον 718 B
πολλοί, καὶ ἐκ τῶν ἐξορισθέντων δὲ σχολαρίων οὐκ ὀλίγοι· ἔπεσε δὲ καὶ Διογένης, ὁ τῶν ἀνατολικῶν τουρμάρχης ἱκανός, καὶ τοῦ Ὀψικίου ἄρχοντες. λύσασα δὲ ἡ βασίλισσα Εἰρήνη τὴν πρὸς τοὺς Φράγγους συναλλαγὴν ἀπέλυσε Θεοφάνην τὸν πρωτοσπαθάριον, καὶ ἤγαγε κόρην ἐκ τῶν Ἀρμενιάκων ὀνόματι Μαρίαν ἀπὸ Ἀμνίας, καὶ ἔξευξεν αὐτὴν Κωνσταντίνῳ τῷ βασιλεῖ καὶ υἱῷ αὐτῆς, πολλὰ λυπουμένου αὐτοῦ καὶ μὴ θέλοντος διὰ τὴν πρὸς τὴν τοῦ Καρούλου θυγατέρα, τοῦ ῥηγὸς τῶν Φράγγων, σχέσιν, ἣν ἦν προμνηστευσάμενος. καὶ ἐπετέλεσαν τοὺς γάμους αὐτοῦ μηνὶ Νοεμβρίῳ, ἰνδικτιῶνος ιβ'. Φιλητὸς δέ, ὁ τῆς Θρᾴκης στρατηγός, ἀπελθὼν ἐν τῷ Στρυ-

---

1 καὶ τὴν νέαν—2 ἀναθεματίσασα *om.* f. — 3 αὐτοῖς dz. — δὲ καὶ ἡ f δὲ καί em. — 4 καθέδρα καὶ συνέλευσις d. — 5 τῆς Νικαέων d Nicaenae civitatis A. — ἰνδ ια' *add.* dzA *om.* y. — 6 πάντες *om.* d. — καὶ δὴ προκ. d. — 9 καὶ τά] secundum (κατὰ τά) A. — ἁγίων *om.* dz. — ἀρχαῖα *om.* d. — 11 εἰ καὶ—12 ἐκκλησία *om.* g. — 14 Θ'. δ'. κε'. f. — 17 τόπον] τό d. — Κοπίδναδον f Κοπίναδον z Κοπτιναδόν d. — 19 δὲ σχολαρίων *om.* y. — 20 ὁ Διογένης y. — ἀνατολ. θεμάτων τουρμ. h. — ἱκανὸς *om.* h. — 21 pace soluta faciendi cum Francis nuptiales contractus A. — 23 Ἀμνίας *edd.* Ἀμνίαν y Ἄμνιαν g Ἀμνείαν h Ἄμνειαν d. — *Ad v.* 23 *in mg.* d *adscr.* τοῦ Φιλαρέτου θυγάτριον τοῦ ἐπὶ ἐλεημοσύνης περιβοήτου *cf.* Zonar. XV, 10. — 24. 25 πολλὰ αὐτοῦ λυπουμένου d. — 25 τὴν *om.* y. — Καρούλλου yz. — 26 ἣν προμνηστευσάμενος (*om.* ἣν) y ἣν προεμνηστεύσαντο d. — 27 ἐπετέλεσεν d. — ἰνδικτιῶνος δ *om.* f ἰν *rell.* — 28 β' h. — Φιλιτός d Φηλητός em Φίλιππος *pr. m. corr. ex* Φίλιπος f. — Στρυμόνι g Στρομώνι y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μῶνι καὶ ἀφυλάκτως ἀπληκεύσας, ἐπιπεσόντων αὐτῷ ἄφνω Βουλγάρων, ἀνῃρέθη ὑπ' αὐτῶν σὺν καὶ ἄλλοις πολλοῖς. ἀποστείλασα δὲ Εἰρήνη Ἰωάννην, τὸν σακελλάριον καὶ λογοθέτην τοῦ στρατιωτικοῦ, εἰς Λογγιβαρδίαν μετὰ καὶ Θεοδότου τοῦ ποτε ῥηγὸς τῆς μεγάλης Λογγιβαρδίας πρὸς τὸ εἰ δυνηθείη ἀμύνασθαι τὸν Κάρουλον, καὶ ἀποσπάσαι τινὰς ἐξ αὐτοῦ. καὶ κατῆλθον οὖν σὺν Θεοδώρῳ πατρικίῳ καὶ στρατηγῷ Σικελίας· καὶ πολέμου κροτηθέντος, ἐκρατήθη ὑπὸ τῶν Φράγγων ὁ αὐτὸς Ἰωάννης καὶ δεινῶς ἀνῃρέθη.

789/90 A. M. 6282

ι'. ε'. κα'. ϛ'.

719 B Τούτῳ τῷ ἔτει ἐκίνησεν ὁ διάβολος φθόνῳ τῆς εὐσεβείας τῶν βασιλέων ἀνθρώπους πονηρούς, καὶ συνέβαλον τὴν μητέρα κατὰ τοῦ υἱοῦ, καὶ τὸν υἱὸν κατὰ τῆς μητρός. ἔπεισαν γὰρ αὐτὴν ὡς ἐκ προγνωστικῶν πληροφορηθέντες, ὅτι "οὐκ ἔστιν ὡρισμένον παρὰ τῷ θεῷ κρατῆσαι τὸν υἱόν σου τὴν βασιλείαν, εἰ μὴ σή ἐστιν, ἐκ θεοῦ δεδομένη σοι." αὐτὴ δὲ ὡς γυνὴ ἐξαπατηθεῖσα, ἔχουσα δὲ καὶ τὸ φίλαρχον, ἐπληροφορήθη οὕτως εἶναι, καὶ οὐκ ἐλογίσατο, ὅτι αὐτοὶ θέλοντες διοικεῖν τὰ πράγματα τοῦτο προεφασίσαντο. τοῦ οὖν βασιλέως γεγονότος εἰκοσαετοῦς, ῥωμαλέου τε ὄντος καὶ ἱκανοῦ πάνυ, ἑώρα ἑαυτὸν μηδὲν ἐξουσιάζοντα· καὶ ἐλυπεῖτο βλέπων Σταυράκιον τὸν πατρίκιον καὶ λογοθέτην τὰ πάντα κατέχοντα, καὶ πάντας πρὸς αὐτὸν προερχομένους, [καὶ] μηδενὸς τολμῶντος τῷ βασιλεῖ συχνάσαι.
392 r καὶ βουλευσάμενος τοῖς οἰκείοις αὐτοῦ ἀνθρώποις, ὀλιγοστοῖς οὖσιν, καὶ Πέτρῳ μαγίστρῳ καὶ Θεοδώρῳ πατρικίῳ τῷ Καμουλιανῷ καὶ Δαμιανῷ πατρικίῳ, ἐκύρωσε τοῦ πιάσαι αὐτὸν καὶ ἐξορίσαι ἐν Σικελίᾳ, καὶ κρατῆσαι αὐτὸν τὸ βασίλειον μετὰ τῆς ἰδίας μητρός. τῇ δὲ θ' τοῦ Φεβρουαρίου μηνὸς τῆς ιγ' ἰνδικτιῶνος σεισμὸς γέγονε φοβερώ-
720 B τατος, ὥστε μὴ τολμᾶν τινας ἐν οἴκῳ καθευδῆσαι, ἀλλὰ πάντας εἰς τοὺς κήπους καὶ τὰ ἐξάερα σκηνὰς ποιήσαντας διάγειν. ἡ δὲ βασίλισσα ἅμα τῷ υἱῷ αὐτῆς ἐξῆλθεν ἐν τῷ ἁγίῳ Μάμαντι. μηνυθείσης

---

1 ἁπλικεύσας hm. — ἄφνω om. d. — 2 καὶ om. f. — 3 δὲ ἡ Εἰρ. h. — 3 στρατιωτικοῦ — 4 Θεοδότου τοῦ om. g. — 5 δυνηθείη ἐναμύνασθαι y δυνηθεῖεν ἀμύνασθαι dg δυνηθεῖεν ἀμύνεσθαι h ad ultionem inferendam, si posset A. — Κάρουλλον (-οῦλλον h) codd. — 6 καὶ ante κατ. om. z. — καὶ κατελθόντων σὺν d. — 10 ὁ διάβολος om. y. — 11 συνέβαλλον z. — 13 ὡρισμένον hy. — 14 τῷ υἱῷ y. — 15 αὐτῇ em αὕτη d. — 17 ἐπροφασίσαντο g. — 18 ῥωμαλαίου yz. — 19 αὐτόν g. — πάνυ post ἐλυπεῖτο add. dz om. yA. — 21 προερχομένους dgA προσερχομένους hy. — καὶ del. videtur. — 22 τοὺς οἰκείους ἀνθρώπους αὐτοῦ ὀλιγοστοὺς ὄντας d. — 23 Θεόδωρον πατρίκιον τὸν Καμουλιανόν y. — 24 Δαμιανὸν πατρίκιον yz. — 25 αὐτόν] αὐτῶν f αὐτήν em. — τὴν βασιλείαν h. — μετὰ τῆς ἰδίας μητρός om. em. — 26 Φευρουαρίου dmz. — τῆς] τῇ g. — ιγ' d γ' yz. — ἰν codd. — 27 τολμᾶν] τολμῶντας y. — 28 sub diu tabernaculis factis et tentoriis extensis degebant A. — 29 εἰς τὸν ἅγιον Μάμαντα d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ τῷ Σταυρακίῳ τῆς προφάσεως ταύτης, συγκινεῖ τὴν Αὐγούσταν κατὰ τοῦ υἱοῦ, καὶ πιάσασα τοὺς ἀνθρώπους τοῦ βασιλέως, πάντας δείρασα καὶ κουρεύσασα σὺν Ἰωάννῃ τῷ πρωτοσπαθαρίῳ καὶ βαγύλῳ αὐτοῦ, τῷ λεγομένῳ Πικριδίῳ, ἐξώρισεν ἐπὶ τὰ κατωτικὰ μέρη ἕως Σικελίας. τὸν δὲ μάγιστρον Πέτρον ἀτιμίαις περιβαλοῦσα ἐκάθισεν ἐν τῷ οἴκῳ αὐτοῦ, ὁμοίως καὶ Θεόδωρον πατρίκιον, τὸν Καμουλιανόν· τὸν δὲ πατρίκιον Δαμιανὸν δείρασα καὶ κουρεύσασα εἰς Ἀπολλωνιάδα τὸ κάστρον ἐξώρισεν. τύψασα δὲ καὶ τὸν υἱὸν καὶ πολλὰ λοιδορήσασα ἀπρόϊτον ἐποίησεν ἐπὶ ἡμέρας ἱκανάς. ἤρξατο δὲ ὁρκίζειν τὸν στρατόν, ὅτι "ἕως οὗ ζῇς, οὐ καταδεξόμεθα τὸν υἱόν σου κρατῆσαι." καὶ ὤμνυον πάντες οὕτως, μηδενὸς τολμῶντος ἀντειπεῖν περὶ τούτου τὸ σύνολον. στόλος δὲ ἐξῆλθεν Ἀράβων ἐπὶ Κύπρον, καὶ τοῦτο προγνοῦσα ἡ βασίλισσα ἐσώρευσε καὶ αὐτὴ πάντα τὰ Ῥωμαϊκὰ πλωΐματα καὶ ἀπέλυσε κατ' αὐτῶν. ἐλθόντες δὲ ἕως τὰ Μύρα ἀμφότεροι οἱ στρατηγοὶ ἔκαμψαν τὸν ἀκρωτῆρα τῶν Χελιδονίων καὶ εἰσῆλθον ἐπὶ τὸν κόλπον Ἀταλείας. οἱ δὲ Ἄραβες 721 B
κινήσαντες ἀπὸ τῆς Κύπρου, καὶ εὐδίας αὐτοὺς καταλαβούσης, περιεφέροντο ἐν τῷ πελάγει. ἀναφανέντων δὲ αὐτῶν τὴν γῆν, εἶδον αὐτοὺς οἱ στρατηγοί, καὶ παραταξάμενοι ἡτοιμάσθησαν τοῦ πολεμεῖν. Θεόφιλος δέ, ὁ τῶν Κιβυραιωτῶν στρατηγός, ῥωμαλέος ἀνὴρ καὶ ἱκανώτατος ὤν, θαρσήσας καὶ πάντων προεξελθὼν τούτοις τε συμβαλών, ἐκρατήθη ὑπ' αὐτῶν, ὃν ἐπαγαγόντες πρὸς Ἀαρών, θεαθείς τε παρ' αὐτοῦ προετράπη προδότης γενέσθαι καὶ τυχεῖν προσκαίρων δωρεῶν. τοῦ δὲ μὴ καταδεξαμένου ἐπὶ πλέον τε ἀναγκασθέντος καὶ μὴ ὑπείξαντος, τὴν διὰ ξίφους τιμωρίαν ὑπομείνας μάρτυς ἄριστος ἀνεδείχθη.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	Ῥώμης	Κωνσταντ.	A. M. 6283
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	ἐπίσκοπος	ἐπίσκοπος	
,ϛσπγ'.	ἔτη ψπγ'.	Κωνσταντῖνος	Ἀαρὼν ·	Ἀδριανὸς	Ταράσιος	
		ἔτη ζ'.	ἔτη κγ'.	ἔτη κξ'.	ἔτη κα'.	
		α'.	ϛ'.	κβ'.	ζ'.	

Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ, ἰνδικτιῶνος ιδ', κατέλαβον οἱ 393 P
ὁρκίζοντες εἰς τὸ Θέμα τῶν Ἀρμενιάκων· οἱ δὲ οὐ κατεδέξαντο

---

1 *Αὐγοῦσταν* g *sine acc.* f. — 2 *τοῦ βασιλέως*] *τοῦ υἱοῦ αὐτῆς* z *αὐτοῦ* d. — *πάντας*] *παραυτὰ* g. — 3 *δήρασα* dehm *δήσασα* f. — 5 *μαγίστρον* deh. — *ἀτιμίᾳ* d. — 6 *Θεόδ. τὸν πατρ.* y. — 8 *καὶ utrumque om.* f. — 14 *πλοΐματα* h *πλοήματα* f. — *ἐλθόντων* d. — 16 *Ἀταλίας* dehm. — 17 *εὐδείας* f. — *αὐτοὺς om.* em. — 18 *κατὰ τὴν γῆν* Combefis *τῇ γῇ?* — 20 *Κηβυραιωτῶν* h *Κιβυρεωτῶν* m *Κυβυρεωτῶν* e *Κυβερεωτῶν* f *Κιβυριωτῶν* d *Κιβυρραιωτῶν* g. — *ῥωμαλαῖος* hy. — 21 *θαρρήσας* dy. — 22 *ἀπαγαγόντες* dz. — 23 *τε om.* h. — *ὑπ' αὐτοῦ* d. — 24 *τοῦ*] *τούτου* d. — 25 *ὑπήξαντος codd. praeter* g. — 29[1] *ϛσπη'* f. — 30[6] *ἔτη κδ'* g. — 32 *ἐν codd.* — 33 *τὸ om.* g. — *οὐ om.* em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὀμόσαι, ὅτι "οὐ βασιλευόμεθα ὑπὸ τοῦ υἱοῦ σου ἐν τῇ ζωῇ σου, οὐδὲ προτάσσομεν τὸ ὄνομα Εἰρήνης πρὸ Κωνσταντίνου, ἀλλὰ Κωνσταντίνου καὶ Εἰρήνης, ὡς ἐξ ἀρχῆς παρελάβομεν." ἀπέστειλε δὲ πάλιν πρὸς τὸ πιάσαι αὐτοὺς Ἀλέξιον τὸν σπαθάριον καὶ δρουγγά-
722 B ριον τῆς βίγλας, τὸ ἐπίκλην Μουσουλέμ. οἱ δὲ κρατήσαντες αὐτὸν τοῦ ἄρχειν αὐτῶν προεβάλοντο, Νικηφόρον δέ, τὸν πατρίκιον καὶ στρατηγὸν αὐτῶν, φρουρήσαντες Κωνσταντῖνον μόνον βασιλέα ἀνευφήμησαν. τοῦτο μαθόντες οἱ τῶν λοιπῶν θεμάτων λαοί, τοὺς στρατηγοὺς αὐτῶν διώξαντες Κωνσταντῖνον μόνον βασιλέα καὶ αὐτοὶ ἀνεκήρυττον. ὦ τῆς τοῦ πονηροῦ διαβόλου πανουργίας· πῶς διὰ πολλῶν μεθοδειῶν σπεύδει ἀπολέσαι τὸ τῶν ἀνθρώπων γένος· οἱ γὰρ πρὸ ιε΄ χρόνων ὀμόσαντες τὸν φοβερὸν ἐκεῖνον ὅρκον καὶ ἔγγραφα ποιήσαντες καὶ ἐν τῷ ἁγίῳ βήματι ἀποθέμενοι πάλιν ὤμνυον τῇ Εἰρήνῃ μὴ βασιλευθῆναι ὑπὸ τοῦ υἱοῦ αὐτῆς ἐν τῇ ζωῇ αὐτῆς. καὶ αὖθις τοῦτο ἐπιλαθόμενοι Κωνσταντῖνον αὐτοκράτορα ἀνευφήμουν, μὴ ἐννοήσαντες οἱ τάλανες, ὅτι οὐκ ἔδει ἀντωμοσίαν ποιῆσαι. ἀνάγκη γὰρ πᾶσα τῇ ἀντωμοσίᾳ ἐπιορκίαν παρακολουθῆσαι, ἐπιορκία δὲ θεοῦ ἄρνησις. συναχθέντες δὲ τῷ Ὀκτωβρίῳ μηνὶ τῆς ιδ΄ ἰνδικτιῶνος οἱ τῶν θεμάτων ἐν τῇ Ἀτρῴᾳ ἐπεζήτησαν πάντες κοινῇ γνώμῃ Κωνσταντῖνον βασιλέα εἰκοστὸν ἄγοντα ἔτος· φοβηθεῖσα δὲ Εἰρήνη τὸ
723 B ὅρμημα τοῦ λαοῦ ἀπέλυσεν αὐτόν. αὐτοὶ δὲ τοῦτον αὐτοκράτορα ἐκύρωσαν μέν, ἀπεκήρυξαν δὲ τὴν τούτου μητέρα. ἀπέστειλε δὲ εὐθέως ὁ βασιλεὺς Μιχαὴλ τὸν Λαχανοδράκοντα καὶ Ἰωάννην, τὸν βάγυλον αὐτοῦ καὶ πρωτοσπαθάριον, καὶ ὥρκισαν τοὺς Ἀρμενιάκους τοῦ μὴ δέξασθαι Εἰρήνην τὴν αὐτοῦ μητέρα εἰς βασιλέα· τὸν δὲ
804 P Ἀλέξιον ἐπεκύρωσε στρατηγὸν αὐτῶν. καὶ ἐπανελθὼν ὁ βασιλεὺς ἐν τῇ πόλει τῷ Δεκεμβρίῳ μηνί, δείρας καὶ κουρεύσας Σταυράκιον ἐξώρισε εἰς τὸ Θέμα τῶν Ἀρμενιάκων πρὸς πληροφορίαν αὐτῶν. ἐξώρισε δὲ καὶ Ἀέτιον τὸν εὐνοῦχον, πρωτοσπαθάριον καὶ ἐπιστή-

---

3 προελάβομεν y. — 4 πεῖσαι Combefis. ad inflectendum eos A. — ἀσπαθάριον (= πρωτοσπ) h. — δρογγάριον d. — 5 Μουσουλέμ deh Μουσελέμ fgm Μωσηλέ Zon. XV, 11. — 6 ἑαυτῶν f αὐτόν hm. — προεβάλλοντο g. — 7 βασιλέα ἀνευφήμησαν] principem et imperatorem laudarunt et acclamarunt A. — ἀνευφήμισαν h. — 9 μόνον om. f. — καὶ αὐτοὶ βασιλέα d. — 10 ἀνευφήμησαν g sed in mg. γρ. καὶ ἀνεκήρυττον. — ὦ dehm. — 11 μεθοδιῶν codd. — 12 ιε΄] ε΄ f. — 13 βήματι] ταῦτα θυσιαστηρίῳ d. — 17 τῇ om. m. — παρακουθῆσαι d. — 18 ιδ΄] ιᾱ΄ y. — ἰν codd. — 19 Ἀτρόᾳ d. — ἐπεζήτησαν dm ἐπεζητήσαντες ef et m pr. m. corr. ἐπιζητήσαντες z. — πάντες om. h. — 20 δὲ ἡ Εἰρήνη h. — 22 μὲν om. m. — 23 εὐθύς d. — 24 βαγῦλον g. — ὥρκησεν h. — 25 εἰς βασιλέα dy εἰς βασι λ z in imperatricem A. — 26 ἐν om. g. — 27. 28 ἐξώρισε Σταυράκιον z. — 28 τὸ τῶν Ἀρμ. Θέμα d. — πληροφόρησιν d. — 29 πρωτοσπ. τὸν ἐπιστ. d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θιον αὐτῆς, καὶ πάντας τοὺς οἰκειακοὺς αὐτῆς εὐνούχους. ταύτην δὲ μετὰ τῆς ἀπαθείας αὐτῆς ἐκάθισεν ἐν τῷ παλατίῳ τῶν Ἐλευθερίου, ὃ αὐτὴ ᾠκοδόμησεν, ἐν ᾧ καὶ τὰ πλεῖστα χρήματα ἦν κατακρύψασα. ἐγένετο δὲ τῷ αὐτῷ μηνὶ ἐμπυρισμός, καὶ ἐκάη ὁ τρίκλινος τοῦ πατριαρχείου, ὁ λεγόμενος Θωμαΐτης, καὶ τὸ κυαιστώριον καὶ ἄλλαι οἰκίαι πολλαὶ ἕως τοῦ Μιλίου. τῷ δὲ Ἀπριλλίῳ μηνὶ ἐπιστρατεύσας Κωνσταντῖνος κατὰ Βουλγάρων ἦλθεν εἰς τὸ ἐπιλεγόμενον Προβάτου κάστρον, εἰς τὸ τοῦ ἁγίου Γεωργίου ῥυάκιν· καὶ συναντήσας Καρδάμῳ, τῷ κυρῷ Βουλγαρίας, μικροῦ πολέμου περὶ τὴν ἑσπέραν γεγονότος, δειλανδρήσαντες οἱ Ῥωμαῖοι διὰ τῆς νυκτὸς ἔφυγον καὶ ὑπέστρεψαν ἀδόξως· καὶ οἱ Βούλγαροι δὲ φοβηθέντες ὑπέστρεψαν.

β'. ζ'. κγ'. η'. A. M. 6284 791/2.

Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ ἐπεστράτευσεν ὁ βασιλεὺς κατὰ 724 B
Ἀράβων, καὶ ἀπάρας ἐκ τοῦ Ἀμωρίου ἀπῆλθεν ἐπὶ Ταρσὸν τῆς Κιλικίας. ἐλθὼν δὲ εἰς Ἀνύδρους πύργους πάλιν ἀνεθυπέστρεψε κενὸς μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνος ιε'. τῇ δὲ ιε' τοῦ Ἰαννουαρίου μηνὸς παρακληθεὶς ὁ βασιλεὺς ὑπὸ τῆς ἰδίας μητρὸς καὶ πολλῶν τῶν ἐν τέλει ἀναγορεύει αὐτὴν πάλιν, καὶ συνευφημίζεται σὺν αὐτῷ ὡς ἐξ ἀρχῆς, Κωνσταντίνου καὶ Εἰρήνης. καὶ πάντες μὲν πειθαρχοῦσιν, τὸ δὲ τῶν Ἀρμενιάκων θέμα ἐνστάντες πρὸς τοῦτο στασιάζουσι καὶ ἐπιζητοῦσιν Ἀλέξιον, τὸν πρὸ μικροῦ στρατηγήσαντα αὐτῶν, τὸ τηνικαῦτα τοῦ βασιλέως μετὰ λόγου προσκαλεσαμένου αὐτὸν καὶ τῇ τοῦ πατρικίου ἀξίᾳ τιμήσαντος καὶ πρὸς ἑαυτὸν κατασχόντος. τοῦτον οὖν διὰ τὴν τοιαύτην ἐπιζήτησιν καί τινας λόγους περὶ αὐτοῦ ῥεσκομένους, ὡς μέλλειν αὐτὸν βασιλεύειν, δείρας καὶ κουρεύσας ἐν τῷ πραιτωρίῳ ἀπέθετο. τῷ δὲ Ἰουλίῳ μηνὶ ἐπεστράτευσε κατὰ Βουλγάρων καὶ ἔκτισε τὸ κάστρον Μαρκέλλων· καὶ τῇ εἰκάδι τοῦ Ἰουλίου μηνὸς ἐξῆλθε Κάρδαμος, ὁ κῦρις Βουλγαρίας μετὰ πάσης τῆς δυνάμεως αὐτοῦ καὶ ἔστη ἐν τοῖς ὀχυρώμασιν. θερμοπυνοήσας δὲ ὁ βασιλεὺς καὶ ὑπὸ ψευδοπροφητῶν πεισθείς, ὡς αὐτοῦ ἔσται ἡ νίκη, ἀσκόπως καὶ ἀτάκτως συνέβαλε πόλεμον καὶ ἡττᾶται σφοδρῶς. 725 B
ἐπανέρχεται δὲ φυγὰς ἐν τῇ πόλει πολλοὺς ἀποβαλών, οὐ μόνον τοῦ 895 P

2 μετὰ τῆς ἀπαθείας αὐτῆς] cum suavitate sua et affluentia A. — 3 ὃ] ᾧ dehm. — αὐτῇ em. — 4 ἐγένε τῷ αὐτῷ f. — ἐν τῷ αὐτῷ h. — καὶ om. f. — τρίκλεινος y τρίκληνος d. — 5 πατριαρχίου mz. — κυαιστόριον h κυεστόριον d κοιαιστώριον g. — 6 Μηλίου dfz. — 8 ῥυάκην h. — 10 δειλανδρίσαντες codd. praeter g. — οἱ Ῥωμαῖοι] hi qui ex parte Romanorum erant A. — 16 Ἀνύδρου e. — 17 ἰν codd. — ιε'] ε' h. — δὲ om. h. — Ἰανουαρίου z. — 18 τῆς om. em. — 19 συνευφημεῖται d συνεφημίζεται ef συνεφημίζετο m. — σὺν om. d. — 20 καὶ ante πάντες om. h. — 24 τούτῳ h. — 25 περὶ αὐτοῦ om. d. — 26 ῥεσκουμένους f. — 28 εἰκάδι d κ' yz. — 32 συνέβαλλεν g. — 33 μόνον ἐκ τοῦ d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κοινοῦ λαοῦ, ἀλλὰ καὶ τῶν ἐν τέλει, ἐν οἷς καὶ Μιχαὴλ μάγιστρον τὸν Λαχανοδράκοντα, καὶ Βάρδαν πατρίκιον, καὶ Στέφανον πρωτοσπαθάριον, τὸν Χαμέα, Νικήταν τε καὶ Θεόγνωστον στρατηγοὺς γεγονότας, καὶ ἀνθρώπους βασιλικοὺς οὐκ ὀλίγους, καὶ Παγκράτιον τὸν ψευδοπροφήτην καὶ ἀστρονόμον, ὅστις καὶ νικᾶν αὐτὸν προεφήτευσεν. ἐπῆραν δὲ καὶ τὸ τοῦλδον χρήματά τε καὶ ἵππους καὶ τὴν κόρτην μετὰ πάσης τῆς βασιλικῆς ὑπουργίας. τῶν δὲ ταγμάτων ἐπισυναχθέντων ἐν τῇ πόλει, ἐβουλεύσαντο ἐξαγαγεῖν Νικηφόρον, τὸν ἀπὸ καισάρων, καὶ στῆσαι εἰς βασιλέα. τοῦτο γνοὺς Κωνσταντῖνος, ἀποστείλας ἐξήγαγεν ἀμφοτέρους τοὺς υἱοὺς Κωνσταντίνου, τοῦ πάππου αὐτοῦ, ἐν τῷ ἁγίῳ Μάμαντι· καὶ τὸν μὲν Νικηφόρον ἐτύφλωσεν, Χριστοφόρον δὲ καὶ Νικήταν, Ἄνθιμόν τε καὶ Εὐδόκιμον ἐγλωσσοκόπησεν· σὺν αὐτοῖς δὲ καὶ Ἀλέξιον, τὸν προλεχθέντα πατρίκιον, ἐξετύφλωσε πεισθεὶς ταῖς μητρικαῖς εἰσηγήσεσι καὶ Σταυρακίου, τοῦ προρρηθέντος πατρικίου, ὡς, εἰ μὴ τοῦτον ἐκτυφλώσειεν, εἰς βασιλέα αὐτὸν ψηφίζονται. ἐγένετο δὲ ἡ τούτων ποινὴ
726 B μηνὶ Αὐγούστῳ, ἡμέρᾳ σαββάτῳ, ἰνδικτιῶνι ιε', ὥρᾳ θ'. ἀλλ' οὐκ εἰς μακρὰν ἡ τοῦ θεοῦ δίκη ἀνεκδίκητον εἴασε τὴν ἄδικον ταύτην πρᾶξιν. μετὰ γὰρ πενταετῆ χρόνον, τῷ αὐτῷ μηνί, καὶ τῇ αὐτῇ ἡμέρᾳ τοῦ σαββάτου, τυφλοῦται ὑπὸ τῆς ἰδίας μητρὸς ὁ αὐτὸς Κωνσταντῖνος.

792/3 A. M. 6285

γ'. η'. κδ'. θ'.

Τούτῳ τῷ ἔτει ἀκούσαντες οἱ Ἀρμενιάκοι περὶ τοῦ πατρικίου Ἀλεξίου, ὅτι ἐτυφλώθη, ἐφυλάκισαν τὸν στρατηγὸν αὐτῶν Θεόδωρον καὶ πατρίκιον, τὸν Καμουλιανόν. καὶ μαθὼν ὁ βασιλεὺς ἀπέλυσε τὸν πρωτοσπαθάριον Κωνσταντῖνον, τὸν Ἀρτασήρ, καὶ τὸν Χρυσοχέρην, στρατηγὸν τῶν Βουκελλαρίων, μετὰ λαοῦ τῶν λοιπῶν θεμάτων, τοῦ πιάσαι αὐτούς. οἱ δὲ κροτήσαντες πόλεμον πρὸς αὐτοὺς ἐπίασαν ἀμφοτέρους καὶ ἐτύφλωσαν, καὶ ἐσφάγησαν πολλοὶ

---

1 μαγίστρον deh. — 2 τὸν] τοῦ dg. — 3 Χαμαία deh Χαμαῖα m Χαμέαν f *sed ἐαν sec. m. in lit.* — 5 προηγόρευσεν d. — 6 ἐπῆραν h ἐπήρασιν *rell.* — ἵππους καὶ ἅρματα καὶ τ. κ. d. — 7 τῶν δέ] καὶ δὴ τῶν d. — 8 ἐπισυναχθέντων *om.* em. — 9 τόν] τῶν y. — 10 ἐξ. αὐτὸν ἤτοι ἀμφοτέρους d. — 12 δέ] τε h. — Εὐδόκιμον Ἀνθιμόν τε καὶ Νικήταν d. — Ἄνθημον h. — 13 ἐγλωσσοτόμησεν d. — προρηθέντα d. — 14 ἐτύφλωσεν fg. — 15 τυφλώσειεν *corr. ex* ποιήσειεν d. — 17 σαββα$^{\tau}$ m. — ἰν$^{\delta}$ *codd.* — ε' fh. — 18 ἀνεξεκδίκητον z ἀνεξεδίκητον d. — 20 ὑπὸ τ. ἰδ. μητρὸς τυφλοῦται d. — 24 ἐφυλάκησαν dy. — 25 ἀκούσας δὲ ὁ βασ. d. — 26 τὸν Ἀρτασήρ d τοῦ Ἀρτ. yz. — Ἀρτασῆρ g Ἀρτασήραν Zonar. XV, 12. — 27 Χρυσοχέρην *corr. ex* Χρυσοχάρην d Χρυσοχέριν ehm Χρυσόχειρα Zon. — μετὰ τοῦ λαοῦ dz. — 27. 28 τῶν λοιπῶν θεμάτων] *In haec verba desinit cod.* h. — 28 πιάσαι d πεῖσαι gy. — 29 ἀμφοτέρους αὐτῶν καί dg.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξ ἀμφοτέρων τῶν μερῶν μηνὶ Νοεμβρίῳ τῆς α' ἰνδικτιῶνος· τῷ δὲ Δεκεμβρίῳ μηνὶ κε', ὥρᾳ δευτέρᾳ, νυκτερινῆς βροντῆς καὶ ἀστραπῆς γενομένης, ἀνήφθη μέρος τοῦ βασιλικοῦ ἐργοδοσίου τῶν χρυσοκλαβαρίων κατὰ τὸν χρυσίωνα. μετὰ δὲ τὸ ἅγιον πάσχα ἐπεστράτευσεν ὁ βασιλεὺς κατὰ τῶν Ἀρμενιάκων μετὰ καὶ πάντων τῶν λοιπῶν θεμάτων. καὶ τῇ κε' τοῦ Μαΐου μηνὸς τῆς α' ἰνδικτιῶνος, ἡμέρᾳ κυριακῇ τῆς πεντηκοστῆς, πολεμήσας αὐτούς, δόλῳ τῶν σὺν 396 P
αὐτοῖς Ἀρμενίων προδεδωκότων νικήσας συλλαμβάνει αὐτοὺς καὶ ἀναιρεῖ Ἀνδρόνικον, σπαθάριον καὶ τουρμάρχην αὐτῶν, καὶ Θεό- 727 B
φιλου τουρμάρχην καὶ Γρηγόριον, ἐπίσκοπον Σινώπης, τοὺς δὲ λοιποὺς ζημίαις καὶ δημεύσεσι καθυπέβαλεν. χιλίους δὲ ἐκ τοῦ κάστρου αὐτῶν δεσμήσας ἐν τῇ πόλει εἰσήγαγε διὰ τῆς πόρτης Βλαχερνῶν, μηνὶ Ἰουνίῳ κδ', ἡμέρᾳ β', ὧν ἐπιγράψας τὰ πρόσωπα μέλανι κεντητῷ, "Ἀρμενιάκος ἐπίβουλος," διέσπειρεν αὐτοὺς ἔν τε Σικελίᾳ καὶ ταῖς λοιπαῖς νήσοις. οἱ δὲ προδόται αὐτῶν Ἀρμένιοι μηδὲν φιλοτιμηθέντες παρὰ τοῦ βασιλέως τὸ κάστρον Κάμαχον παρέδωκαν τοῖς Ἄραψιν.

δ'. θ'. κε'. ι'. A. M. 6286 793/4.

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνος β', παρέλαβον οἱ Ἄραβες τὸ κάστρον Θήβασαν ὑπὸ λόγον· διὸ καὶ τοὺς ἄρχοντας αὐτοῦ ἀπέλυσαν πορευθῆναι εἰς τὰ ἴδια.

ε'. ι'. κς'. ια'. A. M. 6287 794/5

Τούτῳ τῷ ἔτει μισήσας ὁ βασιλεὺς τὴν ἑαυτοῦ γυναῖκα Μαρίαν ὑποβολῇ τῆς ἑαυτοῦ μητρὸς ἐφιεμένης τῆς ἀρχῆς πρὸς τὸ καταγνωσθῆναι αὐτὸν ὑπὸ πάντων, ἐξεβιάσατο αὐτὴν τοῦ γενέσθαι μονάστριαν, καὶ πείσας αὐτὴν ἀπέκειρε μηνὶ Ἰαννουαρίῳ, ἰνδικτιῶνος γ'. καὶ τῷ Ἀπριλλίῳ μηνὶ ἐπεστράτευσε κατὰ Ἀράβων· καὶ τῇ η' τοῦ Μαΐου μηνὸς πολεμήσας μεθ' ἑνὸς κούρσου αὐτῶν ἐν τόπῳ ἐπιλεγομένῳ Ἀνοῦσαν, νικήσας καὶ τρέψας ἤλασεν ἕως τοῦ ποταμοῦ. 728 B
καὶ κατελθὼν εἰς Ἔφεσον καὶ εἰς τὸν Θεολόγον εὐξάμενος τὸ κωμέρκιν τοῦ πανηγυρίου, ρ' λιτρῶν χρυσίου ὄν, ἐκούφισε πρὸς θερα-

---

1 τῶν *om.* y. — ἰν *codd. item v.* 6, 19, 26. — 2 κε' *om.* d. — ὥρᾳ] ἡμέρᾳ d. — νυκτερινῆς] τῆς νυκτός g νυκτερινῇ? — 4 χρυσίονα em *et ut vid.* f χρουσῶνα g χρυσῶνα Hase *in Steph. Thes. s. v. Χρυσών.* — 5. 6 πάντα τὰ λοιπὰ θέματα y. — 6 κξ' g. — 7 die sanctae pentecostes A. — τῆς *om.* ef. — 8 νικήσας] Νικήτας g. — 11 καθυπέβαλλεν g. — 12 αὐτῶν — εἰσήγαγεν *om.* f. — τῶν Βλαχερνῶν d. — 13 Ἰουλίῳ y. — 16 Camachan A. — *v. v.* 19—21 *om.* d. — 20 Θηβάσαν y. — 25 τοῦ *om.* g. — 26 Ἰανουαρίῳ g. — 28 πολεμήσας μετ' αὐτῶν ἤγουν μεθ' ἑνός d. — μετενός y. — 29 Ἀνουσᾶν g Ἄνουσαν d. — 30 εὐξάμενος εἰς τὸν Θεολόγον g. — κωμέρκιν] κουμέρκιν dfm κομέρκιον g κουμέρκιον e. — 31 χρυσίου *om.* d. — ὤν d *om.* em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πείαν τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου. τῷ δὲ Αὐγούστῳ μηνὶ ἔστεψεν ὁ βασιλεὺς Θεοδότην τὴν κουβικουλαρέαν εἰς ἀυγούσταν καὶ ἐμνηστεύθη αὐτὴν παρανόμως.

795/6. A. M. 6288 ς'. ια'. κζ'. ιβ'.

Τούτῳ τῷ ἔτει, μηνὶ Σεπτεμβρίῳ, ἰνδικτιῶνος δ', ἐποίησε τὸν γάμον ὁ βασιλεὺς μετὰ Θεοδότης ἐν τῷ παλατίῳ τοῦ ἁγίου Μάμαντος ἡμέρας μ'. τῷ δὲ Ἀπριλλίῳ μηνὶ τῆς αὐτῆς δ' ἰνδικτιῶνος, 397 P ἡμέρᾳ ζ', ὥρᾳ νυκτερινῇ, γέγονε σεισμὸς ἐν τῇ νήσῳ Κρήτῃ φοβερώτατος. ἐγένετο δὲ καὶ ἐν Κωνσταντινουπόλει μηνὶ Μαΐῳ δ' πάνυ φοβερός. Κάρδαμος δέ, ὁ κῦρις Βουλγαρίας, ἐδήλωσε τῷ βασιλεῖ, ὅτι "ἢ τέλεσόν μοι πάκτα, ἢ ἔρχομαι ἕως τῆς Χρυσῆς πόρτης καὶ ἐρημῶ τὴν Θρᾴκην." ὁ δὲ βασιλεὺς βαλὼν καβαλλίνας ἀλόγου εἰς μανδῆλιν ἔπεμψεν αὐτῷ εἰπών, ὅτι "οἷα μέν σοι πρέπει πάκτα, ἀπέστειλά σοι. γέρων δὲ εἶ· καὶ οὐ θέλω ἵνα κοπιάσῃς ἕως τῶν ὧδε· ἀλλ' ἐγὼ ἔρχομαι ἕως Μαρκέλλων, καὶ ἔξελθε. καὶ εἴ τι κρίνει ὁ θεός." καὶ ἀποστείλας ὁ βασιλεὺς εἰς τὰ περατικὰ θέματα ἐσώρευσε 729 B τὸν λαὸν αὐτοῦ καὶ ἦλθεν ἕως Βερσινικίας, καὶ ὁ Κάρδαμος ἦλθεν ἕως τοῦ δασέος Ἀβρολέβα καὶ δειλιάσας ἔμεινεν ἐν τῷ ἄλσει. ὁ δὲ βασιλεὺς παραθαρρύνας τὸν λαὸν αὐτοῦ ἀπῆλθεν ἕως τοῦ γυμνοῦ Ἀβρολέβα, προσκαλούμενος αὐτὸν ἐπὶ ἡμέρας ιζ'. ὁ δὲ οὐκ ἐτόλμησεν, ἀλλ' ἐπανῆλθε φυγὰς εἰς τὰ ἴδια. τῷ δ' αὐτῷ χρόνῳ καὶ οἱ Ἄραβες ἦλθον ἕως τοῦ Ἀμωρίου, καὶ μηδὲν ἀνύσαντες ὑπέστρεψαν αἰχμαλωσίαν εἰς τὰ περίχωρα ποιήσαντες.

Τῷ δ' αὐτῷ ἔτει Πλάτων, ὁ τοῦ Σακκουδίωνος ἡγούμενος, ἀπέσχισε τῆς κοινωνίας Ταρασίου τοῦ πατριάρχου, ὡς δεξαμένου τὸν βασιλέα εἰς κοινωνίαν καὶ ἐπιτρέψαντος τῷ τε κατηχητῇ τοῦ κουρεῦσαι τὴν γυναῖκα αὐτοῦ Μαρίαν, καὶ τῷ ἀββᾷ Ἰωσήφ, τῷ ἡγουμένῳ τῶν Καθαρῶν, τοῦ στεφανῶσαι αὐτὸν μετὰ τῆς Θεοδότης. καὶ τοῦτο γνοὺς ὁ βασιλεὺς ἀπέστειλε Βαρδάνιον, τὸν πατρίκιον καὶ δομέστικον τῶν σχολῶν, καὶ Ἰωάννην, τὸν κόμητα τοῦ Ὀψικίου,

1 τοῦ Θεολόγου *post* Ἰωάννου *add.* d. — 2 κουβικουλαρίαν f. — 3 αὐγοῦσταν g. — αὐτῇ g. — 4 ιβ'] ια' f. — 5 δ ἰν *codd. item v.* 7. — indictione prima A. — 6 μετὰ Θεοδότης ὁ βασιλεύς dg. — 7 ἡμερῶν μ' y ἡμ ε δ' g. — 8 Κρήτης d Κρη τ g. — 9 δ' *om.* f. — 10 Κέρδαμος e. — 11 πόρτας ef πορ τ g. — 12 ἐρημόνω m ἐρημόννω ef. — καβαλλίνας *vulg.* καβαλίνας$_1$ dy καββαλίνας g. — 12. 13 εἰς μανδῆλιν *om.* f. — 13 μανδῆλιν g μανδήλιν m μανδείλιν e μανδήλην d. — 15 κρίνει deg κρινεῖ f κρίνῃ m. — 17 Βερσινίκιας em. — 18 δασέως g δάσεως y *om.* d. — Ἀκρολέβα f *item v.* 20. — 19 λαόν] στρατόν d. — 21 τῷ δ' αὐτῷ — 23 ποιήσαντες *om.* d. — 22 ὑπέστρεψαν — 23 ποιήσαντες *om.* g. — 24 σακκουδίωνος dA σάκκου δίωνος g Σακκουδίου Georg. Mon. *p.* 669. — 25 δεξάμενος y. — 27 Μαρίαν τὴν γυναῖκα αὐτοῦ καὶ Ἰωσὴφ τῷ μοναχῷ καὶ ἡγουμ. d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ εἰσήγαγε τὸν Πλάτωνα ἐν τῇ πόλει καὶ ἀπέκλεισεν εἰς ἐγκλείστραν ἐν τῷ ναῷ τοῦ ἀρχιστρατήγου ἐν τῷ παλατίῳ· τοὺς δὲ λοιποὺς μοναχοὺς σὺν τοῖς ἀνεψιοῖς αὐτοῦ τύψαντες ἐξώρισαν ἐν Θεσσαλονίκῃ, οὓς ὑπερασπίζετο ἡ μήτηρ τοῦ βασιλέως, ὡς τῷ υἱῷ αὐτῆς ἀντιταττομένους καὶ καταισχύνοντας αὐτόν.

Ῥώμης ἐπίσκοπος Λέων ἔτη ἡ'. A. M. 6289 796/7.
ζ'. ιβ'. α'. ιγ'. 796/797

Τούτῳ τῷ ἔτει, μηνὶ Σεπτεμβρίῳ, ἐξῆλθεν ὁ βασιλεὺς σὺν τῇ 730 B
μητρὶ αὐτοῦ ἐν τῇ Προύσῃ θερμίσαι· καὶ τῇ ζ' τοῦ Ὀκτωβρίου μηνὸς τῆς ε' ἰνδικτιῶνος ἐτέχθη τῷ βασιλεῖ υἱός, ὃν ἐπωνόμασε Λέοντα· καὶ μαθὼν ὁ βασιλεύς, καταλιπὼν τὴν μητέρα αὐτοῦ ἐν τοῖς θερμοῖς σὺν πάσῃ τῇ βασιλικῇ τάξει καὶ τοῖς ἄρχουσι δρομαῖος 398 P
ἐπὶ τὴν πόλιν ὑπέστρεψεν. εὑροῦσα δὲ διωρίαν ἡ τούτου μήτηρ προσελάλησε καὶ ὑπέσυρε δωρεαῖς καὶ ὑποσχέσεσι τοὺς τῶν ταγμάτων ἄρχοντας πρὸς τὸ καθελεῖν τὸν υἱὸν αὐτῆς καὶ μονοκρατορῆσαι αὐτήν, τοὺς μὲν δι' ἑαυτῆς θωπεύσασα, τοὺς δὲ διὰ τῶν ἀνθρώπων αὐτῆς, καὶ εἵλκυσε πάντας πρὸς ἑαυτὴν καὶ ἐξεδέχετο ἡμέραν εὑρεῖν ἐπιτήδειον. ἐν δὲ τῇ Ῥώμῃ τελευτήσαντος τοῦ πάπα Ἀδριανοῦ, χειροτονεῖται Λέων, ἀνὴρ τιμιώτατος καὶ κατὰ πάντα αἰδέσιμος. τῷ δὲ Μαρτίῳ μηνὶ ἐξῆλθεν ὁ βασιλεὺς κατὰ Ἀράβων ἔχων μεθ' ἑαυτοῦ Σταυράκιον τὸν πατρίκιον καὶ λοιποὺς φίλους τῆς μητρὸς αὐτοῦ καὶ ἐκλογὴν μονοζώνων στρατιωτῶν ἐξ ἀμφοτέρων θεμάτων χιλιάδας κ'. ἰδόντες δὲ οἱ περὶ Σταυράκιον τὴν προθυμίαν τοῦ λαοῦ καὶ τοῦ βασιλέως ἐφοβήθησαν, μήπως πολεμήσας νικήσῃ, καὶ ἀστοχήσωσι τῆς κατ' αὐτοῦ βουλῆς. καὶ δωροδοκήσαντες τοὺς τῆς βίγλας ἔπεισαν αὐτοὺς ψεύσασθαι, ὅτι ἔφυγον οἱ Σαρακηνοί. ὁ 731 B
γοῦν βασιλεὺς πολλὰ λυπηθεὶς ἄπρακτος εἰς τὴν πόλιν εἰσῆλθεν. καὶ τῇ α' τοῦ Μαΐου μηνὸς τέθνηκεν ὁ υἱὸς αὐτοῦ Λέων, καὶ ἐθρήνησεν αὐτὸν σφόδρα. τῇ δὲ ιζ' τοῦ Ἰουλίου μηνός, ἰνδικτιῶνος ε', ἡμέρᾳ ε', ἐξ ἱππικοῦ ἀγῶνος περάσαντος τοῦ βασιλέως ἐν τῷ ἁγίῳ Μάμαντι ἐπέρασαν κατ' αὐτοῦ οἱ τῶν ταγμάτων προλαλημένοι, ὥστε πιάσαι αὐτόν. ὁ δὲ τοῦτο μαθὼν εἰσῆλθεν εἰς τὸ χελάνδιν αὐτοῦ

---

1 τὸν αὐτὸν Πλάτωνα d. — ἀπέκλεισαν (sic) αὐτὸν εἰς d. — 3 τύψαντες ἐξώρισαν dgA τύψας ἐξώρισεν y. — Θεσαλονίκῃ f. — 4 οὕς y Georg. Mon. οἷς dg. — 5 ἀντιταττόμενος g. — καταισχύνοντος y. — v. 7 om. ef. — 9 θερμῆσαι dy. — 10 ἰν codd. item v. 29. — ἐπωνόμασαν d. — 12 Θέρμοις y. — τοῖς om. g. — δρομαίως fg δρομέως d. — 13 διορίαν degm. — 15 μονοκρατῆσαι dg. — 16 θωπεύουσα g. — 18 πάππα g. — 22. 23 θεμάτων ποιησάμενος χιλιάδας g. — 24 μήποτε πολεμήσαντος αὐτοῦ καὶ νικησάντος ἀστοχ. d. — νικήσει y. — 25 δωροδοκίσαντες em δωροδοκήσας g. — 29 ε'] ς' g. — 31 κατ' αὐτοῦ yA μετ' αὐτοῦ dg. — 32 χελάνδην d χελάν g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐπέρασεν εἰς Πύλας βουλόμενος εἰς τὸ θέμα τῶν ἀνατολικῶν προσφυγεῖν. συνῆσαν δὲ αὐτῷ καὶ οἱ τῆς μητρὸς αὐτοῦ φίλοι ἀγνοούμενοι παρ' αὐτοῦ. ἐξῆλθε δὲ καὶ ἡ γυνὴ αὐτοῦ ἕως τοῦ Τρίτωνος. συμβουλευσάμενοι δὲ οἱ συνόντες αὐτῷ φίλοι τῆς μητρὸς αὐτοῦ εἶπον πρὸς ἑαυτούς· "ἐὰν ἐπισωρευθῇ αὐτῷ λαός, οὐκέτι κυριεύεται, καὶ οὐ λανθάνομεν αὐτόν, καὶ ἀπολεῖ ἡμᾶς." καὶ ἡ μήτηρ δὲ αὐτοῦ ἐπισωρεύσασα ἐν τοῖς Ἐλευθερίου τοὺς τῶν ταγμάτων προλαληθέντας αὐτῇ εἰσῆλθεν ἐν τῷ παλατίῳ, καὶ μαθοῦσα τὴν τοῦ λαοῦ πρὸς τὸν βασιλέα συνδρομὴν ἐφοβήθη λίαν, καὶ ἐσκέπτετο ἀπολῦσαι ἐπισκόπους πρὸς αὐτὸν καὶ λαβεῖν λόγον καὶ καθίσαι εἰς γωνίαν. ἔγραψε δὲ λάθρα πρὸς τοὺς συνόντας αὐτῷ φίλους αὐτῆς, ὅτι "εἰ μὴ ποιήσητέ τινα τρόπον καὶ παραδώσητε αὐτόν, τοὺς λόγους, οὓς ἔχετε μετ' ἐμοῦ, μηνῦσαι ἔχω τῷ βασιλεῖ." οἱ δὲ φοβηθέντες ἐκράτησαν αὐτὸν εἰς παράκλησιν, καὶ εἰσενέγκαντες εἰς τὸ χελάνδιν τῷ σαββάτῳ πρωῒ κατέλαβον ἐν τῇ πόλει, τῇ ιέ τοῦ Αὐγούστου μηνός, καὶ ἀπέκλεισαν αὐτὸν ἐν τῇ Πορφυρᾷ, ἔνθα καὶ ἐγεννήθη. καὶ περὶ ὥραν θ' ἐκτυφλοῦσιν αὐτὸν δεινῶς καὶ ἀνιάτως πρὸς τὸ ἀποθανεῖν αὐτόν, γνώμῃ τῆς μητρὸς αὐτοῦ καὶ τῶν συμβούλων αὐτῆς. ἐσκοτίσθη δὲ ὁ ἥλιος ἐπὶ ἡμέρας ιζ' καὶ οὐκ ἔδωκε τὰς ἀκτῖνας αὐτοῦ, ὥστε πλανᾶσθαι τὰ πλοῖα καὶ φέρεσθαι, καὶ πάντας λέγειν καὶ ὁμολογεῖν, ὅτι διὰ τὴν τοῦ βασιλέως τύφλωσιν ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέθετο· καὶ οὕτω κρατεῖ Εἰρήνη, ἡ μήτηρ αὐτοῦ.

Τῷ δ' αὐτῷ ἔτει καὶ οἱ τῆς Ῥώμης, συγγενεῖς τοῦ μακαρίου πάπα Ἀδριανοῦ, συγκινήσαντες τὸν λαὸν ἐστασίασαν κατὰ Λέοντος τοῦ πάπα, καὶ κρατήσαντες ἐτύφλωσαν αὐτόν· οὐ μέντοι ἠδυνήθησαν τελέως σβέσαι τὸ φῶς αὐτοῦ, τῶν τυφλωσάντων αὐτὸν φιλανθρώπων ὄντων καὶ φεισαμένων αὐτοῦ. ὁ δὲ προσφυγὼν τῷ ῥηγὶ τῶν Φράγγων Καρούλῳ, ἠμύνατο τοὺς ἐχθροὺς αὐτοῦ πικρῶς καὶ πάλιν ἀπεκατέστησεν αὐτὸν εἰς τὸν ἴδιον θρόνον, γενομένης τῆς Ῥώμης ἀπ' ἐκείνου καιροῦ ὑπὸ τὴν ἐξουσίαν τῶν Φράγγων. ὁ δὲ

---

3 exivit ipse et mulier eius A. — 4 συμβ. δὲ οἱ φίλοι τ. μ. αὐτοῦ οἱ καὶ συνόντες αὐτῷ d. — 5 ἐὰν σορευθῇ αὐτοῦ λαός y. — οὐκέτι] οὐ d. — 6 αὐτόν] αὐτῷ g. — 7 Ἐλευθερίοις g. — 7. 8 προλαληθέντας, αὐτῇ d. — 11 δὲ om. g. — αὐτῷ] αὐτῇ d. — ποιήσηται y. — 12 παραδώσετε (-ται ef) y παραδόσετε g. — ἔχεται y. — 14 χελάνδιον g. — 14. 15 κατέλαβεν (sic) ἐν τῇ π. τῷ σαββάτῳ (om. πρωΐ) g. — 15 Αὐγούστου scr. e coni. coll. p. 468, 17 sqq. — αὐτοῦ codd. — 16 πορφύρᾳ codd. — καὶ ante ἐγεννήθη add. ex dA om. gy. — 17 καὶ ἀνιάτως om. g. — 18 αὐτὸν om. d. — 20. 21 καὶ πάντας κλέοντας λέγειν ὅτι d. — 21 ἐκτύφλωσιν d. — 22 Εἰρήνη] ἐν εἰρήνῃ y om. d. — αὐτοῦ τὴν ἀρχήν d. — 23 τῆς Ῥώμης om. d. — μακαριωτάτου d. — 24 πάππα g item v. 25. — 26 αὐτοῦ τὸ φῶς d. — 27 αὐτῷ eg αὐτοῦ f sed οῦ sec. m. in lit. — ῥηγεῖ codd. — 28 Καρούλλῳ g. — 29 ἀπεκατέστησαν d. — 30 ἀπ' ἐκείνῳ καιροῦ ef ἀπ' ἐκείνῳ καιρῷ m ἀπ' ἐκείνης τῆς ἡμέρας d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν Κάρουλον ἀμειβόμενος ἔστεψεν αὐτὸν εἰς βασιλέα Ῥωμαίων ἐν 733 B
τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Πέτρου, χρίσας ἐλαίῳ ἀπὸ κεφαλῆς
ἕως ποδῶν καὶ περιβαλὼν βασιλικὴν ἐσθῆτα καὶ στέφος, μηνὶ
Δεκεμβρίῳ κέ, ἰνδικτιῶνος θ΄.

Ῥωμαίων βασίλισσα Εἰρήνη πάλιν ἔτη ε΄. A. M. 6290 797/8.
α΄. ιγ΄. β΄. ιδ΄.

Τούτῳ τῷ ἔτει κρατήσασα Εἰρήνη τὴν βασιλείαν παραυτίκα
ἀποστέλλει Δωρόθεον, τὸν ἡγούμενον Χρυσοπόλεως, καὶ Κωνσταν-
τῖνον, χαρτοφύλακα τῆς μεγάλης ἐκκλησίας, πρὸς Ἀβιμέλεχ λῃξό-
μενον τὰ μέρη Καππαδοκίας καὶ Γαλατίας, πρεσβευομένη περὶ εἰρήνης·
οὐ γέγονε δέ. καὶ τῷ Ὀκτωβρίῳ μηνί τινες νεωτερισταὶ φρουρου-
μένοις τοῖς υἱοῖς τοῦ θεομάχου Κωνσταντίνου ἐν τῷ παλατίῳ τῶν
Θεραπείας, πείθουσιν αὐτοὺς προσφυγεῖν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ
δῆθεν αἰτήσασθαι ἀσφάλειαν τῆς μετὰ ταῦτα ἀβλαβείας αὐτῶν, ὡς
διὰ τῆς τοιαύτης προφάσεως ἀναγορεῦσαι ἐξ αὐτῶν βασιλέα. καὶ
πολλοῦ λαοῦ ἐν τῇ ἐκκλησίᾳ προσδραμόντος, εἰσελθὼν Ἄέτιος ὁ
εὐνοῦχος πατρίκιος ἐξήγαγεν αὐτοὺς λόγῳ, μηδενὸς αὐτοῖς προσχόν-
τος, καὶ ἐξώρισεν αὐτοὺς εἰς Ἀθήνας. οἱ δὲ δύο πατρίκιοι, ὅ τε
Σταυράκιος καὶ Ἄέτιος, ἐπιστήθιοι ὄντες τῆς βασιλείας, γεγόνασι
κατ᾽ ἀλλήλων, ὥστε φανερῶς τὴν ἔχθραν ἐπιδείκνυσθαι, ἀμφότεροι 734 B
σκοπὸν ἔχοντες μετὰ θάνατον αὐτῆς τοῖς ἰδίοις συγγενεῦσι τὴν βασι- 400 P
λείαν περιποιήσασθαι.

β΄. ιδ΄. γ΄. ιε΄. A. M. 6291 798/9.

Τούτῳ τῷ ἔτει ἐξῆλθεν ὁ Ἀβιμέλεχ κατὰ Ῥωμανίας, καὶ ἀπο-
στείλας κοῦρσον μονοζώνων κατῆλθεν ἕως τῶν Μαλαγίνων. καὶ
ἐπιφθάσας ἐν τοῖς σταύλοις Σταυρακίου τοὺς ἵππους καὶ τὴν βασι-
λικὴν προμοσέλλαν λαβὼν ὑπέστρεψεν ἀβλαβῶς· καὶ οἱ λοιποὶ κατ-
ῆλθον ἕως Λυδίας καὶ πολλὴν αἰχμαλωσίαν ἔλαβον. κοῦρσον δὲ
αὐτῶν ἕτερον ἐκδραμὸν καὶ ἐπιπεσὸν Παύλῳ, πατρικίῳ καὶ κόμητι
τοῦ Ὀψικίου, σὺν ὅλῳ τῷ θέματι αὐτοῦ καὶ τοῖς ὀπτιμάτοις πολλὴν
κοπὴν εἰς αὐτοὺς ἐποίησεν· ἐπάραν δὲ καὶ τὸ τοῦλδον αὐτῶν ὑπ-
έστρεψε καὶ αὐτό. τῷ δὲ Μαρτίῳ μηνὶ τῆς ζ΄ ἰνδικτιῶνος ἠβουλήθη
Ἀκάμηρος, ὁ τῶν Σκλαυινῶν τῆς Βελζητίας ἄρχων, νυχθεὶς ὑπὸ

---

1 *Κάρουλλον* gy. — 2 *ἀπὸ τῆς κεφαλῆς* g. — 4 *ἐν* codd. item v. 32. — 6 *ιδ΄*] *δ΄* f. — 13 *αὐτοῖς* g. — *μεγάλῃ om.* g. — 18 *ἐξώρισαν vertit* A. — 19 *καὶ ὁ Ἀέτιος* em. — *βασι* g. — 20 *ἐπιδεικνῦσθαι* y. — *ἀμφοτέροις κοπόν* f. — 24 *τῷ δ᾽ αὐτῷ ἔτει* d. — *ὁ om.* d. — 26 *ἐπιφθάσας scr. ex* A *ἐπιφθάσαντες codd.* — *στάβλοις* g *ταύλοις* e. — 27 *προμοσέλαν* d. — 29 *ἐκδραμῶν — ἐπιπεσῶν codd.* — 30 *ὀπτημάτοις* gy. — 31 *ἐπῆραν* gy. — 32 *αὐτόν* g. — *ἠκολούθη* e *ἠκολούθει* f *ἠκολου* m. — 33 *Ἀκαμῆρος* g. — *Σκλαβίνων* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν Ἑλλαδικῶν ἐξαγαγεῖν τοὺς υἱοὺς Κωνσταντίνου καὶ προχειρίσασθαι ἐξ αὐτῶν βασιλέα. γνοῦσα δὲ τοῦτο ἡ βασίλισσα Εἰρήνη ἀποστέλλει πρὸς τὸν πατρίκιον Κωνσταντῖνον τὸν Σεραντάπηχον Θεοφύλακτον, τὸν υἱὸν αὐτοῦ, σπαθάριον ὄντα καὶ ἀνεψιὸν αὐτῆς· καὶ πάντας ἐτύφλωσε καὶ διεσκέδασε τὴν κατ' αὐτῆς βουλὴν αὐτῶν. 5
735 B τοῦ δὲ ἁγίου πάσχα τῇ β' ἡμέρᾳ προῆλθεν ἡ βασίλισσα ἀπὸ τῶν ἁγίων ἀποστόλων ἐπὶ ὀχήματος χρυσοῦ ἐποχουμένη τέσσαρσιν ἵπποις λευκοῖς συρομένου καὶ ὑπὸ τεσσάρων πατρικίων κρατουμένου, φημὶ δὴ Βαρδάνου, στρατηγοῦ τῶν Θρᾳκησίων, καὶ Σισιννίου, στρατηγοῦ τῆς Θρᾴκης, καὶ Νικήτα, δομεστίκου τῶν σχολῶν, καὶ Κωνσταντίνου τοῦ Βοϊλᾶ, ῥίψασα ὑπατείαν ἀφθόνως. τῷ δὲ Μαΐῳ μηνὶ ἐνόσησεν ἡ βασίλισσα παραπλήσιον θανάτου· καὶ ἐπέτεινεν ἡ ἔρις τῶν εὐνούχων. Ἀέτιος δὲ προσελάβετο Νικήταν, τὸν πατρίκιον καὶ δομέστικον τῶν σχολῶν, καὶ ἀντέπιπτον δεινῶς τῷ Σταυρακίῳ, πείθοντες καὶ τὴν βασίλισσαν, ὅτι τοῦ κράτους ἐφίεται· καὶ θυμωθεῖσα 15
δεινῶς αὐτῷ ἐπηνέχθη ἐν τῷ παλατίῳ τῶν Ἱερείου εἰποῦσα μούλτων καὶ στάσεων φρουτιστὴν αὐτὸν εἶναι καὶ ἑαυτῷ προξενοῦντα ταχίστην ἀπώλειαν. ὁ δὲ προσαπολογησάμενος αὐτῇ ἠσφαλίζετο ἑαυτόν, ἐμαίνετο δὲ κατὰ Ἀετίου καὶ Νικήτα, τῶν προρρηθέντων πατρικίων. 20

A. M. 6232 γ'. ιε'. δ'. ις'.

401 P Τούτῳ τῷ ἔτει, μηνὶ Φεβρουαρίῳ, ἰνδικτιῶνος η', Σταυράκιος ὁ προρρηθεὶς τυραννίδα καὶ στάσιν κατὰ τὴν βασιλεύουσαν πόλιν
736 B συνεσκεύαζε τοὺς ἐν αὐτῇ σχολαρίους καὶ ἐκσκουβίτορας ἅμα τοῖς ἄρχουσιν αὐτῶν δεξιούμενος χρήμασι καὶ δωρεαῖς. Εἰρήνη δὲ ἡ 25
εὐσεβὴς σιλέντιον ποιήσασα ἐν τῷ Ἰουστινιανοῦ τρικλίνῳ πάντα στρατευόμενον ἐκώλυσε προσπελάζειν Σταυρακίῳ. καὶ οὕτως ἔτυχε μικρᾶς εὐταξίας τὰ πράγματα. Ἀέτιος δὲ ὁ προρρηθεὶς καὶ Νικήτας σὺν ἄλλοις τισὶ κατηγωνίζοντο Σταυρακίου. ὁ δὲ καρδιόπληκτος γενόμενος αἷμα διὰ στόματος ἀνῆξεν ἀφρῶδες ἐκ τῶν κατὰ θώρακα 30

---

2 εἰς βασιλέα d. — 3 Σαραντάπηχον d. — 5 διεσκ. αὐτῶν τὴν κατ' αὐτῆς βουλήν d. — βουλήν] consilium nequiter adinventum A. — 6 ἁγίου καὶ ἱεροῦ π. d. — 7 τέτρασιν d τέσσαρσιν f. — 9 Βαρδανίου dg. — τῶν Θρ. καὶ Σισιννίου στρατηγοῦ hic om. f καὶ Σισιννίου τοῦ στρατηγοῦ post σχολῶν v. 10 insertum. — 11 Βοϊλᾶ] Βόϊλα dem Βόηλα g Βάϊλα f. — ὑπατίαν dm. — 12 ἐνόσισεν d ἐνώσισεν f ἐνόσιεν em. — 13 προεβάλετο em auxiliatus est A. — 14 δεινῶς] τινές y. — τῷ om. d. — 16 ἐπενέχθη codd. — τῆς Ἱερείας d. — rebellionis et simultatis A. — μούλτον ef μοῦλτον m. — 17 στάσεως em. — ἑαυτῷ] ἐπ' αὐτῷ d. — προξενοῦντι y. — 19 ἐμαίετο d. — κατὰ ἐτίου f. — προλεχθέντων d. — 22 Φευρουαρίῳ dgm. — ἰν codd. — 24 συνέζευξεν g. — ἐκσκουβίτωρας y ἐξκουβήτορας g. — 26 σελέντιον d. — Ἰουστινιανῷ f. — τρικλείνῳ ef. — 29 Σταυρακίῳ g. — 30 διὰ τοῦ στόματος g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ πνεύμονα μορίων. τοῦτο οἱ ἰατροὶ θεασάμενοι θανάσιμον ἀπεφήναντο· οἱ δὲ λοιποὶ κόλακες καὶ ἀνόητοι, οὐ μόνον ἰατροί, ἀλλὰ καί τινες ἀμόναχοι μοναχοὶ καὶ γόητες, ἔπειθον ὅρκοις ἕως αὐτῆς ἡμέρας τῆς τελευτῆς αὐτοῦ, ἣ γέγονε κατὰ τὸν Ἰούνιον μῆνα τῆς αὐτῆς ἰνδικτιῶνος ἡμέρᾳ γ', ὅτι ζήσεται καὶ βασιλεύσει. οἷς καὶ ἐπερειδόμενος στάσιν ἐν ταῖς Καππαδοκίαις συνεσκεύασε κατὰ Ἀετίου γενέσθαι, ἣν οὐκ ἠξιώθη ζῶν ἀκοῦσαι· μετὰ γὰρ δύο ἡμέρας τοῦ θανεῖν αὐτὸν ἡ περὶ τούτου κατέλαβε φάσις· καὶ οἱ στασιασταὶ συλληφθέντες ἐξορίαις καὶ τιμωρίαις ὑπεβλήθησαν.

δ'. ις'. ε'. ιζ'. A. M. 6293 800/801.

Τούτῳ τῷ ἔτει, μηνὶ Δεκεμβρίῳ κε', ἰνδικτιῶνος θ', Κάρουλος, ὁ τῶν Φράγγων ῥήξ, ἐστέφθη ὑπὸ Λέοντος τοῦ πάπα· καὶ βουλη- 737 B
θεὶς κατὰ Σικελίας στόλῳ παρατάξασθαι μετεμελήθη, ξευχθῆναι μᾶλλον Εἰρήνῃ βουληθείς, πρέσβεις εἰς τοῦτο πέμψας τῷ ἐπιόντι χρόνῳ, ἰνδικτιῶνος ι'. τῷ δὲ Μαρτίῳ μηνὶ τῆς θ' ἰνδικτιῶνος Εἰρήνη ἡ εὐσεβὴς Βυζαντίοις τοὺς πολιτικοὺς ἐχαρίσατο φόρους, τῆς τε Ἀβύδου καὶ τοῦ Ἱεροῦ τὰ λεγόμενα κωμέρκια ἐκούφισεν, μεγάλως ἐπὶ τούτοις σὺν ἄλλοις πολλοῖς εὐχαριστηθεῖσα εὐεργετήμασιν.

ε'. ιζ'. ς'. ιή'. A. M. 6294 801/2.

Τούτῳ τῷ ἔτει Ἀέτιος ὁ πατρίκιος ἀπαλλαγεὶς Σταυρακίου καὶ ἀπομεριμνήσας τὸ κράτος εἰς τὸν ἴδιον ἀδελφὸν μετενέγκαι ἔσπευδεν, ὃν καὶ προεβάλετο μονοστράτηγον εἴς τε τὴν Θρᾴκην καὶ Μακεδονίαν, αὐτὸς τὰ περατικὰ θέματα κατέχων, ἀνατολικοὺς καὶ τὸ Ὀψίκιν. ἐπάρσεως οὖν μεστὸς ὑπάρχων, τοὺς ἐν τέλει ἄρχοντας κατευτελίζων ἀντ' οὐδενὸς ἐλογίζετο· οἳ καὶ λυπηθέντες κατ' αὐτοῦ 402 P
σφόδρα, στάσιν κατὰ τῆς βασιλίσσης μελετήσαντες εἰς ἔργον ἐξήνεγκαν. ἔφθασαν δὲ καὶ οἱ ἀποσταλέντες παρὰ Καρούλου ἀποκρισιάριοι καὶ τοῦ πάπα Λέοντος πρὸς τὴν εὐσεβεστάτην Εἰρήνην, αἰτούμενοι ζευχθῆναι αὐτὴν τῷ Καρούλῳ πρὸς γάμου, καὶ ἑνῶσαι τὰ ἑῷα καὶ τὰ ἑσπέρια. ἥτις ὑπήκουσεν ἄν, εἰ μὴ Ἀέτιος οὗτος ὁ πολλάκις ῥηθεὶς ἐκώλυσεν, παραδυναστεύων καὶ τὸ κράτος εἰς τὸν ἴδιον ἀδελφὸν σφετεριζόμενος.

---

2 οἱ ἰατροί e. — 3 ἀμόναχοι μοναχοί dg μοναχοὶ (ἀμόναχοι e) οἱ Στουδῖται y pseudomonachi A. — ἕως τῆς αὐτῆς g. — 5 ἰν codd. item v. 11 et 15. — καὶ post οἷς om. g. — 9 καὶ τιμωρίαις om. g. — 11 Σεπτεμβρίῳ d. — Κάρουλλος gy. — 12 πάππα g item v. 28. — 13 κατὰ Σικελίαν y. — μετεμελήθη g μετεβλήθη y. — 16 ἡ om. f. — τοῖς πολιτικοῖς f. — 17 κομέρκια g κουμέρκια dy. — ἐκούφισεν om. d. — 22 προεβάλλετο g. — τε om. fm. — 23 Ὀψίκην y Ὀψίκιον g. — 25 ἀνθ' οὐδενός em. — κατ' αὐτοῦ] adversus eos A. — 27 Καρούλλου g. — 28 εὐσεβεστάτην om. y. — 29 Καρούλλῳ g. — 30 τὰ ἑσπέρια μέρη d. — 31 in proprium sicut praedictum est fratrem usurpans A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

802/3 A. M. 6295 Ῥωμαίων βασιλεὺς Νικηφόρος ἔτη θ'.
α'. ιη'. ζ'. ιθ'.

738 B Τούτῳ τῷ ἔτει, μηνὶ Ὀκτωβρίῳ λα', ἰνδικτιῶνος ια', ὥρᾳ νυκτερινῇ δ', ἐπιφωσκούσης ἡμέρας β', Νικηφόρος πατρίκιος καὶ γενικὸς λογοθέτης ἐτυράννησε κατὰ τῆς εὐσεβεστάτης Εἰρήνης, θεοῦ μὲν συγχωρήσαντος ἀφάτοις κρίμασι διὰ πλῆθος ἁμαρτιῶν ἡμῶν, συνεργούντων δὲ αὐτῷ Νικήτα, πατρικίου καὶ δομεστίκου τῶν σχολῶν, καὶ Σισιννίου, πατρικίου καὶ ἀδελφοῦ αὐτοῦ, τῶν ἐπιόρκων καὶ δολερῶν Τριφυλλίων. συνῆσαν δὲ αὐτοῖς καὶ Λέων πατρίκιος ὁ Σεραντάπηχος καὶ Γρηγόριος πατρίκιος ὁ τοῦ Μουσουλακίου καὶ Θεόκτιστος πατρίκιος καὶ κυαίστωρ, καὶ Πέτρος πατρίκιος, ἀπατήσαντες καί τινας τῶν ἀρχόντων τοῦ λαοῦ τῶν ταγμάτων. καταλαβόντες δὲ τὴν λεγομένην Χαλκῆν ⟨πύλην⟩ καὶ τοὺς φύλακας ἀθρόως ψευδῶς ἀπατήσαντες ἔπεισαν αὐτούς, ὅτι παρ' αὐτῆς ἀπεστάλησαν ἀναγορεῦσαι βασιλέα τὸν αὐτὸν Νικηφόρον διὰ τὸ τὸν πατρίκιον Ἀέτιον βιάξεσθαι αὐτὴν τὸν ἑαυτοῦ ἀδελφὸν Λέοντα ἀναγορεῦσαι βασιλέα. οἱ δὲ πιστεύσαντες τῷ τηλικούτῳ ψεύδει συνανηγόρευσαν βασιλέα τὸν τύραννον. οὕτως οὖν ἐπὶ τὸ μέγα παλάτιον ἐλθόντες οἱ αὐτοὶ πατρίκιοι εἰσῆλθον ἐν αὐτῷ, κἀκεῖθεν ἀποστει-
739 B λαντες καθ' ὅλην τὴν πόλιν ἀσήμους τινὰς καὶ δούλους τὴν ἀναγόρευσιν ἐποιήσαντο πρὸ τοῦ μεσονυκτίου καὶ φύλακας περιέστησαν τῷ παλατίῳ τῶν Ἐλευθερίου, ἐν ᾧ συνέβη αὐτὴν εἶναι. ὄρθρου δὲ μεταστειλάμενοι αὐτὴν κατέκλεισαν ἐν τῷ μεγάλῳ παλατίῳ· καὶ οὕτω προῆλθον ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, ἐπὶ τὸ στέψαι τὸν ἀλιτήριον. συνῆλθε δὲ ἅπαν τὸ πλῆθος τῆς πόλεως, καὶ πάντες ἐπὶ τοῖς πραττομένοις ἐδυσχέραινον ἐπαρώμενοι τὸν στέφοντα καὶ τὸν στεφόμενον καὶ τοὺς τούτοις συγχαίροντας. καὶ οἱ μὲν εὐλαβείᾳ καὶ
403 P λόγῳ συζῶντες τὴν θείαν κρίσιν ἐθαύμαζον, ὅπως συνεχώρησεν ὑπὲρ τῆς ὀρθῆς πίστεως μαρτυρικῶς ἀθλήσασαν ὑπὸ συβώτου ἐκβληθῆναι τῶν εὐνουστάτων αὐτῆς προσθεμένων αὐτῷ διὰ φιλαργυ-

---

3 ἰν codd. — 5 εὐσεβ. αὐγούστης Εἰρήνης y αὐγούστης om. dgA. — 7 αὐτῶν em. — 7 καὶ δομεστίκου — 8 πατρικίου om. f. — 9 πατρίκιος καὶ κοιαίστωρ f. — 10 Σαραντάπηχος d Σεραντάπηχυς g. — 11 κυέστωρ df κοιαίστωρ g. — 11. 12 seducentes quosdam ex populo qui erant ex ordinibus A. — 13 πύλην add. ex A Georg. Mon. p. 671 om. codd. Zonar. XV, 13. — 14 ἀθρῶος y. — αὐτοὺς om. y. — 14. 15 ὅτι ὑπὸ τῆς βασιλίσσης ἀπεσταλ. ἀναγ. τὸν αὐτὸν Νικηφόρον εἰς βασιλέα d. — 18 οὕτος ef. — 20 καθ' ὅλην τὴν πόλιν Georg. Mon. p. 672 καθ' ὅλης τῆς πόλεως codd. — ἀσήμους] ἀσής f. — 22 ton tu Eleutheriu A. sed cf. p. 467, 2; 472, 7; 478, 20. — 23 μεταστ. αὐτὴν κατέκλ. αὐτὴν ἐν d. — 24 προῆλθεν dfg. — ἀλητήριον codd. — 27 συντρέχοντας d. — 28 ἐθαύμασαν d. — 29 μαρτυρικῶς ἀθλήσασαν f more martyrum agonizaverat A μαρτυρήσασαν καὶ ἀθλήσασαν dg ἀθλήσασαν em. — συμβώνου g ἀσεβοῦς Combefis e Cedr. — ἐκβληναι f. — 30 αὐτῆς] αὐτῇ d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρίαν, Λέοντος, φημί, εὐνούχου πατρικίου καὶ σακελλαρίου τοῦ Σινωπέως, καὶ τῶν θεοστυγῶν Τριφυλλίων, καὶ τῶν ἀνωτέρω εἰρημένων πατρικίων, οἵ τινες δωρεαῖς πλείσταις ὑπ' αὐτῆς κατεπλουτίσθησαν, [καὶ] πολλάκις συνεσθίοντες αὐτῇ καὶ κολακείαις μεθ' ὅρκων πείθοντες φρικτῶν πάντων τῶν ἐν κόσμῳ πραγμάτων ἀναγκαιοτέραν ἡγεῖσθαι τὴν πρὸς αὐτὴν εὔνοιαν. ἄλλοι δὲ ὡς ἐν ἐκστάσει, τῶν γινομένων οὐκ αἰσθανόμενοι τὴν βεβαίωσιν, ὀνειροπολεῖσθαι ἐνόμιζον. ἕτεροι δὲ τῶν εὖ εἰδότων στοχάζεσθαι τὴν παρελθοῦσαν 740 B εὐημερίαν ἐμακάριζον, καὶ τὴν μέλλουσαν ἔσεσθαι δυστυχίαν διὰ τῆς τυραννίδος ἐθρήνουν, μάλιστα δὲ ὅσοι τῆς πονηρᾶς γνώμης τοῦ τυράννου πεῖράν τινα προειλήφεσαν. κοινὴ δὲ πάντας κατεῖχε ξόφωσις καὶ ἀπαράκλητος ἀθυμία, ἵνα μὴ κατὰ μέρος τῆς ἐλεεινῆς ἡμέρας ἐκείνης τὰ ἀκαλλῆ ῥήματα γράφων μηκύνω τὸν λόγον. ἦν γὰρ παρὰ φύσιν καὶ τοῦ ἀέρος κατ' αὐτὴν ἀθρόον τὸ κατάστημα συμβὰν σκυθρωπὸν καὶ ἀφώτιστον καὶ κρύους ἀνάπλεων ἀκαταλλάκτου φθινοπωρινῆ ὥρᾳ γενόμενον, δηλοῦν σαφῶς τὴν ἐσομένην αὐτοῦ δυστροπίαν καὶ ἀνύποιστον κάκωσιν, καὶ μάλιστα τοῖς ψηφισαμένοις. τῇ γοῦν ἐπιούσῃ παραλαβών τινας τῶν πατρικίων ἀνῆλθε πρὸς τὴν βασιλίδα φρουρουμένην, ὑποκρινόμενος μέν, ὡς ἦν αὐτῷ σύνηθες, ψευδοχρηστότητα, δι' ἧς καὶ ἠπάτησε τοὺς πλείστους· ἀπολογούμενος δὲ αὐτῇ, ὡς ἀκουσίως ἐπὶ τὴν ἀρχὴν ἀναβιβασθείς, καὶ ὡς ἦν ταύτης ἀνόρεκτος, καταρώμενος δὲ τοὺς προβιβάσαντας μὲν αὐτόν, ἐπιβουλεύσαντας δὲ αὐτῇ, ὡς ὁ προδότης Ἰούδας τὸν κύριον μετὰ τὸ συνδειπνῆσαι, μιμητὰς δὲ ἐκείνου κατὰ πάντα μαρτυρῶν αὐτοὺς εἶναι· ὑποδεικνὺς δὲ καὶ μέλανα τὰ ὑποδήματα περικεῖσθαι φιλεῖν παρὰ τοὺς βασιλικοὺς θεσμοὺς διαβεβαιούμενος. θαρσεῖν τε παρῄνει δολερῶς καὶ μεθ' ὅρκων περὶ πάσης σωματικῆς 741 B ἀναπαύσεως ἁρμοζούσης δεσποίνῃ παρὰ δούλου, καὶ μηδεμίαν ἡγεῖσθαι συμφορὰν τῆς ἐκπτώσεως. παρῄνει δὲ μηδὲν ἀποκρύψαι ἀπ' αὐτοῦ τῶν βασιλικῶν θησαυρῶν, καὶ κατέκρινε τῆς φιλαργυρίας τὸ πάθος, κατέχειν μὴ φέρων. ἐνόσει γὰρ αὐτὸ δεινῶς πάσας ἐν τῷ χρυσῷ τιθεὶς τὰς ἐλπίδας ὁ παμφάγος. ἡ δὲ σοφὴ καὶ θεοφιλὴς

---

1 εὐνούχου *post* σακελλαρίου *ins.* d. — σακκελλαρίου f. — 2 Σινώπεως d Σινοπέως y. — ἀνωτέρων em. — 4 καὶ *ante* πολλάκις *del. vid.* — 6 ἔννοιαν f. — 11 προειλήφασιν y. — κοινῇ g communiter A. — 13 ἡμέρας ἐκείνης *add. ex* d *om. rell.* — 14. 15 τοῦ ἀέρος ἀθρ. τὸ κατ. συμβ. κατ' αὐτήν *pro* τὴν ἡμέραν σκυθρ. d. — 15 κρύους ἀνάπλεων ἀκαταλλάκτου gA ἀνάπλεων *om.* y κρύους ἀνάμεστον (*om.* ἀκατ.) d. — 16 δηλοῦντα gy. — 17 ἀνύπιστον em. — 18 γοῦν d γάρ *rell.* — τινας gA τινα dy. — 20 ψευδοχριστότητα g. — πιστούς f. — 22 καὶ *om.* g. — δέ] οὖν d *in lit.* — 22. 23 τοὺς προβ. μὲν αὐτ. ἐπιβ. δὲ *om.* g. — 25 μελανά fg *sine acc.* e. — 25. 26 περικ. καὶ φιλεῖν g. — 27 θαρρεῖν d. — 31 hos illam habere non ferens A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰρήνη, καίπερ ὀφείλουσα τῷ τῆς ἀθρόας μεταβολῆς πάθει συνέχεσθαι, ὡς ἅτε γύναιον οὖσα, ἔφη γενναίῳ καὶ συνετῷ τῷ φρονήματι πρὸς τὸν χθὲς μὲν δοῦλον ἐπίορκον, σήμερον δὲ μοχθηρὸν καὶ
404 P *ἀνασειστὴν καὶ ἀναιδῆ τύραννον· "ἐγὼ μέν, ὦ ἄνθρωπε, θεὸν ἡγοῦμαι τὸν καὶ πρὶν ὀρφανευθεῖσαν ὑψώσαντά με, καὶ ἐπὶ τὸν θρόνον τῆς βασιλείας ἀναξίαν οὖσαν ἀναβιβάσαντά με, καὶ τὴν αἰτίαν τῆς καθαιρέσεως ἐμαυτῇ προσάπτω καὶ τοῖς ἐμοῖς ἁμαρτήμασιν, ἐν πᾶσι δὲ καὶ κατὰ πάντα τρόπον εἶη τὸ ὄνομα κυρίου εὐλογημένον, κράζουσα, τοῦ μόνου βασιλέως τῶν βασιλέων καὶ κυρίου τῶν κυρίων. τὸν δὲ τρόπον τῆς σῆς προαγωγῆς τῷ κυρίῳ ἀποδίδωμι, οὗ χωρὶς*
742 B *οὐδὲν γενέσθαι πεπίστευκα. τὰς δὲ κατά σού μοι πολλάκις ἀνενεχθείσας περὶ τῆς νῦν σοι περικειμένης ἀξίας (ἀληθεῖς, ὡς τὸ τέλος ἀπέδειξε τῶν πραγμάτων) ἀκοὰς οὐκ ἀγνοεῖς· αἷς εἰ συναπήχθην, ἀκωλύτως εἶχον τοῦ ἀνελεῖν σε. ἀλλὰ τὸ μὲν τοῖς σοῖς ὅρκοις πειθομένη, τὸ δὲ φειδομένη σου πολλοὺς εὐνοήτορας παρελογισάμην, τῷ θεῷ καὶ τηνικαῦτα τὰ κατ' ἐμαυτὴν ἀποδοῦσα, δι' οὗ βασιλεῖς βασιλεύουσι καὶ δυνάσται κρατοῦσι γῆς. καὶ τὰ νῦν ὡς εὐσεβεῖ σοι καὶ ἐξ αὐτοῦ προβληθέντι προσκυνῶ σοι ὡς βασιλεῖ, καὶ αἰτοῦμαι φείσασθαί μου τῆς ἀσθενείας καὶ συγχωρῆσαί μοι τὸν ὑπ' ἐμοῦ κτισθέντα τῶν Ἐλευθερίου οἶκον εἰς ψυχαγωγίαν τῆς ἀσυγκρίτου μου συμφορᾶς."* ὁ δὲ ἔφη· *"καὶ εἰ τοῦτο θέλεις σοι γενέσθαι, ὄμοσόν μοι εἰς πᾶσαν θείαν δύναμιν μὴ ἀποκρύψαι τι τῶν τῆς βασιλείας θησαυρῶν, καὶ πληρῶ σου τὴν αἴτησιν καὶ πᾶσάν σου θεραπείαν καὶ ἀνάπαυσιν ποιῶ."* ἡ δὲ ὤμοσεν αὐτῷ εἰς τὰ τίμια καὶ ζωοποιὰ ξύλα, ὅτι *"οὐκ ἀποκρύψω ἀπό σου, ἕως ὀβολοῦ·"* ὃ καὶ πεποίηκεν. ὁ δὲ τοῦ ποθουμένου ἐπιτυχὼν παρευθὺ ἐξώρισεν αὐτὴν ἐν τῇ νήσῳ τῆς Πριγκίπου, ἐν τῇ μονῇ, ἣν αὐτὴ ᾠκοδόμησεν, ὄντων ἀκμὴν τῶν ἀποκρισιαρίων Καρούλου ἐν τῇ πόλει καὶ ὁρώντων τὰ πραττόμενα. ὁ γοῦν παμφάγος οὗτος τοῦ κράτους ἐπι-*
743 B *λαβόμενος οὐδὲ κἂν πρὸς βραχὺ ἴσχυσεν ἐπικαλύψαι δι' ὑποκρίσεως τὴν ἔμφυτον αὐτοῦ κακίαν τε καὶ φιλαργυρίαν· ἀλλ' ὡς δῆθεν τὴν ἀδικίαν μέλλων ἐκκόπτειν τὸ πονηρὸν ἐν τῇ Μαγναύρᾳ καὶ ἄδικον*

---

2 ὡς *om.* d. — οὖσα *om.* m. — 4 ἀνασείστην *codd.* — 5 καὶ *prius om.* y. — 5. 6 ἐπὶ τοῦ θρόνου g. — 6 με *om.* dem. — 9 κράζουσα *om.* A. — 11 *sqq.* ἀνενεχθ. ἀκοὰς ὡς τὸ τέλος ἔδειξε τῶν πρ. ἀληθεῖς περὶ τῆς νῦν σοι περικ. ἀξ. οὐκ ἀγνοεῖς d. — 12 περὶ — ἀληθεῖς *om.* g. — 13 ἀκοὰς ἃς οὐκ y. — εἰ καὶ συναπ. y. — 14 σοῖς *om.* g. — 15 εὐνοήτορας dg ἐννοήτορας y mihi devotos A εὐνουστέρους? — παρελογησάμην dy. — 17 οἱ δυνάσται degm. — 18 σοι ὡς βασιλεῖ g σε ὡς βασιλέα dy. — 19 καὶ αἰτ.] αἰτοῦμαι δέ g. — μου τὸν m μου τῶν ef. — 20 τῶν] τόν y. — 21 θέλης f θέλη em. — 23 τῶν] τόν ef *om.* m. — θησαυρόν y. — 27 Πριγκήπου *codd.* — ἣν] ᾗ dfg ᾧ em. — αὐτῇ y. — 28 τοῦ Καρ. d. — Καρούλλου g. — 30 ἐπικαλύψαι *om.* m. — 32 ἐγκόπτειν d.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συνεστήσατο δικαστήριον. σκοπὸς δὲ τῷ τυράννῳ οὐ τοῖς πτωχοῖς τὰ δίκαια ἀποδιδόναι, ὡς ἔδειξε τὰ πράγματα, ἀλλὰ διὰ τούτου πάντας τοὺς ἐν τέλει ἀτιμάσαι τε καὶ αἰχμαλωτίσαι, καὶ εἰς ἑαυτὸν τὰ πάντα μετενεγκεῖν· ὃ καὶ πεποίηκεν. ἰδὼν δὲ πάντας λυπουμένους κατ' αὐτοῦ, καὶ δεδιώς, μήπως μεμνημένοι τὰς τῆς εὐσεβοῦς Εἰρήνης εὐεργεσίας προσκαλέσωνται πάλιν τοῦ κρατῆσαι αὐτήν, τῷ Νοεμβρίῳ μηνί, χειμῶνος ἐπικειμένου βαρυτάτου, οὐκ ᾤκτειρεν αὐτὴν ὁ ἄσπλαγχνος, ἀλλ' ἐξώρισεν αὐτὴν ἐν Λέσβῳ τῇ νήσῳ ἀσφαλῶς φρουρεῖσθαι αὐτὴν προστάξας, καὶ παρά τινος μὴ ὁρᾶσθαι τὸ 405 P
σύνολον. τῇ δὲ λ' τοῦ Ἀπριλλίου μηνὸς ἐτελεύτησε Νικήτας ὁ Τριφύλλιος, ὥς φασιν, ὑπὸ Νικηφόρου φαρμάκῳ ἀναιρεθείς. καὶ τῇ δ' τοῦ Μαΐου μηνός, ἡμέρᾳ ε', ἐξῆλθε Νικηφόρος κατὰ τὴν Χαλκηδόνα ἐν προαστείῳ, καὶ ἐπιβὰς ἵππῳ πάνυ ἡμερωτάτῳ καὶ πράῳ ἐκ θείας προνοίας τοῦτον καταβαλὼν τὸν δεξιὸν πόδα αὐτοῦ συνέτριψεν. τῇ δὲ ιθ' τοῦ Ἰουλίου μηνός, ἡμέρᾳ δ', ὥρᾳ α', Βαρδάνης, ὁ πατρίκιος καὶ στρατηγὸς τῶν ἀνατολικῶν, ὁ ἐπίκλην Τοῦρκος, ἀνηγορεύθη εἰς βασιλέα ὑπὸ τῶν περατικῶν θεμάτων· ὅστις πολλὰ 744 B
παραιτησάμενος διαδρᾶσαι αὐτοὺς οὐκ ἴσχυσεν. καὶ κατελθὼν ἕως Χρυσοπόλεως καὶ περιπολεύσας ἡμέρας η' καὶ μὴ δεχθεὶς ὑπὸ τῆς πόλεως ὑπέστρεψεν ἕως τῶν Μαλαγίνων. φοβηθεὶς δὲ τὸν θεὸν καὶ λογισάμενος, μήποτε δι' αὐτὸν σφαγὴ γένηται Χριστιανῶν, ἀποστείλας πρὸς Νικηφόρον καὶ λαβὼν λόγον ἐνυπόγραφον ἐξ ἰδιοχείρου αὐτοῦ, ἐν ᾧ καὶ Ταράσιος, ὁ ἁγιώτατος πατριάρχης, καὶ πάντες οἱ πατρίκιοι καθυπέγραψαν, ὥστε ἀβλαβῆ αὐτὸν διατηρηθῆναι καὶ ἀξήμιον καὶ πάντας τοὺς σὺν αὐτῷ, τῇ η' τοῦ Σεπτεμβρίου μηνὸς ὥρᾳ μεσονυκτίου λάθρα διαδρὰς κατῆλθεν ἐν τῇ Κίῳ τῆς Βιθυνίας εἰς τὴν μονὴν τοῦ Ἡρακλείου, καὶ εὑρὼν τὸ ἀπολυθὲν χελάνδιον τοῦ βασιλέως ἐπὶ τούτῳ ἀπεκάρθη καὶ ἐνεδύσατο στολὴν μοναδικήν, καὶ εἰσελθὼν ἐν αὐτῷ ἀπῆλθεν ἐν τῇ νήσῳ τῇ λεγομένῃ Πρώτῃ, ἐν ᾗ οἰκοδομήσας ἦν μοναστήριον, οἰόμενος ὅτι αἰδεσθήσεται τὸν φοβερὸν λόγον, ὃν ἔδωκεν αὐτῷ ὁ παραλογιστὴς Νικηφόρος, καὶ οὐ μὴ βλάψει αὐτὸν ἐν οὐδενί. ὁ δὲ πρῶτον μὲν γυμνοῖ αὐτὸν τῆς

2 ἔδειξαν y. — 3. 4 ad se quae cunctorum erant impie transferendi A. — 4 τὰ *om.* g. — 5 τάς d *om. rell.* beneficiorum A. — 6 προσκαλέσονται *codd.* — 10 Τριφύλλης f. — 11 φαρμ. ὑπὸ *N.* ὥς φασιν ἀναιρεθείς d. — Nonis Maiis (τῇ ζ') A. — 12 Καλχηδόνα g. — 13 *In verbum* ἡμερωτάτῳ *desinit cod.* d, *continuatur in cod.* Reg. Paris. 1709 (δ). — 14 προνοίας μηθείας e νοίας *sec. ut vid. m. deleto* προμηθείας fm. — καταβαλλὼν g καταλαβὼν em. — αὐτοῦ πόδα egm. — 16 τὸ ἐπίκλην f Georg. Mon. p. 673. — 19 περιπλεύσας em. — η'] ν' Georg. Mon. p. 674. — 21. 22 ἀποστείλας δὲ πρὸς g. — 24 διατηρηθῆναι αὐτόν d. — 25 τῇ δὲ η' g. — 26 Βίῳ f. — 28 ἐπὶ τοῦτο δem. — 29 ἐν αὐτῇ g. — τῇ *ante* λεγομένῃ *om.* δ. — 31 ὁ παραβάτης καὶ παραλογιστής δ. — 32 βλάψῃ egm. — αὐτὸν *om.* y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑποστάσεως αὐτοῦ, καὶ ἀφορμῆς δραξάμενος πάντας τῶν θεμάτων τοὺς ἄρχοντας καὶ κτήτορας, τινὰς δὲ καὶ ἐκ τῆς βασιλίδος πόλεως,
745 B ἠχμαλώτευσεν, τὸν δὲ στρατὸν ἅπαντα ἀρόγευτον εἴασεν. καὶ τίς λόγος δυνήσεται πρὸς ἀξίαν διηγήσασθαι τὰ ἐν ταῖς ἡμέραις ἐκείναις πραχθέντα ὑπ' αὐτοῦ ἔργα κατὰ θεοῦ παραχώρησιν διὰ τὰς ἁμαρτίας ἡμῶν; τῇ δὲ θ' τοῦ Αὐγούστου μηνὸς τῆς ια' ἰνδικτιῶνος ἐτελεύτησεν ἡ βασίλισσα Εἰρήνη ἐν τῇ ἐξορίᾳ τῆς Λέσβου νήσου, καὶ μετηνέχθη τὸ σῶμα αὐτῆς ἐν τῇ νήσῳ τῆς Πριγκίπου, ἐν τῇ μονῇ, ἣν αὐτὴ ᾠκοδόμησεν.

803/4. A. M. 6296 β'. ιθ'. η'. κ'.

Τούτῳ τῷ ἔτει, μηνὶ Δεκεμβρίῳ, ἰνδικτιῶνος ιβ', ἔστεψε Νικηφόρος τὸν υἱὸν αὐτοῦ Σταυράκιον διὰ Ταρασίου, τοῦ ἁγιωτάτου πατριάρχου, ἐν τῷ ἄμβωνι τῆς μεγάλης ἐκκλησίας εἰς βασιλέα,
406 P ἀποίητον ὄντα κατὰ πάντα τῇ τε ἰδέᾳ καὶ ῥώμῃ καὶ γνώμῃ πρὸς τὴν τοιαύτην ἀξίαν. ὁ δὲ μηδέποτε ἐν μηδενὶ φυλάξας| ἀλήθειαν Νικηφόρος Λυκάονάς τινας, ἢ λυκανθρώπους, ὁμογνώμονας καὶ ὁμόφρονας ἀποστείλας εἰς τὴν Πρώτην ἐκέλευσε νυκτὸς ἐπιβῆναι τῇ νήσῳ καὶ τὸν προρρηθέντα ἐκτυφλῶσαι Βαρδάνιον, ὡς δῆθεν ἀγνοοῦντος αὐτοῦ, καὶ μετὰ τὸ δρᾶμα προσφυγεῖν τῇ ἐκκλησίᾳ. τούτου δὲ γεγονότος ὅ τε πατριάρχης καὶ ἡ σύγκλητος δεινῶς ἤλγησαν καὶ πάντες οἱ φοβούμενοι τὸν θεόν. ὁ δὲ παρανομώτατος βασιλεὺς Νικηφόρος ὅρκοις τοὺς ἐν τέλει Λυκάονας, τὸ δοκεῖν, ἐπεζήτει ἀνελεῖν,
746 B ἀμύνασθαι σχηματιζόμενος, ὁ πάντα κατ' ἐπίδειξιν ἀεί, καὶ μηδὲν κατὰ θεὸν πράττων. ἦν γὰρ αὐτῷ μετὰ τῶν λοιπῶν παρανομιῶν καὶ τὸ τοιοῦτον τῆς γνώμης ἐξαίρετον ἰδίωμα, δι' οὗ καὶ πρὸ τῆς βασιλείας πολλοὺς ἠπάτησεν. πλὴν γελοιότατος ἦν τοῖς εἰδόσιν ἀκριβῶς τὸ ἐπιτήδευμα, ὥστε κἀκεῖνον ἀναιδείᾳ πολλῇ ζεξοφωμένον τὸ μιαρώτατον αὐτοῦ πρόσωπον ἀεί, τότε ἀπρόϊτον γενέσθαι ἐπὶ ἡμέρας ζ' ⟨ἐπὶ⟩ τοῦ βασιλικοῦ κοιτῶνος δολίως κλαυθμυριζόμενον, ἐπεὶ καὶ φυσικῶς αὐτῷ γυναικώδη προσῆσαν δάκρυα, ἃ τοῖς πολλοῖς τῶν φαύλων καὶ ψευδοχρήστοις προσεῖναι πέφυκεν. ἀλλ' οὐκ ἔλαθε τοὺς

---

1. 2 *πάντας τοὺς τῶν θεμ. ἄρχοντας* δ. — 4 *δυνήσηται* δg. — 6 *ἰν* δ *codd. item v.* 11. — 7 *ἡ βασίλισσα om.* em. — *Ἠρήνη* e. — 8 *Πριγκήπου* gy. — 9 *ἣν* f *sed sec. m. in lit.* ῆ g ῇ δ *et* m *sec. m. corr.* ῷ e. — 12 *διὰ Ταρασίου om.* f. — 14 *εἰδέᾳ* δy. — 14. 15 *πρὸς τὴν αὐτὴν ἀξίαν* g. — 17 *ὁμοιόφρονας καὶ ὁμογνώμονας* δ. — 18 *Βαρδάνιον* yA *Βαρδάνην* δg. — 21 *βασιλεὺς om.* δ. — 22 *τοὺς ἐν τέλει ἔπειθε μηδὲν εἰδέναι τοὺς δὲ Λυκάονας* δ *bene, sed* A *eadem legit quae rell. codd.* — *τῷ δοκ.* g. — *ἀνελεῖν om.* A. — 23 *ἀμύνασθαι om.* δ. — *χρηματιζόμενος* g. — 24 *κατὰ θεοῦ* em. — *αὐτό* em. — 25 *τῆς γνώμης om.* f. — 26 *γελοιότατον ut vid. legit* A. — 27 *κἀκεῖνον non vertit* A *nec quid sibi velit satis intellego.* — *ζοφώμενον* δ. — 28 *μιαρόν* g. — 29 *ξ'* y. — *ἐπὶ add. e coni.* — *κλαυθμυριζόμενος* f. — 30 *γυναικονίδη* y. — 31 *ψευδοχρήστοις* δ *et ut vid.* m *ψευδοχρίστοις rell.* A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλούς. τῷ δὲ Αὐγούστῳ μηνὶ ἐξελθὼν κατὰ Ἀράβων συνήντησεν αὐτοῖς εἰς Κρασὸν τῆς Φρυγίας καὶ πολεμήσας ἡττᾶται· καὶ πολλοὺς ἀποβαλὼν μικροῦ δεῖν καὶ αὐτὸς κρατεῖσθαι ἤμελλεν, εἰ μὴ τῶν ἀρχόντων τινὲς ἀνδρειότατοι τοῦτον μόλις τῆς ἀνάγκης περισώσασθαι ἴσχυσαν.

γ'. κ'. θ'. κά. A. M. 6297 804/5.

Τούτῳ τῷ ἔτει στάσεως γενομένης κατὰ τὴν Περσικήν, κατῆλθεν ὁ τῶν Ἀράβων ἀρχηγὸς εἰρηνοποιήσων αὐτούς. Νικηφόρος δὲ ἄθειαν εὑρὼν ἔκτισε τὴν Ἄγκυραν Γαλατίας καὶ τὴν Θήβασαν καὶ τὴν Ἀνδρασόν. ἀπέστειλε δὲ καὶ ἐν Συρίᾳ κοῦρσον, καὶ μηδὲν ἀνύσαντες ὑπέστρεψαν, τοὐναντίον δὲ μᾶλλον καὶ πόλλοὺς ἀποβαλόντες.

Κωνσταντινουπόλεως ἐπίσκοπος Νικηφόρος ἔτη θ'. A. M. 6298 805/6.
747 B
δ'. κά'. ι'. α'.

Τούτῳ τῷ ἔτει, μηνὶ Φεβρουαρίῳ ιή', ἰνδικτιῶνος ιδ', Ταράσιος, 407 P
ὁ ἁγιώτατος πατριάρχης Κωνσταντινουπόλεως, ἐνδόξως ἀπεβίω, καὶ ἐξεκομίσθη τὸ λείψανον αὐτοῦ ἐν τῷ Στενῷ τοῦ Πόντου καὶ ἐτάφη ἐν τῷ ὑπ' αὐτοῦ κτισθέντι μοναστηρίῳ τῇ δ' τῆς α' ἑβδομάδος τῶν νηστειῶν. καὶ τῇ ιβ' τοῦ Ἀπριλλίου μηνός, τῇ μεγάλῃ κυριακῇ τοῦ πάσχα, ἐχειροτονήθη Νικηφόρος, ὁ ἁγιώτατος πατριάρχης, ἀπὸ ἀσηκρητῶν ψήφῳ παντὸς τοῦ λαοῦ καὶ τῶν ἱερέων, πρὸς δὲ καὶ τῶν βασιλέων. Πλάτων δὲ καὶ Θεόδωρος, ἡγούμενοι τῆς μονῆς τῶν Στουδίου, οὐ συνευδόκησαν τῇ χειροτονίᾳ Νικηφόρου, ἀλλὰ καὶ λίαν ἀντετάχθησαν σχίσμα μελετήσαντες, αἰτίαν δῆθεν εὔλογον ἔχοντες τὸ μὴ δεῖν ἀπὸ λαϊκῶν ἀθρόως εἰς ἐπισκοπὴν ἀνατρέχειν. οὓς ὁ βασιλεὺς Νικηφόρος τῆς πόλεως ἀπελάσαι βουληθεὶς ἀνετράπη, συμβουλευόντων τινῶν οὐκ ἐπαινετὴν ἔσεσθαι τὴν τοῦ πατριάρχου χειροτονίαν ἐπὶ ⟨τῇ τῶν προειρημένων ἀποχειροτονίᾳ καὶ ἐπὶ⟩ καταλύσει τηλικαύτης μονῆς, ψ' που μοναστῶν ὑπὸ Θεοδώρῳ τεταγμένων. καὶ οὐκ ἦν τὸ πρᾶγμα ξένον τῆς ἐκκλησίας καὶ προσφάτως ἐπινοηθέν, ἀλλὰ καὶ πολλοὶ ἄλλοι ἀπὸ λαϊκῶν ἐπεσκόπησαν ἀξίως τῆς ἀξίας τῷ θεῷ ἱερατεύσαντες.

1. 2 *συνήντησαν αὐτῷ δ.* — 2 *Κρασῶν* f Chrason A. — 8 *κατῆλθεν Ἀαρὼν ὁ?* — 9 *Ἄγγυραν Γαλ.* m *Ἀγκυραγαλατίας* f. — 10 Andarasum A. — *ἐν Συρίᾳ om.* A. — 11 *ἀνύσας δγ.* — *ὑπέστρεψεν* γ. — *ὑπέστρεψαν post ἀποβαλόντες v.* 12 *inser. δ.* — *v. v.* 13. 14 *om.* f. — 14 *α'*] *ια'* em. — 15 *Φευρουαρίῳ* δgm. — *ιή'*] duodecimo kalendas Martias A *κε' codd.* — *ἰν* ^{δ} *codd.* — 16 *πατριάρχης δA ἀρχιεπίσκοπος rell.* — 17 *καὶ ἐτάφη om. δ.* — 18 *τῇ om.* gγ. — 20 *ἀσηκριτῶν δ ἀδσικρητῶν* γ. — 21 *ψήφῳ τῶν ἱερέων καὶ παντὸς τοῦ λαοῦ δ.* — *δὲ om.* γ. — 22 *ἡγούμενος* Combefis. — 23 *Στοδίου* e *Στουδίων* g. — *οὐ om.* γ. — 25 *τό*] *τοῦ* gγ. — *εἰς*] *ὡς* g. — 28 *τῇ τῶν—καὶ ἐπὶ add. ex* A: si praedictorum reiectio et tanti destructio fieret monasterii. — 29 *τῆς τηλικαύτης* g. — *μοναχῶν δ.* — *Θεοδώρῳ δ Θεοδώρου rell.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

748 B Τῷ δ' αὐτῷ ἔτει ἐπεστράτευσεν Ἀαρών, ὁ τῶν Ἀράβων ἀρχηγός, τὴν Ῥωμανίαν ἐν δυνάμει βαρείᾳ ἀπό τε Μαυροφόρων καὶ Συρίας καὶ Παλαιστίνης καὶ Λιβύης χιλιάδων τ'. καὶ ἐλθὼν εἰς Τύανα ᾠκοδόμησεν οἶκον τῆς βλασφημίας αὐτοῦ. καὶ πολιορκήσας παρέλαβε τό τε Ἡρακλέως κάστρον ὀχυρώτατον πάνυ ὑπάρχον καὶ τὴν Θήβασαν καὶ τὴν Μαλακοπέαν καὶ τὴν Σιδηρόπαλον καὶ τὴν Ἀνδρασόν. ἀπέστειλε δὲ κοῦρσον χιλιάδας ξ', καὶ κατῆλθεν ἕως Ἀγκύρας, καὶ ἱστορήσας ταύτην ὑπέστρεψεν. ὁ δὲ βασιλεὺς Νικηφόρος φόβῳ καὶ ἀμηχανίᾳ συσχεθεὶς ἐξῆλθε καὶ αὐτὸς ἐν ἀπογνώσει, τὰ γενναῖα τῆς ταλαιπωρίας ἐπιδεικνύμενος· καὶ πολλὰ τρόπαια ποιήσας ἀπέστειλε πρὸς Ἀαρὼν τὸν μητροπολίτην Συνάδων καὶ Πέτρον, τὸν ἡγούμενον τοῦ Γουλαίου, καὶ Γρηγόριον, τὸν οἰκονόμον Ἀμάστρης, αἰτῶν εἰρήνην γενέσθαι· καὶ πολλὰ διαλεχθέντων αὐτῶν ἐστοίχησαν τὴν εἰρήνην, ἵνα τὸ κατ' ἔτος τελῆται αὐτοῖς ἀνὰ λ' χιλιάδων νομίσματα καὶ τρία νομίσματα κεφαλιτιῶν αὐτοῦ τοῦ βασιλέως, καὶ τρία τοῦ υἱοῦ αὐτοῦ. ἃ καὶ δεξάμενος Ἀαρὼν ἥσθη καὶ ἠγαλλιάσατο ὑπὲρ μυρίων ταλάντων ταῦτα δεξάμενος, ὡς ὑποτάξας τὴν Ῥωμαίων βασιλείαν. ἐστοί-
749 B χησαν δὲ καὶ τὰ παραληφθέντα κάστρα μὴ κτισθῆναι. ὑποστρεψάντων
408 P δὲ τῶν Ἀράβων, ἔκτισεν εὐθέως τὰ αὐτὰ κάστρα καὶ κατωχύρωσεν. καὶ τοῦτο μαθὼν Ἀαρών, ἀποστείλας πάλιν ἔλαβε τὴν Θήβασαν, καὶ πέμψας στόλον εἰς Κύπρον τάς τε ἐκκλησίας κατέστρεψε καὶ τοὺς Κυπρίους μετέστησε καὶ πολλὴν ἅλωσιν ποιήσας τὴν εἰρήνην διέστρεψεν.

806/7. A. M. 6299 ε'. κβ'. ια'. β'.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Νικηφόρος κατὰ Βουλγάρων καὶ καταλαβὼν τὴν Ἀδριανούπολιν, στάσεως μελετωμένης κατ' αὐτοῦ ὑπὸ τῶν βασιλικῶν ἀνθρώπων καὶ τῶν ταγμάτων αἰσθόμενος, ὑπέστρεψεν ἄπρακτος μηδὲν ἀνύσας, ἢ μόνον τοὺς ὁμοφύλους ἀμυνόμενος δαρμοῖς τε καὶ ἐξορίαις καὶ δημεύσεσι πολλοὺς ὑποβαλών. ἀποστείλας δὲ Βαρδάνιον τὸν σπαθάριον, τὸ ἐπίκλην Ἀνεμᾶν, πάντα προσήλυτον καὶ πάροικον ἐπαιχμαλωτεύσας ἐπέρασεν ἐν τῇ Θράκῃ, οἰόμενος οὐκ ὀλίγην ὁλκὴν χρυσοῦ ποριῶσθαι ἐξ αὐτῶν ἐξ ἐτησίων

---

2. 3 καὶ τῆς Συρίας δ. — 5 τό τε] tunc (τότε) A. — Heraclios A. — πανυ om. g. — 6 Μαλακοπέα δ Μαλακοπαΐαν g Malocopean A. — Sideropelum A. — Ἀνδρασον y Ἀδρασόν g Anandarasum A. — 7 sexaginta milia bellatorum A. — 8 ἱστορήσασα em. — 9 τά τε γενναῖα dg. — 11 πρὸς Ἀαρὼν Μιχαὴλ τὸν μ. Σ.? — 14 τελεῖται dy. — χιλιάδες codd. — 15 κεφαληιτῶν δ. — τῆς βασιλείας g. — 16 Ἀαρὼν — 17 δεξάμενος om. δ. — 16 ἠγαλλιᾶτο f ἀγαλλιᾶτο em. — 17 τὴν τῶν Ῥ. g. — ἐστοίχησεν δ. — 18 παραληφθέντα] quae destructa fuerant A. — 23 διέτρεψεν δ. — 26 Ἀνδριανούπολιν em. — 27 καί τινων τῶν ταγμ.? et quidam ex ordinibus A. — 28 ἀμυνάμενος? — 29 ὑποβαλλών g ἀποβαλών y. — 30 Ἀνεμάν dy. — 32 χρυσίου δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τελεσμάτων, ὁ πάντα διὰ τὸν φιλούμενον αὐτῷ χρυσὸν καὶ οὐ διὰ τὸν Χριστὸν πράττων.

ς΄. κγ΄. ιβ΄. γ΄. A. M. 6300 807/808.

Τούτῳ τῷ ἔτει, μηνὶ Σεπτεμβρίῳ, ἰνδικτιῶνος α΄, Ἀαρών, ὁ τῶν Ἀράβων ἀρχηγός, μετὰ στόλου κατὰ τῆς Ῥόδου Χουμεῖδ ἐξέπεμψεν, οὗτος ἀθρόως καταπλεύσας καὶ τὴν Ῥόδον καταλαβὼν πολλὴν ἅλωσιν ἐποιήσατο ἐν αὐτῇ· τὸ μέντοι ἐν αὐτῇ φρούριον διεφυλάχθη ἀπόρθητον. ἐν δὲ τῷ ἐπανέρχεσθαι αὐτὸν φανερῶς κατεπολεμήθη ὑπὸ 750 B τοῦ ἁγίου καὶ θαυματουργοῦ Νικολάου. ἐλθὼν γὰρ εἰς τὰ Μύρα καὶ τὴν ἱερὰν αὐτοῦ συντρίψαι πειραθεὶς λάρνακα ἄλλην ἀντ' ἐκείνης πλησίον παρακειμένην κατέκλασεν· αὐτίκα τε πολλὴ ἀνέμων καὶ θαλαττίων κυμάτων, βροντῶν τε καὶ ἀστραπῶν ἀνωμαλία τὸν στόλον κατέλαβεν, ὡς ἱκανὰ συντριβῆναι σκάφη, αὐτόν τε τὸν θεομάχον Χουμεῖδ ἐπιγνῶναι τὴν τοῦ ἁγίου δύναμιν καὶ παρ' ἐλπίδα τὸν κίνδυνον ἐκφυγεῖν. τῇ δὲ εἰκάδι τοῦ Δεκεμβρίου μηνὸς Νικηφόρος μετὰ πολλὴν ἐκλογὴν παρθένων ἐκ πάσης τῆς ὑπ' αὐτὸν ἐξουσίας εἰς τὸ ξεῦξαι Σταυράκιον, τὸν υἱὸν αὐτοῦ, ποιησάμενος, Θεοφανὼ τὴν Ἀθηναίαν, προσγενῆ τῆς μακαρίας Εἰρήνης, μεμνηστευμένην ἀνδρὶ καὶ πολλάκις αὐτῷ συγκοιτασθεῖσαν, χωρίσας αὐτὴν ἀπ' αὐτοῦ τῷ ἀθλίῳ Σταυρακίῳ συνέζευξεν, ὡς εἰς πάντα καὶ ἐν τούτῳ παρανομήσας ἀναιδῶς, ἄλλας ⟨δὲ⟩ δύο ταύτης ὡραιοτέρας ἐκλεξάμενος σὺν αὐτῇ, προφανῶς αὐτὰς ἔφθειρε κατ' αὐτὰς τὰς ἡμέρας τοῦ γάμου παρὰ πάντων ὁ μιαρὸς γελώμενος. τῷ δὲ Φεβρου- 409 P αρίῳ μηνὶ στάσιν ἐννοήσαντες κατ' αὐτοῦ πολλοὶ τῶν ἐν τέλει Ἀρσαβήρ, τὸν κυαίστωρα καὶ πατρίκιον, ἄνδρα εὐσεβῆ καὶ λογιώτατον ἐψηφίζοντο. γνοὺς δὲ τοῦτο ὁ πολυμήχανος Νικηφόρος, αὐτὸν 751 B μὲν τύψας καὶ ἀποκείρας μοναχὸν πεποίηκεν, ἐν Βιθυνίᾳ τοῦτον ἐξορίσας, τοὺς δὲ λοιποὺς δαρμοῖς καὶ ἐξορίαις, πρὸς δὲ καὶ δημεύσεσι καθυπέβαλεν, οὐ μόνον τοὺς ἐν τῷ κοσμικῷ βίῳ ἄρχοντας, ἀλλὰ καὶ ἐπισκόπους ἁγίους καὶ μοναχοὺς καὶ τοὺς τῆς μεγάλης

1 φόρων ἤτοι τελεσμάτων δ. — χρυσοῦν em χρυσόν sed ὸν sec. m. in lit. f. — 3 ς΄] ε΄ y. — 4 ἰν codd. — 6 πολλὴν om. em. — 7 ἀπόρθητον διεφυλάχθη δ. — 10 λάρνακα πειραθεὶς δ. — 11 πλησίον om. y. — πολλὴν ἀνέμων m πολλὴν ἄνεμον e. — 12 θαλ. πνευμάτων δ. — 14 ἐπιγνόντα τὴν τοῦ ἁγίου δύναμιν παρ' ἐλπ. δ. — 15 τὸν κίνδυνον sec. m. f periculum A τὴν δύναμιν gy om. δ τὴν κάκωσιν sec. m. e. — εἰκάδι δ κ΄ rell. — Aut μετὰ v. 16 aut ποιησάμενος v. 17 del. vid., quamquam utrumque legit A. — 16 παρθένων om. δ. — ὑπ' αὐτῶν f. — 17 ποιησάμενος] ἐκλεξάμενος δ. — 18 Θεοφανῶ codd. — 19 συγκ. αὐτῷ δ. — συγκοιτασθεῖσα g. — 21 δὲ add. ex A om. codd. — 23 Φευρουαρίῳ gm Φερουαρίῳ δ. — 24 κατ' αὐτοῦ πολλοί] τινές δ. — 25 Ἀρσαβῆρ g. — κυαίστορα y κυέστορα δ κοιαίστωρα g. — καὶ ante λογ. om. y. — λογικώτατον y. — 27 ἀποκλείσας δ. — 28 caedibus et tonsuris et publicationibus, insuper et exiliis subdidit A. — 29 καθυπέβαλλεν g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκκλησίας, τόν τε σύγκελλον καὶ τὸν σακελλάριον καὶ τὸν χαρτοφύλακα, ἄνδρας ἐλλογίμους ὑπάρχοντας καὶ αἰδοῦς ἀξίους.

808/9 A. M. 6301 Ἀράβων ἀρχηγὸς Μουάμεδ ἔτη δ'.
ζ'. α'. ιγ'. δ'.

Τούτῳ τῷ ἔτει Ἀαρών, ὁ τῶν Ἀράβων ἀρχηγός, τέθνηκεν εἰς τὴν ἐνδοτέραν Περσίδα, τὴν καλουμένην Χωρασάν, μηνὶ Μαρτίῳ, ἰνδικτιῶνος β'. καὶ διεδέξατο τὴν ἀρχὴν Μουάμεδ, ὁ υἱὸς αὐτοῦ, ἀφυὴς κατὰ πάντα. πρὸς ὃν Ἀβδελᾶς, ὁ ἀδελφὸς αὐτοῦ, στασιάσας ἐκ τῆς αὐτῆς χώρας τοῦ Χωρασὰν ἅμα ταῖς πατρικαῖς δυνάμεσιν ἐμφυλίου πολέμου τῷ κατ' αὐτοὺς ἔθνει γέγονεν αἴτιος. κἀντεῦθεν οἱ κατὰ τὴν Συρίαν καὶ Αἴγυπτον καὶ Λιβύην εἰς διαφόρους κατατμηθέντες ἀρχὰς τά τε δημόσια πράγματα καὶ ἀλλήλους κατέστρεψαν, σφαγαῖς καὶ ἁρπαγαῖς καὶ παντοίαις ἀτοπίαις πρός τε ἑαυτοὺς καὶ τοὺς ὑπ' αὐτοὺς Χριστιανοὺς συγκεχυμένοι. ἔνθεν δὴ καὶ αἱ κατὰ τὴν ἁγίαν Χριστοῦ τοῦ θεοῦ ἡμῶν πόλιν ἐκκλησίαι
752 B ἠρήμωνται, τά τε μοναστήρια τῶν δύο μεγάλων λαυρῶν, τοῦ ἐν ἁγίοις Χαρίτωνος καὶ Κυριακοῦ, καὶ τοῦ ἁγίου Σάβα, καὶ τὰ λοιπὰ κοινόβια τῶν ἁγίων Εὐθυμίου καὶ Θεοδοσίου· ἐπεκράτησε δὲ τῆς τοιαύτης ἀναρχίας ἡ κατ' ἀλλήλων καὶ ἡμῶν μιαιφονία ἔτη ε'. Θεόδωρος δέ, ὁ ἡγούμενος τῶν Στουδίου, καὶ Ἰωσήφ, ὁ ἀδελφὸς αὐτοῦ καὶ ἀρχιεπίσκοπος Θεσσαλονίκης, ἅμα Πλάτωνι ἐγκλείστῳ καὶ τοῖς λοιποῖς αὐτῶν μοναχοῖς τῆς κοινωνίας Νικηφόρου, τοῦ ἁγιωτάτου πατριάρχου, ἀπέστησαν διὰ Ἰωσὴφ τὸν οἰκονόμον ὡς παρανόμως στεφανώσαντα Κωνσταντῖνον καὶ Θεοδότην. Νικηφόρος δὲ ὁ βασιλεὺς ἀφορμῆς δραξάμενος ἐπισκόπους πολλοὺς καὶ ἡγουμένους ἀθροίσας σύνοδον κατ' αὐτῶν κροτηθῆναι ἐκέλευσεν, δι' ἧς ἐξεβλήθησαν
410 P τῆς μονῆς καὶ τῆς πόλεως ἐξορίᾳ παραπεμφθέντες μηνὶ Ἰαννουαρίῳ, ἰνδικτιῶνος β'.

Τῷ δ' αὐτῷ ἔτει ῥόγας διδομένης τῷ λαῷ ἐν τῷ Στρυμῶνι ἐπιπεσόντες οἱ Βούλγαροι ταύτην ἀφείλαντο χρυσίου λίτρας ,αρ' καὶ

---

1 σύγγελλον m. — 2 ἐκλογίμους g. — 4 δ'] α' g. — 6 Χωρασάν δ Const. Porphyr. de adm. imp. cp. 22 Χωρασᾶν g Χουρασάν y Churasan A. — 7 ἰν codd. item v. 28. — ἐδέξατο y. — 8 ἀφ. κατὰ πάντα καὶ ἀσυνάρτητος ὑπάρχων Const. — ὁ Ἀβδ. y. — Ἀβδελάς em Const. Ἄβδελας δ. — 9 Χουρασάν fm Χουράσαν e Χωρασᾶν g. — 14 αὐτούς δ. — ὑπ' αὐτοῖς em. — Χριστιανοῖς m. — συγκεχυμμένοι g. — ἔνθεν Const. per hoc A ἔνθα codd. — 15 πόλιν om. g. — 16 μον. καὶ τῶν g. — λαύρων δem. — 17 Σάββα gm. — 18. 19 ἐπεκράτησε δὲ τῆς κατ' ἀλλήλων μιαιφονίας ἔτη ἱκ. δ. — 19 ἔτη πέντε Const. ἔτη ἱκανά δ. Rell. codd. lacunam post ἔτη habent. — 20 ὁ ἀδελφ. δg ὁ om. y. — αὐτοῦ ὁ καί g. — 21 Θεσαλονίκης f. — ἅμα Πλάτωνι om. em. — ἐγκλειστῷ δy. — 22 μοναστὰς δ. — 27 τῆς τε μονῆς δ. — ἐξορ. παραπεμφθέντες om. δ. — Ἰανουαρίῳ g. — 28 β'] ιβ' y. — 29 Στρύμωνι δ Στυμμώνι f penes Stromonem amnem A. — 30 ἄλαντο m. — ,αρ'] ρ' em. — ,αρ' καὶ πολὺν om. δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολὺν λαὸν κατέσφαξαν σὺν τῷ στρατηγῷ καὶ τοῖς ἄρχουσιν. ἦσαν γὰρ καὶ τῶν λοιπῶν θεμάτων ταξάτοι ἄρχοντες οὐκ ὀλίγοι, καὶ πάντες ἐκεῖ ἀπώλοντο. ἔλαβον δὲ καὶ τὸ τοῦλδον ὅλον καὶ ὑπέστρεψαν. τῷ δ' αὐτῷ ἔτει πρὸ τῆς ἑορτῆς τοῦ πάσχα Κροῦμμος, ὁ τῶν Βουλγάρων ἀρχηγός, παραταξάμενος κατὰ Σερδικῆς ταύτην 753 B παρέλαβε δόλῳ καὶ λόγῳ, στρατεύματα Ῥωμαϊκὰ κατασφάξας χιλιάδας ς' χωρὶς ἰδιωτικοῦ πλήθους. Νικηφόρος δὲ δῆθεν κατ' αὐτοῦ ἐξελθὼν τῇ γ' ἡμέρᾳ τῆς ἑβδομάδος τοῦ σωτηρίου πάθους ἀξιόλογον μὲν οὐδὲν πέπραχεν, τοῖς δὲ περισωθεῖσιν ἐκ τῆς σφαγῆς ἄρχουσιν αἰτοῦσι λόγον σωτηρίας ἀπαξιώσας δοῦναι, τοῖς ἐχθροῖς προσφυγεῖν ἐβιάσατο, ἐν οἷς ἦν καὶ Εὐμάθιος ὁ σπαθάριος μηχανικῆς ἔμπειρος. ὁ δὲ Νικηφόρος πρὸς τῇ πολλῇ ἀδοξίᾳ σάκραις ἐνόρκοις τὴν βασιλίδα πόλιν πείθειν ἐσπούδαζεν, ὅτι τὴν τοῦ πάσχα ἑορτὴν ἐν τῇ αὐλῇ τοῦ Κρούμμου ἑώρτασεν. τὴν δὲ παραληφθεῖσαν Σερδικὴν οἰκοδομεῖν βουλόμενος, ἀνθιστάμενα τὰ πλήθη φοβηθεὶς ὑποβάλλει διὰ τῶν στρατηγῶν καὶ ἀρχόντων πεῖσαι τοὺς ὄχλους αἰτήσασθαι τῷ βασιλεῖ περὶ τῆς οἰκοδομῆς. οἱ δὲ τὸ δρᾶμα κατανοήσαντες ὡς ἐκ τῆς ἐκείνου κακοπραγίας ὑποβεβλημένον στασιάζουσι κατ' αὐτοῦ καὶ τῶν ἰδίων ἀρχόντων ὥρᾳ ς', καὶ ἐπελθόντες διαρρήσσουσι τὰς σκηνὰς αὐτῶν. ἐλθόντες δὲ ἕως τῆς βασιλικῆς ὕβρεσι πολλαῖς καὶ ἀραῖς αὐτὸν ἔβαλλον μηκέτι φέρειν τὴν ἄμετρον φιλαργυρίαν καὶ κακομήχανον αὐτοῦ γνώμην ἐξομνύμενοι. ὁ δὲ τῷ ἀθρόῳ τῆς στά- 754 B σεως σφόδρα καταπτοηθεὶς καὶ ἀναστὰς τῆς τραπέζης, πρῶτον μὲν διὰ Νικηφόρου καὶ Πέτρου τῶν πατρικίων ὅρκοις καὶ πιθανολογίαις κατευνάζειν ἐπειρᾶτο τὸ στράτευμα. οἱ δὲ μικρὸν παυσάμενοι βουνόν τινα κατέλαβον οἱ τρισάθλιοι τῆς ἐν χερσὶν ἐπιλαθόμενοι πράξεως, τό, "κύριε ἐλέησον," ἀναβοῶντες ὡς ἐπί τινι σεισμῷ ἢ ἀνομβρίᾳ. ὁ δὲ πρὸς πᾶσαν κακουργίαν ἕτοιμος λαθραίαις δωρεαῖς διὰ τῆς νυκτὸς τοὺς πολλοὺς τῶν ἀρχόντων ἐξαπατήσας τῇ ἐπαύριον αὐτὸς δι' ἑαυτοῦ μέσος ἐλθὼν τοῖς ὄχλοις διελέχθη, περὶ πάσης 411 P εὐημερίας ὅρκοις φρικτοῖς αὐτοὺς διαβεβαιωσάμενος καὶ τὰ τῆς ἴσης

1 στρατηγοῦντι δ. — 3 ὅλον om. δ. — 4 sancti paschae A. — Κρούμος δ ut ubique Zonaras. Crumnus A ubique, item Georg. Mon. p. 676. — 5 Σαρδικῆς em. — 6 παρέλαβον f. — 7 ς'] ε' δ. — δῆθεν om. δ. — κατ' αὐτῶν δ. — 8 τῆς ἑβδομάδος om. g. — 9 σφαγῆς] de caede A φυγῆς codd. — 10 προσφυγὴν f πρὸς φυγήν egm. — 11 Εὐμάθιος A Εὐθύμιος codd. — ὁ om. δ. — 12 εὐδοξία f. — σάκρας y. — 13 ἑορτήν gA ἡμέραν δ om. y. — 14 Κρούμου δm. — παραλειφθεῖσαν g quae destructa fuerat A (cf. p. 482, 18). — Ἑρδικήν g. — 15 ὑποβάλλῃ g. — 18 ὑποβεβλημένοι δ et ut vid. pr. m. f. — 19 ὥρᾳ ς'] ὥρᾳ ε' δ per horas sex A. — ἀπελθόντες δ ἐλθόντες y. — 20 μέχρι y. — 21 ἔβαλον y summittunt A. — 24 ὅρκοις αὐτοὺς καί δg. — πειθανολογίαις codd. — 25 κατανυάζειν δ. — τὸ στράτευμα om. δg. — 26 οἱ τρισάθλιοι om. A. — 29 ἀπατήσας y. — 31 ὅρκοις αὐτοὺς φρικτοῖς βεβαιωσάμενος δ. — τὰ om. δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς τὰ τέκνα στοργῆς. καὶ παραυτίκα τὴν βασιλίδα καταλαμβάνει, Θεοδόσιον, πατρίκιον καὶ προμοσκρίνιον, τὸ ἐπίκλην Σαλιβαρᾶν, ἐάσας εἰς τὸ καταμαθεῖν δι' ἀλλήλων τοὺς στασιάσαντας. ἐν δὲ τῷ ἐπανέρχεσθαι τὰ πλήθη ῥογεύειν αὐτοὺς προσποιησάμενος, κατὰ τὸν ἅγιον Μάμαντα δαρμοῖς τε καὶ κουραῖς καὶ ἐξορίαις τοὺς πλείστους τιμωρησάμενος, εἰς Χρυσόπολιν τοὺς λοιποὺς διεβίβαξε καταπατήσας τοὺς τηλικούτους φοβεροὺς ὅρκους. οἱ δὲ διὰ τὴν συμφορὰν πύρινον ποταμὸν τὸ Πέραμα προσηγόρευσαν.

8091/10 A. M. 6302 ηʹ. βʹ. ιδʹ. εʹ.

755 B Τούτῳ τῷ ἔτει Νικηφόρος μετὰ τὰς ἀθέους ὑπεξελεύσεις τὰ στρατεύματα πάντη ταπεινῶσαι σκεψάμενος Χριστιανοὺς ἀποικίσας ἐκ παντὸς θέματος ἐπὶ τὰς Σκλαυινίας γενέσθαι προσέταξεν, τὰς δὲ τούτων ὑποστάσεις πιπράσκεσθαι. καὶ ἦν αἰχμαλωσίας οὐκ ἔλαττον τὸ πρᾶγμα, πολλῶν ἐξ ἀνοίας βλασφημούντων καὶ ἐχθρῶν ἐφόδους αἰτούντων, ἑτέρων δὲ περὶ τοὺς γονικοὺς τάφους θρηνούντων καὶ τοὺς ἀποθανόντας μακαριζόντων· εἰσὶ δὲ οἳ καὶ ἀγχόναις ἐχρήσαντο πρὸς ἀπαλλαγὴν τῶν δεινῶν. τά τε γὰρ προσόντα δυσκίνητα συνεπιφέρεσθαι ἠδυνάτουν καὶ τὴν ἐκ γονικῶν πόνων κτηθεῖσαν ὕπαρξιν ὀλλυμένην ἑώρων· καὶ πᾶσα τοὺς πάντας εἶχεν ἀμηχανία, τῶν μὲν πενήτων ἐν τούτοις καὶ τοῖς ἑξῆς ῥηθησομένοις, τῶν δὲ ὑπερεχόντων συμπασχόντων αὐτοῖς καὶ μὴ δυναμένων βοηθῆσαι ἀπεκδεχομένων τε βαρυτέρας συμφοράς. ταῦτα ἤρχθη μὲν ἀπὸ τοῦ Σεπτεμβρίου μηνός, πρὸς δὲ τὸ ἅγιον πάσχα πεπέρασται. δευτέραν σὺν ταύτῃ κάκωσιν, προσέταξε στρατεύεσθαι πτωχοὺς καὶ ἐξοπλίζεσθαι παρὰ τῶν ὁμοχώρων, παρέχοντας καὶ ἀνὰ ὀκτωκαίδεκα ἡμίσους
756 B νομισμάτων τῷ δημοσίῳ, καὶ ἀλληλεγγύως τὰ δημόσια. τρίτην κακόνοιαν, ἐποπτεύεσθαι πάντας, καὶ ἀναβιβάζεσθαι τὰ τούτων τέλη, παρέχοντας καὶ χαρτιατικῶν ἕνεκα ἀνὰ κερατίων βʹ· καὶ πρὸς τετάρτην, τοὺς κουφισμοὺς πάντας ἀναβιβάζεσθαι προσέταττεν. πέμπτην, τοὺς τῶν εὐαγῶν οἴκων παροίκους τοῦ τε ὀρφανοτροφείου καὶ τῶν
412 P ξενώνων καὶ γηροκομείων τε καὶ ἐκκλησιῶν καὶ μοναστηρίων βασιλικῶν

2 Σαλιβαράν dem. — 4 ῥογεύειν—κατὰ om. δ. — 6 τοὺς λοιπούς A τοὺς πολλούς codd. — 7 τηλικ. καὶ φοβερούς fA. — 8 προσηγορεύκασιν δ. — 11 πάντι e πάντα g παντ m. — ἀποικίας dy. — 12 Σκλαβινίας g. — γενέσθαι om. y. — 13 στάσεις gy sec. m. corr. in ef. — αἰχμαλωσία g. — 14 ἀνίας Combefis. ἀπονοίας? — 15 ἕτερον f. — 16 μακαρίζοντας em μακαριζόντων f sed ων sec. m. in lit. — 18 κτισθεῖσαν gy. — 20 ὑπηρσχόντων s. ὑπηρεχόντων g. — 22 ἤρθη f. — 23 δευτέρα ef. — 24 στρατοπεδεύεσθαι fm. — 25 παρεχόντων? — ιηʹ ἡμίσους δA ιηʹ egm ὀκτώ f. — 26 καὶ om. δy. — 28 χαρτιατικόν y χαρῶν δ. — A. v. ἕνεκα usque ad p. 493, 25 πατριάρχην omnia intercidernnt in codd. d et δ. — καὶ πρὸς om. g. — 30 τοῖς—παροίκοις y. — οἴκων] οἴκοις em. — 30. 31 καὶ ξεν. τε καί em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ καπνικὰ ἀπαιτεῖσθαι ἀπὸ τοῦ πρώτου ἔτους τῆς αὐτοῦ τυραννίδος, τὰ δὲ κρείττονα τῶν κτημάτων εἰς τὴν βασιλικὴν κουρατορίαν αἱρεσθαι, τὰ μέντοι τέλη αὐτῶν ἐπιτίθεσθαι τοῖς ἐναπομείνασιν εἰς τοὺς αὐτοὺς εὐαγεῖς οἴκους κτήμασι καὶ παροίκοις, ὡς διπλοῦσθαι πολλῶν τὰ τέλη, τῶν οἰκήσεων στενουμένων αὐτοῖς καὶ τῶν χωρίων. ἕκτην, σκοπεῖσθαι παρὰ τῶν στρατηγούντων τοὺς ἀθρόως ἐκ πτωχείας ἀνακτησαμένους, καὶ ἀπαιτεῖσθαι χρήματα ὡς εὑρετὰς θησαυρῶν. ἑβδόμην, τοὺς πρὸ κ' χρόνων εὑρηκότας καὶ μέχρι τῆς δεῦρο πίθον ἢ σκεῦος ὁτιοῦν καὶ αὐτοὺς ἐξαργυρίζεσθαι. ὀγδόην, τοὺς ἐκ πάππων ἢ πατέρων κληρονομήσαντας διαιρεθέντας, ἐκ τῶν αὐτῶν χρόνων κ' ἐξαναδιδόναι τῷ δημοσίῳ, τοὺς πένητας· καὶ τοὺς ὠνησαμένους ἔξω τῆς Ἀβύδου σώματα οἰκετικά, ἀνὰ β' νομισμάτων τελέσαι προσέταξεν, καὶ μάλιστα τοὺς κατὰ τὴν Δωδεκάνησον. ἐννάτην, 757 B τοὺς τὰς παραθαλασσίας οἰκοῦντας, μάλιστα τῆς μικρᾶς Ἀσίας, ναυκλήρους μηδέποτε γηπονικῶς ζήσαντας ἄκοντας ὠνεῖσθαι ἐκ τῶν καθαρπαγέντων αὐτῷ κτημάτων, ὡς ἂν ἐκτιμηθῶσι παρ' αὐτῷ. δεκάτην, τοὺς ἐν Κωνσταντινουπόλει ἐπισήμους ναυκλήρους συναγαγὼν δέδωκεν ἐπὶ τόκῳ τετρακεράτῳ τὸ νόμισμα ἀνὰ χρυσίου λιτρῶν δώδεκα τελοῦντας καὶ τὰ συνήθη κωμέρκια. ταῦτα ἐκ τῶν πολλῶν ὡς ἐν κεφαλαίῳ μικρά μοι ἐστηλογράφηται δηλοῦντι τὸ πρὸς πᾶν εἶδος πλεονεξίας αὐτοῦ πολυμήχανον. τὰ γὰρ κατὰ τὴν βασιλίδα τοῖς ἐν τέλει καὶ μέσοις καὶ εὐτελέσιν ἐνδειχθέντα δεινὰ πέρα συγγραφῆς, τοὺς μὲν ἀνιχνεύοντος ὅπως οἶκοι ζῶσιν, καὶ καθυποβάλλοντος τοῖς πονηροῖς τῶν οἰκετῶν διαβάλλειν τοὺς δεσπότας, καὶ ἐν ἀρχαῖς δῆθεν διστάζοντος ἐπὶ τοῖς λεγομένοις, ἔπειτα δὲ βεβαιοῦντος τὰς συκοφαντίας, τὸ αὐτὸ δὲ καὶ ἐπὶ ἀσήμων κατ' ἐπισήμων ἕδρα τιμῶν ἀξιῶν τοὺς εὖ διαβάλλοντας· τῶν δὲ οἴκων πολλοὺς τῶν οἰκητόρων ἀπὸ πρώτης εἰς τρίτην γενεὰν ἐξανέστρεψεν, ἐλπίδι τοῦ τάχιστα τούτους ἐκπεσεῖν καὶ ὑπ' αὐτοῦ κληρονομηθῆναι. 758 B ἄξιον δέ τι καὶ ἡδύσματος ἢ παραδείγματος ἕνεκα μνησθῆναι καὶ τοῦτο. κηρουλλάριός τις ἦν ἐν τῷ Φόρῳ ἐκ πόνων ἰδίων ἀνενδεής.

---

2 κτισμάτων em. — κουρατωρίαν g. — 6 ἕκτον g. — 9 καὶ αὐτός e αὐτός (om. καί) m. — 13 τελεῖσθαι y. — καὶ om. g. — ἐνάτην ef. — 14 τὰς om. y. — παραθαλασσίας (παρὰ θ. e) em. — 15 γηπονικῶν f. — ζήσαντας ἠνάγκαζεν ὠνεῖσθαι? emere de rebus quae ab illo rapiebantur cogebat A. — 16 καταρπαγέντων codd. — ἐκτιμωθῶσιν ef. — 18 ἐπιτοκώτερα κεράτῳ em. — τὸ om. m. — χρυσίου g χρυσοῦ y. — 19 κουμέρκια y κομμέρκια g. — τῶν om. m. — 22 δειχθέντα m. — δεινὰ om. m. — 23 ἀνιχνεύοντας y ἀνιχνεύων τούς g. — ὅπως] ὅσοι g. — οἰκοίζωσιν em. — καθυποβάλλοντο e καθυποβάλοντο m καθυποβάλλων g. — 25 διστάζοντας y διστάζων g. — 26 διαβεβαιοῦντας y διαβεβαιοῦν g. — τῷ αὐτῷ y. — 27 ἕδρα] ἀνδρῶν g. — εὖ διαβάλλοντας Classen ἐνδιαβάλλοντας codd. detrahentes A. — 28. 29 καὶ ἐξανέστρεψεν ἐλπίδι, τοῦ g. — 31 κειρουλλάριος em.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦτον μεταστειλάμενος ὁ παμφάγος φησίν· "Θὲς τὴν χεῖρά σου κατὰ τῆς κεφαλῆς μου, καὶ ὄμοσόν μοι τὸ πόσος σοι χρυσός ἐστιν;" ὁ δὲ μικρὸν ὡς ἀνάξιος δῆθεν παραιτούμενος ἐβιάσθη τοῦτο παρ'
413 P αὐτοῦ ποιῆσαι, καὶ λίτρας ρ' ἐξειπεῖν ἔχειν. καὶ τοῦτο κατὰ τὴν ὥραν προσέταξεν ἐνεχθῆναι φήσας· "σὺ τί χρείαν ἔχεις περισπασμοῦ; συναρίστησόν μοι, καὶ ἆρον νομίσματα ρ', καὶ πορεύου ἀρκούμενος."

810/11 A M. 6303 Θ'. γ'. ιε'. ς'.

Τούτῳ τῷ ἔτει Νικηφόρος τὰς κατὰ Χριστιανῶν ἐπινοίας ἐπέτεινεν, ἐποψίας ἀθέους ἐπ' ἀγορασμοῖς παντοίων ἀλόγων βοσκημάτων τε καὶ καρπῶν, ἀδίκους δημεύσεις τε καὶ ζημίας τῶν ἐν τέλει, τοκισμοὺς ἐν πλοίοις, ὁ πᾶσι νομοθετῶν τὸ μὴ τοκίζειν, καὶ ἄλλας μυρίας κακῶν ἐπινοίας, ὧν ἡ κατὰ μέρος ἱστορία φορτικὴ τοῖς ἐπιτετμημένα ζητοῦσι πέφυκε μανθάνειν τὰ πράγματα. τῇ δὲ α' τοῦ Ὀκτωβρίου μηνός, ἡμέρᾳ γ', σπασάμενός τις ἀφανὴς ἐν σχήματι μοναχοῦ ξίφος τινὸς τῶν στρατευομένων εἰσέδραμεν ἐν τῷ παλατίῳ Νικηφόρου ἀνελεῖν ζητῶν. τῶν δὲ περιεστώτων δύο [διατρεχόντων]
759 B ἐπιδραμόντων αὐτῷ, δεινῶς ἐπλήγησαν ὑπ' αὐτοῦ. συλληφθεὶς δὲ καὶ πολλὰ τιμωρηθεὶς δαιμονᾷν προεφασίσατο, μηδένα συκοφαντήσας· ὁ δὲ τοῦτον ἐν τῷ ξύλῳ κατησφαλίσατο σὺν τοῖς πάσχουσιν. καὶ πολλοὶ ἐντεῦθεν οἰωνίσαντο μεγάλου κακοῦ σημεῖον εἶναι τοῦτο τοῖς τε κρατοῦσι καὶ τοῖς ὑπὸ χεῖρα, καθάπερ καὶ ἐπὶ τοῦ δυσσεβοῦς Νεστορίου γέγονεν. τῶν δὲ Μανιχαίων, τῶν νῦν Παυλικιάνων καλουμένων, καὶ Ἀθιγγάνων τῶν κατὰ Φρυγίαν καὶ Λυκαονίαν, ἀγχιγειτόνων αὐτοῦ, φίλος ἦν διάπυρος, χρησμοῖς καὶ τελεταῖς αὐτῶν ἐπιχαίρων, ἐν οἷς καί, ὅταν Βαρδάνιος ὁ πατρίκιος ἐπανέστη αὐτῷ, τούτους προσκαλεσάμενος ταῖς αὐτῶν μαγγανείαις τοῦτον ὑπέταξεν. ταῦρον γὰρ ἓν τινι λάκκῳ ἐν σιδηρῷ πάλῳ ἐκ τῶν κεράτων προσδήσας εἰς γῆν νενευκότα, οὕτω μυκώμενον καὶ ἱλυσπώμενον ἀποκτανθῆναι πεποίηκεν, τὴν δὲ τούτου ἐσθῆτα ἐν μύλωνι ἀλήσας ἀντιστρόφως καὶ ἐπαοιδίαις χρησάμενος νίκην ἤρατο, παραχωρήσαντος
760 B τοῦ Θεοῦ διὰ πλῆθος ἁμαρτιῶν ἡμῶν. οὗτοι χώραν ἔλαβον ἐπὶ τῆς βασιλείας αὐτοῦ ἀφόβως πολιτεύεσθαι καὶ πολλοὶ τῶν κουφοτέρων ταῖς ἀθεμίτοις αὐτῶν διεφθάρησαν δόξαις. ἐν δὲ τῷ Ἑξακιονίῳ ψευδερημίτης τις Νικόλαος τοὔνομα καὶ οἱ σὺν αὐτῷ γεγονότες ἦσαν

---

1 χεῖραν f. — 2 κατά] ἐπί f. — μοι τὸ om. g. — πόσος σοι f πῶς σοι c πῶς σός σοι m. — 9 ἐπαγορασμοῖς ef. — 11 τοκισμούς] fenerationes A τοκισμοῖς g λογισμοὶς y. — 16. 17 διατρεχόντων ἐπιδραμόντων codd. irruentes A ἐπιδραμόντων (om. διατρεχόντων) Zonar. XV, 15. — 18 δαίμοναν em. — μηδέτινα g. — 20 ἐντεῦθεν] λοιπόν y deinceps A. — 23 Ἀθηγγάνων y. — 24 χρισμοῖς fg. — 25 Βαρδάνης g. — 26 προσκαλούμενος y. — 27 ἓν τινι λάκκῳ σιδηροπάλῳ y ἓν τινι λάκκῳ ἐν σιδηρῷ λάκκῳ (sic) g. — 28 ἱλυσπώμενον g ὑλισπούμενον y. — 29 ἀλίσας y. — 34 ψευδερημήτης y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ κατὰ τοῦ ὀρθοῦ λόγου καὶ τῶν σεπτῶν εἰκόνων ἐβλασφήμουν,
ὧν ἀντεποιεῖτο Νικηφόρος, καὶ ἐλύπει τὸν ἀρχιερέα καὶ πάντας τοὺς 414 P
κατὰ θεὸν ζῶντας. πολλάκις γὰρ κατ' αὐτῶν ἐγκαλῶν ἠγανακτήθη,
τοῖς πρὸς ἀλλήλους ἐχθραίνουσι σφόδρα συγχαίρων, ἐπιτωθάζων
παντὶ Χριστιανῷ φιλοῦντι τὸν πλησίον ὡς ἀνατροπεὺς τῶν θείων
ἐντολῶν· καὶ διὰ σπουδῆς ἦν αὐτῷ δίκας ἀλόγους καὶ εὐλόγους
παντὶ Χριστιανῷ κινεῖν ἐν τῷ κολαστηρίῳ τῆς Μαγναύρας, πρὸς τὸ
μηδένα σχολάζειν κατὰ τῶν ἀσεβειῶν αὐτοῦ. τοὺς στρατιωτικοὺς
ἄρχοντας δουλικῶς χρᾶσθαι τοῖς ἐπισκόποις καὶ κληρικοῖς ἐκέλευσε
καταγομένους αὐθεντικῶς ἐν τοῖς ἐπισκοπείοις καὶ μοναστηρίοις, καὶ
καταχρᾶσθαι τὰ αὐτῶν. τοὺς ἀπ' αἰῶνος ἀναθεμένους τῷ θεῷ χρυσᾶ
ἢ ἀργυρᾶ σκεύη ἔψεγεν, καὶ τὰ τῶν ἐκκλησιῶν ἱερὰ κοινοῦσθαι ἄξιον
ἐδογμάτιζεν, ὡς Ἰούδας τὸ δεσποτικὸν μῦρον. τοὺς πρὸ αὐτοῦ βασι-
λεῖς ἅπαντας ὡς ἀκυβερνήτους ἐμέμφετο, καθόλου τὴν πρόνοιαν
ἀναιρῶν καὶ μηδένα λέγων γίνεσθαι τοῦ κρατοῦντος δυνατώτερον,
εἰ βούλοιτο ὁ κρατῶν ἐντρεχῶς ἄρχειν. ἀλλ' ἐματαιώθη ἐν τοῖς δια-
λογισμοῖς αὐτοῦ ὁ θεόκτιστος. τῷ δὲ Φεβρουαρίῳ μηνὶ τῆς αὐτῆς
δ' ἰνδικτιῶνος τῷ α' σαββάτῳ τῶν νηστειῶν ὑπαντηθέντες οἱ Σαρα- 761 B
κηνοὶ εἰς Εὐχάϊταν Λέοντι, στρατηγῷ τῶν Ἀρμενιάκων, σὺν τῇ
ῥόγᾳ τοῦ θέματος ταύτην ἀφείλαντο σὺν πολλῷ πλήθει λαοῦ. τά-
λαντα δὲ ἦν ιγ' γινόμενα λίτραι ,ατ'· καὶ οὐδ' οὕτως ἠλέγχετο
Νικηφόρος τῆς πλεονεξίας παύσασθαι. ἐπὶ τοσούτοις οὖν σημείοις
ὁ νέος Ἀχαὰβ μὴ παιδευθείς, ὁ Φαλάριδος καὶ Μίδου ἀπληστότερος,
κατὰ Βουλγάρων παρατάττεται ἅμα Σταυρακίῳ, τῷ υἱῷ αὐτοῦ. καὶ
τῇ * τοῦ Μαΐου μηνὸς τῆς βασιλίδος ἐξιὼν ἐκέλευσε Νικήτᾳ, πατρι-
κίῳ καὶ γενικῷ λογοθέτῃ, τὰ δημόσια τέλη τῶν ἐκκλησιῶν καὶ μονα-
στηρίων ἀναβιβάσαι καὶ ὀκτὼ ἐτῶν ὀπισθοτελείας τοὺς τῶν ἀρχόν-
των ἀπαιτηθῆναι οἴκους. καὶ ἦν θρῆνος μέγας. ἐγκαλούμενος δὲ
ὑπό τινος γνησίου θεράποντος, Θεοδοσίου φημί, τοῦ Σαλιβαρᾶ
πατρικίου ὄντος, ὅτι "πάντες καταβοῶσιν ἡμῶν, δέσποτα, καὶ ἐν
καιρῷ πειρασμοῦ πάντες ἐπιχαρήσονται τῇ πτώσει ἡμῶν·" ἔφη πρὸς
αὐτόν· "εἰ ὁ θεὸς σκληρύνων ἐσκλήρυνε τὴν καρδίαν μου, ὡς τοῦ

---

4 πρὸς ἀλλήλοις em. — 4 συγχαίρων — 5 φιλοῦντι om. g. — 7 παντὶ Χριστιανῷ] contra omnem hominem A. — 10 καταγομένους g. — ἐπισκοπίοις g. — 11 τὰ αὐτά g. — 12 καὶ τά] κατά g. — 16 ἐν om. y. — 17 Φευρουαρίῳ gm. — 18 δ'] quartae decimae A. — ἰν $^{\delta}$ codd. — τῷ πρωτοσαββάτῳ g. — τῶν ἁγίων νηστειῶν f. — οἱ om. y. — 19 Εὐχαΐταν y Εὐχάϊτα? — 21 ιγ'] sedecim A om. g. — γινόμεναι g. — μὴ παιδευθείς quod post οὕτως add. ed. Par. et uncis inclusit Classen in codd. non extat sed tantummodo in mg. g. — 23 Μίδου sec. m. f Μήδους y Μήδων g. — 25 τῇ τοῦ Μαΐου μηνός] numerus diei in codd. non legitur, Iulio mense A. — 29 γνησίου αὐτοῦ θεράποντος g. — Σαλιβαρᾶ em Σαλλιβαρᾶ g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Φαραώ, τί ἀγαθὸν ἔσται τοῖς ὑπὸ χεῖρά μου; παρὰ Νικηφόρου,
762 B *Θεοδόσιε, μὴ ἐκδέχου πλὴν τῶν ὁρωμένων σοι.*" *ταῦτα, κύριος*
οἶδεν, αὐτὸς ἐγὼ ξώσῃ φωνῇ ὁ συγγραφόμενος ἀκήκοα παρὰ Θεο-
415 P *δοσίου. ἐπισυνάξας δὲ τὰ στρατεύματα, οὐ μόνον ἐκ Θρᾴκης, ἀλλὰ*
καὶ τῶν περατικῶν θεμάτων, πένητάς τε πολλοὺς ἰδίοις ὀψωνίοις
σφενδόναις καὶ ῥάβδοις ὡπλισμένους, βλασφημοῦντας ἅμα τοῖς στρα-
τεύμασιν, ἤλασε κατὰ Βουλγάρων. Κροῦμμος δὲ τὰ πλήθη φοβη-
θείς, ὄντων αὐτῶν ἐν Μαρκέλλαις, ἠτεῖτο εἰρήνην. ὁ δὲ ταῖς οἰκείαις
κακοβουλίαις καὶ ταῖς τῶν ὁμοφρόνων αὐτοῦ συμβούλων εἰσηγήσεσι
διεκωλύθη, καὶ μετὰ πολλὰς περιαγωγὰς δι' ἀβάτων τόπων ῥιψο-
κινδύνως ὁ θρασύδειλος εἰσέρχεται εἰς Βουλγαρίαν τῇ κ' τοῦ Ἰουλίου
μηνὸς (κυνὸς ἦν ἐπιτολὴ πανολέθριος), συχνῶς ἐπιφθεγγόμενος τό,
"τίς πορεύσεται καὶ ἀπατήσει τὸν Ἀχαάβ;" λέγων, "ὅτι κἂν ὁ θεὸς
κἂν ὁ ἀντικείμενος ἕλκει ἄκοντα." πρὸ δὲ τοῦ εἰσελθεῖν αὐτόν,
Βυζάντιος, ὁ τούτου ἐπιστήθιος οἰκέτης, πρὸς Κροῦμμον ἀπὸ Μαρ-
κέλλων προσέφυγε συναρπάσας ἐσθῆτα βασιλικὴν καὶ χρυσίου λίτρας
ρ'. πολλοὶ δὲ τὴν τούτου φυγὴν ἐπὶ κακῷ Νικηφόρῳ οἰωνίσαντο.
ἐπὶ δὲ τρισὶν ἡμέραις μετὰ τὰς πρώτας συμβολὰς δόξας κατευοδοῦσθαι
763 B *οὐ τῷ κατευοδοῦντι θεῷ τὰ τῆς νίκης ἐπέγραφεν, ἀλλὰ Σταυρακίου*
μόνου τὴν εὐτυχίαν καὶ εὐβουλίαν ἐκήρυττε καὶ τοῖς κωλύουσι τὴν
εἴσοδον ἄρχουσιν ἠπείλει. ἄλογα δὲ ζῶα καὶ βρέφη καὶ πᾶσαν ἡλι-
κίαν ἀνηλεῶς φονεύεσθαι προσέταξε καὶ τὰ τῶν ὁμοφύλων νεκρὰ
σώματα ἄταφα εἴασε μόνης ἐπιμελούμενος τῆς τῶν σκύλων συλ-
λογῆς, κλεῖθρα δὲ καὶ σφραγῖδας τοῖς ταμείοις Κρούμμου ἐπιθεὶς
ὡς ἰδια λοιπὸν ἠσφαλίσατο. ὧτα γοῦν καὶ ἕτερα μέλη Χριστιανῶν
ἁψαμένων τῶν σκύλων ἀπέτεμε καὶ τὴν λεγομένην αὐλὴν τοῦ Κρούμ-
μου ἐνέπρησεν, ἐκείνου σφόδρα ταπεινουμένου καὶ δηλοῦντος, ὅτι
"ἰδού, νενίκηκας. λάβε οὖν, εἴ τί σοι ἀρεστόν ἐστιν, καὶ ἔξελθε ἐν
εἰρήνῃ." ὁ δὲ τῆς εἰρήνης ἐχθρὸς ταύτην οὐ προσήκατο· ἐφ' οἷς
[καὶ] χαλεπήνας ἐκεῖνος τὰς τῆς χώρας εἰσόδους καὶ ἐξόδους περι-
πεφραγμένας ξυλίνοις ὀχυρώμασι πέμψας κατησφαλίσατο. Νικηφόρος
δὲ τοῦτο γνούς, εὐθέως ὡς ἐμβρόντητος, ὅ τι πράξοι, ἠγνόει περι-
άγων. καὶ τοῖς συνοῦσι τὰ τῆς ἀπωλείας ἔλεγεν, ὅτι "κἂν πτερωτοὶ
γενώμεθα, μηδεὶς ἐλπίσοι διαφυγεῖν τὸν ὄλεθρον." ταῦτα δὲ ἦν

---

1 Φαραῶ egm. — 3 ὁ συγγραφόμενος gA *om.* y. — 5 πολλούς] pedites A. — ὁπλισμένους em. — 7 Κροῦμος em. — 13 πορεύεται em. — ἀπαντήσει g ἀπαιτήσει em. — 14 πρὸ *corr. ex* πρός g. — priusquam ingressus fuisset Vulgariam A. — 15 Κροῦμον m. — 19 οὗτω] οὕτω egm. — 26 qui tetigissent quicquam ex spoliis A. — aulam quae dicebatur cortis Crumni A. — 28 ἀρεστόν σοι m. — 30 καὶ *om.* A Georg. Mon. p. 676. — περιπεφραγμένας Georg. Mon. περιπεφραγμένος y περιπεφραγμένῳ g. — 32 πράξει m. — περιάγων ἠγνόει g. — 33 ἔλεγεν] praenuntiabat asseverans A. — 34 γενόμεθα y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐφ' ἡμέρας δύο, πέμπτην καὶ παρασκευήν, τὰ μηχανήματα. καὶ τῇ νυκτὶ τοῦ σαββάτου τάραχοι καὶ ὄχλων ἐνόπλων περὶ Νικηφόρου καὶ τοὺς σὺν αὐτῷ ἀκουόμεναι παρατάξεις πάντας ἐξενεύρωσαν, πρὸ δὲ τῆς ἡμέρας ἐπελθόντες οἱ βάρβαροι κατὰ τῆς Νικηφόρου σκηνῆς 764 B καὶ τῶν σὺν αὐτῷ μεγιστάνων ἀναιροῦσι τοῦτον οἰκτρῶς, ἐν οἷς ἦν καὶ Ἀέτιος πατρίκιος, καὶ Πέτρος πατρίκιος, καὶ Σισίννιος πατρί- 416 P κιος ὁ Τριφύλλης, καὶ Θεοδόσιος πατρίκιος ὁ Σαλιβαρᾶς, ὁ πολλὰ λυπήσας καὶ κακὰ ἐνδειξάμενος τῇ μακαρίᾳ Εἰρήνῃ, καὶ ὁ ἔπαρχος πατρίκιος, καὶ Ῥωμανός, πατρίκιος καὶ στρατηγὸς τῶν ἀνατολικῶν, καὶ ἕτεροι πολλοὶ πρωτοσπαθάριοι καὶ σπαθάριοι, καὶ τῶν ταγμάτων οἱ ἄρχοντες, ὅ τε τοῦ ἐκσκουβίτου δομέστικος, καὶ ὁ δρουγγάριος τῆς βασιλικῆς βίγλας, καὶ ὁ τῆς Θρᾴκης στρατηγός, καὶ πολλοὶ ἄρχοντες τῶν θεμάτων σὺν ἀπείροις λαοῖς, πᾶσά τε ἡ τῶν Χριστιανῶν καλλονὴ διεφθάρη· τά τε ὅπλα πάντα ἀπώλοντο, καὶ τὰ τῆς βασιλείας σκεύη. τὰ δὲ τῆς τοιαύτης ἡμέρας ἀκαλλῆ ῥήματα μὴ γένοιτο Χριστιανοὺς ἰδεῖν ἔτι, ὡς παντὸς θρήνου ἐπέκεινα. γέγονε δὲ ταῦτα τῇ κϛ' τοῦ Ἰουλίου μηνός, ἰνδικτιῶνος δ'. τὴν δὲ Νικηφόρου κεφαλὴν ἐκκόψας ὁ Κροῦμμος ἐκρέμασεν ἐπὶ ξύλου ἡμέρας ἱκανάς, εἰς ἐπίδειξιν τῶν ἐρχομένων εἰς αὐτὸν ἐθνῶν καὶ αἰσχύνην ἡμῶν. μετὰ δὲ ταῦτα λαβὼν ταύτην καὶ γυμνώσας τὸ ὀστοῦν ἄργυρόν τε ἐνδύσας ἔξωθεν πίνειν εἰς αὐτὴν τοὺς τῶν Σκλαυινῶν ἄρχοντας ἐποίησεν ἐγκαυχώμενος. πολλῶν δὲ χηρῶν καὶ ὀρφανῶν 765 B ἐν μιᾷ ἡμέρᾳ γενομένων, καὶ θρήνου ἀκατασχέτου ὄντος, ἡ τούτου σφαγὴ πολλῶν παραμυθία γέγονεν. τὸν δὲ τρόπον τῆς τούτου σφαγῆς οὐδεὶς τῶν περισωθέντων ἀκριβῶς διηγήσατο· φασὶ γάρ τινες, ὅτι καὶ Χριστιανοὶ πεσόντα τοῦτον ἐπέτρωσαν. οἱ δὲ γυναικώδεις τῶν ἀνδρῶν οἰκέται αὐτοῦ, οἷς καὶ συνευνάζετο, οἱ μὲν τῷ τῆς σούδας πυρί, οἱ δὲ τοῖς ξίφεσιν ὤλοντο σὺν αὐτῷ. τούτου τῆς ἀρχῆς Χριστιανοὶ βαρυτέραν οὐδενὶ χρόνῳ ἠτύχησαν. πάντας γὰρ ἐν πλεονεξίαις καὶ ἀκολασίαις καὶ βαρβαρικαῖς ὠμότησιν ὑπερηκόντισε τοὺς πρὸ αὐτοῦ βασιλεύσαντας, περὶ ὧν κατὰ μέρος διεξιέναι καὶ τοῖς

---

2 *περὶ*] *ἐπί* m. — 3 *ἐξενεύρωσεν* em. — 4 *ἐλθόντες* f. — 6 *Ἀέτιος ὁ πατρίκιος codd.* — *Σισίνιος* m. — 7 *Τριφύλλιος* g. — *Θεόδωρος* g. — *ὁ πατρίκιος* y. — *Σαλιβαράς* y. — 8 *καὶ πολλὰ κακά* g. — *τῇ ποτε μακαρίᾳ* g. — *ὕπαρχος* g. — 11 *τοῦ*] *τούς* em *τῶν* g. — *ἐκσουβίτου* f *ἐξκουβίτων* g. — *δομεστίκους* m. — *ὁ ante δρουγγ. om.* f. — *δρουγγάρης* g. — 12 *τῆς Θρᾴκης om.* f. — 13 *τε*] *δέ* g. — 15 *δὲ om.* g. — 16 *πάντα* y. — 17 *κϛ'*] *κέ* g. — *ἰδ codd.* — 18 *ἐπικόψας* y. — *ἐκρέμμασεν* g. — 20 *ἡμῶν*] omnium nostrorum A. — 21 *αὐτήν* g Georg. Mon. p. 676 *αὐτό* y. — *Σκλαβίνων* g. — 24 *πολλῶν* — 25 *σφαγῆς om.* f. — 25 *διηγήσατο* y Georg. Mon. p. 677 *ἐξηγήσατο* g. — 27 *οἷς*] *οὕς* em. — 29 *ἠτύχησαν*] consecuti sunt A. — 30 *ὑπερηκόντησεν* cf *ὑπερεκόντησεν* m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μετέπειτα δύσπιστον καὶ ἡμῖν ἐργῶδες, πλὴν ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα πρόδηλον, κατὰ τὴν παροιμίαν. τιτρώσκεται δὲ καὶ Σταυράκιος, παῖς αὐτοῦ, καιρίως κατὰ τοῦ σπονδύλου τὸ δεξιὸν μέρος, καὶ μόλις τῆς μάχης ἐξῆλθε ζῶν καὶ κατέλαβε τὴν Ἀδριανούπολιν δεινῶς ὑπὸ τῆς πληγῆς κολαφιζόμενος. Στέφανος δέ, πατρίκιος καὶ δομέστικος τῶν σχολῶν, συμπαρόντος καὶ Θεοκτίστου μαγίστρου, ἀνηγόρευσε Σταυράκιον αὐτοκράτορα, καὶ διελέχθη τῷ περισωθέντι λαῷ κατὰ τοῦ ἰδίου πατρός, καὶ σφόδρα ἡδύνθησαν. Μιχαὴλ δὲ
766 B 417 P κουροπαλάτης ἀβλαβὴς περισωθεὶς πολλὰ παρεκλήθη ὑπὸ τῶν φίλων ἀναγορευθῆναι βασιλεύς, καὶ οὐ κατεδέξατο διὰ τοὺς πρὸς Νικηφόρου ὅρκους καὶ Σταυράκιον. τούτῳ Στέφανος δομέστικος ἀντεῖπεν ἐλπίδι τῆς ζωῆς Σταυρακίου· Θεόκτιστος δὲ ὁ μάγιστρος συνέτρεχε περὶ τῆς βασιλείας Μιχαήλ. Σταυράκιος δὲ δι' οὔρων αἱμορραγήσας ἀμέτρως κατεξηράνθη μηροὺς καὶ σκέλη φορείῳ ἐλθὼν ἐν Βυζαντίῳ. τούτῳ Νικηφόρος ὁ πατριάρχης σφόδρα προσκείμενος συνεβούλευεν ἐξιλεώσασθαι τὸν θεὸν καὶ τοὺς πλεονεκτηθέντας ὑπὸ τοῦ πατρὸς αὐτοῦ παραμυθήσασθαι· πρὸς ὃν ὁ τῆς πατρικῆς γνώμης γνήσιος κληρονόμος ἔλεγε μὴ δύνασθαι πλείω τριῶν ταλάντων ἀποδοῦναι. ταῦτα δὲ ἦν μικρὸν μόριον τῶν ἐκείνου ἀδικιῶν. πλὴν καὶ περὶ ταῦτα ὤκνει ζῆσαι καραδοκῶν. ἄσπονδον δὲ ἔχων πατρικὴν γνώμην συχνότερον ἀτιμίαις ἔβαλλε Θεόκτιστον μάγιστρον καὶ Στέφανον δομέστικον καὶ Μιχαὴλ κουροπαλάτην, ἀποστρεφόμενος πάντη καὶ Προκοπίαν, τὴν ἰδίαν ἀδελφήν, ὡς ἐπιβουλεύσασαν αὐτῷ ταῖς Θεοφανοῦς τῆς αὐγούστης ὑποβολαῖς. αὐτίκα γὰρ ἡ τάλαινα κατὰ μίμησιν τῆς μακαρίας Εἰρήνης κρατήσειν ἤλπιζε τῆς βασιλείας ἄπαις οὖσα. ὁ δὲ Σταυράκιος ἀνιάτως ὁρῶν ἑαυτὸν διακείμενον τῇ γαμετῇ τὴν βασι-
767 B λείαν ἐσπούδαζε περιποιήσασθαι, ἢ δημοκρατίαν ἐγεῖραι Χριστιανοῖς ἐπὶ τοῖς προλαβοῦσι κακοῖς. ἐφ' ᾧ πτοηθέντες Νικηφόρος ὁ πατριάρχης καὶ Θεόκτιστος μάγιστρος καὶ Στέφανος δομέστικος ἐκ πολλῆς ἔχθρας εἰς φιλίαν ἀλλήλοις καὶ Μιχαὴλ κουροπαλάτης ἦλθον κατὰ τὰ τέλη τοῦ Σεπτεμβρίου μηνὸς τῆς ε' ἰνδικτιῶνος. τῇ δὲ ἑσπέρᾳ τῆς α' τοῦ Ὀκτωβρίου μηνὸς προσκαλεσάμενος Σταυράκιος Στέφανον

---

1 δύσπιστα ef δύσπιτα m. — 3 κατὰ τοῦ δεξιοῦ μηροῦ Georg. Mon. — 4 Ἀνδριανούπολιν em. — 5 ὁ πατρίκιος f. — 7 ἀνηγόρευσεν gA ἀνηγόρευσαν y. — διηλέγχθη f. — 9 καὶ πολλά em. — 10 καὶ om. m. — 12 μαγίστρος e *item v.* 29. — 14 φορείῳ A Georg. Mon. φορείοις g φορίοις y. — 15 πατριάρχης] πατρίκιος y. — σφόδρα y πάνυ g valido amans affectu A. — 16 πλεονεκτηθέντας e πλεονεκτισθέντας m. — 19 ταῦτα—20 ὤκνει om. m. — 20 ὄκνει eg ὄκνη f. — 21 μαγίστρον e. — 23 Θεοφανοῦς] Theophanus A Θεοφανῶ fg Θεοφάνω em. — 24 ὑποβολαῖς *sec. m.* f summissionibus A ἐπιβουλαῖς *codd.* — 26 ἑαυτὸν ὁρῶν g. — 27 δημοκρατείαν em δημοκράτειαν f. — 31 $\overset{δ}{ἰν}$ *codd.* — Σταυράκιος om. g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δομέστικον ἐπηρώτα, πῶς ἂν δυνηθείη ἀγαγεῖν Μιχαήλ, τὸν γαμβρὸν αὐτοῦ, ἐκ τοῦ οἴκου αὐτοῦ πρὸς τὸ ἐκτυφλῶσαι αὐτόν; τοῦ δὲ φήσαντος ἀδύνατον εἶναι τοῦτο ταύτῃ τῇ ὥρᾳ διὰ τὴν περὶ αὐτὸν δύναμιν καὶ τὸ τοῦ τόπου ἀσφαλὲς τῆς οἰκίας αὐτοῦ, παρεκάλει μὴ γνωσθῆναί τινι τὰ λεχθέντα. ὁ δὲ λόγοις πιθανοῖς πείσας αὐτὸν ἀμεριμνεῖν δι' ὅλης τῆς νυκτὸς τὰ περιλειφθέντα τῶν ταγμάτων στρατεύματα συνήγαγεν ἐν τῷ σκεπαστῷ ἱπποδρόμῳ μετὰ τῶν οἰκείων ἀρχόντων πρὸς τὸ ἀναγορεῦσαι τὸν αὐτὸν Μιχαὴλ εἰς βασιλέα. καὶ ἐλθούσης πάσης τῆς συγκλήτου τοῦ ὄρθρου ἐν τῷ παλατίῳ, τοῦτον ἀνηγόρευσαν βασιλέα, ὡς ἐξῆς δηλωθήσεται. Νικηφόρος δὲ ὁ πατριάρχης ἔγγραφον ἐξ ἰδιοχείρου παρὰ Μιχαὴλ ἠπαίτησε περὶ 418 P 768 B
τῆς ὀρθῆς πίστεως καὶ τοῦ ἀναιμάκτους φυλάξαι τὰς χεῖρας ἀπὸ Χριστιανῶν, καὶ περὶ ἱερατικῶν ἀνθρώπων ἢ μοναχῶν καὶ ὅλως τοῦ ἐκκλησιαστικοῦ καταλόγου τοῦ μὴ τύπτεσθαι παρ' αὐτοῦ.

Κόσμου	Τῆς θείας	Ῥωμαίων	Ἀράβων	Ῥώμης	Κωνσταντ.	A. M. 630	811/12.
ἔτη	σαρκώσεως	βασιλεὺς	ἀρχηγὸς	ἐπίσκοπος	ἐπίσκοπος		811/12.
,ςτδ'.	ἔτη ωϑ'.	Μιχαὴλ	Μουάμεδ	Λέων	Νικηφόρος		
		ἔτη β'.	ἔτη δ'.	ἔτη ις'.	ἔτη θ'.		
		α'.	δ'.	ις'.	ζ'.		

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ β', ἰνδικτιῶνος ε', ἡμέρᾳ ε', ὥρᾳ α', Μιχαὴλ ὁ εὐσεβέστατος κουροπαλάτης ἀνηγορεύθη βασιλεὺς Ῥωμαίων ἐν τῷ ἱπποδρόμῳ ὑπὸ πάσης τῆς συγκλήτου καὶ τῶν ταγμάτων. Σταυράκιος δὲ τὴν τούτου ἀναγόρευσιν ἀκούσας, αὐτίκα τὴν κόμην ἀποκειράμενος μοναχικὰ περιεβάλετο ἱμάτια διὰ Συμεὼν μοναχοῦ συγγενοῦς αὐτοῦ, πολλὰ τὸν πατριάρχην ἐπιβοώμενος, ὃς ἐλθὼν ἐν τῷ παλατίῳ πολλὰ Σταυράκιον σὺν τῷ βασιλεῖ Μιχαὴλ καὶ τῇ ἀδελφῇ παρεκάλουν μὴ λυπεῖσθαι ἐν τῷ γεγονότι· οὐ γὰρ κατ' ἐπιβουλήν, ἀλλὰ κατὰ ἀπόγνωσιν τῆς αὐτοῦ ζωῆς. ὁ δὲ τῇ πατρικῇ πονηρίᾳ λυττῶν οὐ προσήκατο εἰπὼν πρὸς αὐτόν· "φίλον αὐτοῦ κρείττονα οὐχ εὑρήσεις." ὥρᾳ δὲ δ' τῆς ἡμέρας ἐστέφθη Μιχαὴλ ὑπὸ Νικηφόρου πατριάρχου ἐν τῷ ἄμβωνι τῆς μεγάλης ἐκκλησίας, ἐφ' ᾧ κοινὴ ἀγαλλίασις γέγονεν. καὶ ἐδωρήσατο τῷ πατριάρχῃ χρυσίου λίτρας ν' καὶ τῷ κλήρῳ κε'. μεγαλόψυχος γὰρ καὶ ἀφιλάργυρος ὢν πάντας παρεμυθήσατο τοὺς ἐκ τῆς Νικηφόρου 769 B
πλεονεξίας ἠδικημένους δωρεαῖς τε τὴν σύγκλητον καὶ τὰ στρατεύ-

---

3. 4 περὶ αὐτῶν em περὶ αὐτόν sed ὸν sec. m. in lit. f. — 5 πειθανοῖς codd. — 6 περιληφθέντα em. — 9 πάσης gA om. y. — 12 ἀναιμάκτως y. — v. 19 om. g. — 20 β'] tertio nonas (ε') Hist. Miscell. — ἰν codd. — 22 in hippodromio A. — 24 ἱμάτια περιεβάλετο f. — περιεβάλλετο g. — 27 καὶ τῇ ἀδελφῇ Προκοπίᾳ δ om. A. — 30 αὐτοῦ] me A. — τῆς ἡμέρας δ' δ. — 35 δωρεαῖς—p. 494, 1 ἀνεκτήσατο om. f.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματα ἀνεκτήσατο. τῇ δὲ ιβ' τοῦ αὐτοῦ μηνὸς ἐστέφθη Προκοπία αὐγούστα ἐν τῷ τρικλίνῳ τοῦ Αὐγουστέως καὶ πολλαῖς δωρεαῖς τὴν σύγκλητον ἐφιλοτιμήσατο. τῶν δὲ ἀναιρεθέντων ἐν Βουλγαρίᾳ θεματικῶν στρατιωτῶν ταῖς γυναιξὶ ε' τάλαντα χρυσίου ἐδωρήσατο, τὴν δὲ γαμετὴν Σταυρακίου Θεοφανὼ κατεπλούτισε μονάσασαν καὶ τοὺς συγγενεῖς αὐτῆς οἰκτρῶς ζήσαντας ἐπὶ Νικηφόρου, ἐν οἷς καὶ ἐπίσημον οἶκον εἰς μοναστήριον, τὰ Ἑβραϊκὰ λεγόμενον, αὐτῇ παρέσχεν, ἔνθα Σταυράκιος ἐτάφη. πάντας δὲ τοὺς πατρικίους καὶ συγκλητικούς, ἀρχιερεῖς τε καὶ ἱερεῖς καὶ μοναχούς, στρατευομένους τε καὶ πτωχούς, τούς τε κατὰ τὴν βασιλίδα πόλιν καὶ ἐν τοῖς θέμασι
419 P κατεπλούτισεν, ὥστε τὴν ἄμετρον φιλαργυρίαν Νικηφόρου, δι' ἣν καὶ κακῶς ὤλετο, ἐν ὀλίγαις ἡμέραις ἀφανισθῆναι. πρὸς δὲ τοῖς πολλοῖς καὶ καλλίστοις αὐτοῦ τρόποις εὐσεβὴς καὶ ὀρθοδοξότατος ὢν ἐλυπεῖτο ἐπὶ τοῖς ἀποσχίζουσι τῆς ἁγίας ἐκκλησίας ἐφ' οἵᾳ δήποτε προφάσει εὐλόγῳ ἢ ἀλόγῳ, πολλά τε τὸν ἁγιώτατον πατριάρχην καὶ τοὺς δυναμένους συντρέχειν τῇ κοινῇ εἰρήνῃ παρακαλῶν οὐκ ἐπαύετο.
770 B ἐν οἷς καὶ Θεόδωρον, τὸν ἡγούμενον τῶν Στουδίου, καὶ Πλάτωνα καὶ Ἰωσήφ, ἀρχιεπίσκοπον Θεσσαλονίκης, ἀδελφὸν Θεοδώρου, ἐν φυλακαῖς πικραῖς συνεχομένους μετὰ καὶ τῶν προυχόντων τῆς κατ' αὐτοὺς μονῆς ἔσπευδεν ἑνωθῆναι, ὃ καὶ πεποίηκεν. ἀπέστειλε δὲ καὶ πρὸς Κάρουλον, βασιλέα τῶν Φράγγων, περὶ εἰρήνης καὶ συναλλαγῆς εἰς Θεοφύλακτον, τὸν υἱὸν αὐτοῦ, καὶ Νικηφόρος ὁ ἁγιώτατος πατριάρχης ἀπέστειλε συνοδικὰ [γράμματα] πρὸς Λέοντα τὸν ἁγιώτατον πάπαν Ῥώμης· πρὸ τούτου γὰρ ἐκωλύετο ὑπὸ Νικηφόρου τοῦτο ποιῆσαι. τῇ δὲ κε' τοῦ Δεκεμβρίου μηνὸς τῆς ε' ἰνδικτιῶνος Μιχαὴλ ὁ γαληνότατος ἔστεψε Θεοφύλακτον, τὸν υἱὸν αὐτοῦ, εἰς βασιλέα ὑπὸ Νικηφόρου πατριάρχου ἐν τῷ ἄμβωνι τῆς μεγάλης ἐκκλησίας, ἡμέρᾳ ε' τῆς ἑβδομάδος, καὶ προσήγαγε πολυτελῆ κόσμον τῷ ἁγίῳ θυσιαστηρίῳ ἐν σκεύεσι χρυσοῦ διαλίθοις καὶ τετραβήλοις ἀρχαιοτεύκτοις ἐκ χρυσοῦ καὶ πορφύρας λαμπρῶς καθυφασμένοις καὶ θαυμασταῖς ἁγίαις εἰκόσι πεποικιλμένοις. ἐδωρήσατο δὲ καὶ τῷ πατριάρχῃ χρυσίου λίτρας κε', καὶ τῷ εὐαγεῖ κλήρῳ λίτρας ρ' φαιδρύνας τὴν ἁγίαν ἑορτὴν καὶ τὴν τοῦ παιδὸς ἀναγόρευσιν. ζήλῳ

---

2 αὐγοῦστα eg. — τρικλείνῳ em. — 5 Θεοφανῶ codd. — κατεπλούτησεν dg. — 7 τὰ Βρακά Georg. Mon. p. 678 *cf.* Zonar. XV, 17. — λεγόμενα y. — αὐτῇ *om.* y. — 9 τε *om.* y. — 10 πτωχούς] ἱερεῖς καὶ μοναχούς δ. — 12 καὶ *om.* δ. — 14 ἐπί] ὑπό y. — ἐφ'] ἐν y. — 17 τοῦ Στουδίου y. — καὶ *ante* Πλάτωνα *om.* g. — 19 πικρῶς f. — καὶ *om.* m. — 19. 20 κατ' αὐτούς δ κατ' αὐτῆς g κατ' αὐτῶν y. — 21 Κάρουλλον gy. — 23 γράμματα *del. vid. quamquam* δ *legit etiam* A. — 24 πάππα g. — 25 ἰνδικτίονος f ἰν *rell.* — 29 διαλιθόοις δ. — 31 πεποικιλμέναις dg. — 32 χρυσίου λ. κε' *om.* g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ θεοῦ πολλῷ κινηθεὶς ὁ εὐσεβέστατος βασιλεὺς κατὰ Μανιχαίων,
τῶν νῦν Παυλικιάνων, καὶ Ἀθιγγάνων τῶν ἐν Φρυγίᾳ καὶ Λυκαο- 771 B
νίᾳ, κεφαλικὴν τιμωρίαν ἀποφηνάμενος ταῖς Νικηφόρου, τοῦ ἁγιω-
τάτου πατριάρχου, καὶ ἄλλων εὐσεβῶν εἰσηγήσεσιν ἀνετράπη δι'
ἑτέρων κακοτρόπων συμβούλων προφάσει μετανοίας, ὅπερ ἦν ἀδύ-
νατον τοὺς τῇ πλάνῃ ἐκείνῃ ἑαλωκότας μετανοῆσαι. ἐδογμάτιζον δὲ
ἀμαθῶς μὴ ἐξεῖναι ἱερεῦσιν ἀποφαίνεσθαι κατὰ ἀσεβῶν θάνατον,
κατὰ πάντα ταῖς θείαις γραφαῖς ἐναντιούμενοι περὶ τούτου. εἰ γὰρ
Πέτρος μὲν ὁ κορυφαῖος Ἀνανίαν καὶ Σάπφειραν ἐπὶ ψεύσματι μόνῳ
τεθανάτωκεν, Παῦλος δὲ ὁ μέγας βοᾷ λέγων, ὅτι "οἱ τὰ τοιαῦτα
πράσσοντες ἄξιοι θανάτου εἰσίν," καὶ ταῦτα περὶ σωματικῆς μόνης
ἁμαρτίας· πῶς οὐκ ἐναντίοι αὐτῶν εἶεν οἱ τοὺς πάσης ψυχικῆς καὶ 420 P
σωματικῆς ἀκαθαρσίας ἐμπλέους καὶ δαιμόνων λάτριας ὑπάρχοντας
λυτρούμενοι τοῦ ξίφους; ἀλλ' ὁ εὐσεβὴς βασιλεὺς Μιχαὴλ οὐκ ὀλί-
γους αὐτῶν ἀπέτεμεν. Σταυράκιος δὲ ἑλκωθεὶς ἐκ τῆς καιρίας πληγῆς
τὰ περὶ τὴν ῥάχιν, ὡς μὴ δύνασθαί τινα προσεγγίζειν αὐτῷ διὰ τὴν
πολλὴν δυσωδίαν, τέθνηκε τῇ ια' τοῦ Ἰαννουαρίου μηνὸς τῆς ε'
ἰνδικτιῶνος, βασιλεύσας, τὸ δοκεῖν, μῆνας β' ἡμέρας ς'. τῇ δὲ ιδ' 772 B
τοῦ Μαΐου μηνός, ἡμέρᾳ ς', ἔκλειψις ἡλιακὴ γέγονε μεγάλη ἐπὶ ὥρας
τρεῖς ἥμισυ, ἀπὸ ἡ' ὥρας ἕως ὥρας ια'. καὶ τῇ ζ' τοῦ Ἰουνίου μηνὸς
ἐξῆλθε Μιχαὴλ κατὰ Βουλγάρων, συνεξελθούσης αὐτῷ καὶ Προκο-
πίας ἕως Τζουρουλοῦ. τοῦ δὲ Βουλγάρων ἀρχηγοῦ Κρούμμου ἑλόντος
τὴν Δεβελτὸν πολιορκίᾳ καὶ τοὺς ἐν αὐτῇ σὺν τῷ ἐπισκόπῳ μετοι-
κίσαντος προσρυέντας αὐτῷ, διὰ πολλὴν κακοβουλίαν τῶν παρα-
συμβούλων τοῦ βασιλέως εἰς ἐπιβουλὴν ἐτράπησαν καὶ ὕβρεις τὰ
πλήθη μάλιστα τοῦ Ὀψικίου καὶ τῶν Θρᾳκησίων, οὓς κατευνάσας
Μιχαὴλ δωρεαῖς καὶ παραινέσεσι κατεσίγησεν. οἱ δὲ Βούλγαροι τὰ
τῆς στάσεως μαθόντες τῶν στρατευμάτων, καὶ ὅτι πτοούμενοι τὸν

---

2 ἐν τῇ Φρυγίᾳ g. — Λυκαωνίᾳ f. — 3 κεφαλήν f. — 4 ἐτράπη f. — 4. 5 δὲ καὶ δι' ἑτέρων y. — 6 ἐκείνῃ om. δ. — 7 ἐξεῖναι] ἐξεῖ em ἐν f. — 8 περὶ τούτων g. — 9 μὲν om. y. — vertex apostolorum A. — Σάπφειραν f Σαπφείραν em Σαπφίραν δ. — 10 βοᾷ ὁ μέγας f. — 11 πράσσονται δ. — μόνης om. δ. — 12 τοὺς τῆς πάσης δ. — ψυχῆς ef. — 13 ἔμπλεους y. — δαιμόνω lit. fact. ex δαιμόνων δ. — λάτριας scr. e coni. λατρείας g λάτρας rell. nisi mavis δαιμονολάτρας scrib. — 15. 16 τὰ περὶ τὴν ῥ. ἐκ τῆς κ. πληγῆς δ. — 17 ια'] ι' δ. — Ἰανουαρίου δg. — 18 ἰν codd. — τῷ δοκεῖν δg. — δὲ om. f. — ιδ'] quinto idus (ια') A. — 19 ς'] ε' δ. — γέγονεν ἡλιακή δm. — 20 τρεῖς ἡμίσυ g γ' δ ς' f ζ' em. — καὶ ἀπό f. — 22 Τζουρουλοῦ δ Τζούλου f Τζουλοῦ egm usque Zerulum A. — Κρούμου δ. — 23 Δεβέλτον egm δὲ βελτόν δ. — πολιορκίᾳ δA πολιορκίαν g πολιορκεῖν y. — μετοικήσαντος δg μετοικήσαντας y. — 24 προσρυέντας Combefis προσρυέντης δ προσρυέντα rell. — 25. 26 τὰ πλήθη καὶ ὕβρεις δ. — 26 καὶ μάλιστα em. — κατανυάσας δ. — 28 καὶ om. δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόλεμον καὶ τὸν ταξιάρχην ἀπακτοῦσιν, πλέον κατίσχυσαν Θρᾴκης καὶ Μακεδονίας. τότε καὶ Ἀγχίαλον καὶ Βέροιαν ἀφέντες Χριστιανοὶ ἔφυγον, μηδενὸς διώκοντος, Νίκαιάν τε καὶ τὸ Προβάτου κάστρον καὶ ἄλλα τινὰ ὀχυρώματα, ὡσαύτως καὶ τὴν Φιλιππούπολιν καὶ Φιλίππους· καὶ οἱ τὸν Στρυμῶνα οἰκοῦντες μέτοικοι προφάσεως δραξάμενοι ἐν τοῖς ἰδίοις φεύγοντες ἐπανῆλθον. τοῦτο δὲ ἦν Θεομηνία τὴν τοῦ Νικηφόρου μανίαν ἐλέγχουσα, δι' ἣν τὰ δοκοῦντα
773 B κατορθώματα αὐτοῦ, ἐφ' οἷς ἠῦχει, τάχιστα διαπέπτωκεν. καὶ τὰς τῶν πολλῶν κακοδοξίας οἱ τὰς θεομάχους αἱρέσεις πλεοναζούσας Παυλικιάνων καὶ Ἀθιγγάνων, Εἰκονοκλαστῶν καὶ Τετραδιτῶν ἀφέντες αἰτιᾶσθαι (ἀφῶ γὰρ λέγειν μοιχείας καὶ πορνείας, ἀσελγείας τε καὶ ἐπιορκίας, μισαδελφίας τε καὶ πλεονεξίας,) καὶ τῶν λοιπῶν παρανομιῶν, κατὰ τῶν θείων καὶ σεπτῶν εἰκόνων καὶ τοῦ μοναδικοῦ σχήματος ἐκίνουν τὰς γλώσσας, μακαρίζοντες Κωνσταντῖνον τὸν θεοβδέλυκτον καὶ τρισάθλιον ὡς κατὰ Βουλγάρων ἀριστεύσαντα δι' ἣν, ὡς ἐκεῖνοι ἀσεβῶς ἔλεγον οἱ τάλανες, εἶχεν εὐσέβειαν. οἱ δὲ κατὰ τὴν βασιλίδα πόλιν ὡπλίζοντο τὴν ὀρθόδοξον πίστιν μετὰ
421 P σύνοδον οἰκουμενικὴν ἀνατρέπειν, τυφλοὺς βουλόμενοι βασιλεύειν χωρὶς θεοῦ οἱ πεπηρωμένοι τὰς ψυχὰς τοὺς υἱοὺς Κωνσταντίνου τοῦ θεομάχου φρουρουμένους ἐν τῇ Πανόρμῳ νήσῳ κλέψαι διὰ νυκτὸς ἠβουλήθησαν καὶ ἀγαγεῖν εἰς τὸ στράτευμα· ἀλλὰ κύριος τούτους κατήσχυνε διεγείρας Μιχαὴλ τὸν εὐσεβέστατον εἰς ἐκδίκησιν τῆς ἀληθείας. διαλεχθεὶς γὰρ τὰ εἰκότα περὶ πίστεως τοῖς λαοῖς ἀνυποκρίτως ἀνέζευξεν ἐπὶ τὴν βασιλεύουσαν πόλιν, καὶ σοφὸν διανοηθεὶς τοὺς πολλοὺς τῶν νεωτεριστῶν δι' ὀλίγων πληγῶν κατ-
774 B επτόησεν, ἐξορίσας καὶ τοὺς Κωνσταντίνου τυφλοὺς παῖδας εἰς Ἀφουσίαν. ἕνα δὲ τῶν ἐμπεριάκτων ψευδερημίτην, Νικολάου τοῦ Ἑξακιονίτου συγγόητα, εἰκόνα τῆς παναγίας θεοτόκου ξέσαντα καὶ ἀτιμάσαντα ἐγλωσσοτόμησεν, ὅστις καὶ τέθνηκε σὺν τῇ ψυχῇ καὶ τῷ σώματι· τὸν δὲ τούτου σύμφρονα Νικόλαον ἐπαγγειλάμενον μετα-

---

1 ταξιάρχην g. — ἀκαταστατοῦσι δ. — κατήσχησαν e κατήσχθησαν m. — 2 Βέροιαν] Βεροίην δfg Βερώην em. — 3 μηδενὸς διώκοντος om. δ. — Νικαίαν δem. — τό] τοῦ y. — 4 καὶ τὴν Φιλιππούπολιν om. m. — Φιλίππου πόλιν g. — 5 οἱ om. y. — Στρύμωνα δf Στρύμων m Στρυμων sine acc. e. — 9 οἱ] ἃ οἵ δ. — 10 Εἰκονοκλάστῶν f Εἰκονοκλάστων em. — τε καὶ Τετρ. δ. — Τετραδίτων g. — 12 τε om. fg. — et praevaricationes reliquas A καὶ τὰς λοιπὰς παρανομίας? — 13 μοναχικοῦ g. — 16 ἐκείνου δ. — 19 πεπυρωμένοι m πεπειρωμένοι g. — 20 φρουρουμένου g. — 21 ἀλλά] ἀλλό f. — 23 γὰρ τὰ — 24 διανοηθεὶς om. δ. — 26 τοὺς τοῦ Κωνστ. δ. — 27 Δαφνουσίαν δ. — ἐνπεριάκτων egm ἐκπερισάκτων f. — ψευδερημήτην δy. — 28 συνγόητα gy. — εἰκόνας g. — 29 καὶ τέθνηκε δ συντέθνηκε efg τέθνηκε m qui et mortuus est A. — 30 τούτοις f τοῦ τ m.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νοεῖν ἐπὶ πάντων ἐθριάμβευσεν, ἐξομολογούμενον τὰ ἑαυτοῦ κακά· καὶ παρέδωκεν αὐτὸν ἐν μοναστηρίῳ πρὸς τὸ μὴ αὐτεξουσίως διάγειν. τοῖς δὲ λαοῖς σιλεντιακῶς ἐπὶ τῆς Μαγναύρας διαλεχθεὶς τὰ τῆς κατὰ θεὸν αὐτοῦ εὐσεβοῦς γνώμης ἐφανέρωσε δόγματα. τοὺς δὲ Ἀθιγγάνους δημεύσας ἐξορίᾳ παραδέδωκε διὰ Λέοντος, τοῦ στρατηγοῦ τῶν ἀνατολικῶν. τῷ δὲ Αὐγούστῳ μηνὶ τῆς ε' ἰνδικτιῶνος Θεβὶθ κατὰ Χριστιανῶν ἐπεστράτευσεν. τούτῳ συμβαλὼν Λέων, ὁ τῶν ἀνατολικῶν στρατηγός, εὐδοκίμησε δισχιλίους κατασφάξας καὶ ἵππους καὶ ἅρματα συλλαβόμενος. Μουάμεδ δέ, ὁ πρῶτος υἱὸς Ἀαρών, κρατῶν τὴν ἀρχὴν τοῦ ἔθνους, συμβαλὼν τῷ ἀδελφῷ αὐτοῦ Ἀβδελᾷ κατὰ τὴν ἐνδοτέραν Περσικὴν ἠττήθη· καὶ καταφυγὼν εἰς τὸ Βάγδα τοῦτο ἐκράτησεν. τὴν δὲ Δαμασκὸν ἄλλος κατέσχε τύραννος, καὶ τὴν Αἴγυπτον καὶ Ἀφρικὴν δύο κατεμερίσαντο, καὶ τὴν 775 B
Παλαιστίνην ἕτερος ληστρικῶς κατενέμετο.

,ςτε'. ωε'. β'. ιζ'. η'. A. M. 6305 812/13

Τούτῳ τῷ ἔτει Κροῦμμος, ὁ τῶν Βουλγάρων ἀρχηγός, διὰ Δαργαμηροῦ τὰ περὶ τῆς εἰρήνης αὖθις πρὸς Μιχαὴλ τὸν βασιλέα ἐπρεσβεύσατο, ζητῶν τὰς ἐπὶ Θεοδοσίου τοῦ Ἀδραμυτινοῦ στοιχηθείσας καὶ Γερμανοῦ τοῦ πατριάρχου σπονδὰς πρὸς Κορμέσιον, τὸν κατ' ἐκεῖνο καιροῦ κύριον Βουλγαρίας· αἳ τοὺς ὅρους περιεῖχον ἀπὸ Μηλεώνων τῆς Θρᾴκης, ἐσθῆτάς τε καὶ κόκκινα δέρματα ἕως τιμῆς 422 P
λ' λιτρῶν χρυσίου· καὶ ἐπὶ τούτοις τοὺς πρόσφυγας ἑκατέρων ἀποστρέφεσθαι πρὸς ἑκάτερον, κἂν τύχωσιν ἐπιβουλεύοντες ταῖς ἀρχαῖς, τοὺς δὲ ἐμπορευομένους εἰς ἑκατέρας χώρας διὰ σιγιλλίων καὶ σφραγίδων συνίστασθαι, ⟨τοῖς δὲ σφραγῖδας μὴ ἔχουσιν ἀφαιρεῖσθαι⟩ τὰ προσόντα αὐτοῖς καὶ εἰσκομίζεσθαι τοῖς δημοσίοις λόγοις. ἔγραψε δὲ καὶ κατακρίσεις πρὸς τὸν βασιλέα, ὅτι· "εἰ μὴ σπεύσῃ πρὸς τὴν εἰρήνην τῷ κρίματί σου παρατάσσομαι κατὰ Μεσημβρίας." ταῦτα δεξάμενος ὁ βασιλεὺς ταῖς τῶν κακοσυμβούλων εἰσηγήσεσιν οὐ προσήκατο τὴν εἰρήνην. εὐσεβείας γὰρ δῆθεν ψευδοῦς, μᾶλλον δὲ ἀμα-

2 καὶ παρέδωκεν] παραδούς δ. — 5 δεσμεύσας g. — παρέδωκεν f. — τοῦ om. δ. — 6 ἐν codd. — 7 Θεβίδ δ. — τοῦτο em. — 9 ἅρματα egm. *In* f *spir. non dignoscitur.* — δὲ om. m. — 10 Ἀαρὼν om. δ. — 11 Ἀβδελᾶ—ἠττήθη] ἔθνους συμβαλὼν τῷ τὴν ἐνδοτέραν ἠγήθη δ. — Ἀβδελλᾷ fm Ἀβδελλᾴ e. — 12 Βάγδα δ Βαγδᾶ em Βαγδᾶ fg. — 14 κατενέμαιτο em κατενέμοντο δ. — 15 ,ςτε'. ωε'. β'. ε'. ιζ'. η'. g. — 16 Κροῦμος δ. — 17 Δαργαμήρου g Δαρμηροῦ m. — 18 τάς δ. — τοῦ Ἀδραμυτινοῦ om. g. — 19 Cormesio A Κομέρσιον codd. *cf. p.* 433, 16. — 19. 20 τὸν τὸ κατ' δ. — 20 κατ' ἐκείνῳ κ. y κατ' ἐκείνου κ. g. — κύριν g. — 21 Μελαιώνων δ. — vestimenta A ἐσθῆτα codd. — 22 λ'] quinquaginta A. — ἀποστρέφεσθαι πρὸς ἑκάτερον om. g. — 25 τοῖς δὲ—ἀφαιρεῖσθαι *add. ex* A: si qui vero sine signaculo inventi fuissent diriperentur. *om. codd.* — 27 σπεύσῃ ef σπεύσει δg σπεύσεις m σπεύσῃς? — 28 τάσσομαι δ. — 30 ἀπαθείας δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θίας καὶ περὶ τὸ κοινὸν ἀπωλείας οἱ παρασυμβουλευταὶ ἔφασκον ὅτι
776 B οὐ δεῖ τοὺς προσφεύγοντας ἀποδίδοσθαι, ἐπιφθεγγόμενοι εἰς μαρτυρίαν καὶ τὸ εὐαγγελικὸν τοῦ κυρίου λόγιον, ὅτι "τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω." μεσοῦντος δὲ τοῦ Ὀκτωβρίου μηνὸς παρετάξατο ὁ Κροῦμμος κατὰ Μεσημβρίας ἐν μηχανήμασι μαγγανικῶν καὶ ἑλεπόλεων, ἃ τῇ προφάσει Νικηφόρου, τοῦ καταλύτου τῶν Χριστιανῶν, μεμάθηκεν. Ἄραβα γάρ τινα προσελθόντα τῷ βαπτίσματι πάνυ ἔμπειρον μηχανικῆς ὑπάρχοντα στρατεύσας ἐν Ἀδριανουπόλει κατέστησεν, μηδεμίαν κατ' ἀξίαν ἀντίληψιν εἰς αὐτὸν ἢ εὐεργεσίαν πεποιηκώς, ἀλλ' ἢ μᾶλλον καὶ τὴν ῥόγαν αὐτοῦ κολοβώσας, τὸν δὲ γογγύσαντα ἔτυψε σφοδρῶς· ἀπονοηθεὶς δὲ ἐπὶ τούτῳ προσέφυγε τοῖς Βουλγάροις καὶ ἐδίδαξεν αὐτοὺς πᾶσαν μαγγανικὴν τέχνην. ἐν τούτοις παραστησάμενος, μηδενὸς ἀντιταξαμένου διὰ πολλὴν σκαιότητα δι' ὅλου τοῦ μηνός, παρέλαβεν αὐτήν. τῇ δὲ α' τοῦ Νοεμβρίου μηνὸς προσκαλεσάμενος ὁ βασιλεὺς τὸν πατριάρχην, περιστατηθεὶς ἐβουλεύετο περὶ εἰρήνης· παρῆσαν δὲ καὶ μητροπολῖται, ὅ τε Νικαίας καὶ ὁ Κυζίκου, συμπαρόντων καὶ τῶν παρασυμβούλων ⟨σὺν Θεωδώρῳ, τῷ ἡγουμένῳ τῶν Στουδίου⟩. καὶ ὁ μὲν πατριάρχης καὶ οἱ μητροπολῖται σὺν τῷ βασιλεῖ τὴν εἰρήνην ἠσπάζοντο, οἱ δὲ κακοὶ
777 B σύμβουλοι σὺν Θεοδώρῳ, τῷ ἡγουμένῳ τῶν Στουδίου, ταύτην ἀνέτρεπον φάσκοντες· "ἐπ' ἀνατροπῇ τῆς θείας ἐντολῆς οὐ δεῖ ἀσπάζεσθαι τὴν εἰρήνην. τὸν γὰρ ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω, ὁ κύριος ἀπεφήνατο," μὴ εἰδότες, μήτε ἃ λέγουσιν, μήτε περὶ τίνων διαβεβαιοῦνται· πρῶτον μέν, ὅτι μηδενὸς πρὸς ἡμᾶς ἐξ αὐτῶν προσφεύγοντος,
423 P ἡμεῖς τοὺς ἔσω τῆς αὐλῆς προδεδώκαμεν δυνάμενοι τούτους εἰρηνεύοντες περισώσασθαι· δεύτερον δὲ ὅτι, εἰ καὶ προσέφυγόν τινες σπάνιοι, τὴν τῶν πλειόνων μᾶλλον καὶ ὁμοφύλων σωτηρίαν ἐχρῆν πραγματεύσασθαι, ἢ ἐπ' ἀδήλοις καὶ ἀφανέσι πλουτεῖν. φίλον γὰρ θεῷ πλείους ἢ ὀλίγους σώζεσθαι. τὸ δὲ ζημιοῦσθαι πλεῖστα διὰ μικρὸν κέρδος πρώτης ἀνοίας. ἀλλὰ καὶ ὁ περὶ τοὺς οἰκείους ἀπρονοήτως διακείμενος τὴν πίστιν κατὰ Παῦλον ἤρνηται καὶ χείρων ἀπίστου κρί-

---

1 περὶ τῶ κοινόν e περὶ τῶν κοινῶν m. — 2 δεῖ] δή y. — ἀποδιδόσθαι gy. — 3 λόγιον τὸ φάσκον ὅτι δ. — 4 ἐκβάλλω g. — 5 Κροῦμος δ. — κατὰ Μεσημβρίαν y. — 8 Ἀνδριανουπόλει m. — 9 καταξίαν codd. — 10 πεποιηκώς δ ποιήσας efg om. m. — ἀλλ' ἢ] ἀλλά m. — 10. 11 τὴν ῥ. αὐτοῦ κολοβώσας τὸν δέ om. δ. — 11 ἐπὶ τοῦτο y. — 12 αὐτοῖς βg. — μηχανικὴν δ. — 13. 14 διὰ τὴν πολλὴν g. — 17 παρασυμβόλων g. — 18 σὺν Θεοδώρῳ—Στουδίου add. ex A: cum Theodoro hegumeno Studii om. codd.. — 20 σὺν Θ. τῷ ἡγ. τῶν Στουδίου om. δ. — τῷ] τε g. — τῶν] τόν em. — 21 δεῖ* f. — 22 τὴν om. gy. — ἐκβάλλω g. — ὁ om. δ. — 23 μήτε ante ἃ λέγ. om. y. — 24 ἐξ αὐτῶν πρὸς ἡμᾶς δ. — 28 ἢ ἐπ' ἀδ.—29 σώζεσθαι om. m. — 28 καὶ ἀφανέσι om. g. — 29 πλείους δ plures A πλείστους efg. — 30 ἀλλὰ καὶ ὁ τῶν οἰκείων μὴ προνοούμενος δ. — 31 ἤρνηται κατὰ Παῦλον δ. — χεῖρον codd.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νεται. ποῦ δὲ καὶ τό· "μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός," εἰ μή που καὶ Παύλου καὶ Δαβὶδ οὗτοι σοφώτεροι; τίς δὲ Γερμανοῦ τοῦ τρισμάκαρος σοφώτερος νῦν, εἰ μὴ κατὰ τὴν ψυχόλεθρον οἴησιν οἱ κακοὶ παρασύμβουλοι, οἱ τὴν εἰρήνην κωλύσαντες; ταῦτα κατὰ τὴν α΄ γέγονε τοῦ Νοεμβρίου μηνός, ὡς εἴρηται. τῇ δὲ δ΄ τοῦ αὐτοῦ μηνὸς ὤφθη κομήτης ἐν σχήματι λαμπρῶν δύο 778 B σεληνίων ἑνωθέντων καὶ πάλιν διαιρεθέντων εἰς διάφορα σχήματα, ὡς καὶ εἰς ἀκεφάλου ἀνδρὸς διάπλασιν τυπωθῆναι. καὶ τῇ ἑπαύριον ἡ περὶ τῆς ἁλώσεως Μεσημβρίας ἦλθεν ἡμῖν ἐλεεινὴ φάσις πάντας πτοοῦσα διὰ μειζόνων κακῶν ἀπεκδοχήν. εὑρόντες γὰρ αὐτὴν οἱ ἐχθροὶ πεπλησμένην πάντων τῶν ὀφειλόντων πρὸς κατοίκησιν ἀνθρώπων παρεῖναι πραγμάτων, ταύτην ἐκράτησαν σὺν τῇ Δεβελτῷ, ἐν οἷς καὶ σίφωνας χαλκοῦς εὗρον λς΄, καὶ τοῦ δι' αὐτῶν ἐκπεμπομένου ὑγροῦ πυρὸς οὐκ ὀλίγου, χρυσοῦ τε καὶ ἀργύρου πλῆθος. τῷ δ' αὐτῷ ἔτει πολλοὶ τῶν κατὰ Παλαιστίνην Χριστιανῶν μοναχοὶ καὶ λαϊκοὶ καὶ ἐκ πάσης Συρίας τὴν Κύπρον κατέλαβον φεύγοντες τὴν ἄμετρον κάκωσιν τῶν Ἀράβων. ἀναρχίας γὰρ καθολικῆς κατασχούσης Συρίαν καὶ Αἴγυπτον καὶ Ἀφρικὴν καὶ πᾶσαν τὴν ὑπ' αὐτοὺς ἀρχήν, φόνοι τε καὶ ἁρπαγαὶ καὶ μοιχεῖαι, ἀσέλγειαί τε καὶ πᾶσαι πράξεις θεοστυγεῖς ἐν κώμαις καὶ πόλεσι ὑπὸ τοῦ θεολέστου ἔθνους αὐτῶν ἐπράττοντο, οἵ τε κατὰ τὴν ἁγίαν Χριστοῦ τοῦ θεοῦ ἡμῶν πόλιν σεβάσμιοι τόποι τῆς ἁγίας ἀναστάσεως, τοῦ κρανίου καὶ τῶν λοιπῶν ἐβεβηλώθησαν. ὁμοίως δὲ καὶ αἱ κατὰ τὴν 779 B ἔρημον διαβόητοι λαῦραι τοῦ ἁγίου Χαρίτωνος καὶ τοῦ ἁγίου Σάβα, καὶ τὰ λοιπὰ μοναστήρια καὶ αἱ ἐκκλησίαι ἠρημώθησαν. καὶ οἱ μὲν ἀνηρέθησαν μαρτυρικῶς, οἱ δὲ τὴν Κύπρον κατέλαβον καὶ ἐκ ταύτης τὸ Βυζάντιον, οὓς Μιχαὴλ ὁ εὐσεβὴς βασιλεύς, καὶ Νικηφόρος, ὁ ἁγιώτατος πατριάρχης, φιλοφρόνως ἐξένισαν. τοῖς μὲν γὰρ ἐλθοῦ- 424 P σιν ἐν τῇ πόλει μοναστήριον ἐπίσημον ἐδωρήσατο, τοῖς δὲ κατὰ τὴν Κύπρον ἐναπομείνασι μοναχοῖς τε καὶ λαϊκοῖς τάλαντον χρυσίου ἀπέστειλεν, καὶ παντοίως τούτους ἐθεράπευσεν. ἦν μὲν οὖν Μιχαὴλ εἰς πάντας χρηστὸς καὶ ἐπιεικής, περὶ δὲ τῆς τῶν πραγμάτων διοι-

---

1 τὸ *om.* gy. — 2 εἰρηνικῶς y. — 3 νῦν *om.* δ. — 5 ὡς εἴρηται — 6 μηνός *om.* δ. — 6 αὐτοῦ] *Αὐγούστου* g. — 8 εἰς *om.* y. — 10 πάντα δ. — 13 Δέλτῳ f. — λς΄] *κε΄* δ. — 14 χρυσόν τε καὶ ἄργυρον y. — 15 ἔτει καὶ πολλοί g. — 16 μοναχοί δ μοναχῶν g μοναστῶν y. — λαϊκῶν g. — 19 ἀσέλγεια em. — 20 πᾶσαι em πᾶσαν δ *om.* f. — πρᾶξις δm. — θεοστυγής δ θεοστυγείς m. — ἐν πόλεσι καὶ κώμαις δΑ ἐν κώμεσι καὶ πόλεσι gy. — 21 θεολέντου δ. — αὐτῶν ἔθνους g. — ἔθνους αὐτῶν] *hic desinit cod. δ.* — ἐπράττετο y. — 23 δὲ *et* αἱ *om.* g. — 24 Σάββα m. — 28 ἐξένησαν f ἐξένισεν em. — 29 ἐδωρήσαντο f. — 31 ἀπέστειλαν g. — ἐθεράπευσεν A ἐθεράπευσαν *codd.* — 32 εἰς πάντας egmA εἰς πάντα f Georg. Mon. p. 678. — περὶ δὲ τὴν — διοίκησιν g.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κήσεως ἀκυβέρνητος, δεδουλωμένος Θεοκτίστῳ μαγίστρῳ καὶ τοῖς λοιποῖς ἄρχουσιν. τῷ δὲ Φεβρουαρίῳ μηνὶ δύο Χριστιανῶν ἐκ Βουλγαρίας φυγόντων, ἐμήνυσαν τῷ βασιλεῖ Κροῦμμον λοχῆσαι σπεύδοντα τοὺς ἐν τῇ Θράκῃ ἀθρόως. καὶ τῇ ιε΄ τοῦ μηνὸς ἐξῆλθεν ὁ βασιλεὺς τῆς πόλεως, καὶ θεοῦ προνοίᾳ ἄπρακτος ἀνέστρεψε Κροῦμμος οὐκ ὀλίγους ἀποβαλών. ὁ δὲ βασιλεὺς τὴν Ἀδριανούπολιν καταλαβὼν καὶ διευθετήσας τὰ κατ' αὐτὴν ἀνέστρεψε μετὰ χαρᾶς, καὶ ἀνελθὼν εἰς τὴν μονὴν τοῦ ἁγίου Ταρασίου τοῦ πατριάρχου καὶ
780 B ἐπιτελέσας αὐτοῦ τὰ μνημόσυνα ἅμα Προκοπίᾳ τῇ αὐγούστῃ, ἀργυρῷ πετάλῳ λιτρῶν ιε΄ τὸν ἱερὸν αὐτοῦ τάφον ἡμφίασεν. μετὰ δὲ τὴν ἅλωσιν Μεσημβρίας ἀπειπὼν ὁ βασιλεὺς τὰ πρὸς εἰρήνην Κρούμμου, ἐκ πάντων τῶν θεμάτων στρατολογήσας πρὸ τοῦ ἔαρος εἰς τὴν Θράκην περαιοῦσθαι ἐκέλευσεν· ὥστε πάντας δυσχεραίνειν, μάλιστα τοὺς Καππάδοκας καὶ Ἀρμενιάκους. τοῦ δὲ βασιλέως ἐξελθόντος μετὰ τῶν ταγμάτων μηνὶ Μαΐῳ συνεξῆλθε πάλιν καὶ Προκοπία ἡ αὐγούστα ἕως τῶν Ἀκεδούκτου πλησίον Ἡρακλείας. τὰ δὲ πλήθη ἐπὶ τούτῳ δυσχεραίνοντα εἰς δυσφημίαν καὶ λοιδορίαν ἐτράπησαν κατὰ Μιχαήλ. τῇ δὲ δ΄ τοῦ Μαΐου μηνὸς ἔκλειψις ἡλίου γέγονε περὶ τὴν ιβ΄ μοῖραν τοῦ Ταύρου κατὰ τὸν ὡροσκόπον ἀνατέλλοντος τοῦ ἡλίου· καὶ πολὺς φόβος ἐπέπεσε τοῖς ὄχλοις. ὁ δὲ βασιλεὺς περιεπόλευε τὴν Θράκην σὺν τοῖς στρατηγοῖς καὶ τοῖς στρατεύμασιν, μήτε κατὰ Μεσημβρίας ἀπερχόμενος, μηδ' ἄλλο τι τῶν ὀφειλόντων εἰς καθαίρεσιν ἐχθρῶν διαπραττόμενος, ἀλλ' ἢ μόνον πειθόμενος λόγοις ματαίοις τῶν ἀπειροπολέμων αὐτοῦ συμβούλων φασκόντων μὴ τολμᾶν τὸν ἐχθρὸν κατ' αὐτοῦ ἐλθεῖν ἐν τῇ ἰδίᾳ χώρᾳ καθ-
781 B εζομένου. καὶ ἦν βαρβαρικῆς ἐφόδου βαρυτέρα ἡ τῶν ὁμοφύλων πληθὺς ἀπορουμένων εἰς τὰς ἀναγκαίας χρείας καὶ ἁρπαγαῖς καὶ ἐπιβάσεσι λυμαινομένων τοὺς ἐγχωρίους. περὶ δὲ τὰς ἀρχὰς τοῦ Ἰουνίου μηνὸς ἐξῆλθε Κροῦμμος, ὁ τῶν Βουλγάρων ἀρχηγός, σὺν τοῖς ἰδίοις στρατεύμασιν, ὑφορώμενος τὰ τῶν Χριστιανῶν πολλὰ
425 P εἶναι σφόδρα. στρατοπεδεύσας δὲ εἰς Βερσινικίαν ὡς ἀπὸ σημείων λ΄ τοῦ βασιλικοῦ φωσάτου, Λέων, ὁ πατρίκιος καὶ στρατηγὸς τῶν ἀνα-

---

1 τῷ μαγίστρῳ g. — 2 Φευρουαρίῳ gm. — 3 λοχῖσαι em. — 4 τοὺς δὲ ἐν g. — 5 ὑπέστρεψε g. — 6 Ἀνδριανούπολιν fm. — 9. 10 ἀργύρῳ πετάλῳ g ἀργυροπετάλῳ f ἀργυροπετάλων em. — 11 ἀνάλωσιν y. — 12 πρὸ om. y. — 13 περεοῦσθαι codd. — 14 Καππαδόκας g. — 15 ἐξῆλθε g. — 16 αὐγοῦστα fg. — Ἀκιδούκτου y. — 17 ἐπὶ τούτου em ἐπὶ τούτοις g. — δυσχεράναντα g. — 18 δ΄] tertio nonas (ε΄) A. — 19 ὁροσκόπον fg ὁρόσκοπον em. — 20 πολλοῖς cf. — ἐπέπεσε g ἔπεσε y. — 21 περιεπόλευε g circuibat A περιεπόλευσε y. — 23 ἀλλ' εἰ e ἀλλά m. — 30 quod multa milia essent Christianorum A. — 31 Βερσινίκιαν em. — 32 φουσάτου y. — ὁ τῶν ἀνατολικῶν πατρίκιος καὶ στρατηγός y.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τολικῶν, καὶ Ἰωάννης, πατρίκιος καὶ στρατηγὸς Μακεδονίας, ὁ Ἀπλάκης, πολλὰ προθυμούμενοι τούτους πολεμῆσαι ἐκωλύθησαν ὑπὸ τοῦ βασιλέως διὰ τῶν κακῶν συμβούλων. τῆς δὲ πόλεως λιτανευούσης μετὰ τοῦ ἀρχιερέως ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων, τινὲς τῶν δυσσεβῶν τῆς μιαρᾶς αἱρέσεως τοῦ θεοστυγοῦς Κωνσταντίνου μοχλεύσαντες τὴν πύλην τῶν βασιλικῶν τάφων, μηδενὸς προσέχοντος διὰ τὴν συνοχὴν τοῦ ὄχλου, ἀθρόως ἀνοιχθῆναι μετά τινος κτύπου παρεσκεύασαν, ὡς ἐκ θείας τινὸς τερατουργίας· καὶ ἔνδον εἰσπηδήσαντες προσέπιπτον τῷ τοῦ πλάνου μνήματι τοῦτον ἐπικαλούμενοι καὶ οὐ θεόν, "ἀνάστηθι," λέγοντες, "καὶ βοήθησον τῇ πολιτείᾳ ἀπολλυμένῃ·" διαφημίσαντες, ὅτι ἀνέστη ἔφιππος καὶ πορεύεται πολεμῆσαι Βουλγάρους ὁ τάρταρον οἰκῶν μετὰ δαιμόνων. τούτους συλλαβόμενος ὁ τῆς πόλεως ἔπαρχος, τὸ μὲν πρῶτον ἐψεύδοντο θεόθεν 782 B αὐτομάτως τὰς τῶν τάφων πύλας ἀνεῳχθαι· παραστάντες δὲ τῷ ἐπαρχικῷ βήματι καὶ περὶ τὴν μαρτυρίαν ὀκλάσαντες τὸ τῆς μοχλεύσεως δρᾶμα πρὸ πάσης ἐξεῖπον τιμωρίας· οὓς ἀξίως μοχλεύσας πομπῇ δημοσίᾳ παρέπεμψεν ἀναβοῶντας τῆς τιμωρίας τὴν πρόφασιν· οὕτω γὰρ ὁ τῆς κακίας εὑρετὴς διάβολος τοὺς στρατευομένους ἐξεπαίδευσεν, ὡς μὴ αἰτιᾶσθαι τὰς ἑαυτῶν ἁμαρτίας, ἀλλὰ τὴν ὀρθόδοξον καὶ πατροπαράδοτον πίστιν, καὶ τὸ τῶν μοναστῶν ἱερὸν σχῆμα, τὸ τῆς κατὰ θεὸν φιλοσοφίας γυμνάσιον. οἱ δὲ πολλοὶ τῶν ταῦτα βλασφημούντων σχήματι μόνον ἦσαν Χριστιανοί, τῇ δὲ ἀληθείᾳ Παυλικιάνοι, οἵ τινες μὴ δυνάμενοι τὰ ἑαυτῶν μυσαρὰ δόγματα παρεμφαίνειν τῇ τοιαύτῃ προφάσει τοὺς ἀμαθεῖς παρενόθευον, Κωνσταντῖνον τὸν Ἰουδαιόφρονα μακαρίζοντες ὡς προφήτην καὶ νικητὴν καὶ τὴν κακοδοξίαν αὐτοῦ ἐπ' ἀνατροπῇ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀσπαζόμενοι. τῇ δὲ κβ' τοῦ Ἰουνίου μηνὸς παραταξάμενοι Χριστιανοί τε καὶ Βούλγαροι οὐ μακρὰν Ἀδριανουπόλεως, πταίουσι μὲν Χριστιανοὶ σφόδρα δεινῶς περὶ τὸν πόλεμον, κρατοῦσι δὲ τῆς μάχης οἱ ἐχθροὶ τοσοῦτον, ὥστε τοὺς πλείστους Χριστιανοὺς μήτε τὴν πρώτην συμβολὴν θεασαμένους ἄκρα φυγῇ χρήσασθαι· ὥστε τὸν Κροῦμμον καταπλαγέντα νομίσαι 783 B λοχισμοῦ τινος τρόπον εἶναι τὸ γινόμενον, καὶ μικρὸν ἐπισχεῖν τοὺς αὐτοῦ πρὸς τὴν δίωξιν. ἐπεὶ δὲ εἶδεν αὐτοὺς ἀκρατῶς φεύγοντας, 426 P καταδιώξας ἀνεῖλε πλήθη πολλά, καταλαβόντες καὶ τὸ τοῦλδον καὶ

---

2 τούτοις g. — 3 κακοσυμβούλων f. — 11 διεφημήσαντες m διεφημήσαντες *corr. ex* διεφημίσαντες e. — 13 ὕπαρχος g. — 16 μοχλεύσας *e praecedente* μοχλεύσεως *natum in alterius verbi locum (αἰκίσας fort.) irrepsisse censeo, quam quam etiam* A *legit.* — 17 ἀναβοῶντα em. — 20 ἱερὸν *om.* m. — 23 Παυλικιανοί m. — οἵ τινες] *his verbis desinit cod.* f. — 27 Ἰουλίου em. — 28 Βούλγαρις e. — 29 Ἀνδριανουπόλεως m. — μέν] δέ em. — σφόδρα *om.* m. — 31 Χριστιανῶν em. — συμβουλήν em. — 35 veniens — auferens A.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦτο λαφυραγωγήσαντες. ὁ δὲ βασιλεὺς ἐπὶ τὴν πόλιν φεύγων ἐπανήρχετο τά τε πλήθη καὶ τοὺς τούτων ἄρχοντας ἐπαρώμενος, ἔτι δὲ καὶ τῆς βασιλείας τὴν ἀπόθεσιν ἐξομνύμενος· ἐν οἷς καὶ Λέοντι, πατρικίῳ καὶ στρατηγῷ τῶν ἀνατολικῶν, ὡς εὐσεβεῖ καὶ ἀνδρειοτάτῳ καὶ κατὰ πάντα πεποιημένῳ περὶ τοῦ κρατῆσαι τὴν βασιλείαν ἐκοινώσατο. τοῦ δὲ μηδ' ὅλως εἰξαντος, ἐάσας αὐτὸν προϊστασθαι τῶν θεμάτων αὐτὸς τὴν βασιλίδα κατέλαβε τῇ κδ' τοῦ Ἰουνίου μηνός, θέλων μὲν ἀποθέσθαι τὸ κράτος καὶ ἄλλον προχειρίσασθαι, μὴ συγχωρούμενος δὲ παρά τε τῆς γαμετῆς καὶ τῶν παραδυναστευόντων. Νικηφόρος δέ, ὁ ἁγιώτατος πατριάρχης, εἰς τοῦτο συνήνει, ὡς καὶ αὐτοῦ καὶ τῶν τέκνων αὐτοῦ περισωθησομένων, εἰ οὕτω προχειρισθείη τις. οἱ δὲ στρατηγοὶ καὶ τὰ πλήθη μαθόντες τὸν βασιλέα ἐπὶ τὴν πόλιν πεφευγέναι, ἀπογνόντες τὸ βασιλεύεσθαι παρ' αὐτοῦ τὸ λοιπὸν καὶ βουλευσάμενοι καθ' ἑαυτοὺς ἐδυσώπουν Λέοντα, τὸν ⟨πατρίκιον καὶ⟩ στρατηγὸν τῶν ἀνατολικῶν, βοηθῆσαι τῷ κοινῷ καὶ τῆς Χριστιανῶν πολιτείας ἀνθέξασθαι. ὁ δὲ μέχρι μέν τινος
784 B σφοδρῶς ἀνεβάλλετο, τοῦ καιροῦ στοχαζόμενος τὸ δυσάντητον καὶ τῆς τῶν βαρβάρων ἐπιδρομῆς τὸ ἀνύποιστον, καὶ ἑαυτὸν πρὸς τοὺς βασιλεύοντας φυλάττων ὀρθὸν καὶ ἀνεπίβουλον. ἐπεὶ δὲ κατὰ τῆς πόλεως ἐπειγόμενον τὸν ἐχθρὸν ἐθεάσατο, γράφει μὲν Νικηφόρῳ τῷ πατριάρχῃ τὰ περὶ τῆς ἑαυτοῦ ὀρθοδοξίας διαβεβαιούμενος, αἰτῶν μετὰ τῆς εὐχῆς καὶ ἐπινεύσεως αὐτοῦ τοῦ κράτους ἐπιλαβέσθαι. καὶ καταλαβὼν τὸ πρὸ τῆς πόλεως τριβουνάλιον ἅμα τοῖς στρατηγοῖς καὶ τοῖς στρατεύμασιν ἐννομώτατος βασιλεὺς Ῥωμαίων ἀναδείκνυται. καὶ μεσούσης ἡμέρας ἐν Κωνσταντινουπόλει διὰ τῆς Χαρσίου πόρτης εἰσέρχεται καταλαβὼν τὰ βασίλεια. Μιχαὴλ δὲ ἀκούσας τὴν τούτου ἀναγόρευσιν ἐν τῷ εὐκτηρίῳ τοῦ Φάρου προσδραμὼν σὺν Προκοπίᾳ καὶ τοῖς αὐτῶν τέκνοις, ἀποκειράμενοι τὰς τρίχας μοναχικὰ περιεβάλοντο τῇ ια' τοῦ Ἰουλίου μηνὸς τῆς ς' ἰνδικτιῶνος, ἡμέρᾳ β'. τῇ δὲ ἐπαύριον στεφθεὶς ὑπὸ Νικηφόρου πατριάρχου ἐν τῷ ἄμβωνι τῆς μεγάλης ἐκκλησίας τὰ κατὰ τὴν πόλιν προστάττει φρουρηθῆναι,

---

2 ἐπαρώμενος] sumptis (ἐπαράμενος) A. — 4 εὐσεβεῖ τε καί g. — 11 ὡς] ὅς em. — τῶν om. em. — περισοθησωμένον e περισοθησωμένου m. — 13 ἐπὶ τὴν πόλιν emA om. g. — 14 τὸ om. g. — 15 πατρίκιον καὶ add. ex A om. codd. — 15 βοηθῆσειν — 16 ἀνθέξεσθαι? — 16 πολιτείας] religioni A. — μὲν om. em. — 17 differebat tempus, considerans difficultatem A. — 18 ἀνύπιστον em. — ἑαυτὸν scr. ex A: et semet ipsum erga imperatores τό codd. — 19 ἀνεπιβούλευτον g. — ἐπειδὴ δέ y. — 20 τὸν ἐχθρὸν ἐπειγόμενον g. — 25 Χαρσίου em. Charisii A Χρυσῆς g. — 27 φόρου g. — 29 περιεβάλοντο g. — περιεβάλοντο τῇ ια' τ. Ἰουλ. μ. τῆς ς' ἰνδ. ἡμ. β'. τῇ δὲ ἐπαύριον scr. ex A περιεβάλοντο. τῇ δὲ ια' — ἡμέρᾳ β', τῇ ἐπαύριον codd. — ια'] Θ' g. — τῆς om. em. — ἐν codd. — 31 custodiri viriliter A φρουρηθῆναι γενναίως?

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ τείχη νυκτὸς καὶ ἡμέρας αὐτὸς δι' ἑαυτοῦ περιπολεύων καὶ πάντας διεγείρων εὐέλπιδάς τε παραινῶν εἶναι, ὡς τοῦ θεοῦ παραδοξοποιήσαντος τάχιστα διὰ τῶν πρεσβειῶν τῆς παναχράντου θεοτόκου καὶ πάντων τῶν ἁγίων, καὶ μὴ πάντη καταισχυνθῆναι παραχωροῦντος διὰ πλῆθος πταισμάτων ἡμῶν. ὁ δὲ νέος Σενναχερὶμ Κροῦμμος ἀρθεὶς τῇ νίκῃ, καταλιπὼν τὸν ἴδιον ἀδελφὸν μετὰ τῆς ἰδίας δυνάμεως πολιορκεῖν τὴν Ἀδριανούπολιν, μετὰ ϛ' ἡμέρας τῆς αὐτοκρατορίας Λέοντος ἐπελθὼν ἐν δυνάμεσι καὶ ἵπποις τῇ βασιλίδι πόλει περιῆει πρὸ τῶν τειχῶν ἀπὸ Βλαχερνῶν ἕως τῆς Χρυσῆς πόρτης ἐπιδεικνύμενος τὴν περὶ αὐτὸν δύναμιν, ⟨καὶ⟩ ἐπιτελέσας μιαρὰς καὶ δαιμονιώδεις θυσίας ἐν τῷ πρὸς θάλασσαν λιβαδίῳ τῆς Χρυσῆς πόρτης, ᾐτήσατο τῷ βασιλεῖ πῆξαι τὸ δόρυ αὐτοῦ κατ' αὐτῆς τῆς Χρυσῆς πόρτης. τοῦ δὲ τοῦτο μὴ καταδεξαμένου, ὑπέστρεψεν εἰς τὴν ἰδίαν σκηνήν. θαυμάσας δὲ τὰ τῆς πόλεως τείχη καὶ τὴν εὔτακτον τοῦ βασιλέως παράταξιν, καὶ τῆς ἐλπιζομένης αὐτῷ πολιορκίας ἀπογνοὺς ἐπὶ συμβάσεις τρέπεται καὶ περὶ εἰρήνης πειραστικοὺς λόγους ἐποιεῖτο. ὁ δὲ βασιλεὺς ἀφορμῆς δραξάμενος ἐπειράθη τοῦτον λοχῆσαι· ἀλλ' ὑπὸ τοῦ πλήθους τῶν ἡμετέρων ἁμαρτιῶν τοῦτο εἰς πέρας ἀγαγεῖν ἐκωλύθη τῇ τῶν καθυπουργησάντων τῷ τοιούτῳ τροπαίῳ ἀφυΐᾳ, πληγωσάντων μὲν τοῦτον, καιρίαν δὲ μὴ ἐπαγαγόντων πληγήν. ἐπὶ τούτῳ μανεὶς ὁ ἀλάστωρ, ἀποστείλας κοῦρσον ἐν τῷ ἁγίῳ Μάμαντι τό τε ἐκεῖσε παλάτιον ἐνέπρησε καὶ τὸν χαλκοῦν λέοντα τοῦ ἱππικοῦ σὺν τῇ ἄρκῳ καὶ τῷ δράκοντι τοῦ ὑδρίου καὶ μαρμάροις ἐπιλέκτοις ἐν ἁμάξαις φορτώσας ὑπέστρεψεν, παρακαθίσας τῇ Ἀδριανουπόλει καὶ ταύτην ἑλών.

427 P
785 B
786 B

---

1 τὰ *om.* g. — 2 παραδοξοποιήσοντος? — 3 ἀχράντου g. — 5 διὰ πλήθους g. — Σεναχηρείμ g. — 7 Ἀνδριανούπολιν m. — 8 ἀπελθών g. — 9 περιείη em. — 10 περὶ αὐτοῦ em. — καὶ *add. ex* A *om. codd.* — 11. 12 τῆς Χρ. πόρτης *om.* A. — 12 ᾐτήσατο δὲ τῷ g. — 12. 13 κατὰ τῆς Χρυσ. π. g in eandem auream portam A. — 15 αὐτοῦ em. — 16 συμβιβάσεις g. — περί m πρίν *vell.* A. — 18 λογχίσαι em. — 21 ἐπαγόντων em. — ἐπὶ τοῦτο em. — super hoc ergo A ἐπὶ τούτῳ τοίνυν? — 23 ἱππικοῦ] hippodromii A. — δρακοντίῳ? dracunculo A. — 24 ὑδρείου? — 25 τῇ *om.* g.

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤ. ΚΑΛΛΙΣ. ΗΜΑΘΙΑΣ ΒΕΡΟΙΑ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



